
3 1761 04259 9001



CATENÆ

GRÆCORUM PATRUM

IN

NOVUM TESTAMENTUM.

EDIDIT

J. A. CRAMER, S. T. P.

AULÆ NOVI HOSPITII PRINCIPALIS,

NECNON

HISTORIÆ MODERNÆ PROFESSOR REGIUS.

TOMUS II.

IN EVANGELIA S. LUCÆ ET S. JOANNIS.

OXONII,

E TYPOGRAPHEO ACADEMICO.

M.DCCC.XLIV.



CATENÆ

IN

EVANGELIA

S. LUCÆ ET S. JOANNIS,

AD FIDEM CODD. MSS.

EDIDIT

J. A. CRAMER, S. T. P.

AULÆ NOVI HOSPITII PRINCIPALIS,

NECNON

ACADEMIÆ ORATOR PUBLICUS.

OXONII,

E TYPOGRAPHEO ACADEMICO.

M.DCCC.XLI.

MONITUM LECTORI.

CATENAS in Evangelia S. Lucæ et S. Joannis hactenus ineditas ex eodem Codice Coisl. vulgavimus, quo in edendis Commentariis in duos priores Evangelistas usi sumus. Catena in S. Lucam longe diversa est illa quam Latine tantum edidit Corderius Antverpiæ An. 1627. in fol. Nostræ fundus est, ut in Præf. ad Cat. in S. Matth. jam monui, Commentarius vulgo Tito Bostrensi Episcopo attributus, de quo fuse egit Fabricius, de Commentariis in Nov. Testam. disserens Bibl. Gr. t. VII. p. 778. Est revera autem Epitome tantum Commentarii, ex illo antiquo Scriptore præcipue contexti, ab eodem anonymo Auctore, qui Catenas in S. Matthæum et S. Joannem e Chrysostomi Operibus confecit. Et annotarunt quidem Combefisius et alii, plures exstare reliquias integri Commentarii Episcopi Bostrensis in Catenis Regiis MSS. (ap. Fabr. p. 779.) Hujus generis est nostra, quæ multas Symbolas affert ex Tito, pluresque insuper ex Origene, Chrysostomo, Cyrillo et aliis Patribus. Si fides autem adhibenda est veteri cuidam Catalogo MS. videtur Titum Bostrensem in omnes Evangelistas commentarios edidisse sub hoc titulo, Τίτου Ἐπισκόπου Βοστρῶν ἑρμηνεία εἰς τοὺς δ' Εὐαγγελιστάς [a].

Et sæpe quidem laudatur a Macario Chrysocephalo in Catena ejus ad Ev. S. Matthæi Cod. Barocc. 166.

[a] Anecd. Paris. t. I. p. 393.

semel vero tantum laudatur in Catena a nobis edita in Ev. S. Marci, nunquam autem in iis quæ ad Ev. S. Joannis explicandum concinnatæ sunt; unde patet Commentarios ejus in duos hos Evangelistas ante ceteros ævo absumptos esse.

Nostra in S. Joannem Catena, prorsus dissimilis est, ut bene monuit Montfaucon. in Bibl. Coisl. p. 68. illa quam vulgavit Corderius Græce et Latine Antverpiæ an. 1630. fol. Cum Corderiana maxime quadrat illa quam continet Liber Baroccianus 225. membr. form. in 4to. Sæc. XII, optime exaratus, sed initio et fine mutilus, et multis in locis humore corruptus. Hunc quidem Codicem utilissimum judicarem ad corrigendum et ampliandum Commentarium a Corderio editum. Nostri autem Commentarii præcipua pars Chrysostomo debetur, et ab eadem proculdubio manu ex ejus Patris homiliis compilata est, quæ Commentarios in S. Matthæum et S. Lucam confecit. Additæ sunt præterea multæ citationes ex Apollinari, Cyrillo, Origene, Severo, Theodoro Heracleensi et Theodoro Mopsuesteno; sed ante omnes frequentissime laudatur Ammonius Alexandrinæ Ecclesiæ Presbyter, cujus multa adducta sunt Scholia in Catena ad Acta SS. Apostolorum a nobis vulgata. Hic Scriptor, non confundendus cum antiquiore ejusdem nominis Monotessari Evang. Auctore, quem memorat Euseb. Hist. Eccl. VI. 19, floruisse videtur circa finem V Sæculi; nam subscripsit an. 458. Epistolæ Episcoporum Ægypti ad Leonem Imp. pro defensione Conc. Chalcedonensis (ap. Fabr. Bibl. Gr. t. IV. p. 179.)

De hoc Ammonio non gravabor quædam testimonia adducere ex Anastasii Sinaitæ Hodego, quoniam minus accurate exstant vulgata in Gretseri Ed. p. 278. Nos

ex optimo Codice Bodl. Roe 22. Ὁ περὶ πάντα πολυπειρότατος τῶν ἐξηγητῶν Ἀμμώνιος ὁ Ἀλεξανδρεὺς, τούτῳ τῷ τρόπῳ τὸν Ἁλικαρνασέα χειρωσάμενος, ἐθανάτωσεν. Ἀναλαβὼν γὰρ καὶ προσποιησάμενος, τὸ τοῦ Σαμοσατέως πρόσωπον, ὡς εἶδε τὸν Ἰουλιανὸν εἰς δόκησιν καὶ φαντασίαν τρεπόμενον· καὶ ἄνω καὶ κάτω θεωθεῖσαν καὶ ἐξομοιωθεῖσαν τὴν ἁγίαν σάρκα τοῦ Χριστοῦ, ὡσανεὶ διαπριόμενος καὶ διαπληκτιζόμενος ἐπὶ τῇ ἀθετήσει τῆς ἀληθείας, ὁ ἱερὸς Ἀμμώνιος φησὶ πρὸς τὸν Ἰουλιανόν· "Ὅτι μὲν "Θεὸς ἀληθὴς ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ θεῖον ὄντως αὐτοῦ "τὸ ἅγιον σῶμα τῇ θεώσει, καὶ ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα "τῆς θεότητος, παντί που δῆλον· ὁ γὰρ μὴ οὕτω φρονῶν, ξένος καὶ "ἀλλότριός ἐστι τῆς ἁγίας θεότητος αὐτοῦ· ὅμως διὰ τὴν πολλὴν "καὶ φιλόνεικον ὑμῶν ζυγομαχίαν, τῶν ἀρνουμένων τὴν ἀνθρωπίνην "φύσιν τοῦ Χριστοῦ, ἰδοὺ οἰκειοῦμαι καὶ ἀναλαμβάνω πρόσωπον "Σαμοσατέως, ἢ μᾶλλον ἀπίστου Ἰουδαίου, Φίλωνος τοῦ φιλοσό-"φου." Καὶ οὗτος γὰρ πρὸς Μνάσονα τὸν ἀποστολικὸν μαθητὴν, ἀντίρρησιν τότε περὶ τῆς Χριστοῦ ποιούμενος θεότητος, διηρώτα (Edd. absurdo sensu δικρῶτα) τὸν Μνάσονα λέγων, Τίς καὶ ποία καὶ πόθεν ἡ ἀπόδειξις. κ. τ. ἑ.

Paulo infra Anastasius citat Ἀμμωνίου πρεσβυτέρου Ἀλεξανδρείας ἐκ τοῦ πρὸς τὰς αἱρέσεις Εὐτυχοῦς καὶ Διοσκόρου λόγου ιε΄ [b]. ubi Ammonius ipse inducitur disputans cum Colutho Judæo. "Καὶ γοῦν ποτέ μοι κατὰ τὴν Ἀντινόπολιν "πρὸς Κόλουθον (Ed. Ἀκόλουθον) τὸν σοφιστὴν, τὰς διαλέξεις "ποιουμένῳ, Ἰουδαῖον καὶ αὐτὸν τυγχάνοντα, ἀντιθέντος καὶ αὐτοῦ "τοῖς τοῦ Χριστοῦ θαύμασι τὰς Μωσέως θαυματουργίας· εἶτα ἐμοῦ "εἰρηκότος, ὅτι Μωσῆς μὲν ὡς προφήτης ὢν, διὰ προσευχῆς ἐξε-"τέλει τεράστεια, ὁ δὲ Χριστὸς ὡς Θεὸς, αὐτοκελεύστως τὰ θαύ-"ματα διεπράττετο δίχα προσευχῆς." κ. τ. λ. Videndum an hic Coluthus, cum quo disputavit Ammonius, idem sit ac Lycopolitanus Sophista, qui poema de Raptu Helenæ

[b] Hæc in Ed. desunt.

conscripsit, licet hunc Anastasio imperante vixisse tradat Suidas. Alius est Colluthus hæreticus presbyter Alexandrinus, de quo Athanas. Apol. c. Arian. t. I. p. 134. Ed. Ben. et alius junior quem laudat Anonymus Auctor Dogmaticus in Cod. olim Claromontano, postea Meermanno, nunc Bodleiano. Auct. T. 1. 6. Κολλούθου τοῦ αἱρετικοῦ ἐκ τῆς ὑπὸ Θεοδοσίου ἀπολογίας. Hoc opus dogmaticum, quod quibusdam Jo. Damasceno attributum est, idem esse conjicerem ac illud de quo Anastasius loquitur in Hodego p. 192. quem tomum dogmaticum vocat, et quem se composuisse testatur sub nomine Flaviani Episcopi Constantinop.[c]

Citatur rursus ab Anastasio in Hodego Ammonii opus contra Julianum Halicarnassensem p. 266. et p. 278. κατὰ Μονοφυσιτῶν. Et hæc quidem de Ammonio, qui tam frequenter et in nostra et in Corderiana Catena citatur, ut facile cernatur illum continuum Commentarium in S. Joannis Evang. scripsisse.

Jam adnotatum est a viris Criticis veteres Commentatores in Catenis ad S. Joann. Ev. concinnatis, nullam interpretationem attulisse ad pericopam de adultera coram Salvatore nostro adducta, sed omnes eam quasi silentio præteriisse, unde non leve argumentum deduci videretur contra authentiam ejus pericopæ. Cum autem omnes, ut mihi videtur, Catenæ, ad S. Chrysostomi interpretationem accommodatæ sunt ut earum basin, id argumentum non ultra illius Patris silentium, licet hoc grave sit, extendere, æquum esse videtur. Magis ex re foret, Scholiastarum anonymorum, qui notata ex-

[c] Multa ex hoc opere vulgavit Ang. Maius e Codice Vaticano t. VII. p. 173. sed præstantiora et integriora ea exhibenda essent e Cod. Claromontano, qui nunc Bibl. ornat Bodleianam.

scripserunt in marginibus plurimorum exemplarium Ev. S. Joannis, de hac pericopa sententias recensere. Hujus generis est Scholion, quod invenitur in Antiquo Cod. Coll. Lincolniensis num. 16. Codex ipse ut mihi videtur, ad decimum Sæculum assignandus est, Scholiastæ manus aliquanto recentior videtur. Textus quidem Codicis a Millio et Scholzio collatus est (Scholz. N°. 95. Prolegom. p. lviii.), sed marginis ut opinor, nulla adhibita fuit ratio; quapropter, Scholion ad prædictum locum, exscribere non inutile esse judicavi.

Ταῦτα μετὰ καὶ τοῦ κεφαλαίου τῆς μοιχαλίδος ἔν τισι τῶν ἀντιγράφων ὠβέλισται· "καὶ ἀπῆλθεν ἕκαστος εἰς τὸν οἶκον "ἑαυτοῦ. καὶ ὁ Ἰησοῦς ἐπορεύθη εἰς τὸ ὄρος τῶν ἐλαιῶν. ὄρθρου "δὲ πάλιν βαθέος ἦλθεν ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν, καὶ πᾶς ὁ ὄχλος "ἤρχετο πρὸς αὐτὸν, καὶ καθίσας ἐδίδασκεν αὐτούς :—[ἄ]γουσιν "οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι γυναῖκα ἐπὶ μοιχείᾳ κατει-"λημμένην, καὶ στήσαντες αὐτὴν ἐν τῷ μέσῳ, εἶπον αὐτῷ, διδά-"σκαλε, ταύτην εὕρομεν ἐπ' αὐτοφώρῳ μοιχευομένην. ἐν δὲ τῷ "νόμῳ Μωσῆς ἐνετείλατο ἡμῖν τὰς τοιαύτας λιθάζειν· σὺ οὖν τί "λέγεις περὶ αὐτῆς; τοῦτο δὲ ἔλεγον πειράζοντες αὐτὸν, ἵνα "ἔχωσιν κατηγορίαν κατ' αὐτόν. ὁ δὲ Ἰησοῦς κατακύψας, τῷ "δακτύλῳ ἔγραφεν εἰς τὴν γῆν. ὡς δὲ ἐπέμεινον ἐπερωτῶντες "αὐτὸν, ἀναβλέψας εἶπεν αὐτοῖς· ὁ ἀναμάρτητος ὑμῶν πρῶτος "λίθον βαλέτω ἐπ' αὐτήν. καὶ πάλιν κάτω κύψας ἔγραφεν εἰς "τὴν γῆν ἑνὸς ἑκάστου αὐτῶν τὰς ἁμαρτίας. οἱ δὲ ἀκούσαντες, "ἐξήρχοντο εἷς καθ' εἷς, ἀρξάμενοι ἀπὸ τῶν πρεσβυτέρων ἕως "τῶν ἐσχάτων· καὶ κατελείφθη Ἰησοῦς μόνος καὶ ἡ γυνὴ ἐν "μέσῳ οὖσα. ἀνακύψας δὲ ὁ Ἰησοῦς εἶδεν αὐτὴν καὶ εἶπεν, "γύναι, ποῦ εἰσὶν οἱ κατήγοροί σου; οὐδείς σε κατέκρινεν; ἡ δὲ "εἶπεν, οὐδεὶς Κύριε. εἶπε δὲ αὐτῇ ὁ Ἰησοῦς, οὐ δὲ ἐγώ σε κατα-"κρίνω. πορεύου, καὶ ἀπὸ τοῦ νῦν μηκέτι ἁμάρτανε"—

Insignis profecto est in hac pericopa lectionis varie-

tas, multoque major quam in quacunque Novi Testamenti parte; quod non aliunde credo oriri potuit, quam ex minus diligenti et constanti ejus publico usu in quarundam Ecclesiarum sacris Officiis; quo quidem potissimum divinæ scripturæ integritas atque uniformitas servari et sustentari valuit.

Præter Cod. Coisl. adhibuimus in duobus Catenis Cod. Bodl. (B), quo jam usi sumus in Cat. ad Evang. S. Matthæi, et in nonnullis etiam locis Cat. in S. Lucam Cod. Laudianum (L), qui sæpe adhibitus fuit in Cat. in Ev. S. Marci. Horum Supplementa et lectionis varietas ad calcem voluminis relegantur. Sed pertinent tantum ad Epitomen Comment. in S. Lucam, qui vulgo Tito Bostrensi tribuitur, et ei parti Commentarii in S. Joannem, quæ Chrysostomo debetur. His autem corrigendis utilia invenientur, sarciendisque iis quæ omissa sunt aut mendose scripta, oscitantia, sive veteris librarii Coisliniani, sive illius cujus opera ad transcribendum Codicem, lectu non facilem, Parisiis usi sumus.

CATENA

IN

EVANGELIUM S. LUCÆ

E CODD. BODL. ET PARIS.

ΚΕΦΑΛΑΙΑ[a]

ΤΟΥ ΚΑΤΑ ΛΟΥΚΑΝ ΕΥΑΓΓΕΛΙΟΥ.

α΄. Περὶ τῆς ἀπογραφῆς.
β΄. Περὶ τῶν ἀγραυλούντων ποιμένων.
γ΄. Περὶ Συμεών.
δ΄. Περὶ Ἄννης τῆς προφήτιδος.
ε΄. Περὶ τοῦ γενομένου ῥήματος πρὸς Ἰωάννην.
ς΄. Περὶ τῶν ἐπερωτησάντων τὸν Ἰωάννην.
ζ΄. Περὶ τοῦ πειρασμοῦ τοῦ Σωτῆρος.
η΄. Περὶ τοῦ ἔχοντος πνεῦμα δαιμόνιον.
θ΄. Περὶ τῆς πενθερᾶς Πέτρου.
ι΄. Περὶ τῶν ἰαθέντων ἀπὸ ποικίλων νόσων.
ια΄. Περὶ τῆς ἄγρας τῶν ἰχθύων.
ιβ΄. Περὶ τοῦ λεπροῦ.
ιγ΄. Περὶ τοῦ παραλυτικοῦ.
ιδ΄. Περὶ Λευῒ τοῦ τελώνου.
ιε΄. Περὶ τοῦ ξηρὰν ἔχοντος χεῖρα.
ις΄. Περὶ τῆς τῶν Ἀποστόλων ἐκλογῆς.
ιζ΄. Περὶ τῶν μακαρισμῶν.
ιη΄. Περὶ τοῦ ἑκατοντάρχου.
ιθ΄. Περὶ τοῦ υἱοῦ τῆς χήρας.
κ΄. Περὶ τῶν ἀποσταλέντων παρὰ Ἰωάννῃ.
κα΄. Περὶ τῆς ἀλειψάσης τὸν Κυρίον μύρῳ.
κβ΄. Περὶ τῆς παραβολῆς τοῦ σπείροντος.
κγ΄. Περὶ τῆς ἐπιτιμήσεως τῶν ὑδάτων.
κδ΄. Περὶ τοῦ λεγεῶνος.
κε΄. Περὶ τῆς θυγατρὸς τοῦ ἀρχισυναγωγοῦ.
κς΄. Περὶ τῆς αἱμορρούσης.
κζ΄. Περὶ τῆς ἀποστολῆς τῶν ιβ΄.
κη΄. Περὶ τῶν ε΄ ἄρτων καὶ τῶν β΄ ἰχθύων.
κθ΄. Περὶ τῆς τοῦ Κυρίου ἐπερωτήσεως.

[a] Hæc Capita dedi e Cod. Bodl. L.

λʹ. Περὶ τῆς μεταμορφώσεως.
λαʹ. Περὶ τοῦ σεληνιαζομένου.
λβʹ. Περὶ τῶν διαλογιζομένων τις μείζων
λγʹ. Περὶ τοῦ ἐπιτρεπομένου ἀκολουθεῖν.
λδʹ. Περὶ τῶν ἀναδειχθέντων οʹ.
λεʹ. Περὶ τοῦ ἐπερωτήσαντος νομικοῦ.
λϛʹ. Περὶ τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς.
λζʹ. Περὶ Μάρθας καὶ Μαρίας.
ληʹ. Περὶ προσευχῆς.
λθʹ. Περὶ τοῦ ἔχοντος δαιμόνιον κωφόν.
μʹ. Περὶ τῆς ἐκ τοῦ ὄχλου ἐπαράσης φωνήν.
μαʹ. Περὶ τῶν αἰτούντων σημεῖον.
μβʹ. Περὶ τοῦ Φαρισαίου τοῦ καλέσαντος τὸν Ἰησοῦν.
μγʹ. Περὶ τοῦ ταλανισμοῦ τῶν νομικῶν.
μδʹ. Περὶ τῆς ζύμης τῶν Φαρισαίων.
μεʹ. Περὶ τοῦ θέλοντος μερίσασθαι τὴν κληρονομίαν.
μϛʹ. Περὶ τοῦ οὗ ηὐφόρησεν ἡ χώρα πλουσίου.
μζʹ. Περὶ τῶν Γαλιλαίων καὶ τῶν ἐν τῷ Σιλωάμ.
μηʹ. Περὶ τῆς ἐχούσης πνεῦμα ἀσθενείας.
μθʹ. Περὶ τῶν παραβολῶν.
νʹ. Περὶ τοῦ ἐπερωτήσαντος εἰ ὀλίγοι οἱ σωζόμενοι.
ναʹ. Περὶ τῶν εἰπόντων τῷ Ἰησοῦ διὰ Ἡρώδην.
νβʹ. Περὶ τοῦ ὑδρωπικοῦ.
νγʹ. Περὶ τοῦ μὴ ἀγαπᾶν τὰς πρωτοκλισίας.
νδʹ. Περὶ τῶν καλουμένων ἐν τῷ δείπνῳ.
νεʹ. Περὶ οἰκοδομῆς πύργου παραβολή.
νϛʹ. Περὶ τοῦ ἀποδημήσαντος εἰς χώραν μακράν.
νζʹ. Περὶ τοῦ οἰκονόμου τῆς ἀδικίας.
νηʹ. Περὶ τοῦ πλουσίου καὶ τοῦ Λαζάρου.
νθʹ. Περὶ τῶν ιʹ λεπρῶν.
ξʹ. Περὶ τοῦ κριτοῦ τῆς ἀδικίας.
ξαʹ. Περὶ τοῦ Φαρισαίου καὶ τοῦ τελώνου.
ξβʹ. Περὶ τοῦ ἐπερωτήσαντος τὸν Ἰησοῦν πλούσιον.
ξγʹ. Περὶ τοῦ τυφλοῦ.
ξδʹ. Περὶ τοῦ Ζακχαίου.
ξεʹ. Περὶ τοῦ πορευθέντος λαβεῖν ἑαυτῷ βασιλείαν.
ξϛʹ. Περὶ τῶν λαβόντων τὰς μνᾶς.
ξζʹ. Περὶ τοῦ πώλου.
ξηʹ. Περὶ τῶν ἐπερωτησάντων τὸν Κύριον ἀρχιερέων.
ξθʹ. Περὶ τοῦ ἀμπελῶνος.

ΕΡΜΗΝΕΙΑ

ΤΟΥ ΚΑΤΑ ΛΟΥΚΑΝ ΕΥΑΓΓΕΛΙΟΥ.

Τοῦ Ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου. Εὐαγγέλιον καλοῖτ' ἂν, οὐκ ἐπειδὴ βέβαια καὶ ἀκίνητα μόνον ἐστὶν ἀγαθὰ καὶ ὑπὲρ τὴν ἀξίαν τὴν ἡμετέραν, ἀλλ' ὅτι καὶ μετ' εὐκολίας ἁπάσης ἡμῖν ἐδόθη· οὐδὲ γὰρ πονήσαντες καὶ ἱδρώσαντες, ἀλλ' ἀγαπηθέντες ὑπὸ τοῦ Θεοῦ μόνον, ἐλάβομεν ἅπερ ἐλάβομεν. Εὐαγγέλιον δέ ἐστι λόγος περιέχων ἐπαγγελίαν πραγμάτων κατὰ τὸ Εὐαγγέλιον, διὰ τὸ ὠφελεῖν εὐφραίνων τὸν ἀκούοντα, ἐπὰν παραδέξηται τὸ ἐπαγγελλόμενον.

Λουκᾶς ὁ μακάριος, ἰατρὸς μὲν ἦν τὴν τέχνην, γέγονε δὲ καὶ ψυχῶν ἰατρὸς, ἀναβὰς ἀπὸ τοῦ ἔλαττονος ἐπὶ τὸ κρεῖττον. καταλέλοιπε γὰρ ἡμῖν τῶν Ἰησοῦ λόγων τε καὶ θαυμάτων τὴν μνήμην ἔγγραφον. μόνος δὲ τῶν ἄλλων Εὐαγγελιστῶν ἀκριβῶς ἐποιήσατο τὴν τοῦ Εὐαγγελίου γραφὴν, καὶ πολλὰ τῶν τοῖς ἄλλοις σεσιωπημένων, οὗτος ἀπεμνημόνευσέ τε καὶ διεξῆλθεν ἀκριβῶς, διὸ καὶ τὸ προοίμιον τῆς Εὐαγγελικῆς γραφῆς ἀκρίβειαν ἐπαγγέλλεται.

1 Ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν περὶ τῶν πεπληροφορημένων ἐν ἡμῖν πραγμάτων.

Τοῦ ἐν ἁγίοις Τίτου ἐπισκόπου Βοστρῶν, καὶ Ὠριγένους. Τὸ “ἐπεχείρησαν” ἐνταῦθα ἀντὶ ὅτι χωρὶς χαρίσματος ἦλθον εἰς τὴν ἀναγραφὴν τῶν Εὐαγγελίων τινὲς, χρὴ νοεῖν. Ματθαῖος γὰρ οὐκ ἐπεχείρησεν ἀλλ' ἔγραψεν ἀπὸ ἁγίου Πνεύματος, ὁμοίως καὶ Μάρκος καὶ Ἰωάννης, παραπλησίως δὲ καὶ Λουκᾶς. τὸ μέντοι ἐπιγεγραμμένον κατ' Αἰγυπτίους Εὐαγγέλιον, καὶ τὸ ἐπιγεγραμμένον τῶν ιβ' Εὐαγγέλιον, οἱ συγγράψαντες ἐπεχείρησαν. πολλὰ δὲ καὶ ἕτερα φέρονται, ἀλλὰ τὰ τέσσαρα

μόνα ἡ τοῦ Χριστοῦ Ἐκκλησία προσδέχεται. "πεπληροφορημένων" δὲ λέγει, ὡς οὐχ ἁπλῶς τῷ λόγῳ παραδεδομένων, οὐδὲ ψιλῇ τῇ πίστει παρειλημμένων, ἀλλὰ περὶ ὧν ἐν πληροφορίᾳ γέγονεν αὐτοῖς παρηκολουθηκὼς τοῖς ἔργοις· αὐτόπτας δὲ καὶ ὑπηρέτας καλεῖ τοὺς ἁγίους Ἀποστόλους.

Ἐγένετο ἐν ταῖς ἡμέραις Ἡρώδου τοῦ βασιλέως τῆς Ἰουδαίας.

Ἐξ ἀνεπιγράφου. Λαμβάνει πρῶτον τὸν χρόνον, ἵνα μὴ διαφύγῃ τῶν πραγμάτων ὁ καιρὸς, καί φησι, βασιλεὺς τῆς Ἰουδαίας, ἐπειδὴ τὰ παρὰ Ἰουδαίοις ἐδίδαξε, συνήθως τοῖς προφήταις τοῦ βασιλέως τῶν Ἰουδαίων φέρει τὸν χρόνον, καὶ οὕτως στηρίζει τῆς παρουσίας τοῦ Ἰησοῦ τὴν γνῶσιν.

Ἱερεύς τις ὀνόματι Ζαχαρίας, ἐξ ἐφημερίας Ἀβιά.

Ἐξ ἀνεπιγράφου. Πατέρα δὲ Ἰωάννου ὀνομάζει, ἵνα τοῦ προδρόμου ἄρξηται τῆς Εὐαγγελικῆς ἱστορίας, καὶ οὕτως εἰς τὸν Ἰησοῦν παραγένηται· διὸ καὶ τὴν γέννησιν αὐτοῦ πρώτην ὁ Εὐαγγελιστὴς ἐξηγεῖται, θαυματούργημα οὖσαν Θεοῦ, ὅπερ καὶ αὐτὸ πρόφασιν εἶχε πίστεως ἀγαθῆς.

Ὅτι περ δύο ἦσαν ἱερεῖς ἐκ διαδοχῆς τὴν λειτουργίαν ποιοῦντες, ὁ Ἀβιὰ οὕτω λεγόμενος, καὶ ὁ Ζαχαρίας. ἐπεὶ οὖν ἱεράτευσεν ἐν τῇ λειτουργίᾳ ὁ Ἀβιὰ, μετὰ τὴν ἐκείνου ἐφημερίαν ἐλειτούργει ὁ Ζαχαρίας. ἐφημερίαν δὲ χρὴ νοεῖν οὐ τὸ πρὸς ἡμέραν παραμένειν καὶ λειτουργεῖν ἐν τῷ ἱερῷ, ἀλλὰ τὸ πρὸς ἑβδομάδα· δεῖξαι δὲ θέλων ὅτι ἑκατέρωθεν νομίμως ἐτύγχανεν ἱερεὺς ὁ Ζαχαρίας, φησὶ, "καὶ ἡ γυνὴ αὐτοῦ ἐκ τῶν θυγατέρων Ἀαρών."

6 Ἦσαν δὲ δίκαιοι ἀμφότεροι ἐνώπιον τοῦ Θεοῦ.

Τὸ εἶναι δὲ δίκαιοι ἐνώπιον τοῦ Θεοῦ, ἔπαινός ἐστι τέλειος· αὐτὸς γὰρ ἐπίσταται μόνος τὰς τῶν ἀνθρώπων καρδίας. καὶ γὰρ ἐνδέχεται κατὰ μὲν τὸ φαινόμενον δίκαιον εἶναί τινα ἐνώπιον τῶν ἀνθρώπων, κατὰ δὲ τὸ κρυπτὸν τῆς διανοίας, μὴ εἶναι τοιοῦτον, ἐμφωλεύοντας κεκτημένον λογισμοὺς πονηρούς.

Τίνος δὲ ἕνεκεν πρόσκειται ταῖς ἐντολαῖς καὶ τοῖς δικαιώμασι τοῦ Κυρίου τὸ ἄμεμπτον; ἐπειδή περ ἐν τῷ συνειδότι ῥύπον κενοδοξίας, ἢ ἀνθρωπαρεσκείας, ἢ ἑτέρου τινὸς τοιούτου οὐκ εἶχον.

Βουλόμενος δὲ δεῖξαι ὅτι ἡ τοῦ Κυρίου γένεσις ἡ παράδοξος, ἄλλην πρὸ ἑαυτῆς κατεσκεύασε γένεσιν, καὶ ὅτι τῆς φύσεώς ἐστι δημιουργὸς ὁ ἐπιδημῶν, ἐπήγαγε λέγων· "καὶ οὐκ ἦν αὐτοῖς "τέκνον," καὶ τὰ ἑξῆς.

11 Ὤφθη δὲ αὐτῷ Ἄγγελος Κυρίου.

Καὶ ἐπειδὴ οὐ πᾶσι φαίνεται ὁ Θεὸς, ἢ οἱ Ἄγγελοι αὐτοῦ, εἰ μὴ τοῖς καθαρὰν ἔχουσι τὴν καρδίαν, ἦν δὲ ὁ Ζαχαρίας τοιοῦτος, διὰ τοῦτο ὤφθη αὐτῷ Ἄγγελος Κυρίου.

"Τοῦ θυσιαστηρίου δὲ τοῦ θυμιάματος" εἶπεν, ἐπειδὴ ἦν καὶ ἕτερον θυσιαστήριον χαλκοῦν τὸ τῶν ὁλοκαρπωμάτων. "Ἐταράχθη δὲ Ζαχαρίας," καὶ τὰ ἑξῆς. διότι ξενίζουσα ὄψις ἀνθρώπῳ φαινομένη οὐκ ἔστιν ὑπομονητή· ἀλλ' ὅμως ἐπιστρέφει ἀπὸ τῆς ταραχῆς τὸν Ζαχαρίαν ὁ Ἄγγελος, εἰπὼν αὐτῷ, "μὴ φοβοῦ Ζα"χαρία," καὶ ἀνακτᾶται αὐτόν.

Τοῦ Χρυσοστόμου. Ποία δὲ αὕτη ἀκολουθία, ὅτι ὑπὲρ τοῦ λαοῦ παρακαλοῦντος τοῦ Ζαχαρίου, καὶ ὑπὲρ ἁμαρτημάτων δεομένου, καὶ συγγνώμην αἰτοῦντος τοῖς συνδούλοις, εἰπεῖν πρὸς αὐτὸν τὸν Ἄγγελον, "μὴ φοβοῦ, εἰσηκούσθη γὰρ ἡ δέησίς σου," καὶ τοῦ ἀκουσθῆναι ἀπόδειξιν ποιεῖται, τὸ τεχθήσεσθαι αὐτῷ παῖδα τὸν Ἰωάννην; καὶ μάλα εἰκότως· ἐπειδὴ γὰρ ὑπὲρ τῶν ἁμαρτημάτων τοῦ λαοῦ παρεκάλει, ἔμελλε δὲ τίκτειν τὸν υἱὸν βοῶντα, "ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν," καὶ τὰ ἑξῆς, εἰκότως φησὶν ἠκούσθη ἡ δέησίς σου, καὶ τέξῃ υἱόν.

Μέγεθος ἐμφαίνει τῆς Ἰωάννου ψυχῆς, καὶ μέγεθος βλεπόμενον ὑπὸ Θεοῦ. ἔστι γὰρ μέγεθος ψυχῆς κατὰ ἀρετὴν, καὶ ἔστι τις σμικρότης ψυχῆς. ἐγὼ οὕτως ἀκούω τοῦ ἐν τῷ Εὐαγγελίῳ, "μὴ "καταφρονήσητε ἑνὸς τῶν σμικρῶν τῶν ἐν τῇ Ἐκκλησίᾳ·" μικρὸν γὰρ ἐκεῖ τὸν ἐναντίον τῷ μεγάλῳ λέγει· ὅτι ὁ τυχὼν ὁ μικρός ἐστι, δῆλον ἐκ τοῦ "ὃς ἂν σκανδαλίσῃ ἕνα τῶν σμικρῶν τούτων·" μέγας γὰρ οὐ σκανδαλίζεται, ἀλλ' ὁ μέγας παντὸς σκανδάλου κρείττων ἐστί.

15 Ἔσται γὰρ μέγας ἐνώπιον τοῦ Κυρίου.

Ἰδοὺ καὶ ἐνταῦθα "ἐνώπιον Κυρίου" λέγει, ὥσπερ καὶ περὶ τῶν τεκόντων αὐτὸν εἴρηται.

Σίκερα δὲ ἐστὶ πᾶν τὸ μέθην μὲν ποιεῖν δυνάμενον, οὐκ ὂν δὲ ἐξ ἀμπέλου.

Ἐπλήσθη δὲ Πνεύματος Ἁγίου ἐν τῇ κοιλίᾳ τῆς μητρὸς αὐτοῦ ὑπάρχων ὁ Ἰωάννης, ἡνίκα ἐλθούσης τῆς μητρὸς τοῦ Κυρίου πρὸς τὴν Ἐλισάβετ, ἐσκίρτησεν ἐν ἀγαλλιάσει.

Καὶ ὁ μὲν Ἰωάννης, πολλοὺς τῶν υἱῶν ἐπέστρεψε πρὸς Κύριον τὸν Θεὸν ἡμῶν κατὰ τὴν τοῦ Εὐαγγελίου φωνήν· ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, πάντας ἐφώτισεν εἰς τὴν ἐπίγνωσιν τῆς ἀληθείας· τοῦτο γὰρ αὐτοῦ τὸ ἔργον ἐστί.

17 Τὸ δὲ "προελεύσεται ἐν πνεύματι καὶ δυνάμει Ἠλίου," τοῦτό ἐστιν· ὁ Ἠλίας τῆς δευτέρας τοῦ Κυρίου παρουσίας ἐστὶ πρόδρομος, καθώς, φησιν, ὁ προφήτης εἶπε· "πέμψω ὑμῖν Ἠλίαν τὸν "Θεσβίτην, πρὶν ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ "ἐπιφανῆ." οὕτως οὖν καὶ ὁ Ἰωάννης τῆς πρώτης γέγονε πρόδρομος· καὶ ἐν πνεύματι μὲν, ὅτι ὥσπερ ἦν ἐπὶ τὸν Ἠλίαν ἡ τοῦ Παναγίου Πνεύματος χάρις, οὕτως καὶ ἐπὶ τὸν πρόδρομον. ἐν δύο δὲ διὰ τὸ μέγεθος τῆς πληρουμένης παρ' αὐτῶν διακονίας.

Τί ἐστι τὸ ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα; τέκνα τοῦ Ἰουδαίων λαοῦ οἱ ἅγιοι Ἀπόστολοι ὑπῆρχον· ἐξ αὐτῶν γὰρ κατήγοντο κατὰ τὴν τοῦ αἵματος συγγένειαν. τοιαύτη οὖν ἔσται, φησὶν, ἡ τοῦ Ἰωάννου διακονία, ὡς ἐπιστρέψαι τὰς τῶν Ἰουδαίων καρδίας εἰς τὴν τῶν Ἀποστόλων διδασκαλίαν· ὁ γὰρ περὶ Χριστοῦ τοιαῦτα μαρτυρήσας, συνεισήγαγε τῇ τοιαύτῃ μαρτυρίᾳ καὶ τοὺς Χριστοῦ μαθητὰς, καὶ τὸ ἀξιόπιστον αὐτοῖς ἐκ τούτου κατεσκεύασε.

Τὸ δὲ "ἀπειθεῖς ἐν φρονήσει δικαίων" δηλοῖ, ὅτι ἀπειθεῖς μὲν ἐξ ἀρχῆς ὑπῆρχον οἱ Ἰουδαῖοι, φρόνησις δὲ δικαίων, ἡ ἐν τοῖς Ἀποστόλοις οὖσα ἦν.

Τὸ δὲ "ἑτοιμάσαι Κυρίῳ," καὶ τὰ ἑξῆς, ἀντὶ τοῦ προευτρεπίσαι τῷ Χριστῷ εἴρηται· πρὸ τοῦ φανερῶσαι ἑαυτὸν ἐμπαράσκευον καὶ προκατεσκευασμένον λαόν· πολλὰ γὰρ θαυμαστὰ προειπὼν περὶ τοῦ Κυρίου ὁ πρόδρομος, τὴν εἰς αὐτὸν πίστιν τοῦ λαοῦ προευτρέπισεν.

18 Καὶ ἐπειδήπερ ἀπιστήσας ὁ Ζαχαρίας, "κατὰ τί γνώσομαι "τοῦτό," φησιν, ἐπιτιμᾶται κωφότητα καὶ ἀφωνίαν, ὡσανεὶ τοῦ

Ἀγγέλου λέγοντος ταῦτα πρὸς αὐτόν· ἐπειδὴ ἀπιστεῖς Ἀγγέλῳ παρεστηκότι Θεῷ, καὶ οὐ πιστεύεις τῷ ἀποστείλαντι αὐτὸν, οὐδὲ λογίζῃ τὴν τοῦ λέγοντος δύναμιν, ἀλλὰ τὴν τοῦ πράγματος ἀδυναμίαν, διὰ τὴν ἄπιστόν σου ταύτην φωνὴν, ἀφαιρεθήσῃ τῆς φωνῆς· ἕως ἂν τοῦ πράγματος πληρωθέντος, γνῷς καὶ τὸ σὸν ἄπιστον καὶ τὸ δυνατὸν τοῦ Θεοῦ.

Ἡ Ζαχαρίου κώφευσις, οὐκ ἐκπλήξει γέγονεν ὡς ἐνόμισας· ἐν συνεχείᾳ γὰρ θεοφανείας καὶ ἀγγελικῆς ὀπτασίας ἦν ὁ ἱερεὺς καθαρῶς τοῖς μυστηρίοις διακονούμενος· ἀλλὰ τῷ τύπῳ τῆς ἐκείνου σιγῆς καὶ στειρώσεως καὶ γήρους τεχθῆναι τὴν φωνὴν, τοῦτο οἶμαι δηλοῦν τὸ ἐκ τοῦ παλαιωθέντος καὶ καταγηράσαντος καὶ στειρωθέντος τῇ ἀνηκοΐᾳ τῶν δεξαμένων νόμου τοῦ γραπτοῦ τὰς περὶ Χριστοῦ προρρήσεις προελθεῖν, καὶ τὴν αὐτοῦ μητέρα ἐκ τούτου προελθεῖν.

22 Διὰ δὲ τοῦ βούλεσθαι μαθεῖν τὴν αἰτίαν τῆς σιωπῆς τὸν λαὸν, ταύτην διὰ νεύματος ὁ Ζαχαρίας ἐδήλου, καὶ τοῦτό ἐστιν ἴσως, "ὅτι καὶ αὐτὸς ἦν διανεύων αὐτοῖς καὶ διέμεινε κωφός."

Τί δὲ καὶ διένευεν αὐτοῖς; τὸ διανεύειν διαμένοντα κωφὸν, τοιοῦτόν ἐστιν. αἱ χωρὶς λόγου πράξεις, οὐδὲν διαφέρουσι νεύσεων, αἱ δὲ μετὰ λόγου πράξεις, οὐκ εἰσὶ νεύσεις, κοσμοῦνται γὰρ ὑπὸ τοῦ λόγου· ἐὰν οὖν ἴδῃς Ἰουδαίων τὴν πολιτείαν ἄλογον, ὡς μὴ δύνασθαι αὐτοὺς διδόναι λόγον περὶ ὧν πράττουσι, βλέπε τὸν τύπον τῶν γεγενημένων ἐπὶ Ζαχαρίου διαμένοντος κωφοῦ καὶ διανεύοντος αὐτοῖς. ἔστι γὰρ νῦν κωφὸς ὁ λαὸς καὶ ἄλαλος. πῶς γὰρ οὐκ ἤμελλεν ἄλαλος καὶ ἄλογος εἶναι, ἐκβαλὼν τὸν λόγον ἀφ' ἑαυτοῦ, καὶ μὴ δυνάμενος περὶ μηδενὸς λόγον ἀποδοῦναι νομικοῦ ἢ προφητικοῦ λόγου.

24 Αἰδεῖται δὲ ἡ Ἐλισάβετ διὰ τὸ ἐν γήρει συλλαβεῖν, σώφρων γὰρ ἦν ἡ γυνή.

Ὠριγένους. Ἔκρυπτεν ἑαυτὴν ἐπὶ μῆνας πέντε, ἕως καὶ Μαρία συλλάβῃ, ὅτε γὰρ Μαρία συνέλαβε καὶ ἦλθε πρὸς αὐτὴν, καὶ ὅτε ἐγένετο ὁ ἀσπασμὸς αὐτῆς εἰς τὰ ὦτα αὐτῆς, ἐσκίρτησεν ἐν ἀγαλλιάσει τὸ βρέφος ἐν τῇ κοιλίᾳ τῆς Ἐλισάβετ, καὶ ἐκ Πνεύματος ἁγίου ἐλάλησε τὰ ἀναγεγραμμένα, καὶ ἐλαλήθη ἐν τῇ ὀρεινῇ πάντα τὰ ῥήματα ταῦτα. λαληθέντων οὖν αὐτῶν ὡς περὶ

θείας συλλήψεως καὶ ὡς περὶ προφήτου μέλλοντος γεννᾶσθαι ἐν τῷ λαῷ, οὐκ ἔτι ἑαυτὴν περιέκρυβεν, ἀλλ' εἰ δεῖ οὕτως εἰπεῖν, καὶ ἐπαρρησιάσατο, ὅτι ἄρα γέννημα εἴη αὐτῆς ὁ πρόδρομος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ὄνειδος δὲ ἐν ἀνθρώποις τοῦτο λέγει, ὅπερ ἐν τοῖς χρόνοις ἐκείνοις ὑπῆρχεν, τουτέστιν ἡ ἀτεκνία, ἤγουν τὸ εἶναι στεῖραν, ὥσπερ ἔπαινος καὶ εὐλογία ἡ πολυτεκνία. Μῆνα ἕκτον λέγει τὸν τῆς συλλήψεως Ἰωάννου.

Εἶπε δὲ ὁ Εὐαγγελιστὴς περὶ τῆς παναγίας δεσποίνης ἡμῶν θεοτόκου, ὅτι ἦν μεμνηστευμένη ἀνδρὶ ἐξ οἴκου Δαβὶδ καὶ πατριᾶς, δεῖξαι βουλόμενος, ὅτι καὶ αὐτὴ ἡ πανάμωμος ἐκ γένους ἦν τοῦ Δαβίδ. ὅθεν καὶ ὁ μνηστευσάμενος αὐτὴν Ἰωσήφ· οὐδὲ γὰρ ἦν δυνατὸν κατὰ τὸν νόμον ἀπὸ φυλῆς ἑτέρας ἁρμόζεσθαι γυναῖκα.

28 Ἐπειδὴ δὲ εἶπεν ὁ Θεὸς τῇ Εὔᾳ, "ἐν λύπαις τέξῃ τέκνα·" λύει τὴν λύπην ταύτην ἡ χαρὰ ἣν ὁ Ἄγγελός φησι, "χαῖρε κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ."

Τὸ δὲ "διελογίζετο ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος," τοῦτο ἐμφαίνει, ὡσανεὶ ἔλεγε πρὸς ἑαυτὴν, μὴ ἆρά τις ἄτοπος, ὡς ἐξ ἀνδρὸς πρὸς κόρην; ἢ θεῖος· ἐπειδὴ καὶ Θεοῦ μνήμη σύνεστι τῷ ἀσπασμῷ, τὸ "ὁ Κύριος μετὰ σοῦ."

30 Διὰ δὲ τὸ μὴ εἶναι δυνατὸν, θορυβουμένην καὶ φοβουμένην ἀκριβῶς ἀκούειν τὰ λεχθησόμενα, διὰ τοῦτο λύει πρῶτον αὐτῆς τὸν φόβον ὁ Ἄγγελος εἰπὼν, "μὴ φοβοῦ Μαριὰμ," ἵνα ἐν ἀταραξίᾳ γενομένη, δέξηται τὴν θείαν ἀπόκρισιν.

Τὸ μὲν οὖν εἰπεῖν τὸν Ἄγγελον πρὸς αὐτὴν, "εὗρες χάριν" κοινὸν ἦν· εὗρον γὰρ χάριν πρὸ αὐτῆς καὶ ἄλλαι, τὸ δὲ εἰπεῖν "συλλήψῃ," οὐκέτι κοινὸν ἦν, ἀλλ' ἰδιάζον εἰς ἐπαγγελίαν.

Εἶπε δὲ τοῦτο, ἵνα δείξῃ τὸν Κύριον ἐξ αὐτῆς τῆς παρθενικῆς νηδύος καὶ ἐκ τῆς ἡμετέρας οὐσίας λαβόντα τὴν σάρκα.

32 Δικαίως δὲ ἐκλήθη Ἰησοῦς ὁ ἐπὶ σωτηρίᾳ τοῦ ἡμετέρου γένους ἐλθών· τὸ γὰρ ὄνομα τοῦτο εἰς τὴν Ἑλλάδα γλῶσσαν μεταβαλλόμενον, Θεοῦ λέγεται σωτηρία καὶ ἴασις.

Τὸ δὲ "ἔσται μέγας," ὡς δεσπότης καὶ δημιουργὸς δηλοῖ, καὶ οὐχ ὡς ὁ Ἰωάννης· τὸ γὰρ ἐπαγόμενον ὅτι "Υἱὸς Ὑψίστου κληθήσεται" τοῦτο ἐμφαίνει. Πῶς δέ φησιν "Υἱὸς Ὑψίστου κλη-

“θήσεται;” ἔδει γὰρ μᾶλλον εἰπεῖν, Υἱὸς Ὑψίστου ὑπάρχει, ὡς πρὸ τῶν αἰώνων ἐκ τοῦ Πατρὸς γεννηθέντος αὐτοῦ. ἀλλ’ ἐροῦμεν· ὅτι ὥσπερ ὢν φύσει ἀληθὴς Θεὸς ὁ Υἱὸς, ἔλαβεν ἐν δωρεᾶς μέρει διὰ τὸ ἀνθρώπινον τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, τουτέστι τὸ καλεῖσθαι Θεός· καὶ ὥσπερ ὢν Κύριος πάσης τῆς κτίσεως, ὡς δημιουργὸς καὶ ποιητὴς, ἐκ δωρεᾶς λαμβάνει πατρικῆς εἰς κληρονομίαν τὰ ἔθνη διὰ τὸ ἀνθρώπινον. “αἴτησαι” γάρ φησι “παρ’ “ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου.” οὕτως ὢν φύσει καὶ ἀληθῶς Υἱὸς, καὶ ἐκ τῆς οὐσίας ἐκλάμψας τοῦ Πατρὸς πρὸ πάντων τῶν αἰώνων, “Υἱὸς Ὑψίστου” καλεῖται, διὰ τὸ ἀνθρώπινον. καὶ τὸ “δώσει” δὲ τῇ οἰκονομίᾳ ἁρμόττει.

Θρόνον δὲ οὐκ αἰσθητὸν λέγει, ἀλλὰ τὸν μηδὲν θνητὸν καὶ ἐπίκηρον ἔχοντα, τὸν καθ’ ὅλης τῆς οἰκουμένης φωτὸς δίκην ἐκλάμποντα, καὶ ψυχὰς νοερὰς καταυγάζοντα, διὰ τῆς ἐνθέου διδασκαλίας.

Καὶ οἶκον δὲ Ἰακὼβ, μὴ τὸ Ἰουδαίων ἔθνος μόνον νομίσωμεν, ἀλλὰ καὶ πάντας τοὺς διὰ τῆς κλήσεως τοῦ Σωτῆρος ἡμῶν, ἐξ ἁπάντων τῶν ἐθνῶν εἰς τὴν τῶν ἁγίων υἱοθεσίαν εἰσποιουμένους.

Βασιλείαν δὲ τέλος οὐκ ἔχουσαν οὐδενός ἐστι τοῦ βασιλεύειν, εἰ μὴ μόνου τοῦ δημιουργοῦ καὶ δεσπότου τῶν ὅλων Θεοῦ. ὥστε αὐτός ἐστι βασιλεὺς αἰώνιος, ὁ διὰ τὴν ἡμετέραν σωτηρίαν ἄνθρωπος γενέσθαι καταδεξάμενος.

34 Οὐχ ὡς ἀπιστήσασα ἡ παναγία παρθένος τὸ “πῶς ἔσται “τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω” λέγει, ἀλλ’ ὡς σοφὴ τὸν τρόπον ἐπιζητοῦσα μαθεῖν τοῦ πράγματος τοῦ λεγομένου. οὐδὲ γὰρ γέγονε πρότερόν τι τοιοῦτον, οὐδὲ μετὰ ταῦτα γενήσεται· λέγω δὴ τὸ παρθένον τεκεῖν, ὅθεν καὶ συγγινώσκει ὁ Ἄγγελος, καὶ τὸν τρόπον ἑρμηνεύων λέγει, “Πνεῦμα Ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ “δύναμις Ὑψίστου” καὶ τὰ ἑξῆς. “Χριστὸς δὲ Θεοῦ δύναμις “καὶ Θεοῦ σοφία,” ὡς διδάσκει ὁ Ἀπόστολος. καὶ πῶς μὲν ἐπελεύσεται; οὐκ ὄψει τὸ ἐπερχόμενον, ἐνεργήσει δὲ δημιουργικῶς μὴ φαινόμενον.

35 Τί δέ ἐστιν “ἐπισκιάσει σοι;” περιβαλεῖ σε καὶ ἐνδύσῃ σε καὶ περιχαρακώσει σε, καὶ κύκλῳ σου ἔσται.

Χρὴ δὲ σκοπῆσαι πῶς ὅλην αὐτὴν τὴν παναγίαν καὶ ζωοποιὸν Τριάδα ἐξέφηνεν εἰπὼν, Πνεῦμα Ἅγιον καὶ δύναμιν, καὶ Ὕψιστον.

Οὐ συγγινώσκει δὲ τῷ Ζαχαρίᾳ ὁ Ἄγγελος ἀπιστήσαντι δικαίως, διότι εἶχεν ἐκεῖνος εἰς ὑπόδειγμα καὶ ἄλλας στείρας πρὸ αὐτοῦ γενομένας καὶ τεκούσας, ὡς αἱ θεῖαι γραφαὶ διδάσκουσι.

Οὐχ ἁπλῶς δὲ τὸ γενώμενον φησὶ πρὸς τὴν παρθένον ὁ Ἄγγελος, ἵνα μὴ ἔξωθεν ἐπεισαγόμενον αὐτῇ σῶμα νομισθῇ, ἀλλ' ἐπήγαγε καὶ τὸ "ἐκ σοῦ," ἵνα ἐξ αὐτῆς φύσει τὸ γενώμενον εἶναι πιστευθῇ.

Ἅγιον δὲ κληθησόμενον οὐχ ὡς ἔνοικον ἕξοντα τὸν Υἱὸν τοῦ Θεοῦ, καὶ ἐκ μετοχῆς ἁγιασθησόμενον, ἀλλ' ὡς ὄντα κατὰ φύσιν ἅγιον, τῷ τὸν αὐτὸν Υἱὸν ὑπάρχειν Θεοῦ καὶ ἕνα εἶναι.

Συγγενῆ δὲ τῆς Παναγίας παρθένου τὴν Ἐλισάβετ εἶπεν ὁ Ἄγγελος, εἴτε ὡς ἐξ ἑνὸς προπάτορος τοῦ Ἰακὼβ ὑπαρχούσας, εἴτε διὰ τὸ πρὸ τῆς νομοθεσίας, λαβεῖν τὸν Ἀαρὼν ἐκ τῆς τοῦ Λευῒ φυλῆς ὄντα γυναῖκα τὴν Ἐλισάβετ, θυγατέρα οὖσαν τοῦ Ἀμιναδὰβ, τὴν ἀδελφὴν Ἀασσὼν, ἐκ τῆς Ἰούδα φυλῆς ὑπάρχοντος. καὶ γὰρ ἐνταῦθα συνήφθη ἡ βασιλικὴ τοῦ Ἰούδα φυλὴ, ἐξ ἧς ὑπῆρχεν Ἐλισάβετ. διὸ καὶ παραδόξως ἡ πάνσοφος τοῦ παναγίου Πνεύματος ᾠκονόμησε χάρις, καὶ ταύτην τὴν Ζαχαρίου γυναῖκα Ἐλισάβετ προσαγορεύεσθαι, ὥσπερ καὶ τὴν τοῦ Ἀαρὼν, ὅπως διὰ τοῦ ὀνόματος ἐναργῶς μάθωμεν, ὡς ἐξ ἐκείνης τῆς Ἐλισάβετ ὑπάρχει ἡ συγγένεια.

38 Εἰποῦσα δὲ ἡ Παναγία παρθένος, "ἰδοὺ ἡ δούλη Κυρίου" καὶ τὰ ἑξῆς, τοῦτο ἐδήλωσε, πίναξ εἰμὶ, φησὶ, γραφόμενος, ὃ βούλεται ὁ γραφεὺς γραφέτω, ποιείτω ὃ θέλει ὁ τοῦ παντὸς Κύριος.

Δεξάμενος δὲ ὁ Ἄγγελος τῆς παναγίας παρθένου τὴν ὁμολογίαν τῆς πίστεως, ἀπῆλθεν ἀπ' αὐτῆς.

Ἐπορεύθη δὲ ἡ παναγία παρθένος εἰς τὴν ὀρεινὴν πρὸς τὴν Ἐλισάβετ, ἐπειδὴ ἐκεῖ ᾤκει ὁ Ζαχαρίας, γνῶναι βουλομένη τὸ πέρας ὧν εἶπεν ὁ Ἄγγελος πρὸς αὐτήν.

Ὅπερ δὲ οὐδενὶ τῶν προφητῶν ὑπῆρξε, τοῦτο εἰς Ἰωάννην γέγονεν. διὰ τὸ πλησιάζειν αὐτὸν τῇ Χριστοῦ παρουσίᾳ καὶ προτρέχειν αὐτῆς. διὸ οὐδὲ πρότερον τοῦ Ἁγίου Πνεύματος ἐπλήσθη, ἕως οὗ ἐπέστη αὐτῷ ἡ κυοφοροῦσα τὸν δεσπότην Χριστόν.

41 Τότε δὲ πλησθεὶς Πνεύματος Ἁγίου, ἐσκίρτα καὶ τῇ μητρὶ μετεδίδου τῆς χάριτος, καὶ ἀνεβόα προφητικὰ ἡ Ἐλισάβετ

ῥήματα, διὰ τὸ κυοφορούμενον ἐν αὐτῇ βρέφος, “εὐλογημένη σὺ “ἐν γυναιξὶ” λέγουσα “καὶ εὐλογημένος” καὶ τὰ ἑξῆς. οὐδεμία γὰρ τοιαύτης χάριτος κοινωνὸς, οὔτε γέγονεν, οὔτε γενέσθαι δύναται.

42 “*Καρπὸν δὲ κοιλίας*” *εἶπε, κατὰ τὴν παλαιὰν τοῦ Θεοῦ πρὸς τὸν Δαβὶδ ἐπαγγελίαν τὴν λέγουσαν, “ἐκ καρποῦ τῆς κοιλίας “σωθήσομαι ἐπὶ τὸν θρόνον σου.” καλῶς δὲ καρπὸν κοιλίας τῆς παναγίας παρθένου ἡ Ἐλισάβετ ὠνόμασε, διὰ τὸ μὴ ἐξ ἀνδρὸς εἶναι, ἀλλ' ἐκ μόνης τῆς παναγίας θεοτόκου Μαρίας, Πνεύματος Ἁγίου ἐνοικήσαντος ἐν αὐτῇ, καὶ τῆς τοῦ Ὑψίστου δυνάμεως ἐπισκιασάσης αὐτῇ. οἱ γὰρ ἐκ τῶν πατέρων τὴν σπορὰν ἔχοντες, ἐκείνων εἰσὶ καρποὶ, καθὼς καὶ τῷ Δαβὶδ ἐρρέθη, ἐκ καρποῦ τῆς κοιλίας, τουτέστιν οἱ πρόγονοι τῆς παναγίας θεοτόκου, καὶ αὐτοὶ ἐκ σπορᾶς ἀνδρῶν γεννηθέντες.*

Σύμφωνα δὲ τῶν μελλόντων ὑπὸ Ἰωάννου λέγεσθαι, ἡ μήτηρ αὐτοῦ ἀπεφθέγγετο· ὥσπερ γὰρ ἐκεῖνος ἀνάξιον ἑαυτὸν τῆς παρουσίας τῆς παρθένου θεοτόκου, ὡσανεὶ λέγουσα, τί γάρ μοι τηλικοῦτον πέπρακται ἀγαθὸν, ἵνα ἡ μήτηρ τοῦ Κυρίου μου ἔλθῃ πρός με. καλεῖ δὲ αὐτὴν μητέρα τὴν ἔτι κυοφοροῦσαν, προφητικῷ λόγῳ προφθάνουσα τὴν κύησιν.

Μακαρίζει δὲ αὐτὴν ὡς ἤδη πιστεύσασαν, “ὅτι ἔσται τελείω-“σις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίου.”

46 *Εἰποῦσα δὲ “μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον,” ἡ παναγία παρθένος, ἔδειξεν ἑαυτὴν καρπὸν δοξολογίας προσφέρουσαν. ὅσον γάρ, φησιν, ὑπηρετοῦμαι μεγάλῳ θαύματι, τοσοῦτον ὀφείλω δοξάζειν τὸν ἐν ἐμοὶ ἐνεργοῦντα παράδοξα. διὸ καὶ ἠγαλλιάσατο τὸ πνεῦμά μου, τουτέστιν ἐτέρφθη καὶ ἡδύνθη ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου. Σωτήρ μου γάρ ἐστι καὶ Θεός· σωτηρίαν τῷ κόσμῳ δι' ἐμοῦ χαριζόμενος. πνεῦμα δὲ καὶ ψυχὴν τὸ αὐτὸ λέγει.*

48 *Καὶ ἐπέβλεψε δέ, φησιν, ἐπ' ἐμὲ, οὐδὲ γὰρ ἐγὼ προσεδόκησα τοῦτο, ταπεινὴ οὖσα καὶ ἀναξία, καὶ νῦν εἰς οὐρανὸν ἀπὸ γῆς μεταβαίνω, ἄρρητον οἰκονομίαν ἐκπληροῦσα· καὶ οὐχὶ σὺ μόνη ἡ Ἐλισάβετ, ἀλλὰ καὶ πάντων τῶν πιστευόντων μακαριοῦσί με πᾶσαι αἱ γενεαὶ, καὶ γὰρ μεγαλεῖα ἐποίησέ μοι ὁ δυνατὸς, ὅτι παρθένος οὖσα συνέλαβον, ὑπερβᾶσα τὴν φύσιν βουλήματι αὐτοῦ,*

καὶ καταξιουμένη ἄνευ ἀνδρὸς, οὐχ ἁπλῶς εἶναι μήτηρ, ἀλλὰ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ καὶ Θεοῦ. Διὰ δὲ τὸ μὴ ἀπιστῆσαι τινὰ τῷ τοιούτῳ μυστηρίῳ, εἶπεν ὁ δυνατὸς, ὡσανεὶ ἔλεγεν, ὅτι δυνατὸς ὁ τοῦτο ἐνεργήσας Θεός.

Ἅγιον δὲ εἶπε τὸ ὄνομα αὐτοῦ, δηλοῦσα ὅτι οὐδὲν παραχραίνεται, εἰς γυναῖκα συλλαμβανόμενος ὁ τῶν ἁπάντων δημιουργός. " Καὶ τὸ ἔλεος δὲ αὐτοῦ εἰς γενεὰς" *καὶ τὰ ἑξῆς. ἐπειδὴ διὰ τὸ ἐλεῆσαι τὰς γενεὰς τῶν γενεῶν συνελήφθη.*

Προσέθηκε δὲ " *τοῖς φοβουμένοις αὐτὸν,*" *ὅτι οἱ πάντῃ ἀνάξιοι, καὶ ἐν τῇ ἀπιστίᾳ διαμένοντες οὐκ ἐλεοῦνται, ἀλλ᾽ οἱ δι᾽ ἐπιγνώσεως πρὸς πίστιν καὶ μετάνοιαν μετατρεπόμενοι.*

51 " Ἐποίησε δὲ κράτος" *καὶ τὰ ἑξῆς. ἐπειδὴ τῆς αὐτοῦ χειρὸς οὐκ ἀνθρώπου τὸ ἔργον. καὶ γὰρ βραχίων τοῦ* Πατρὸς *ὁ* Υἱὸς, *κατὰ τὸ* " *ἐλυτρώσω ἐν βραχίονί σου τὸν λαόν σου.*" *δι᾽ αὐτοῦ οὖν νίκην εἰργάσατο, καὶ τρόπαιον ἔστησε, κατὰ τῶν πάλαι τυραννούντων νοητῶν ἐχθρῶν.* " Διεσκόρπισε" *δὲ καὶ τὰς τούτων αὐτῶν καρδίας, τῶν τῇ διανοίᾳ ὑπερηφάνων, τουτέστι τὰς βουλὰς αὐτῶν τὰς καθ᾽ ἡμῶν ἀπρακτῆσαι ποιήσας. τούτους δὲ αὐτοὺς καὶ δυνάστας καλεῖ, οὓς καθελὼν ὕψωσε τοὺς ταπεινώσαντας ἑαυτοὺς ὑπὸ τὴν κραταιὰν χεῖρα,* " *δεδωκὼς αὐτοῖς ἐξουσίαν* " *πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν* " *τοῦ ἐχθροῦ.*"

Καὶ " *πεινῶντας*" *μὲν τοὺς ἐξ ἐθνῶν λιμώττοντας θείων λόγων καὶ διδασκαλίας, ἐνέπλησεν ἀγαθῶν, τῶν τῆς νέας διαθήκης. τοὺς δὲ τῷ νόμῳ πλουτοῦντας* Ἰουδαίους, *καὶ τοῖς προφήταις πιαινομένους, κενοὺς ἐξαπέστειλε, μὴ προσδεξαμένους τὸν ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν προθεσπιζόμενον* Χριστὸν *τὸν* Θεὸν *ἡμῶν.*

54 Τὸ δὲ " *ἀντελάβετο* Ἰσραὴλ *παιδὸς αὐτοῦ,*" *δύναται μὲν καὶ πρὸς τὸν κατὰ σάρκα* Ἰσραὴλ *τοῦτο ἁρμόσαι· πολλαὶ γὰρ ἐξ αὐτῶν μυριάδες πιστεύσασαι τῷ* Κυρίῳ *ἐσώθησαν. δύναται δὲ καὶ πρὸς τὸν νοητὸν* Ἰσραὴλ *τὸν ἐν τῷ νοΐ ὁρῶντα* Θεόν· *τοῦτο γὰρ* Ἰσραὴλ *ἑρμηνεύεται, οἵτινές εἰσιν οἱ ἐκ τῶν ἐθνῶν πιστεύσαντες.*

" Ἐμνήσθη *δὲ τοῦ ἐλέους αὐτοῦ καθὼς ἐλάλησε*" *καὶ τὰ ἑξῆς, εἰς πέρας ἀγαγὼν, ὅπερ ἦν εἰπὼν πρὸς αὐτὸν, ὅτι* " *ἐνευλογηθή-* " *σονται ἐν τῷ σπέρματί σου πᾶσαι αἱ φυλαὶ τῆς γῆς.*"

56 "Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ" καὶ τὰ ἑξῆς. δηλοῖ ὅτι ἕως οὗ τίκτειν ἔμελλεν ἡ Ἐλισάβετ. εἰ γὰρ τῷ ἕκτῳ μηνὶ τῆς συλλήψεως αὐτῆς ἀπεστάλη ὁ Ἄγγελος πρὸς τὴν παναγίαν παρθένον. ἀπελθοῦσα δὲ ἔμεινε σὺν αὐτῇ μῆνας τρεῖς, πρόδηλον ὅτι πληρωθέντος τοῦ χρόνου τῆς συλλήψεως τῆς Ἐλισάβετ, εἰς τὸν οἶκον αὐτῆς ὑπέστρεψεν ἡ παναγία παρθένος, διὰ τὸ μέλλον συνεισέρχεσθαι πλῆθος εἰς τὸν οἶκον Ζαχαρίου, ἐν τῇ τῆς Ἐλισάβετ γεννήσει· ἦν γὰρ αἰδὼς ἐν τῇ παναγίᾳ παρθένῳ παρθενική.

Τίνος δὲ χάριν ἔμεινεν; ἴσως καὶ τοῦ παραδόξου θεωρῆσαι τὴν ἔκβασιν, καὶ ἐπὶ τοῖς καθ' ἑαυτὴν ἀποροῦσά τε καὶ ἐκπληττομένη, καὶ τί δεήσει γενέσθαι βουλευομένη.

Παρατηρήσασθαι δεῖ ἐν ὅλῃ τῇ παλαιᾷ διαθήκῃ καὶ τῇ καινῇ γραφῇ, εἴπου ἐστὶν ἐπὶ ἁμαρτωλοῦ γενέσεως εἰρημένον τὸ, "ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν." οἶμαι δὲ ὅτι οὐκ ἄν τις εὕροι, εἰ μὴ μόνον ὅπου ὠνόμασται ὅτι δίκαιός ἐστιν ὁ γεννώμενος.

Διατί μετὰ τὴν περιτομὴν, τὸ ὄνομα ἑκάστου παιδὸς τίθεσθαι ὁ νόμος προσέταττεν; ἐπειδὴ τοῦτο καλὸν ἦν πρῶτον τὴν ἐκ Θεοῦ προσταχθεῖσαν λαβεῖν σφραγίδα, τουτέστι τὴν περιτομὴν, καὶ εἰς λαὸν Θεοῦ χρηματίσαι, καὶ τότε τὸ ἀνθρώπινον δέξασθαι ὄνομα.

Οὐχ ἁπλῶς δὲ ἡ Ἐλισάβετ, Ἰωάννην εἶπε κληθῆναι τὸν πρόδρομον, ἀλλ' ὡς προφῆτις οὖσα ὑπὸ Πνεύματος Ἁγίου κινουμένη. οὐδὲ γὰρ ἐγίνωσκεν τὰ χρηματισθέντα τῷ Ζαχαρίᾳ· πῶς γὰρ ἂν αὐτῇ ἀπήγγειλεν ὁ μὴ λαλῶν;

63 "Αἰτήσας δὲ πινακίδιον" ὁ Ζαχαρίας ἔγραψε τὸ ὄνομα, ἐπειδὴ διὰ νεύματος οὐκ ἠδύνατο τοῦτο δηλῶσαι. πῶς γάρ;

"Ἐθαύμασαν πάντες," ἐπειδήπερ ὁμοφώνησαν ὅτε Ζαχαρίας καὶ ἡ Ἐλισάβετ περὶ τοῦ ὀνόματος Ἰωάννην εἰπόντες, καίπερ ξένον ὂν, εἰς τὴν συγγένειαν αὐτῶν. Ἑρμηνεύεται δὲ Ἰωάννης Θεοῦ χάρις, διὸ καὶ μετὰ τὸ γράψαι αὐτὸν τὸ ὄνομα, εὐθέως τῇ τοῦ Θεοῦ χάριτι, ἀνεώχθη αὐτοῦ τὸ στόμα, καὶ ἐλάλει εὐλογῶν τὸν Θεὸν, καὶ προφητεύων τὰ ἀναγεγραμμένα, πρῶτον μὲν τὰ παρὰ τοῦ Χριστοῦ, ὡς ἤδη ἐπιδημήσαντος τῷ βίῳ, ὕστερον δὲ καὶ περὶ τοῦ Ἰωάννου.

65 Διατί δὲ "ἐγένετο ἐπὶ πάντας φόβος;" ἵνα ὥσπερ ἐπὶ τῇ σιωπῇ Ζαχαρίου ἐξέστη ὁ λαὸς, οὕτω καὶ ἐν τῷ λαλῆσαι αὐτὸν, ὅπως

διὰ τῶν δύο τούτων θαυμάτων λογίζονται πάντες, περὶ τοῦ τεχθέντος παιδός· ταῦτα δὲ πάντα προκατεσκευάζοντο πόρρωθεν, ὥστε ἀξιόπιστον εἶναι τὸν τῷ Χριστῷ μαρτυρῆσαι μέλλοντα.

Εὐλογῶν τὸν Θεὸν ὁ Ζαχαρίας ἐπισκοπὴν λέγει γεγονέναι παρ' αὐτοῦ πρὸς τὸν λαὸν αὐτοῦ, λέγων οὕτως, "εὐλογητὸς Κύριος ὁ "Θεὸς τοῦ Ἰσραὴλ ὅτι" καὶ τὰ ἑξῆς. οἵτινές εἰσιν οἱ τῷ Χριστῷ πιστεύσαντες· οὗτοι γὰρ τῆς ἐπισκοπῆς ἄξιοι γεγόνασιν, ἐνεργὸν εἰς ἑαυτοὺς τὴν θείαν ἐπισκοπὴν ἀποδείξαντες.

69 *Πῶς δὲ "ἤγειρε κέρας σωτηρίας ἡμῖν" καὶ τὰ ἑξῆς; τὸ κέρας
ἢ ἀντὶ βασιλείας, ἢ ἀντὶ δυνάμεως παρείληπται τῇ θείᾳ γραφῇ.
ἀμφότερα δὲ ὁ Χριστὸς ἐστὶν ὁ ἐκ τῆς πατριᾶς τοῦ Δαβὶδ ἀνα-
τείλας· αὐτὸς γάρ ἐστιν ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ ἡ
ἀκαταμάχητος δύναμις τοῦ Πατρὸς, ἡ πάντας τοὺς ἐχθροὺς ἡμῶν
τροπωσαμένη, κατὰ τὴν τῶν ἁγίων αὐτοῦ προφητῶν προσαγόρευσιν·
πᾶσι γὰρ τοῖς προφήταις τὸ περὶ τοῦ Χριστοῦ κατήγγελται
μυστήριον, καὶ ῥυσαμένη ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν, καὶ ἐκ
χειρὸς πάντων τῶν μισούντων ἡμᾶς· ἐχθρῶν δὲ οὐκ αἰσθητῶν,
ἀλλὰ νοητῶν.*

72 *Τὸ "ποιῆσαι δὲ ἔλεος μετὰ τῶν πατέρων ἡμῶν," οὕτως χρὴ
νοεῖν, ὅτι τὸ εἰς ἡμᾶς γενόμενον ἔλεος, καὶ πρὸς τοὺς πατέρας
ἡμῶν ἀνατρέχει, τοὺς περὶ τὸν Ἀβραάμ. ἐπαισθόμενοι γὰρ τῆς
εἰς ἡμᾶς εὐεργεσίας, κοινωνοὶ γίνονται τῆς εὐφροσύνης.*

Περὶ ταύτης δὲ λέγει μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ, περὶ ἧς πρὸς τὸν Ἀβραὰμ διέθετο λέγων, "καὶ ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη καὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς."

"Ὅρκον δὲ ὃν ὤμοσε πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν," τοῦτόν φησιν, ὅτι εἶπεν αὐτῷ ὁ Θεός· "εὐλογῶν εὐλογήσω σε, καὶ πλη- "θύνων πληθυνῶ σε." ἐπληθύνθη γὰρ τὸ σπέρμα Ἀβραὰμ, εἰς σπέρμα καὶ τῶν ἐθνῶν λογισθέντων αὐτῷ.

*Καὶ ἐπειδὴ πολλάκις ῥύονταί τινες ἐκ χειρὸς ἐχθρῶν, μετὰ
74 φόβου δὲ, διὰ τοῦτό φησι, "τοῦ δοῦναι ἡμῖν ἀφόβως ἐκ χειρὸς"
καὶ τὰ ἑξῆς. καὶ γὰρ ἡ Χριστοῦ ἐπιδημία, πεποίηκεν ἡμᾶς
ἀφόβως ἐκ χειρὸς ἐχθρῶν ῥυσθῆναι, οὐ γὰρ ᾐσθάνθημεν τῆς
ἐπιβουλῆς τῶν ἐχθρῶν, ἀλλ' αἰφνίδιον ἥρπασεν ἡμᾶς μεταστήσας
ἀπ' ἐκείνων ἐπὶ τὸν κλῆρον καὶ τὴν μερίδα αὐτοῦ. διὸ καὶ ἡμεῖς*

ὀφείλομεν λατρεύειν αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, ὅπερ οὐ γίνεται διά τινα καιρὸν, ἀλλὰ πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.

76 Τί δήποτε δὲ ὡς πρὸς ἀκούοντά φησι· "καὶ σὺ παιδίον προ-"φήτης Ὑψίστου κληθήσῃ;" καὶ γὰρ περιττὸν ἦν ταῦτα λέγειν τῷ μὴ νοοῦντι παιδίῳ. χρὴ οὖν ὑπολαβεῖν, ὅτι μήποτε ἄρα ὅπερ παράδοξον γέννησιν ἔσχεν ὁ Ἰωάννης, ἅτε Ἀρχαγγέλου ταύτην κηρύξαντος, ἅτε αὐτοῦ σκιρτήσαντος ἐν τῇ κοιλίᾳ τῆς μητρὸς ὑπὲρ φύσιν ἐπὶ τῇ παρουσίᾳ τῆς παναγίας παρθένου τῇ πρὸς τὴν Ἐλισάβετ, οὕτω καὶ γεννηθέντι, παράδοξον ἤδη καὶ τὴν παρακολούθησιν ἔσχε τῆς αἰσθήσεως.

Τάχιον δὲ αὐτῷ παρόντι προεφήτευσεν ὁ πατὴρ λέγων, "προ-"πορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ·" επειδήπερ ᾔδει ὡς προφήτης, ὅτι μετ᾽ ὀλίγον οὐ μέλλει ἔχειν αὐτὸν παρ᾽ ἑαυτῷ τρεφόμενον· φησὶ γὰρ ὁ Εὐαγγελιστὴς, ὅτι "ἦν τὸ παιδίον ἐν ταῖς ἐρήμοις, ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ "πρὸς τὸν Ἰσραήλ."

"Γνῶσιν δὲ σωτηρίας" φησὶ δοῦναι τοῖς ἀνθρώποις τὴν τοῦ Χριστοῦ· ἥτις γνῶσις σωτηρία ἔσται αὐτοῖς τοῖς θελήσασιν ἐπιγνῶναι τὴν σωτηρίαν, Ἰουδαίοις τὲ καὶ Ἕλλησι.

Λέγει δὲ καὶ πῶς ἔσται ἡ τοῦ Θεοῦ γνῶσις σωτηρία, ὅτι φησὶν "ἐν ἀφέσει ἁμαρτιῶν" ἔσται, οὕτως ἐλεήσαντος τοῦ Θεοῦ τοὺς ἐπὶ γῆς, καὶ γὰρ ὡς ἀληθῶς διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν ἠλεήθημεν· οὐδὲ γὰρ διὰ τὰ ἔργα ἃ ἐποιήσαμεν ἡμεῖς.

79 Ἐν οἷς τοῦ πατρὸς σπλάγχνοις ἐπεσκέψατο ἡμᾶς ὁ ἐξ ὕψους καὶ ἐξ οὐρανοῦ ἀνατείλας ἡμῖν ἥλιος δικαιοσύνης, ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ καὶ Θεὸς ἡμῶν.

Καὶ "σκότος" μὲν λέγει τὴν ἀγνωσίαν. "σκιὰν δὲ θανάτου" τὴν ἁμαρτίαν, διὰ τὸ μὴ εἶναι αἰσθητὸν θάνατον, ἀλλ᾽ αἰώνιον, εἰκόνα δὲ ἔχειν θανάτου. ὥσπερ γὰρ ὁ αἰσθητὸς θάνατος χωρισμὸν ἔχει ψυχῆς, οὕτως ἡ ἁμαρτία χωρισμὸν Πνεύματος Ἁγίου.

Τὸ δὲ "εἰς ὁδὸν εἰρήνης" δηλοῖ, ἵνα, φησὶ, τὰ τοῦ βίου ἡμῶν διαβήματα κατευθύνῃ, καὶ ὁδηγήσῃ εἰς τὴν διδασκαλίαν τὴν ἑαυτοῦ ὁ Χριστὸς καὶ τὸ κήρυγμα· τοῦτο γάρ ἐστιν ὁδὸς εἰρήνης.

Ἐπειδὴ δὲ κατὰ τὴν ἀναλογίαν τῆς ἡλικίας πνευματικῆς

ἠξιοῦτο χάριτος ὁ πρόδρομος, διὰ τοῦτό φησιν ὁ Εὐαγγελιστὴς "τὸ δὲ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο πνεύματι."

Διὰ τοῦτο δὲ "ἐν ταῖς ἐρήμοις ἦν ἕως ἀναδείξεως" καὶ τὰ ἑξῆς. ἵνα ὁ τὸν ὑπερκόσμιον μηνύων Χριστὸν, ἔξω τῆς ἐν ἀνθρώποις κακίας ᾖ, καὶ ὅπως ἀξιόπιστος μάρτυς φανῇ, μαρτυρῶν τῷ Χριστῷ, καὶ τὴν κακίαν ἐλέγχων μετὰ παρρησίας.

ΚΕΦ. Α.

Περὶ τῆς ἀπογραφῆς.

1 Καὶ ἐπειδήπερ καθολικὴ χάρις ἐκλάμπειν ἔμελλεν εἰς πᾶσαν τὴν γῆν, γίνεται ἓν πρόσταγμα καθ' ὅλης τῆς οἰκουμένης, Σωτῆρος ἑνὸς καθ' ὅλῃ τῇ οἰκουμένῃ γεννωμένου· φησὶ γὰρ ὁ Εὐαγγελιστὴς, "ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις, ἐξῆλθε δόγμα" καὶ τὰ ἑξῆς. καὶ διὰ τοῦτο δὲ γίνεται τοῦτο, ἐπειδὴ ἡ ἀπογραφὴ αὕτη χρησίμως τὴν παναγίαν παρθένον ἐξέπεμπεν εἰς Βηθλεὲμ τεκεῖν, ἵνα πληρωθῇ ἡ λέγουσα προφητεία "καὶ σὺ Βηθλεὲμ, "οἶκος τοῦ Ἐφραθὰ, μὴ ὀλιγοστὸς εἶ[a] τοῦ εἶναι ἐν χιλιάσιν "Ἰούδα, ἐξ οὗ γάρ μοι ἐξελεύσεται τοῦ εἶναι εἰς ἄρχοντα ἐν "τῷ Ἰσραήλ."

Μυστήριόν τι μέγα βούλεται ὁ λόγος παραστῆσαι, ὅτι εἰς τὴν τῆς οἰκουμένης ὅλης ἀναγραφὴν ἔδει ἀναγραφῆναι Χριστὸν Ἰησοῦν, ἵνα συναναγραφεὶς τοῖς ἐν τῇ οἰκουμένῃ, ἁγιάσῃ τὴν οἰκουμένην, καὶ μεταθῇ τὴν ἀπογραφὴν ταύτην εἰς βίβλον ζώντων, ἵνα τὰ ὀνόματα τῶν συγγραφέντων αὐτῷ καὶ πιστευόντων αὐτῷ, ἐγγράψῃ ἐν τοῖς οὐρανοῖς.

Ἰσιδώρου Πηλουσιώτου. Ἀπεγράφη ὁ Κύριος καὶ κῆνσον ἐτέλεσε Καίσαρι, τῷ κράτει νομοθετῶν ὑποτάσσεσθαι, ὅταν μηδὲν παραβλάπτῃ πρὸς τὴν εὐσέβειαν.

Διατί εἶπεν ὁ Εὐαγγελιστὴς "τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον·" οὐδὲ γὰρ ἄλλον ἔσχεν υἱὸν ἡ παναγία θεοτόκος καὶ ἀειπαρθένος; ἐπειδὴ Θεὸς ὑπάρχει ἀληθινὸς ὁ ἐξ αὐτῆς σαρκωθεὶς Κύριος ἡμῶν Ἰησοῦς Χριστός. γέγονεν ἡμῶν διὰ τὴν σάρκωσιν ἀδελφὸς, τούτου χάριν ὠνομάσθη πρωτότοκος, ὡς πρωτεύων ἐν πᾶσιν αὐτός.

Ἐν τῇ φάτνῃ δὲ κατακλίνεται, καὶ διὰ τὸ μὴ ὑπάρχειν μὲν

[a] ἢ Cod.

αὐτοῖς τόπος ἐν τῷ καταλύματι, καθὼς γέγραπται, ἔτι δὲ ἵνα ἡμᾶς τῆς ἀλογίας ἐλευθερώσῃ, τὸν κτηνοπρεπῆ μεταμείψαντας βίον, καὶ τὴν ἀνθρώποις πρέπουσαν ἀνακτησαμένους σύνεσιν.

ΚΕΦ. Β.

Περὶ τῶν ἀγραυλούντων ποιμένων.

Ἐπειδὴ δὲ καὶ πρότερον ἐν τῇ παλαιᾷ πνευματικοῖς ποιμέσι τοῖς προφήταις τὰ παρὰ Θεοῦ διεπορθμεύετο ῥήματα, διὰ τοῦτο καὶ νῦν διὰ τῶν αἰσθητῶν ποιμένων τὸ αὐτὸ γίνεται. καὶ γὰρ ὁ ἀσώματος σάρκα προσλαβόμενος, δι᾽ αὐτῆς ὡράθη τῷ γένει τῶν ἀνθρώπων. ἔτι δὲ καὶ διὰ τὸ ἀπλάστους αὐτοὺς εἶναι· ἐζήλουν γὰρ τὴν παλαιὰν πολιτείαν, ποιμαίνοντες ὥσπερ οἱ πατριάρχαι καὶ αὐτὸς Μωϋσῆς.

10 *Τὸ δὲ "ἥτις ἔσται παντὶ τῷ λαῷ" τῷ τῶν ἀνθρώπων δηλοῖ, οὐ μόνον τῷ τῶν Ἰουδαίων.*

14 *Ὅπερ δὲ τὸ πλῆθος τῆς οὐρανίου στρατιᾶς αἰνοῦντες ἔλεγον, "δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη," καὶ τὰ ἑξῆς, τοῦτο σημαίνει, ὅτι δόξα τῷ ἐν ὑψίστοις ὄντι Θεῷ καὶ ἐπὶ γῆς εἰρήνῃ γενομένῳ. καὶ γὰρ ἀγέλην ἀπέφηνε μίαν, τούς τε ἐν οὐρανῷ, καὶ τοὺς ἐπὶ γῆς, γενόμενος ἡμῖν εἰρήνη καὶ εὐδοκία. οἱ μὲν γὰρ Ἄγγελοι καὶ πᾶσα ἡ ἐν οὐρανοῖς δύναμις, πλὴν τῶν ἀπιστούντων, ἐν εἰρήνῃ μεμενήκασι πρὸς τὸν Θεὸν, τὰ αὐτοῦ πληροῦντες θελήματα, ἡμᾶς δὲ ἡ ἁμαρτία ἐχθροποίησε πρὸς τὸν Θεόν. ἐπειδὴ οὖν ἔλυσε τὴν ἔχθραν ὁ Κύριος ἡμῶν καὶ Θεὸς Ἰησοῦς ὁ Χριστὸς, ἀποκαταλλάξας ἡμᾶς πρὸς τὸν πατέρα, κατὰ τὸν λέγοντα Ἀπόστολον· αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν· εἰκότως δοξολογοῦσιν οἱ Ἄγγελοι αὐτὸν, τὸν ἐπὶ τῆς γῆς εἰρήνη γενόμενον Χριστὸν τὸν Θεὸν ἡμῶν.*

ὨΡΙΓΈΝΟΥΣ. *Τί δήποτε ὁ Ἄγγελος οὐκ ἀπῆλθεν εἰς Ἱεροσόλυμα; οὐκ ἐζήτησε τοὺς γραμματεῖς καὶ τοὺς Φαρισαίους; οὐκ εἰσῆλθεν εἰς τὴν τῶν Ἰουδαίων συναγωγὴν, ἀλλὰ ποιμένας εὗρεν ἀγραυλοῦντας καὶ φυλάσσοντας τὰς φυλακὰς τῆς νυκτὸς ἐπὶ τὴν ποίμνην αὐτῶν, κἀκείνους εὐηγγελίσατο; ὅτι ἐκεῖνοι μὲν ἦσαν διεφθαρμένοι, καὶ τῷ φθόνῳ ἤμελλον διαπρίεσθαι· οὗτοι δὲ ἄπλα-*

στοι ἦσαν, τὴν παλαιὰν πολιτείαν ζηλοῦντες τῶν πατριαρχῶν, καὶ αὐτοῦ Μωϋσέως· ποιμένες γὰρ ἦσαν καὶ οὗτοι.

Θείᾳ δόξῃ καὶ οὐρανίῳ περιαστραφθέντες οἱ ποιμένες καὶ ἀγγελικῆς στρατιᾶς θεασάμενοι, καὶ ὑμνολογούσης ἀκούσαντες, ἐπιζητοῦσι θερμῶς τὴν Βηθλεὲμ, ἥτις οἶκος ἄρτου μεθερμηνεύεται. "διέλθωμεν δὴ ἕως εἰς Βηθλεὲμ" λέγοντες, τοὺς τῆς ἐκκλησίας προτυποῦντες ποιμένας τὲ καὶ ἱερεῖς, οἷς ἔργον ἐστὶ τὸν οὐράνιον ἄρτον ἐπιζητεῖν, τὸν ἀμνὸν τοῦ Θεοῦ, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ μυστικῶς καθ' ἑκάστην ἱερουργούμενον, κατὰ τὸ μέγα ἔλεος αὐτοῦ.

19 Ἡ δὲ Μαριὰμ πάντα συνετήρει τὰ ῥήματα ταῦτα.

Ποῖα δὲ "συνετήρει πάντα" ἡ παναγία θεοτόκος; ὅσα τε εἰρήκει αὐτῇ ὁ Ἄγγελος, ὅσα τε οἱ ποιμένες εἶπον, συμβιβάζουσα ἐν τῇ ἑαυτῆς καρδίᾳ, τουτέστι τούτῳ ἐκεῖνο συγκρίνουσα τὰ ῥήματα, ἑνὸς πράγματος συμφωνίαν, ὡς ὅτι περ Θεὸς ὑπάρχει κατὰ ἀλήθειαν ὁ ἐξ αὐτῆς γεννηθεὶς ἐν σαρκί.

Κυρίλλου Ἀλεξανδρείας. Ὅταν ἴδῃς βρέφος ἐσπαργανωμένον, μὴ μέχρις μόνης τῆς κατὰ σάρκα γεννήσεως αὐτοῦ τὴν ἑαυτοῦ διάνοιαν στήσῃς· ἀναπήδησον δὲ εἰς θεωρίαν τῆς θεοπρεποῦς δόξης αὐτοῦ. ἀνάβηθι τὸν οὐρανὸν, οὕτως αὐτὸν ἐν τοῖς ἀνωτάτω θεωρήσεις ὑψώμασι τὴν ὑπερτάτην ἔχοντα δόξαν, ὄψει καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου· ἀκούσεις τῶν Σεραφεὶμ ὑμνολογούντων αὐτόν· πλήρη λεγόντων τὸν οὐρανὸν καὶ τὴν γῆν τῆς δόξης αὐτοῦ· γέγονε δὲ τοῦτο καὶ ἐπὶ τῆς γῆς· δόξα γὰρ Θεοῦ περιήστραψε τοὺς ποιμένας, καὶ πλῆθος ἦν στρατιᾶς οὐρανίου δοξολογούντων Χριστόν—Καὶ μετ' ὀλίγα. οὐκοῦν μὴ ὡς βρέφος ἴδῃς ἁπλῶς τὸν ἐν φάτνῃ κείμενον, ἀλλ' ἐν πτωχείᾳ τῇ καθ' ἡμᾶς τὸν πλούσιον ὡς Θεὸν, καὶ διὰ τοῦτο δοξολογούμενον καὶ παρ' αὐτῶν τῶν ἁγίων Ἀγγέλων.

ΚΕΦ. Γ.

Περὶ Συμεών.

21 Περιετμήθη δὲ ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, ἐπειδὴ γέγονεν ὑπὸ νόμον, καθὼς φησὶν ὁ Ἀπόστολος, "γεννώμενον ἐκ

“γυναικὸς, γενόμενον ὑπὸ νόμον.” γέγονε δὲ τοῦτο δύο πραγμάτων ἕνεκεν, τῷ τε ἐξαγοράσαι διὰ τῆς πληρώσεως τοῦ νόμου τοὺς ὑπευθύνους τῆς παραβάσεως τοῦ νόμου, καὶ τῷ διὰ τῆς πρὸς πάντα ὑπακοῆς, τὴν τοῦ Ἀδὰμ ἐξιάσασθαι παρακοὴν, ὡς λέγει ὁ Ἀπόστολος. ὅτι “ὥσπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου “ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοὶ, οὕτω καὶ διὰ τῆς ὑπακοῆς “τοῦ ἑνὸς, δίκαιοι κατασταθήσονται οἱ πολλοὶ,” τουτέστιν οἱ πιστεύσαντες τῷ Χριστῷ καὶ Θεῷ. τῆς οὖν θεοπνεύστου γραφῆς λεγούσης κατὰ ἀλήθειαν περιτμηθῆναι τὸν Χριστὸν, τίς ἐστιν ὁ τολμῶν λέγειν, ὡς οὐχ ὑπέμεινε τὴν περιτομὴν, ὅπερ ἀρνεῖσθαι βούλονται μετὰ τῶν ἄλλων οἱ τὴν φαντασίαν πρεσβεύοντες· ἡμεῖς δὲ τοὺς περὶ τοῦ περιτμηθέντος αὐτοῦ μορίου, λέγω δὴ τῆς ἀκροβυστίας, πολυπραγμονοῦντας τὸ τί ἐγίνετο, ὡς τὰ ἀνέφικτα καὶ ἄδηλα πολυπραγμονοῦντας ἀποκρουσώμεθα· οὐδὲ γὰρ γέγραπταί τι περὶ τούτου. εἰ δὲ καὶ εἴποιμεν ὅτι ὥσπερ τὸ ἄχραντον αὐτοῦ αἷμα μετὰ τοῦ ὕδατος ἐν τῷ καιρῷ τοῦ σταυροῦ ἡγίασε τὴν γῆν στάξαν ἐν αὐτῇ, οὕτω καὶ ἡ περιτμηθεῖσα ἀκροβυστία τῆς γῆς ψαύσασα, ταύτην ἡγίασεν, οὐκ ἂν ἁμάρτοιμεν. πάντως δὲ καὶ οἷς οἶδε λόγοις ὁ ἑκουσίως περιτμηθεὶς ἐφύλαξε τὸ περιτμηθέν· ὅπως καὶ κατὰ τὸν καιρὸν τῆς ἀναστάσεως αὐτοῦ, καὶ κατὰ τοῦτο ἀνελλειπῶς ἔχων αὐτὸ ἀναστῇ πλήρης ὑπὸ Χριστοῦ, καὶ ἄφθαρτος ὅλῳ τῷ σώματι· καὶ γὰρ ἡμεῖς ἐν τῇ ἀναστάσει τὸ σῶμα τὸ ἡμετέρον πλῆρες ἀποληψόμεθα.

Ἐν τῷ εἰπεῖν τὸν Εὐαγγελιστὴν, “καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ “Ἰησοῦς,” ὅπερ ἐστὶ σωτηρία λαοῦ, “τὸ κληθὲν ὑπὸ τοῦ Ἀγγέ- “λου πρὸ τοῦ συλληφθῆναι αὐτὸν ἐν τῇ κοιλίᾳ.” πῶς τολμῶσι λέγειν τινὲς, ὅτι εὐθέως σὺν τῷ εἰπεῖν τὸν Ἄγγελον “χαῖρε “κεχαριτωμένη” συνελήφθη, θαυμάζειν χρή.

22 “Καὶ ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῆς.” καλῶς ἐπήγαγε “κατὰ τὸν νόμον·” κατὰ γὰρ τὴν ἀλήθειαν οὐκ εἶχεν ἀνάγκην ἡ παναγία θεοτόκος περιμένειν ἡμέρας καθαρισμοῦ, αἵτινες ἦσαν τεσσαράκοντα ἐπὶ ἄρσενι τεχθέντι· εἴρηται γὰρ ἐν τῷ νόμῳ “γυνή,” φησὶν, “ἥτις ἐὰν σπερματισθῇ, καὶ τέκει ἄρ- “σεν, μ̅ ἡμέρας ἔσται ἀκάθαρτος.” ἡ δὲ πανάμωμος θεοτόκος οὐ σπερματισθεῖσα, ἀλλ᾽ ἐκ Πνεύματος Ἁγίου συλλαβοῦσα

ἐξέφυγε τοῦ εἶναι, καὶ κατ' αὐτὸν τὸν νόμον, καὶ τὴν κεκρυμμένην αὐτοῦ σημασίαν, καὶ ἀκάθαρτος.

25 Τὸ δὲ περὶ τοῦ Συμεὼν εἰρημένον ὅτι ἦν "προσδεχόμενος "παράκλησιν τοῦ Ἰσραὴλ," τοῦτό ἐστι πότε διὰ τοῦ Χριστοῦ παράκλησιν εὕροι ὁ Ἰσραὴλ, διὰ τῆς εἰς αὐτὸν πίστεως ἐλευθερίαν εὑρίσκων ἐκ τῆς τῶν Ῥωμαίων διοικήσεως, καὶ ἐκ τῆς ὑπὸ ἀλλοφύλου βασιλείας Ἡρώδου.

Τοῦ Ἁγίου Κυρίλλου Ἀλεξανδρείας. Εἰσεφέρετο ἐν τῷ ἱερῷ ὁ Χριστὸς, βρέφος ὢν ἔτι βραχύ τε καὶ ὑπομάζιον. ὁ δέ γε μακάριος Συμεὼν προφητικῇ χάριτι τετιμημένος, δέχεται μὲν εἰς ἀγκάλας αὐτὸν, θυμηδίας δὲ τῆς ἀνωτάτω πιμπλάμενος ηὐλόγησε Θεὸν λέγων, "νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα," καὶ τὰ ἑξῆς· προητοίμαστο γὰρ τὸ τοῦ Χριστοῦ μυστήριον, καὶ πρὸ αὐτῆς τῆς τοῦ κόσμου καταβολῆς.

29 Τί τοῦτο δὲ "νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα;" περὶ τῆς ἐν σαρκὶ ζωῆς εἶπε. "Κατὰ δὲ τὸ ῥῆμά σου ἐν εἰρήνῃ," διὰ τὸν χρησμὸν ὃν εἰληφὼς ἦν. Ἐπειδὴ δὲ ἐν σκότῳ καὶ ἀγνωσίᾳ ὑπῆρχε τὰ ἔθνη δαίμοσι λατρεύοντα, φῶς δὲ αὐτοῖς ὁ Χριστὸς γέγονεν, ἀποκαλύψας τὸν ὄντως ἀληθῆ Θεὸν ἑαυτόν τε καὶ τὸν Πατέρα καὶ τὸ Ἅγιον Πνεῦμα, διὰ τοῦτό φησι "φῶς εἰς ἀποκά- "λυψιν ἐθνῶν."

Γέγονε δὲ καὶ "δόξα τοῦ Ἰσραὴλ" ὁ Χριστὸς, καὶ κατ' αὐτὸ μὲν τὸ ἐξ αὐτῶν ἀνατεῖλαι τὸ κατὰ σάρκα, ἐδόξασε δὲ καὶ πολλοὺς ἐξ αὐτῶν διὰ τῆς εἰς αὐτὸν πίστεως.

Κυρίλλου Ἀλεξανδρείας. Γέγονε φῶς τοῖς ἐν σκότει καὶ πεπλανημένοις, καὶ ὑπὸ χεῖρα πεσοῦσι διαβολικὴν, κέκληται γὰρ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς πρὸς ἐπίγνωσιν τοῦ Υἱοῦ, ὅς ἐστι φῶς τὸ ἀληθινὸν, ἀλλὰ καὶ εἰς δόξαν τοῦ Ἰσραήλ· εἰ γὰρ καὶ γεγόνασι τινὲς ὑβρισταὶ ἐξ αὐτῶν καὶ ἀπειθεῖς καὶ ἀσυνεσίας ἔμπλεω τὴν διάνοιαν ἔχοντες, ἀλλ' οὖν σέσωσται τὸ κατάλειμμα, καὶ δεδόξασται διὰ Χριστοῦ.

34 Τὸ δὲ "εἰς πτῶσιν καὶ ἀνάστασιν εἶναι τὸν Κύριον πολλῶν ἐν "τῷ Ἰσραὴλ" ἡγοῦμαι, οὐκ ἄλλων πιπτόντων, καὶ ἄλλων ἀνισταμένων, οὐδὲ γὰρ τοῖς μὲν τοῦ πίπτειν ἀφορμὰς παρέχει, τοῖς δὲ τοῦ ἀνίστασθαι· οἱ γὰρ πίπτοντες ἀπὸ τῆς στάσεως ἐν ᾗ ποτὲ

ἦσαν καταπίπτουσι δηλονότι· οὐδέποτε δὲ εἱστήκει ὁ ἄπιστος, ἀεὶ χαμαὶ συρόμενος, ἀλλ' οὕτως χρὴ νοεῖν, ὅτι ὁ ἐν τῇ ἁμαρτίᾳ ἱστάμενος διὰ τῆς μετανοίας πίπτει καὶ ἀποθνήσκει ἐξ αὐτῆς· καὶ λοιπὸν ζῇ τῇ δικαιοσύνῃ καὶ ἀνίσταται τῇ εἰς Χριστὸν πίστει· πιπτέτω γὰρ τὰ χείρονα, ἵνα ἀναστῇ τὰ βελτίονα· ἐὰν γὰρ μὴ πέσῃ ἡ πορνεία, ἡ σωφροσύνη οὐκ ἀνίσταται· ἐὰν μὴ ἡ ἀλογία συντριβῇ, τὸ λογικὸν τὸ ἐν ἡμῖν οὐκ ἀνθήσει· οὕτως οὖν ἐστι τὸ "εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν."

"Εἰς δὲ σημεῖον ἀντιλεγόμενον." Κυρίως σημεῖον ἔγνωμεν παρὰ τῇ θείᾳ γραφῇ τὸν ζωοποιὸν σταυρόν. ἔθηκε γάρ, φησι, Μωϋσῆς τὸν ὄφιν ἐπὶ σημείου, τουτέστιν ἐπὶ σταυροῦ. ἐπεὶ οὖν οὐ παύονται ζυγομαχοῦντες περὶ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου· οἱ μὲν ἀνειληφέναι αὐτὸν σῶμα, οἱ δὲ φαντασίᾳ τινὶ τὴν διὰ τοῦ σώματος οἰκονομίαν πληροῦν, καὶ ἄλλοι χοϊκόν, ἄλλοι δὲ ἐπουράνιον σῶμα, καὶ οἱ μὲν προαιώνιον τὴν ὕπαρξιν, οἱ δὲ ἀπὸ τῆς παρθένου καὶ ἀχράντου Μαρίας τὴν ἀρχὴν ἐσχηκέναι, διὰ τοῦτο εἰς σημεῖον ἀντιλεγόμενον. "Ῥομφαίαν" δὲ λέγει τὸν λόγον τὸν πειραστικὸν τῶν εὐθυμήσεων.

Ἄλλως. "Ῥομφαίαν" δέ φησι τὴν ἐπὶ τῷ σταυρῷ θλίψιν τῆς παναγίας θεοτόκου, οἰομένην μὴ δεῖν αὐτὸν τοιαῦτα πάσχειν· τὸ γὰρ αὖθις ἀναστήσεσθαι αὐτόν, ὡς ὑπέρογκον τέως ἠπιστεῖτο.

Ἄλλως. Προφητεύει ὁ Συμεὼν καὶ περὶ αὐτῆς τῆς ἁγίας παρθένου Μαρίας, ὅτι παρεστῶσα τῷ σταυρῷ, καὶ βλέπουσα τὰ γινόμενα, καὶ ἀκούουσα τῶν φωνῶν τῶν φονευτῶν, μετὰ τὴν τοῦ Γαβριὴλ μαρτυρίαν, μετὰ τὴν ἀπόρρητον γνῶσιν τῆς θείας συλλήψεως, μετὰ τὴν μεγάλην τῶν θαυμάτων ἐπίδειξιν, γενήσεταί τις περὶ τὴν σὴν ψυχὴν σάλος.

35 Τὸ δὲ "ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί," αἰνίττεται ὅτι μετὰ τὸν σκανδαλισμὸν τὸν ἐπὶ τῷ σταυρῷ τοῦ Χριστοῦ γενόμενον τοῖς μαθηταῖς, καὶ αὐτῇ τῇ παναγίᾳ παρθένῳ ταχεία τις ἴασις ἐπακολουθεῖ παρὰ τοῦ Κυρίου. βεβαιοῦσα αὐτῶν τὴν καρδίαν εἰς τὴν ἐπ' αὐτὸν πίστιν. οὕτως γὰρ εἴδομεν καὶ Πέτρον τῆς εἰς Χριστὸν πίστεως ἀντισχόμενον, τὸ ἀνθρώπινον οὖν σαθρὸν διηλέγχθη, ἵνα τὸ ἰσχυρὸν τοῦ Κυρίου δειχθῇ.

Ἄλλως. Τὸ δὲ "ὅπως ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν "διαλογισμοὶ" τοῦτό ἐστιν, ἵνα πάντων οἱ διαλογισμοὶ δῆλοι καὶ σαφεῖς τοῖς ἀνθρώποις γένωνται· τίς μὲν ὁ ἀγαπῶν αὐτὸν, καὶ μέχρι θανάτου τὴν εἰς αὐτὸν ἀγάπην ἐνδεικνύμενος· τίς δὲ ὁ ἐπίπλαστον ἔχων τὴν εἰς αὐτὸν πίστιν, σκανδάλου πληρωθεὶς διὰ τὸν σταυρόν· τίς τε ὁ προδιδοὺς καὶ ἐπιμένων τῷ τε σταυρῷ καὶ τῷ θανάτῳ αὐτοῦ.

ΚΕΦ. Δ.

Περὶ Ἄννης τῆς προφήτιδος.

36 Ἡ δὲ προφῆτις Ἄννα ἡ τοσαύτης ἀξιωθεῖσα μαρτυρίας ὑπὸ τοῦ Εὐαγγελιστοῦ, ἀνθωμολογεῖτο τῷ Θεῷ, τουτέστιν ηὐχαρίστει τὴν σωτηρίαν ὁρῶσα, τοῦ τε κόσμου, τοῦ τε Ἰσραὴλ ἐπιστᾶσαν.

Ἐλάλει δὲ περὶ αὐτοῦ, ὅτι αὐτὸς εἴη ὁ λυτρωτὴς, αὐτὸς εἴη ὁ Σωτὴρ, οὗτος ἡμῖν εἰς χαρὰν περιτρέψει τὴν κατήφειαν.

39 "Ὑπέστρεψαν δὲ εἰς τὴν Γαλιλαίαν, εἰς τὴν πόλιν ἑαυτῶν "Ναζαρὲτ," ἐπειδὴ εἰ καὶ ἡ Βηθλεὲμ ἦν αὐτῶν πόλις, ἀλλὰ καὶ τὴν Ναζαρὲτ πόλιν ἑαυτῶν ἐπεγράφοντο, ὡς ἐκεῖ τὴν οἴκησιν αὐτῶν πηξάμενοι.

Κυρίλλου Ἀλεξανδρείας. Ἄθρει δή μοι τῆς οἰκονομίας τὸ βάθος, ἀνθρώπινον ὑπομένει τόκον· καί τοι τὸ ἄναρχον ἐν χρόνῳ θεϊκῶς ἔχων ὁ Λόγος· ἐν αὐξήσει σώματος, ὁ παντέλειος ὡς Θεὸς, ἐν ἁδρότητι μελῶν ὁ ἀσώματος· πληροῦται σοφίας αὐτὸς ὢν ἡ πᾶσα σοφία. καὶ πρὸς τοῦτο φαμὲν, ὅρα διὰ τούτων τὸν ἐν μορφῇ τοῦ Πατρὸς, ἐν ὁμοιώσει τῇ πρὸς ἡμᾶς, τὸν πλούσιον, ἐν πτωχείᾳ, ἐν ταπεινώσει τὸν ὑψηλὸν, τὸν τὸ πλῆρες ἔχοντα θεϊκῶς ἐν τῷ λέγεσθαι λαβεῖν, οὕτω κεκένωκεν ἑαυτὸν Θεὸς ὢν ὁ Λόγος· τὰ γὰρ ἀνθρωπίνως περὶ αὐτοῦ γεγραμμένα τὸν τῆς κενώσεως διαδείκνυσι τρόπον. οὐ γάρ ἐστι τῶν ἐνδεχομένων εἰς ἰδίαν φύσιν ὑποστῆναί τι τοιοῦτον ἐκ τοῦ Θεοῦ Πατρὸς φύντα Λόγον. Γέγονε δὲ σὰρξ, ἤγουν ἄνθρωπος καθ' ἡμᾶς· τίκτεται ἐκ γυναικὸς κατὰ σάρκα τὰ ἀνθρώπινα ὑπομεμενηκώς. ἦν μὲν γὰρ ἱκανὸς ὁ Θεὸς ὢν ὁ Λόγος, εἰς μέτρον ἀνδρὸς τελείου καὶ ἐκ μητρὸς αὐτῆς τὴν ἰδίαν ἀναβιβάσας σάρκα. ἀλλ' οὐκ ἦν μακρὸν τερατοποιήσας τὸ

δρώμενον. Ἐπεὶ δὲ οὐκ ἄσαρκος ἀλλὰ σεσαρκωμένος εἰσαγαγὼν τὸν Θεὸν Λόγος, ὁ Εὐαγγελιστὴς ἔφη, "ηὔξανε καὶ ἐκραταιοῦτο," καὶ τὰ ἑξῆς. διὰ τοῦτο περὶ τὸν κατὰ σάρκα χρὴ νοεῖν ταῦτα· σωματικῶς γὰρ ηὔξανε καὶ ἐκραταιοῦτο, τῶν μελῶν συναδρυνομένων τῇ αὐξήσει. Ἐπληροῦτο δὲ σοφίας καὶ χάριτος, οὐκ ἐν τῷ προλαμβάνειν· ἀεὶ γὰρ τὸ πλῆρες εἶχεν ὡς Θεὸς, ἀλλὰ τοῦ Θεοῦ Λόγου τῇ τοῦ σώματος ἡλικίᾳ συνεκτείνοντο κατὰ βραχὺ τῆς σοφίας καὶ τῆς χάριτος τὴν ἔκφανσιν. Ἐπερωτᾷ δὲ τοὺς διδασκάλους ὁ Κύριος τὰ τοῦ νόμου πάντως, καὶ τὰ νομικὰ παραγγέλματα. καὶ ᾔδει μὲν ἡ παναγία Θεοτόκος μὴ τέκνον αὐτὸν εἶναι τοῦ Ἰωσὴφ, ἀλλὰ διὰ τὴν ὑποψίαν τῶν Ἰουδαίων νομιζόντων ἐκ πορνείας αὐτὸν γεγενῆσθαι, φησὶ πρὸς αὐτὸν, ὅτι "ἰδοὺ ὁ πατὴρ "σοῦ κἀγὼ ὀδυνώμενοι ἐζητοῦμέν σε."

Τοῦ ἁγίου Κυρίλλου Ἀλεξανδρείας. Εἰπὼν ὁ Εὐαγγελιστὴς, ὅτι "προέκοπτε σοφίᾳ καὶ χάριτι παρά τε Θεῷ καὶ ἀνθρώ"ποις," δείκνυσι τὸν ἑαυτοῦ λόγον ἀληθῆ. Ἀποφέρει γὰρ αὐτὸν εἰς Ἱερουσαλὴμ, ἅμα τῇ ἁγίᾳ παρθένῳ, ἑορτῆς εἰς τοῦτο καλούσης, εἶτά φησιν, ἀπομεῖναι μὲν αὐτὸν, ἐγκαταλειφθῆναι δὲ μετὰ ταῦτα ἐν τῷ ἱερῷ μεταξὺ τῶν διδασκάλων καθήμενον, ἐρωτῶντα δὲ καὶ ἀποκρινόμενον, δῆλον δὲ ὅτι τὰ πάλαι τῷ νόμῳ διηγορευμένα· εἶτα θαυμαζόμενος ὑπὸ πάντων ἐπὶ ταῖς ἐρωτήσεσι καὶ ταῖς ἀπολογίαις. Ὁρᾷς ἐν σοφίᾳ καὶ χάριτι προκόπτοντα, διὰ τοῦ γινώσκεσθαι πολλοῖς, ὅτι τοιοῦτός ἐστι.

Ὠριγένους. Ὁ μακάριος Λουκᾶς ὅσα φῶς ἡμῖν παραστήσας ὅτι παρθένου υἱὸς ὁ Σωτὴρ ἦν, οὐκ ἐξ ἀνδρός. Πρὸς τί οὖν πατέρα εἶπε τὸν μὴ σπείραντα μηδὲ αἴτιον αὐτῷ γενόμενον τῆς γενέσεως; Ἁπλούστερον μὲν λέγοιτο ἂν, ὅτι εἰ ἐτίμησεν αὐτὸν τὸ Πνεῦμα τὸ Ἅγιον τῇ τοῦ πατρὸς προσηγορίᾳ, ἐπειδήπερ ἀνεθρέψατο αὐτόν· εἰ δὲ δεῖ τι εἰπεῖν καὶ βαθύτερον, ἐροῦμεν, ἐπεὶ ἡ γενεαλογία ἐγενεαλόγησε τὸν Ἰωσὴφ ἀπὸ Δαβίδ· ἔδοξε δὲ περιττὴ εἶναι ἡ γενεαλογία ἐρχομένη ἐπὶ τὸν Ἰωσὴφ μὴ γεννήσαντα τὸν Σωτῆρα. ἵνα ἡ γενεαλογία λόγον ἔχῃ ἐπιτήδειον, πατὴρ ἀνηγορεύθη Ἰωσὴφ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

44 Ἆρα δὲ ὅτι ἀπόλωλεν ὡς παῖς, κατεζήτουν, ἢ ὅτι πεπλάνηται;

ἄπαγε. οὔτε γὰρ τῆς πανσόφου θεοτόκου Μαρίας ἦν τοῦτο, τῆς μυρίας δεξαμένης περὶ αὐτοῦ θείας ἀποκαλύψεις, οὐδὲ τοῦ Ἰωσήφ· ἀλλ' ὥσπερ ἐάν τις ζητῇ γραφὴν, ὀδυνωμένως αὐτὴν ζητεῖ, οὐχ ὥσπερ πλανημένην οὐδὲ ὡς ἐσφαλμένην, ἀλλ' ὡς ἔχουσαν μὲν τὸν ἀληθῆ καὶ μυστικὸν λόγον, μήπως δὲ πεφανερωμένην, οὕτω κακεῖνοι ἐζήτουν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, μήπως ἀπέστη ἀπ' αὐτῶν, μήπως καταλέλοιπεν αὐτούς· ὁ δὲ Κύριος ἡμῶν καὶ Θεὸς ἀφεὶς ἀνθρωπίνην δοῦναι ἀπόκρισιν, θείας ἅπτεται ἀποκρίσεως, παρεμφαίνων ὅτι Θεὸς εἴη σεσαρκωμένος. Ἐπειδὴ γὰρ ἡ παρθένος καὶ θεοτόκος τὸν ἐπικληθέντα αὐτοῦ πατέρα Ἰωσὴφ ἔλεγεν αὐτοῦ πατέρα, αὐτός φησιν, ὅτι ἐμὸς πατὴρ, οὐχ ὁ Ἰωσὴφ, ἀλλ' ὁ Θεὸς, ὅτι ὁ τοῦ ναοῦ δεσπότης· εἰς τὸν ναὸν γὰρ τοῦ Θεοῦ ὢν, ἔφη, "οὐκ ᾔδειτε, ὅτι ἐν τοῖς τοῦ Πατρός μου δεῖ εἶναί με;" οὐ συνῆκαν δὲ τὸ ῥῆμα οἱ περὶ τὴν ἁγίαν θεοτόκον, ὃ ἐλάλησεν αὐτοῖς ὁ Κύριος, ἐπειδὴ οὐκ ἦν ἀνθρωπίνης διανοίας τὸ οὕτω λεπτὸν συνιδεῖν μυστήριον.

51 Διὰ τοῦτο δὲ "ἦν ὑποτασσόμενος αὐτοῖς," παράδειγμα διδοὺς πᾶσιν υἱοῖς, ἵνα τιμῶσι τοὺς ἑαυτῶν γονεῖς καὶ ὑποτάσσεσθαι αὐτοῖς. Διετήρει δὲ ἡ μήτηρ αὐτοῦ ἡ παναγία παρθένος καὶ θεοτόκος, ποῖα ῥήματα; ὅσα ὁ Ἄγγελος εἶπεν, ὅσα οἱ ποιμένες, ὅσα Συμεὼν καὶ ἡ Ἄννα, καὶ ὅσα νῦν αὐτὸς πρὸς αὐτούς· εἰ γὰρ καὶ μὴ τελείως ἔγνωσαν τὰ εἰρημένα παρ' αὐτοῦ, πλὴν συνῆκεν ἡ παναγία θεοτόκος, ὅτι θεῖα ὑπῆρχον καὶ ὑπὲρ αὐτῶν. οὐδὲ γὰρ ὡς παιδίου ἤκουσε δωδεκαετοῦς, ἀλλ' ἐτήρει τὰ ῥήματα ὡς τελείου. Πάλιν πρὸς τὴν αὔξησιν τοῦ σώματος προκοπὴν λέγει ὁ Εὐαγγελιστὴς, τουτέστι ὅτι καὶ ὁ Ἰησοῦς προέκοπτεν, ὥσπερ ὁ πολλοῖς ἐν γνώσει κατὰ προσθήκην γενόμενος τῆς περὶ αὐτοῦ θεοπρεποῦς ὑπολήψεως, ἣν σὺν εὐδοκίᾳ τοῦ Πατρὸς ἐπεδείκνυτο, συμπροσόντων τῶν χρόνων τῆς ἡλικίας, τὴν ἔλλαμψιν τῆς θεότητος.

ΚΕΦ. Ε.

Περὶ τοῦ γενομένου ῥήματος πρὸς Ἰωάννην.

1 Μέμνηται δὲ δικαίως τοῦ χρόνου καὶ τῶν ἀρχόντων λέγων ὁ Εὐαγγελιστὴς "ἐν ἔτει πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου

“Καίσαρος,” καὶ τὰ ἑξῆς, ἵνα γνῶμεν ὅτι ἐν τοῖς τῆς ἐνανθρωπήσεως χρόνοις τοῦ Κυρίου ἡμῶν καὶ Θεοῦ Ἰησοῦ Χριστοῦ, ἐκλελοίπει καθόλου ἄρχων καὶ ἡγούμενος ἐξ Ἰουδαίων. ἀλλόφυλοι δὲ ἦρχον, Ῥωμαίων μὲν, οἱ δὲ λοιποὶ Ἡρώδου υἱοὶ, Ἀσκαλωνίτης τὸ γένος, “ἦλθε γὰρ ᾧτινι τὸ ἄρχειν ἀπόκειται,” τουτέστι Χριστῷ τῷ Θεῷ ἡμῶν. Ἐξέλιπον δὲ οἱ Ἰουδαίων ἄρχοντες κατὰ τοὺς λόγους Ἰακὼβ τοῦ πατριάρχου.

2 Τὸ δὲ εἰπεῖν “ἐγένετο ῥῆμα Θεοῦ ἐπὶ Ἰωάννην” δείκνυσιν ὅτι οὐκ ἀφ᾽ ἑαυτοῦ ἦλθεν, ἀλλὰ παρὰ Θεοῦ ἀποσταλεὶς, ὅθεν καὶ τοσαῦτα περὶ τὸν Ἰωάννην ἐξ ἀρχῆς ᾠκονομήθη διὰ ταύτην τὴν διακονίαν. Ἔδει γὰρ καὶ τὸν πρόδρομον τοῦ Χριστοῦ ἀξιάγαστον εἶναι. Διὰ τί δὲ ἐγένετο ῥῆμα Θεοῦ πρὸς Ἰωάννην ἐν τῇ ἐρήμῳ; διά τινα μυστικὴν θεωρίαν. Ἐπειδὴ γὰρ ἔμελλε πολλὰ τὰ τέκνα αὐτῆς ἐρημωθείσης μᾶλλον εἶναι ἢ περὶ τῆς ἐχούσης τὸν ἄνδρα, τούτου χάριν τοῦτο γέγονε. Εἰ γὰρ μὴ τοῦτο ἦν, ἐκπερισσῶς ἐποίει κηρύσσων ἐν τῇ ἐρήμῳ. Ἐκήρυσσε δὲ βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν. Τὸ μὲν γὰρ Θεῷ βάπτισμα τελείως ἔχει ἄφεσιν ἁμαρτιῶν ἐξ αὐτοῦ τοῦ βαπτίζεσθαι, τὸ δὲ Ἰωάννου εἰς αὐτὸ μὲν εἶχεν ἄφεσιν ἁμαρτιῶν, διὰ μετανοίας δὲ, ἀτελὴς γὰρ ἦν, εἰ καὶ τῶν Ἰουδαϊκῶν βαπτισμάτων τελειότερον ὑπῆρχεν· ἐποίει γὰρ αὐτοὺς ἐπιτηδείους μετάνοια, καὶ δεκτικοὺς αὐτῆς γενέσθαι παρεσκεύαζε τοὺς βαπτιζομένους.

4 Ἐπειδὴ δὲ ὁ Ἰωάννης πρόδρομος ἦν τοῦ Χριστοῦ, φωνὴ ἦν ὁ λόγος, προέδραμεν ἡ φωνὴ τὸν λόγον. διὰ τοῦτο καὶ ὡς οὔπω παρόντος τοῦ Κυρίου, “ἑτοιμάσατε,” φησὶ, “τὴν ὁδὸν αὐτοῦ,” τουτέστι, εὐτρεπίσθητε πρὸς παραδοχὴν ὧν ἂν βούλοιτο νομοθετεῖν, τῶν τοῦ νόμου σκιῶν ἀφιστάμενοι. Εὐθείας δὲ ποιεῖ τὰς τρίβους τοῦ Θεοῦ ὁ διὰ δικαιοσύνης αὐτὴν ὁδεύων· σκολιὰ γὰρ ἡ κακία. Τὸ δὲ “πᾶσα φάραγξ πληρωθήσεται” καὶ τὰ ἑξῆς, ὡς πρὸς ἀντίθεσιν ἐστί· καὶ οἱονεὶ ἀμφιβάλλοντός τινος ἡ προφητεία ἀποκρίνεται. Ἐπειδὴ γὰρ εἶπεν, “ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, “εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ,” ἀνάντης δὲ καὶ τραχεῖα ἡ ἀρετὴ καὶ δυσδιάβατος, καὶ ἐμποδιζομένη, πρῶτον μὲν ἀπὸ τῶν πονηρῶν πνευμάτων, ἔπειτα δὲ καὶ ἀπὸ τῶν φυσικῶν καὶ ἔξωθεν παθῶν, ὡς λέγοντός τινος τῷ προφήτῃ πῶς ἐνδέχεται

κατορθοῦσαι ἀρετὴν, τοσούτων ὄντων κωλυμάτων, αὐτὸς ἀποκριθεὶς λέγει, ὅτι πᾶν τὸ πρὸς τὸν τῆς ἀρετῆς δρόμον ἐμποδίζον διορθωθήσεται ὑπὸ τοῦ Χριστοῦ· κἂν φάραγξ τις εἴη, καὶ διὰ τοῦτο ὑπάρχει δύσβατος, πληρωθήσεται πρὸς δεξίωσιν· κἂν ὄρος τις εἴη καὶ βουνὸς, καὶ διὰ τοῦτό ἐστι δυσπόρευτος, ταπεινωθήσεται εἰς ὁδὸν εὐθεῖαν, καὶ πάντα ἔσται εὐθεῖα.

Ἄλλως. Φάραγγας δὲ καὶ ὄρη καὶ βουνοὺς τὰ πάθη καλεῖ, καὶ τὰς τῶν δαιμόνων ἀντιστάσεις. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν, ὅτι πάντα ὅσα τὴν ἀρετὴν καὶ τὴν τοῦ Θεοῦ ὁδὸν δύσβατον ποιεῖ, καταργηθήσεται ὑπὸ Χριστοῦ, ὡς γενέσθαι λεῖα πάντα τοῖς ὁδεύειν βουλομένοις· λεῖα δὲ γέγονεν οὕτως, ἐπειδήπερ τὸν μὲν Σατανᾶν κατήργησεν ὁ Χριστὸς, καὶ ὑπὸ τοὺς πόδας τῶν δούλων αὐτοῦ τέθεικε. Τὰ δὲ τῆς σαρκὸς πάθη ἐν ἑαυτῷ κατεύνασε καὶ κατήργησε.

6 Δεῖξαι δὲ θέλων, ὅτι οὐκέτι Ἰουδαῖοι οὔτε προσήλυτοι μόνον, ἀλλὰ καὶ πᾶσα ἡ τῶν ἀνθρώπων φύσις τῆς φιλανθρωπίας ἀπολαύσει τοῦ Θεοῦ, φησὶ "καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον "τοῦ Θεοῦ," τουτέστιν, ὅτι πρὸς τὰ πέρατα τῆς γῆς κηρυχθήσεται τῶν Εὐαγγελίων τούτων ἡ δύναμις καὶ ἡ γνῶσις, ἀπὸ θηριώδους τρόπου καὶ σκληροτάτης γνώμης εἰς ἡμερότητα πολλὴν καὶ πραότητα μεταβάλλουσα τὸ τῶν ἀνθρώπων γένος. καὶ γὰρ διὰ τῶν σκολιῶν πάντα τὸν διεφθαρμένον βίον ᾐνίξατο, τουτέστι, τελώνας, καὶ πόρνας καὶ λῃστὰς καὶ μάγους, οἵτινες ὄντες διεστραμμένοι πρότερον, τὴν ὀρθὴν ὕστερον ἐβάδισαν ὁδόν· ὅπερ οὖν αὐτὸς ἔλεγε τοῖς Ἰουδαίοις, "ὅτι τελῶναι καὶ πόρναι προάγουσιν "ὑμᾶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν."

Τὸ "ἔλεγεν οὖν τοῖς ἐκπορευομένοις ὄχλοις" ἕως "καὶ εἰς πῦρ "βάλλεται," προεγράφη εἰς τὸ κατὰ Ματθαῖον.

ΚΕΦ. Ϛ.

Περὶ τῶν ἐπερωτησάντων τὸν Ἰωάννην.

Ἐρωτηθεὶς δὲ ὁ Ἰωάννης παρὰ τῶν ὄχλων τὸ τί ποιήσομεν; αὐτὸς καθάπερ τις ἐπιστήμων ἰατρὸς ἑκάστῳ τὸ πρόσφορον τέθεικε βοήθημα, τοῖς μὲν ὄχλοις φιλαλλήλῳ φρονήματι κεχρῆσθαι κε-

λεύων, τελώναις δὲ τὴν εἰς ἀκαθέκτους πλεονεξίας ἀποκλείων ὁδὸν, τοῖς γε μὴν στρατιώταις τὸ μηδένα διασείειν πανσοφῶς ἐπιφωνῶν· οὐδένα γὰρ ἀποβάλλεται Θεὸς, ὀρθῶς καὶ δικαίως πολιτευόμενον· οὕτω δὲ ἦν μέγας καὶ ἀξιάγαστος ὡς εἰς ὑπονοίας ἐλθεῖν τοὺς τῶν Ἰουδαίων δήμους, μὴ ἄραγε αὐτὸς εἴη ὁ Χριστὸς, ὁ ὑπὸ προφητῶν ἁγίων προκεκηρυγμένος. αὐτὸς δὲ τὴν τοιαύτην αὐτῶν ὑποψίαν ἀποκόπτων ἔλεγεν· "ἐγὼ μὲν ὕδατι βαπτίζω ὑμᾶς," καὶ τὰ ἑξῆς, ἕως "κατακαύσει πυρὶ ἀσβέστῳ." προεγράφη εἰς τὸ κατὰ Ματθαῖον.

Ὠριγένους. Τρία τάγματα εἰσήγαγε, πυνθανομένου τοῦ Ἰωάννου, ἓν μὲν, ὠνόμασεν ὄχλους ἐκπορευομένους ἐπὶ τὸ βάπτισμα, ἄλλο δὲ ὠνόμασε τελώνας, τρίτον δὲ ὠνόμασε στρατιώτας.

Τοῦ αὐτοῦ. Γενόμενος ἐγὼ κατὰ τὸν τόπον τοῦτον, ἐπήτουν, εἰ αὐτὴ ἡ ἐντολὴ, ὅσον ἐπὶ τῶν ῥητῶν τῷ ὄχλῳ, ἁρμόζει· "ὁ ἔχων "δύο χιτῶνας, μεταδότω τῷ μὴ ἔχοντι·" ὅτι γὰρ τοῖς Ἀποστόλοις ἁρμόζει, δῆλον ἐκ τῶν ἀναγραφόντων, ὡς ὑπὸ τοῦ Σωτῆρος πρὸς αὐτοὺς εἰρημένον, ἐν οἷς ἔλεγεν αὐτοῖς, "μηδὲ δύο χιτῶνας εἰς "ὁδὸν ἆραι," ἀλλ' ὅρα, εἰ τὰ εἰρημένα περὶ ἐνδύματος ἐν τῷ λόγῳ τῷ περὶ τῆς γυμνότητος δύνασαι παραλαβεῖν εἰς τὸ "ὁ "ἔχων δύο χιτῶνας μεταδότω τῷ μὴ ἔχοντι." θέλει γὰρ ἡμᾶς ὡς μηδὲ δύο χιτῶνας ἔχειν, καὶ ἐνδεδύσθαι, πῆ μὲν τὸ παλαιὸν, πῆ δὲ τὸ νέον· ἀλλ' ἐκδύσασθαι μὲν τὸ ἕτερον, τὸ δὲ ἕτερον ἔχειν. ἅμα δὲ ἐζήτουν τὸ "μεταδότω τῷ μὴ ἔχοντι." Τίς δέ ἐστιν ὁ μὴ ἔνδυμα ἔχων περὶ τὸν χρῶτα καὶ μὴ εὐσκεπασμένον ὥστε αὐτῷ μεταδιδόναι; οὐ τοῦτο λέγω, ὅτι οὐ δύναται καὶ καθ' ὑπερβολὴν τοῦτο προτρεπτικὸν εἶναι πρὸς τὸ δεῖν ἐνδύειν τοὺς πένητας καὶ μὴ ἀμελεῖν τῆς ἐντολῆς.

18 Εἰπὼν δὲ ὅτι πολλὰ μὲν οὖν καὶ ἕτερα παρακαλῶν εὐηγγελίζετο τὸν λαὸν, ἔδειξεν ὅτι ὁ τὸν λόγον τοῦ Εὐαγγελίου διδάσκων, πολλὰ σωτήρια εὐαγγελίζεται διδάγματα.

Τὸ δὲ ἐπαγόμενον, ὅτι "Ἡρώδης τετράρχης ἐλεγχόμενος ὑπ' "αὐτοῦ" καὶ τὰ ἑξῆς ἕως "ἐν τῇ φυλακῇ" προεγράφη εἰς τὸ κατὰ Ματθαῖον. ὁμοίως δὲ καὶ περὶ τοῦ βαπτισμοῦ.

19 Ὁ δὲ Ἡρώδης ὁ τετράρχης, ἐλεγχόμενος ὑπ' αὐτοῦ.

Ὠριγένους. Οὗτος παρανόμως ἔγημε τὴν γυναῖκα τοῦ ἀδελ-

φοῦ αὐτοῦ παρὰ τὸν Μωϋσέως νόμον· ἀλλ᾽ ὁ ἀκατάπληκτος Ἰωάννης ὁ μηδενὸς πρόσωπον λαμβάνων, οὐ φοβηθεὶς τὴν βασιλικὴν ἐξουσίαν, οὐδὲ ἧττον πληρῶν προφητικὴν παῤῥησίαν, ἤλεγξε τὸν Ἡρώδη ἐπὶ τῇ παρανόμῳ τοῦ γάμου, καὶ κατεκλείσθη εἰς φυλακὴν, καὶ μὴ μεριμνῶν θάνατον, ἐμερίμνα περὶ Χριστοῦ.

23 Καὶ αὐτὸς ἦν ὁ Ἰησοῦς ὡσεὶ ἐτῶν τριάκοντα ἀρχόμενος.

Τριακονταέτης δὲ ἐπὶ τὸ βάπτισμα παρεγένετο, ἐπειδὴ μεμαρτυρημένη ἐστὶν ἡ ἡλικία αὕτη, ὥστε μέγα οὖσα, ἅμα δὲ καὶ ἵνα δείξῃ, ὅτι τελείους ἄνδρας ἀποτίκτει κατὰ τὴν νοητὴν ἡλικίαν ἡ πνευματικὴ αν   οὕτω γὰρ καὶ ὁ πρῶτος ἄνθρωπος τέλειος ἐπλάσθη, καὶ εὐθέως ἐν τῷ παραδείσῳ τεθεὶς, ὡς τέλειος ἐντολὴν καὶ νόμον ἔλαβε, καὶ ἐπετρέπετο τοῦ παραδείσου τὴν ἐργασίαν καὶ φυλακήν.

Περὶ τὴν κατὰ σάρκα γέννησιν τοῦ δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὸ τὸν μὲν Ματθαῖον ἀπὸ Σολομῶντος αὐτὸν γενεαλογεῖν, καὶ φθάνειν εἰς τὸν Ματθαῖον καὶ Ἰακὼβ καὶ Ἰωσὴφ, καὶ ἀμφιβόλως ἕκαστον αὐτῶν, ἕτερον δὲ καὶ ἔτι καταλέγειν γένος· καὶ δοκεῖ τῶν ἀδυνάτων εἶναι τὸν Ἰωσὴφ τὸν νομισθέντα ἄνδρά τῆς παναγίας θεοτόκου καὶ ἀεὶ παρθένου Μαρίας, τόν τε Ἰακὼβ καὶ τὸν Ἠλὶ ἐσχηκέναι πατέρα· ἀλλὰ κατανοήσας μὲν τὴν λύσιν τῆς δοκούσης διαφωνίας. τρίτος ἀπὸ τέλους κατὰ τὴν τοῦ Ματθαίου γενεαλογίαν ἐστὶν ὁ Ματθαῖος, πέμπτος δὲ ἀπὸ τέλους, κατὰ τὴν τοῦ Λουκᾶ ὁ Μελχί· τούτων τῶν δύο κατὰ διαφόρους χρόνους, γαμετὴ γέγονεν ἡ Ἐσθᾶν· τοῦ γὰρ Ματθᾶν προειληφότος αὐτὴν καὶ παιδοποιήσαντος ἐξ αὐτῆς τὸν Ἰακὼβ, καὶ τελευτήσαντος, χήραν αὐτὴν οὖσαν, ἐκ τῆς αὐτῆς ὢν φυλῆς, ἄλλης δὲ συγγενείας, ἠγάγετο ὁ Μελχὶ, καὶ ἐπαιδοποίησεν ἐξ αὐτῆς τὸν Ἠλί. ὁ δὲ Ἰακὼβ τοιγαροῦν καὶ ὁ Ἠλὶ ὁμομήτριοι τυγχάνουσιν ἀδελφοὶ ἐκ τῆς Ἐσθᾶν. εἰς Ἐσθᾶν[c] δὲ τοῦ Ἠλὶ γυναῖκα καὶ ἀτέκνου τελευτήσαντος, κατὰ τὸν νόμον εἰσῆλθε πρὸς αὐτὴν ὁ Ἰακὼβ, ὡς ἀδελφὸς παιδοποιήσας τῷ τελευτήσαντι ἀδελφῷ τῷ Ἠλί· ἐπαιδοποίησεν οὖν τὸν

[c] εἰσθᾶν Cod.

Ἰωσὴφ, καὶ ηὑρέθη ὁ Ἰωσὴφ, υἱὸς μὲν ὢν τῇ φύσει τοῦ Ἰακὼβ, νόμῳ δὲ τοῦ Ἠλὶ, καὶ τὸ γένος ὅθεν ὁ Ἰακὼβ κατάγεται. ὅδε γε Λουκᾶς τὸν κατὰ νόμον λέγων πατέρα τοῦ Ἰωσὴφ τὸν Ἠλὶ κατάγεται· προσηκόντως δὲ ὁ μὲν τοῦ κατὰ φύσιν, ὁ δὲ τοῦ κατὰ νόμον πατρὸς μέμνηται· ἵνα δείξωσιν, ὅτι ἐξ ἀμφοτέρων τῶν πατρῶν, τοῦ τε κατὰ τὸν νόμον, τοῦ τε κατὰ τὴν φύσιν, εἰς τὸν Δαβὶδ ἀνατρέχει τὸ γένος· ὅθεν τῶν δύο πατέρων εἰς τὸν Δαβὶδ ἀνατρεχόντων, καὶ Ἰουδαίων καὶ Ἑλλήνων πᾶσι περιείρηται ἀμφισβήτησις καὶ ἅπαν σκάνδαλον.

Τοῦ ἁγίου Κυρίλλου. Βαπτίζεται δὲ ὁ Ἰησοῦς, εὐλογῶν τὰ ὕδατα καὶ καθαίρων αὐτὰ ὑπὲρ ἡμῶν. Ἅγιος γάρ ἐστιν Ἁγίων ὁ Μονογενὴς τοῦ Θεοῦ Λόγος, καὶ οὐκ ἂν αὐτὸς ἐδεήθη τοῦ ἁγίου βαπτίσματος, οὐδὲ ἀφέσεως ἁμαρτιῶν τυχεῖν, ὥσπερ ἡμεῖς κερδαίνομεν δι' αὐτοῦ.

Ἀνοίγει τοὺς οὐρανοὺς, οὓς ἔκλεισεν ὁ πρῶτος Ἀδὰμ, δηλῶν ὡς ἡ τοῦ βαπτίσματος δύναμις ἄνοδός ἐστιν εἰς τὸν οὐρανόν· ἡμῖν γὰρ ἅπαντα ἔπραττεν ὁ οὐράνιος τοῦ ἁγιασμοῦ καὶ τῆς ἡμετέρας λυτρώσεως ἀπαρχόμενος. οὕτω καὶ τὸ Πνεῦμα δι' ἡμᾶς κάτεισιν εἰς αὐτόν· Πνεῦμα δὲ οὐχ ἓν τῶν λειτουργικῶν πνευμάτων, ἀλλὰ τὸ αὐτοῦ τοῦ Θεοῦ, τὸ ὁμοούσιον καὶ συμβασιλεῦον αὐτῷ καὶ τῷ Πατρί.

Εἶδέ φησι, πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν, ἵνα δειχθείη σαφῶς ὡς εἷς ἐστιν ὁ τῆς παλαιᾶς καὶ καινῆς διαθήκης Θεός· καὶ εἰς ὑπόμνησιν ἀγάγῃ τοῦ ἐπὶ Νῶε κατακλυσμοῦ. Ὥσπερ γὰρ τότε περιστερὰ τὴν κατάπαυσιν εὐηγγελίσατο τῆς ὀργῆς τοῦ Θεοῦ, οὕτω καὶ νῦν περιστερὰν εἶδον, μηνύει τὸν τῆς ἁμαρτίας κατακλυσμὸν καὶ τὴν τοῦ κόσμου διαλλαγήν.

Ὁ ἐν ἡμῖν πρωτότοκος γέγονεν ἐν πολλοῖς ἀδελφοῖς, καθεὶς ἑαυτὸν εἰς κένωσιν, δέχεται πρῶτος τὸ Πνεῦμα· καίτοι τοῦ Πνεύματος δοτὴρ ὑπάρχων αὐτὸς, ἵνα καὶ εἰς ἡμᾶς ἔρχηται δι' αὐτοῦ τὸ ἀξίωμα, καὶ τῆς πρὸς τὸ Ἅγιον Πνεῦμα κοινωνίας ἡ χάρις, τοιοῦτόν τι καὶ ὁ Παῦλος διδάσκει ἡμᾶς λέγων, περί τε αὐτοῦ καὶ ἡμῶν· "ὅ τε γὰρ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες, "δι' ἣν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων, ἀπαγ-"γελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου."

ΚΕΦ. Ζ.

Περὶ τοῦ πειρασμοῦ τοῦ Σωτῆρος.

1 Ἰησοῦς δὲ Πνεύματος Ἁγίου πλήρης ὑπέστρεψεν ἀπὸ τοῦ Ἰορδάνου. καὶ ἤγετο ἐν τῷ Πνεύματι εἰς τὴν ἔρημον ἡμέρας τεσσαράκοντα.

Τοῦ αὐτοῦ. Τί οὖν ἄρα τὸ "ἤγετο;" ἔστιν οὐ τὸ ἀπεφέρετο μᾶλλον, ἀλλ᾽ ὅτι διῆγε καὶ ἐπολιτεύετο. κατηθίσμεθα γὰρ πῶς καὶ ἡμεῖς αὐτοὶ περὶ παντὸς τοῦτο ἐν ἐπιεικείᾳ λέγειν, ὁ δεῖνα τυχεῖν[a], καλῶς ἑαυτὸν ἄγει. ἐπολιτεύετο τοίνυν ἐν τῇ ἐρήμῳ ἐν πνεύματι, τουτέστι πνευματικῶς· νενήστευκε γὰρ, οὐδὲν παντελῶς τῇ τοῦ σώματος χρείᾳ διδοὺς εἰς τροφήν· οὐκ αὐτὸς νηστείας προσδεόμενος, ἀλλὰ τύπον ἡμῖν τὰ καθ᾽ ἑαυτὸν εἰς ὑπογραμμὴν ἀνατιθεὶς, καὶ εἰκόνα ποιούμενος τῆς παρ᾽ ἡμῖν ἐξαιρέτου καὶ τεθαυμασμένης ζωῆς. τὸ δὲ ἐν τῇ ἐρήμῳ διαιτᾶσθαι ἀναγκαῖον καὶ χρήσιμόν ἐστιν. ἀποφοιτῶντες γὰρ τῶν εἰκαίων τοῦ παρόντος βίου, περισπασμῶν καὶ κυμάτων καὶ ζάλης ἀπηλλάγμεθα, καὶ τὴν ἡδονὴν ἀπονεκροῦντες, κρείττονες τοῦ πειράζοντος Σατανᾶ ἐσόμεθα.

Κυρίλλου Ἀλεξανδρείας. Ἐνταῦθά μοι βλέπε τὴν τοῦ ἀνθρώπου φύσιν, καὶ ἐν ἀπαρχῇ τῷ Χριστῷ τῇ τοῦ Ἁγίου Πνεύματος χάριτι κατακεχρισμένην, καὶ ταῖς ἀνωτάτω τιμαῖς ἐστεφανωμένην· πάλαι μὲν γὰρ ὑπισχνεῖτο ὁ τῶν ὅλων Θεὸς, λέγων, "ὅτι ἔσται ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός "μου ἐπὶ πᾶσαν σάρκα." πεπλήρωται δὲ εἰς ἡμᾶς ὡς ἐν πρώτῳ χρόνῳ τὸ ἐπηγγελμένον, καὶ περὶ μὲν τῶν ἀρχαιοτέρων ἀκαθέκτως ἐκκεκλικότων εἰς φιλοσαρκίαν ἔφη ποῦ Χριστὸς, "οὐ μὴ κατα-"μείνῃ τὸ Πνεῦμα ἐν τοῖς ἀνθρώποις τούτοις διὰ τὸ εἶναι αὐτοὺς σάρκας." Ἐπειδὴ δὲ πάντα γέγονεν ἐν Χριστῷ καινὰ, καὶ τὴν διὰ Πνεύματός τε καὶ ὕδατος ἀναγέννησιν πεπλουτήκαμεν, χρηματίζομεν δὲ οὐκέτι σαρκὸς καὶ αἵματος τέκνα, πατέρα δὲ μᾶλλον καλοῦμεν τὸν Θεόν· ταύτῃ τοι καὶ μάλα εἰκότως, ὥστε ὡς τετιμημένοι λοιπὸν καὶ τὸ λαμπρὸν ἔχοντες τῆς υἱοθεσίας καύχημα, θείας φύσεως γεγόναμεν κοινωνοὶ, διὰ μετοχῆς τοῦ Ἁγίου Πνεύ-

[a] Leg. fors. τυχόν.

ματος· ὁ δ' ἐν ἡμῖν πρωτότοκος, ὅτε γέγονεν ἐν πολλοῖς ἀδελφοῖς, καθεὶς ἑαυτὸν εἰς κένωσιν, δέχεται πρῶτον τὸ Πνεῦμα, καί τοι τοῦ Πνεύματος δοτὴρ ὑπάρχων αὐτὸς, ἵνα καὶ εἰς ἡμᾶς ἔρχηται δι' αὐτοῦ τὸ ἀξίωμα, καὶ τῆς πρὸς τὸ Ἅγιον Πνεῦμα κοινωνίας ἡ χάρις. Τοιοῦτόν τι καὶ ὁ Παῦλος διδάσκει ἡμᾶς λέγων περί τε αὐτοῦ καὶ ἡμῶν· "ὅ τε γὰρ ἁγιάζων καὶ ἁγιαζόμενοι ἐξ ἑνὸς "πάντες· δι' ἣν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλῶν, λέγων, "ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου." Ἐπειδὴ γὰρ ὅλως οὐκ ἐπαισχύνεται καλῶν ἡμᾶς ἀδελφοὺς, διά τοι τὸ ὑπελθεῖν τὴν πρὸς ἡμᾶς ὁμοίωσιν, διὰ τοῦτο τὴν ἡμῶν εἰς ἑαυτὸν πτωχείαν μετατιθεὶς, ἁγιάζεται μεθ' ἡμῶν, καίτοι τὴν κτίσιν ἅπασαν ἁγιάζων αὐτὸς, ἵνα μὴ φαίνηται τὸ τῆς ἀνθρωπότητος παραιτούμενος μέτρον, ὁ τῆς ἁπάντων σωτηρίας καὶ ζωῆς ἄνθρωπος γενέσθαι μὴ φυγών. καὶ "ἐν ὁμοιώσει τῇ πρὸς ἡμᾶς γενόμενος τῇ κατὰ "πᾶν ὅτι οὖν, δίχα μόνης ἁμαρτίας."

3 Ἰωάννου τοῦ Χρυσοστόμου. *"Καὶ συντελεσθεισῶν αὐτῶν "ἐπείνασεν," οὐδὲ γὰρ νηστεύοντι ἀλλὰ πεινῶντι προσέρχεται, ἵνα σὺ μάθῃς, ἡλίκον νηστεία καλὸν, καὶ πῶς ὅπλον ἐστὶ κατὰ τοῦ διαβόλου μέγιστον, καὶ ὅτι μέγα λουτρὸν, οὐ τρυφῇ καὶ μέθῃ καὶ τραπέζῃ πληθούσῃ, ἀλλὰ νηστείᾳ προσέχειν δεῖ. Διὰ γὰρ τοῦτο καὶ αὐτὸς ἐνήστευσεν, οὐκ αὐτὸς ταύτης δεόμενος, ἀλλ' ἡμᾶς παιδεύων.*

Ὠριγένους. *Πάντα πειρασμὸν ὃν ἔμελλον οἱ ἄνθρωποι πειράζεσθαι, πρῶτον ἐπειράσθη κατὰ τὸ ἀνθρώπινον· ὃ δὲ λέγω, τοιοῦτόν ἐστιν· ἐὰν ἴδῃς τοὺς ἀπὸ τῶν αἱρέσεων ἐσθίοντας ὡς ἄρτον τὸν λόγον τὸν ψευδῆ, ἴσθι ὅτι ἐκεῖνος ὁ λόγος ὁ λίθος ἐστὶν, ὃν ὁ διάβολος δείκνυσιν, ἐπεὶ ποῖος ἦν πειρασμὸς τὸν λίθον γενέσθαι ἄρτον, καὶ τὸν Σωτῆρα φαγεῖν;*

4 *Διδάσκει δὲ διὰ τῆς λέξεως, ὅτι οὗτος μὲν, οὐ ῥῆμα Θεοῦ, τὸ δὲ τρέφον ῥῆμα καὶ τὸ ζωοποιοῦν· ἐπ' ἐκείνῳ γὰρ τῷ ῥήματι ζῇ ἄνθρωπος· ἅμα δὲ τήρει, ὅτι ταῦτα λέγει κατὰ τὸ ἀνθρώπινον, οὐ καθὸ Θεὸς ἦν. Ὡς γὰρ περὶ ἀνθρώπου ἀποκρίνεται καὶ λέγει, "γέγραπται, ὅτι οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος," δηλῶν ὅτι ὡς ἄνθρωπός ἐστι πειραζόμενος.*

5 *Εἰπὼν δὲ ὁ Εὐαγγελιστὴς, ὅτι "ἔδειξεν αὐτῷ πάσας τὰς*

"βασιλείας τῆς οἰκουμένης ἐν στιγμῇ χρόνου," ἀντὶ τοῦ διέγραψε τῷ λόγῳ τὴν οἰκουμένην, φησὶ, καὶ ὥσπερ τρόπον τινὰ ἐν τῇ διανοίᾳ αὐτοῦ ὑπεδείκνυεν ὡς ᾤετο. οὐδὲν ἠγνόει ὁ πάντα ποιήσας. εἰ γὰρ μὴ τοῦτό ἐστι, πῶς ἠδύνατο αὐτοὺς τοὺς τόπους εἰς ἕνα τόπον πρὸς θεωρίαν σωματικὴν ἀγαγεῖν, οἷον, φέρε εἰπεῖν, τὴν Περσῶν ἡγεμονίαν, ἢ τὴν Ἰνδῶν;

Τοῦ ἁγίου Γρηγορίου Νύσσης. Ὁ κατὰ πάντα κοινωνήσας ἡμῖν χωρὶς ἁμαρτίας, καὶ συμμετασχὼν ἡμῖν τῶν αὐτῶν παθημάτων, τὴν πεῖναν οὐκ ἔκρινεν ἁμαρτίαν, οὐδὲ ἀπώσατο τῆς ἑαυτοῦ πείρας τὸ κατ' αὐτῆς πάθος, ἀλλ' εἴξατο τὴν ὀρεκτικὴν τῆς φύσεως ὁρμὴν, τὴν ἐπὶ τῇ τροφῇ γινομένην, ἀπόσιτος γὰρ τεσσαράκοντα ἡμερῶν διαμείνας, ὕστερον ἐπείνασεν. Ἔδωκε γὰρ ὅτε ἐβούλετο τῇ φύσει καιρὸν τὰ ἑαυτῆς ἐνεργῆσαι.

13 Καὶ συντελέσας πάντα πειρασμὸν ὁ διάβολος, καὶ τὰ ἑξῆς.

Τούτους τοὺς τρεῖς πειρασμοὺς ἐκτελέσας ὁ διάβολος ἀνεχώρησε. Τίνες οὖν εἰσὶν οἱ τρεῖς; ἡ γαστριμαργία, ἡ φιλαργυρία, ἡ κενοδοξία, ἄλλους παρὰ τούτους πειρασμοὺς οὐκ ἔχει. πρῶτος ὁ Ἀδὰμ διὰ κοιλίας πειράζεται, ἐπειδὴ οὐχ εἶχε πλεονεξίαν, οὐδὲ κενοδοξίαν, πάντων κύριος ὢν, καὶ μηδενὸς ἑτέρου ὄντος· οὐ προσάγει αὐτῷ ὁ διάβολος ὀργὴν, οὐδὲν γὰρ εἶχεν ᾧ ὀργισθῇ· ἀπὸ τῆς γαστριμαργίας τότε ἤρξατο, καὶ νῦν ἐκεῖθεν ἤρξατο.

Τί δέ ἐστι τὸ "ἕως καιροῦ;" ἐξεδέχετο γὰρ τὴν Ἰουδαίων πονηρίαν. Χριστὸς δὲ διὰ τοῦτο παρεγένετο, ἵνα πληρώσῃ τῆς οἰκουμένης τὸν σκοπόν.

14 Τὸ δὲ "ὑπέστρεψεν ὁ Ἰησοῦς ἐν τῇ δυνάμει τοῦ Πνεύματος "εἰς τὴν Γαλιλαίαν" διὰ τὰς θεοσημείας φησὶν, ὥσπερ ἐπετέλει τῇ δυνάμει τοῦ Παναγίου Πνεύματος, οὐκ ἔξωθεν καὶ πεπορισμένην τὴν τοῦ Πνεύματος χάριν λαβὼν, καθὰ καὶ ὁ τῶν ἁγίων χορὸς, ἀλλ' ὡς ὢν φύσει τε ἀληθῶς Υἱὸς τοῦ Θεοῦ, ὡς ἰδίᾳ δυνάμει καὶ ἐνεργείᾳ χρώμενος τῇ τοῦ Παναγίου καὶ ὁμοουσίου Πνεύματος, ταύτας εἰργάζετο.

Ὠριγένους. Ἐπειδὴ ἔμελλεν ἀθλεῖν πρὸς τὸν διάβολον ἐν τῷ πειρασμῷ, δὶς ὀνομάζεται τὸ Πνεῦμα χωρὶς πάσης προσθήκης· ὅτε

δὲ ἀγωνισάμενος ἐνίκησε τοὺς τρεῖς ἀναγεγραμμένους πειρασμοὺς, πρόσσχες τῇ ἀκριβείᾳ τῆς γραφῆς τί περὶ τοῦ Πνεύματος φησὶν, "ὅτι Ἰησοῦς ὑπέστρεψεν ἐν τῇ δυνάμει τοῦ Πνεύματος; καὶ προσέθηκεν "ἐν τῇ δυνάμει," διὰ τὸν ἀθλητὴν τὸν νενικηκότα.

Ὠριγένους. "Βασιλείας κόσμου," φησὶ, τὸν κοσμικῶν ἀνθρώπων, τίνα τρόπον οἱ βασιλεύονται ὑπὸ πονηρίας, οἱ δὲ βασιλεύονται ὑπὸ φιλαργυρίας, οἱ δὲ ὑπὸ κενοδοξίας· οὐ γὰρ ἐδείκνυεν αὐτῷ τὰς βασιλείας τοῦ κόσμου, τίνα τρόπον ἰσχύει βασιλεύειν, ἵν' αὐτὸν προτρέψηται ποιῆσαι, ὃ ἐνόμιζε ποιῆσαι, περιγενήσεσθαι τοῦ Χριστοῦ. εἰ θέλεις, φησὶ, βασιλεῦσαι τούτων, καὶ ἐπὶ τούτῳ ἐλήλυθας τοῦ ἀγωνίσασθαι καὶ ἀποστῆσαι τοὺς βασιλευομένους ὑπ' ἐμοῦ, μὴ ἀγωνίζου, ἓν ἀξιῶ, πεσὼν πρόσκυνησόν με, καὶ παράλαβε πᾶσαν τὴν βασιλείαν τὴν ὑπ' ἐμέ. ἀλλ' ὁ Σωτὴρ βασιλεῦσαι μὲν θέλει καὶ ὑποτάξαι πάντα τὰ ἔθνη, ἵνα δοῦλα γένηται δικαιοσύνης καὶ ἀληθείας καὶ πάσης ἀρετῆς· βασιλεῦσαι δὲ οὐ μετὰ ἁμαρτίας, οὐδὲ βούλεται ἀκμητὶ ὑποτάξας αὐτὸν ἐκείνῳ ἐστεφανῶσθαι, οὐδὲ ἀκμητὶ λαβεῖν πάσας τὰς βασιλείας τοῦ κόσμου, καὶ τὴν δόξαν αὐτῶν ὑποχείριον. Διό φησι πρὸς αὐτὸν, "γέγραπται, Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ "μόνῳ λατρεύσεις."

16 Ἐμφανῆ δέ, φησιν, ἑαυτὸν καὶ καταστῆσαι ἐξ αἵματος Ἰσραὴλ βουλόμενος, καὶ ὅτι κεχρῆσθαι παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς εἰς σωτηρίαν τῆς ὑπ' οὐρανὸν, πανσόφως καὶ τοῦτο οἰκονομεῖ πρό γε τῶν ἄλλων τοῖς ἐκ Ναζαρὲτ, οἷς συνετράφη, κατά γε τὴν σάρκα, φημὶ, τοῦτο χαριζόμενος. "ἦλθε" γὰρ, φησὶν, "εἰς Ναζαρὲτ, οὗ "ἦν ἀνατεθραμμένος," καὶ τὰ ἑξῆς. Ἀναγνοὺς δὲ τὰ ἐν τῷ προφήτῃ Ἡσαΐᾳ ἀναγεγραμμένα, "ὅτι Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, "οὗ ἕνεκεν ἔχρισέ με εὐαγγελίσασθαι πτωχοῖς," καὶ τὰ ἑξῆς. Ἐναργέστατα διὰ τούτων ἐδείκνυε τοῖς ἀκούουσιν, ὅτι αὐτὸς ἦν, ὁ τότε διὰ τοῦ προφήτου λαλῶν, ὅτι καὶ ἐνανθρωπήσει καὶ ἀφίξεται διασώσων τὴν ὑπ' οὐρανόν· κεχρῆσθαι γὰρ οὐχ ἑτέρως φαμὲν τὸν Υἱὸν, πλὴν ὅτι κατὰ σάρκα, γενόμενον δηλονότι καθ' ἡμᾶς καὶ ἐνανθρωπήσαντα.

21 Εἶπε δὲ, "ὅτι σήμερον πεπλήρωται ἡ γραφὴ αὕτη," καὶ τὰ ἑξῆς, ἑαυτὸν φανερῶς παριστὰς ἐν τούτοις τὸν διὰ τῆς προφητείας

προηγορευμένον· αὐτὸς γὰρ εὐηγγελίσατο τὴν τῶν οὐρανῶν βασιλείαν τοῖς ἀπὸ τῶν ἐθνῶν· αὐτοὶ γὰρ ἦσαν πτωχοὶ, μηδὲν ἔχοντες, μὴ Θεὸν ἐν γνώσει, μὴ νόμον, μὴ προφήτας, καὶ ἅπασι τοῖς πλοῦτον οὐκ ἔχουσι πνευματικόν· αὐτὸς αἰχμαλώτους ὄντας ἐρρύσατο, τὸν ἀποστάτην τύραννον καθελὼν, τουτέστι τὸν Σατανᾶν· αὐτὸς ἐνήστραψε τὸ νοητὸν καὶ θεῖον καὶ οὐράνιον φῶς τοῖς ἐσκοτισμένην ἔχουσι τὴν καρδίαν, καθὼς αὐτός φησι, "ὅτι ἐγὼ φῶς εἰς τὸν "κόσμον τοῦτον ἐλήλυθα·" αὐτὸς ἀπέλυσε δεσμῶν, δηλονότι τῶν εἰς ἁμαρτίαν, τοὺς συντεθραυσμένην ἔχοντας καρδίαν· αὐτὸς ἐκήρυξεν ἐνιαυτὸν Κυρίου δεκτὸν, οὗ ὁ πάνσοφος Παῦλος μνημονεύει λέγων, "ἰδοὺ, νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας."

22 *Ταῦτα δὲ ἀκούοντες καὶ θαυμάζοντες "ἐπὶ τοῖς λόγοις τῆς "χάριτος τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος αὐτοῦ," καίτοι σμικρολογεῖν αὐτὸν οὐκ ἀπέστησαν· ἔλεγον γὰρ, φησὶν, "οὐχὶ "υἱός ἐστιν Ἰωσὴφ οὗτος;" ὅθεν ἁρμόδιον εἰπεῖν ἐπ' αὐτοῖς τοῦτο· "ἰδοὺ λαὸς μωρὸς καὶ ἀκάρδιος· ὀφθαλμοὶ αὐτοῖς, καὶ οὐ "βλέπουσιν, ὦτα αὐτοῖς, καὶ οὐκ ἀκούουσιν."*

23 Καὶ εἶπε πρὸς αὐτοὺς, Πάντως ἐρεῖτέ μοι τὴν παραβολὴν ταύτην, Ἰατρὲ, θεράπευσον σεαυτόν.

Κοινὸς λόγος παρὰ Ἰουδαίοις ἦν, ἀσπασμοῦ χάριν ἐξηυρημένος· τοῖς γὰρ ἀρρωστοῦσι τῶν ἰατρῶν ἐπεφώνουν τινὲς, "ἰατρὲ, θερά-"πευσον σεαυτὸν," ὡσανεὶ οὖν τοῦτο προτείνας αὐτοῖς τὸ ῥητὸν, ὁ Χριστὸς ἔλεγεν, ὅτι πολλὰ βούλεσθε παρ' ἐμοῦ γίνεσθαι σημεῖα, παρ' ὑμῖν μάλιστα, παρ' οἷς καὶ ἐτράφην. Ἀλλ' οἶδα τὸ κοινὸν καὶ ἅπασι συμβαῖνον πάθος, ὅτι καταφρονοῦνταί που ἀεὶ καὶ τὰ ἐξαίρετα τῶν πραγμάτων, ὅταν μὴ σπανίζῃ παρά τισιν, ἀλλ' ἔχωσιν ἐπ' ἀδείας αὐτά. Ἐπεὶ οὖν καὶ ἐπ' ἀνθρώπῳ τοῦτο συμβαίνει θαυμαστῶς, ὁ γὰρ συνήθης καὶ παρὼν ἀεὶ ἀποστερεῖται πολλάκις τῆς ὀφειλομένης αὐτῷ τιμῆς παρὰ τῶν εἰδότων αὐτόν· διὰ τοῦτο "λέγω ὑμῖν, ὅτι οὐδεὶς προφήτης δεκτός ἐστιν ἐν τῇ "πατρίδι αὐτοῦ."

Ὠριγένους. *Πατρὶς τῶν προφητῶν, ὁ ἐκ περιτομῆς λαὸς, παρ' οἷς οὐκ εἰσὶ δεκτοί· ἡμεῖς δὲ οἱ ἀλλότριοι τῶν διαθηκῶν καὶ ξένοι τῶν ἐπαγγελιῶν, ἐδεξαίμεθα τοὺς προφήτας ὅλῃ ψυχῇ προκηρύξαντας Χριστὸν ἤπερ ἐκεῖνοι, ὥσπερ καὶ ἡ ἐν Σαρέφθαν τῆς Σιδωνίας χήρα τὸν Ἠλίαν λιμοῦ γενομένου ἐν τῷ Ἰσραὴλ, τοῦ*

ἀκοῦσαι λόγον Κυρίου. περὶ ταύτης τῆς χήρας ὁ προφήτης φησὶν, “ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα,” καὶ πάλιν, ὅτι ἑτέρα γραφὴ, “στεῖρα ἔτεκεν ἑπτὰ, καὶ ἡ πολλὴ ἐν τέκνοις ἠσθένησε.”

Ἐπειδὴ δὲ τὰς περὶ αὐτοῦ προφητείας εἰς τέλος ἦχθαι διεβεβαιοῦντο τῶν Ἰουδαίων τινὲς, ἢ ἐπί τισι τῶν παρ' αὐτοῖς βεβασιλευκότων, ἢ ἐπὶ προφήταις ἁγίοις, ἀποφέρει χρησίμως αὐτοὺς τῆς τοιαύτης ὑπονοίας, ἐλέγχων αὐτοὺς ὡς ἀπιστοῦντας, καὶ μὴ πιστεύοντας ὅτι μᾶλλον εἰς αὐτὸν αἱ τοιαῦται προφητεῖαι ἁρμόζουσι, πρὸς μίαν ἀπεστάλθαι χήραν Ἠλίαν εἰπὼν, καίπερ πολλῶν οὐσῶν ἐν τῷ Ἰσραὴλ τότε, καὶ ἕνα θεραπεῦσαι λεπρὸν τὸν προφήτην Ἐλισσαῖον Ναιεμὰν τὸν Σύρον, καὶ ἐκ τούτων πλείστων ὄντων ἐν τῷ Ἰσραὴλ, ἐπειδὴ ἐκ πασῶν τῶν χηρῶν ἐκείνη μόνη εὑρέθη πιστὴ, ὁμοίως καὶ ἐκ πάντων τῶν λεπρῶν οὗτος.

Τοῦ ἁγίου Κυρίλλου Ἀλεξανδρείας. Τί τὸ κωλύον αὐτὸν εἶναι σεπτόν τε καὶ ἀξιάγαστον, εἰ καὶ υἱὸς ἐνομίζετο Ἰωσήφ; οὐχ ὁρᾷς τὰς θεοσημείας; πεσόντα τὸν Σατανᾶν, νενικημένας τὰς τῶν δαιμόνων ἀγέλας, διαφόρων νοσημάτων ἐλευθέρους γεγονότας πολλούς; ἐπαινεῖς τὴν χάριν τὴν ἐνοῦσαν αὐτοῦ ταῖς διδασκαλίαις; εἶτα σμικρολογεῖς Ἰουδαϊκῶς, ὅτι πατέρα τὸν Ἰωσὴφ ἐπεγράφετο; Ὦ πολλῆς ἀβουλίας, ἀληθὲς ἐπ' αὐτοὺς εἰπεῖν, “ἰδοὺ λαὸς μωρὸς καὶ ἀκάρδιος, ὀφθαλμοὶ αὐτοῖς, καὶ οὐ βλέπουσιν, ὦτα, καὶ οὐκ ἀκούουσι.”

30 Διὰ τί ἐκβαλλόντων αὐτῶν “ὥστε κατακρημνίσαι αὐτὸν, αὐτὸς διελθὼν διὰ μέσου αὐτῶν ἐπορεύετο;” οὐ τὸ παθεῖν φεύγων, διὰ τοῦτο γὰρ καὶ ἐλήλυθεν, ἀλλὰ καιρὸν ἀναμένων ἐπιτήδειον εἰς τοῦτο. ἀρχὴ γὰρ ἦν νῦν τοῦ κηρύγματος· τοῦτο δὲ αὐτὸ ὑπάρχει τεκμήριον, ὅτι καὶ ὅτε ἔπαθεν, ἑκουσίως πέπονθε, καὶ οὐκ ἂν οὐδὲ τότε ἔπαθεν, εἰ μὴ ἑαυτὸν ἐπέδωκεν.

Τοῦ αὐτοῦ. Οὓς οὐ μεθίστησι λόγος πρὸς τὸ εἰδέναι σαφῶς τίς ὁ φύσει καὶ ἀληθῶς ἔσται Θεὸς καὶ Κύριος, τούτους σαγηνεύει πρὸς τὸ εὐήνιον ἡ τῶν σημείων ἐπίδειξις. χρησίμως οὖν καὶ ἀναγκαίως προσεπάγει πολλάκις ταῖς μυσταγωγίαις τὰς μεγαλουργίας· ἄπιστοι μὲν γὰρ οἱ τῆς Ἰουδαίας οἰκήτορες, καὶ τοὺς τῶν καλούντων εἰς σωτηρίαν ἀτιμάζοντες λόγους, μάλιστα δὲ πάντων οἱ ἀπὸ τῆς Καπερναούμ.

ΚΕΦ. Η.

Περὶ τοῦ ἔχοντος πνεῦμα δαιμόνιον.

33 Καὶ ἐν τῇ συναγωγῇ ἦν ἄνθρωπος ἔχων πνεῦμα δαιμονίου ἀκαθάρτου.

Ἐπειδὴ δὲ οἱ Ἰουδαῖοι οὐδὲν ἕτερον ἐνόμιζον εἶναι τὸν Χριστὸν, πλὴν ὅτι καθ' ἕνα τῶν ἁγίων, καὶ ἐν τάξει προφητῶν παρελθεῖν εἰς μέσον. Διὰ τοῦτο ἵνα μείζονα τὴν περὶ αὐτοῦ δόξαν καὶ ὑπόνοιαν ἔχωσι, τὸ προφητικὸν ἀναβαίνει μέτρον· οὐδὲ γὰρ εἴρηκέ ποτε τάδε λογικῶς[a], ἀλλ' ὥστε νομικῶς τὰ ὑπὲρ νόμου ἐλάλει, καὶ μετ' ἐξουσίας τῆς θεοπρεποῦς τοῖς ἀκαθάρτοις ἐπετίμα πνεύμασιν.

34 Εὐφήμει δὲ αὐτὸν τὸ πνεῦμα τὸ ἀκάθαρτον λέγον, "οἶδά σε, "τίς εἶ, ὁ ἅγιος τοῦ Ἰσραὴλ," ὑπονοῶν διὰ τῆς τοιαύτης εὐφημίας τὸ κενοῦν δόξης αὐτὸν ἐραστὴν ἀποτελεῖν, καὶ ἀποσχέσθαι παρασκευάζει τοῦ ἐπιπλήττειν αὐτῷ τε καὶ τοῖς ὁμοίοις αὐτοῦ, οἷον ἀντὶ χάριτος διδόντα χάριν· ἀλλ' οὐκ ἐπιτεύξεται δόλιος θήρας, Θεὸς γὰρ οὐ μυκτηρίζεται, ἀποφράττει δὲ μᾶλλον τὴν ἀκάθαρτον αὐτοῦ γλῶτταν ὁ Κύριος, καὶ προστάσσει τοῦ ἔχοντος αὐτὸν ἀποφοιτᾷν.

Τίτου Βοστρῶν. Ἄρα διὰ τί ἔρριψεν αὐτόν; διὰ τί δὲ ὁ Κύριος συνεχώρησεν; ἐπειδὴ γὰρ ἐλάλει ὡς νήφων καὶ ἐφθέγγετο ὡς καθεστηκὼς, διὰ τὸ τὰ ῥήματα εἶναι τοῦ δαίμονος, ἡ δὲ γλῶττα τοῦ ἀνθρώπου, καὶ ἐνόμιζον οἱ ἄνθρωποι ὅτι οὐχ ὡς ἐν δαιμονίῳ πονηρῷ ἐφθέγγετο, ἀλλ' ἐκ τῆς καρδίας αὐτοῦ ἐλάλει, συνεχώρησεν αὐτῷ ῥίψαι τὸν ἄνδρα, ἵνα δῆλον γένηται, ὅτι τὸ δαιμόνιον ἐστὶ τὸ λαλῆσαν.

Ἐξ ἀνεπιγράφου. Ἐκβάλλουσιν αὐτὸν, καθ' ἑαυτῶν μᾶλλον τὴν δίκην ὁρίζοντες, καὶ βεβαιοῦντες τὸ ὑπὸ τοῦ Σωτῆρος εἰρημένον· ἐκπεπτώκασι γὰρ αὐτοὶ τῆς ἄνω πόλεως τῆς ἐπουρανίου, τὸν Χριστὸν μὴ δεξάμενοι. Ἵνα δὲ μόνον ἐλέγξῃ δυσσεβήσαντας μέχρις ἐπιχειρημάτων, συγκεχώρηκε προσελθεῖν τὰ καθ' ἑαυτοῦ τολμήματα. Διεξίει γὰρ διὰ μέσου αὐτῶν, οὐδὲν ὅσον εἰπεῖν τινα θέμενος τῆς ἐπιβουλῆς αὐτῶν.

[a] λογεικῶς Cod.

ΚΕΦ. Θ.

Περὶ τῆς πενθερᾶς Πέτρου.

38 *Ἀναστὰς δὲ ἐκ τῆς συναγωγῆς, εἰσῆλθεν εἰς τὴν οἰκίαν Σίμωνος.*

Κυρίλλου Ἀλεξανδρείας. Θέασαι πῶς κατέλυσεν παρ' ἑνὶ τῶν μαθητῶν, ἀνθρώπῳ πένητι καὶ ἀσήμῳ κατὰ τὸν βίον, ὁ τὴν ἑκούσιον δι' ἡμᾶς ὑπομείνας πτωχείαν, ἵν' ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν, καὶ μάθωμεν τοῖς ταπεινοῖς συνεπάγεσθαι καὶ μὴ κατεπάρεσθαι τῶν ἐν ἐνδείᾳ καὶ θλίψει. ὑποδεξόμεθα τοίνυν καὶ ἡμεῖς τὸν Ἰησοῦν. ὅταν γὰρ εἰσβάλῃ καὶ ἐν ἡμῖν ἔχωμεν αὐτὸν εἰς νοῦν καὶ καρδίαν, τότε τῶν ἐκτόπων ἡδονῶν τὴν πύρωσιν ἀποσβέσει. ἐγείρει δὲ καὶ εὐρρώστους ἀποφαίνει, πνευματικῶς δηλονότι, ὥστε καὶ ὑπηρετεῖν αὐτῷ, τουτέστι, τὰ αὐτῷ δοκοῦντα πληροῦν.

Τοῦ ἁγίου Τίτου Βοστρῶν. Οὐκέτι γὰρ [b] τῶν ἰαθέντων ἀπὸ ποικίλων ἀσθενειῶν, καὶ ἀπὸ πνευμάτων ἀκαθάρτων, καὶ περὶ Πέτρου καὶ Ἀνδρέα καὶ Ἰακὼβ καὶ Ἰωάννου. Τὸ "ὑπῆρχον ἁλιεῖς," καὶ τὸ "ἠκολούθουν τῷ Χριστῷ" προεγράφη.

Περὶ δὲ τῆς ἄγρας τῶν ἰχθύων λέγει ὁ ἅγιος Κύριλλος ὁ Ἀλεξανδρείας—Διὰ τῶν ἁλιευτικῶν αὐτοῦ ἐπιτηδευμάτων, ἁλιεύει τοὺς μαθητὰς, ὅπως μάθωσιν ἐκ τούτου ὅτι πανσθενὲς ἔχει τὸ θέλημα, καὶ τοῖς θεοπρεπεστάτοις αὐτοῦ νεύμασιν ἡ κτίσις ὑπηρετεῖ· καὶ ἵνα διὰ πράγματος ἐναργοῦς, καὶ ὡς ἐκ τύπου καὶ εἰκόνος τοῦ παραδόξως τετελεσμένου πληροφορηθῶσιν, ὅτι οὐκ ἄμισθος ὁ πόνος αὐτοῖς, οὐδὲ ἄκαρπος ἡ σπουδὴ ἔσται αὐτοῖς, ἣν ἂν ποιήσαιντο, τῆς εὐαγγελικῆς μυσταγωγίας τὸ δίκτυον ἁπλώσαντες, ἀλλ' ἐν αὐτῷ πάντῃ τε καὶ πάντως τὰς τῶν ἐθνῶν ἀγέλας συλλέξωσιν.

ΚΕΦ. Ι.

Περὶ τῶν ἰαθέντων ἀπὸ ποικίλων νόσων.

Κυρίλλου Ἀλεξανδρείας. Ἄθρει δέ μοι πάλιν, ὅσην ἔχει τὴν ὠφέλειαν ἡ τῆς ἁγίας αὐτοῦ σαρκὸς ἐπαφὴ, ἐλαύνει γὰρ καὶ

[b] Multa hic omissa esse videntur et leg. περὶ τῶν ἰαθ.

ποικίλας νόσους καὶ δαιμονίων ὄχλον, καὶ τὴν τοῦ διαβόλου δύναμιν καταστρέφει.

Καίτοι γὰρ λόγῳ καὶ νεύματι πληροῦν δυνάμενος τὰς τερατουργίας, ἵνα τῶν ἀναγκαίων διδάξῃ, καὶ τὰς χεῖρας ἐπιφέρει τοῖς οὖσιν ἐν ἀρρωστίαις. Ἔδει γάρ, ἔδει μαθεῖν ἡμᾶς, ὅτι τῆς τοῦ λόγου δυνάμεως τὴν ἐνέργειαν πεφόρηκεν ἡ ἁγία σὰρξ, ἣν ἰδίαν ἐποιήσατο, θεοπρεπῆ τὴν δύναμιν ἐμφυτεύσας αὐτῇ. οὐκοῦν ἁπτέσθω καὶ ἡμῶν, μᾶλλον δὲ ἡμεῖς αὐτοῦ διὰ τῆς μυστικῆς εὐλογίας, ἵνα καὶ ἡμᾶς ἐλευθερώσῃ ψυχικῶν ἀρρωστημάτων καὶ τῆς τῶν δαιμονίων ἐφόδου καὶ πλεονεξίας.

Τοῦ ἁγίου Τίτου. Φυγαδεύει νοσήματα, ἀσέβειαν ἐξελαύνει, δαίμονας ἀποσοβεῖ, πάντα τὰ κακὰ ἐκβάλλει, εἰσάγει δὲ εἰς τὴν οἰκουμένην τὴν ἀλήθειαν, ἐξουσίαν θεοπρεπῆ.

ΚΕΦ. ΙΑ.

Περὶ τῆς ἄγρας τῶν ἰχθύων.

2 Κυρίλλου Ἀλεξανδρείας. Θαυμάσωμεν τῆς οἰκονομίας τὸ εὔτεχνον, τὸ ἐπὶ τῇ γε θήρᾳ τῶν τεθηρηκότων τὴν ὑπ' οὐρανόν· φημὶ δὴ τῶν ἁγίων Ἀποστόλων, οἳ καὶ ἁλιεύειν εἰδότες, ὑπὸ Χριστοῦ γεγόνασι λῖνον, ἵνα καὶ αὐτοὶ τὴν τῶν εὐαγγελικῶν κηρυγμάτων σαγήνην χαλάσαντες, προσκομίσωσιν αὐτῷ τοὺς κατὰ πᾶσαν τὴν γῆν. καὶ γοῦν ἔφη που δι' ἑνὸς τῶν ἁγίων προφητῶν, "ἰδοὺ ἐγὼ ἀποστέλλω ἁλιεῖς πολλούς, λέγει Κύριος, καὶ ἁλιεύσωσιν αὐτούς, καὶ μετὰ ταῦτα, ἀποστελῶ πολλοὺς θηρευτάς, "καὶ θηρεύσωσιν αὐτούς." καὶ τοὺς μὲν ἁλιεῖς τοὺς ἁγίους Ἀποστόλους φησί, θηρευτὰς δὲ τοὺς κατὰ καιροὺς τῶν ἁγίων ἐκκλησιῶν. ἡγουμένους τε καὶ μυσταγωγούς. Ἐπειδὴ γὰρ ἀρκούντως τοῖς ὄχλοις διείλεκται, τρέπεται πάλιν πρὸς τὴν συνήθη μεγαλουργίαν, καὶ διὰ τῶν ἁλιευτικῶν ἐπιτηδευμάτων ἁλιεύει τοὺς μαθητάς.

5 Τίτου ἐπισκόπου Βοστρῶν. Φησὶν ὁ Σίμων, "ἐπιστάτα δι' "ὅλης τῆς νυκτὸς κοπιάσαντες, οὐδὲν ἐλάβομεν." πολλοὶ προφῆται ἦλθον, καὶ ἔμεινεν ἄπιστος ὁ κόσμος. Διὰ τοῦτο ἔλεγεν

ὁ Παῦλος, "ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν· ὡς ἐν ἡμέρᾳ "εὐσχημόνως περιπατήσωμεν·" πολλὰ ἔκαμον οἱ προφῆται, καὶ Ἰουδαῖοι ἔμειναν ἄπιστοι. Τί ἄν τις εἴποι περὶ τῶν ἄλλων ἐθνῶν; Διὰ τοῦτο ἔλεγεν ὁ Σωτὴρ, "ἄλλοι κεκοπιάκασι, καὶ ὑμεῖς εἰς "τὸν κόπον αὐτῶν εἰσεληλύθατε."

Κυρίλλου Ἀλεξανδρείας. Προσέταξε γὰρ τοῖς περὶ Σίμωνα, βραχὺ τῆς γῆς ἀποφέρεσθαι, καὶ καθεῖναι πρὸς ἄγραν τὸ δίκτυον. οἱ δὲ δι᾽ ὅλης μὲν ἔφασκον κοπιᾶσαι νυκτὸς, λαβεῖν δὲ μηδέν· πλὴν ἐν ὀνόματι Χριστοῦ καθῆκαν τὸ λῖνον, καὶ μεστὸν εἶχον εὐθὺς τῶν τεθηρευμένων, ἵνα διὰ πράγματος ἐναργοῦς καὶ ὡς ἐκ τύπου καὶ εἰκόνος τοῦ παραδόξως τετελεσμένου, πληροφορηθῶσιν, ὅτι οὐκ ἄμισθος ὁ πόνος αὐτῶν, οὔτε ἄκαρπος ἡ σπουδὴ, ἣν ἂν ποιήσαιντο, τῆς εὐαγγελικῆς μυσταγωγίας λῖνον ἁπλώσαντες, ἀλλ᾽ ἐν αὐτῷ πάντη τε καὶ πάντως τὰς τῶν ἐθνῶν ἀγέλας συλλέξωσι. πλὴν ἐκεῖνο ἄθρει, οὐ γὰρ ἴσχυσαν ἀνελκῦσαι τὸ λῖνον Σίμων τε καὶ οἱ σὺν αὐτῷ· κατένευσάν, φησι, τοῖς μετόχοις, δῆλον δὲ ὅτι διὰ τῶν ἁλιευτικῶν ἐπιτηδευμάτων, ὥστε συλλαβέσθαι αὐτοῖς καὶ συνδιασῶσαι τὴν ἄγραν. Πολλοὶ γὰρ τοῖς τῶν ἁγίων Ἀποστόλων συνήραντο καὶ συναίρονται πόνοις, καὶ πρό γε τῶν ἄλλων οἱ τὰς ἱερὰς ἡμῖν τῶν ἁγίων Εὐαγγελιστῶν ἀνερευνῶντες γραφὰς, καὶ μετ᾽ ἐκείνους ἕτεροι ποιμένες καὶ διδάσκαλοι καὶ λαῶν ἡγούμενοι, καὶ τῶν τῆς ἀληθείας πραγμάτων ἐπιστήμονες. Ἀναφέρεται γὰρ ἔτι τὸ λῖνον, πληροῦντος αὐτὸ τοῦ Χριστοῦ, καὶ καλοῦντος εἰς ἐπιστροφὴν τῆς ἐν βυθοῖς θαλάσσης κατὰ τὸ γεγραμμένον, τουτέστι τοῦ ἐν ζάλῃ καὶ κύμασιν, ἐν τοῖς κοσμικοῖς.

Περὶ τοῦ λεπροῦ καὶ ἐπὶ τοῦ παραλυτικοῦ καὶ περὶ τοῦ τελώνου ἕως περὶ τῶν ἀσκῶν τῶν παλαιῶν καὶ τῶν νέων, προεγράφη.

ΚΕΦ. ΙΒ.

Περὶ τοῦ λεπροῦ.

12 Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν μιᾷ τῶν πόλεων, καὶ ἰδοὺ ἀνὴρ πλήρης λέπρας.

Κυρίλλου Ἀλεξανδρείας. Ἐπαίνου παντὸς ἀξία τοῦ προσ-

ελθόντος ἡ πίστις· μεμαρτύρηκε γὰρ τὸ πάντα δύνασθαι κατορθοῦν τῷ Ἐμμανουὴλ, καὶ διὰ νευμάτων θεοπρεπῶν ἐλευθεροῦσθαι ζητεῖ· καίτοι τὸ πάθος οὐκ ἰάσιμον· οὐ γὰρ οἶδεν ἡ λέπρα ταῖς τῶν ἰατρῶν ἐμπειρίαις παραχωρεῖν, ἀλλὰ τεθέαμαι, φησὶν, ἐλαυνομένους ἐν ἐξουσίᾳ θεοπρεπεῖ τοὺς ἀκαθάρτους δαίμονας νοσημάτων πολλῶν ἀπαλλαττομένους, καὶ συνῆκα ὡς θείᾳ τινὶ καὶ ἀμάχῳ χειρὶ τὰ τοιαῦτα γίνεσθαι. ὁρῶ δὲ πρὸς τοῦτο χρηστὸν ὄντα καὶ ἑτοιμότατα κατοικτείροντα τοὺς προσιόντας αὐτῷ. Τί τοίνυν τὸ κωλύον ἐλεεῖσθαι κἀμέ; καὶ τί πρὸς ταῦτα Χριστός; ἐβεβαίου ἐν αὐτῷ τὴν πίστιν, καὶ τὴν ἐπ' αὐτῷ δὴ τούτῳ πληροφορίαν ἐργάζεται. δέχεται γὰρ τὴν αἴτησιν, καὶ ὁμολογεῖ τὸ δύνασθαι, καὶ φησὶ, "θέλω καθαρίσθητι·" χαρίζεται δὲ αὐτῷ καὶ ἁφὴν τῆς ἁγίας αὐτοῦ καὶ πανσθενεστάτης χειρὸς, καὶ εὐθέως ἀπῆλθεν ἀπ' αὐτοῦ ἡ λέπρα, καὶ τὸ πάθος ἦν ἐκ ποδῶν.

Τοῦ αὐτοῦ. Τί δήποτε ἵνα μάθωσιν ἐντεῦθεν οἱ τὴν τῶν ἰαμάτων χάριν παρὰ Θεοῦ δεχόμενοι; μὴ τὰς παρὰ τῶν θεραπευομένων εὐφημίας αἰτεῖν, μήτε μὴν τοῦ παρά τινων ἐπαίνου, ἵνα μὴ εἰς ὑπεροψίαν ἐκπέσοιεν, τὸ πάντων τῶν κακῶν αἴσχιστον πάθος, καὶ καθ' ἕτερον δὲ τρόπον, καὶ σιωπῶντος τοῦ λεπροῦ ἤρκει καὶ αὐτὴ τοῦ πράγματος ἡ φωνὴ, πρὸς τὸ ἀπαγγεῖλαι πᾶσι τοῖς εἰδόσιν αὐτὸν τὴν τοῦ θεραπεύσαντος δύναμιν.

Τοῦ αὐτοῦ. Οἰκονομικῶς φησι προσάγειν τὸ δῶρον τῷ λεπρῷ κατὰ τὸν Μωϋσέως νόμον τοῖς ἱερεῦσιν· ἤθελε μὲν ὁμολογουμένως μεταστῆσαι τὴν σκιὰν καὶ μεταπλᾶσαι τοὺς τύπους εἰς πνευματικὴν λατρείαν· ἀλλ' ἐπειδὴ μήπω πιστεύσαντες πρὸς αὐτὸν Ἰουδαῖοι προσέκειντο ταῖς Μωϋσέως ἐντολαῖς, ὡς ἔτι τῶν ἀρχαίων ἐθνῶν ἰσχυόντων, ἐπιτρέπει τῷ λεπρῷ τοῦτο ποιεῖν εἰς μαρτυρίαν αὐτοῖς. Καὶ μετ' ὀλίγα—Καὶ ἐξ αὐτοῦ δὲ τοῦ θεραπεῦσαι τὸν λεπρὸν ἔξεστιν ἰδεῖν καὶ μάλα σαφῶς ἐν ἀπαρακλήτοις ὑπεροχαῖς πρὸς τὸν Μωϋσέως νόμον, ὄντα Χριστόν· ἐλεπρώθη μὲν γὰρ ἡ Μαριὰμ, ἀδελφὴ δὲ Μωϋσέως αὕτη· κατελάλησε γὰρ αὐτοῦ, καὶ κατεδάκνετο μὲν γὰρ λίαν ἐπὶ τοῦ Μωϋσέως, ἐπειδὴ οὐκ ἦν ἱκανὸς ἀποστῆσαι τοῦ γυναίου τὴν νόσον, προσέπιπτε τῷ Θεῷ λέγων, "ὁ Θεὸς δέομαί σου, ἴασαι αὐτήν."

Πρόσσχες τοίνυν ἀκριβῶς· αἴτησις ἦν ἐκεῖ διὰ προσευχῆς, τῆς ἄνωθεν ἡμερότητος ἠξίου τυχεῖν· ὁ δέ γε τῶν ὅλων Σωτὴρ μετ' ἐξουσίας ἔφη τῆς θεοπρεποῦς, "θέλω καθαρίσθητι·" οὐκοῦν μαρτύριον ἦν τοῖς ἱερεῦσιν ἡ τῆς λέπρας ἀποβολὴ, καὶ ἦν ἐντεῦθεν εἰδέναι τοὺς τὴν κρείττονα ψῆφον ἀπονέμοντας τῷ Μωϋσεῖ, ὅτι τῆς ἀληθείας ἔξω βαδιοῦσιν. Ἔδει γὰρ, ἔδει Μωϋσέα θαυμάζειν μὲν ὡς νόμου διάκονον καὶ χάριτος ὑπουργὸν, λαληθείσης δι' Ἀγγέλων, ὑπερθαυμάζειν δὲ τὸν Ἐμμανουὴλ καὶ δοξολογεῖν αὐτὸν ὡς Υἱὸν ἀληθῆ τοῦ Θεοῦ καὶ Πατρός.

Τοῦ ἁγίου Τίτου Βοστρῶν. "Εἰς μαρτύριον αὐτοῖς," εἰς μαρτύριον τὸ θεραπεύεσθαι, ἵνα πληρώσῃ τὸν νόμον· οὐ γὰρ ἦλθε καταλῦσαι τὸν νόμον καὶ τοὺς προφήτας, ἀλλὰ πληρῶσαι. αἱρετικοὶ τὸ "εἰς μαρτύριον" εἰς ὕβριν κατὰ τοῦ νόμου λαμβάνουσιν, οὐ συνιέντες οἱ ἀνόητοι ὅτι τὸ "εἰς μαρτύριον" εἰς ἀπόδειξιν λέγεται· ὅπου γὰρ μαρτυρία, πρόφασίς ἐστιν ἀμφιβαλλομένου πράγματος.

ΚΕΦ. ΙΓ.

Περὶ τοῦ παραλυτικοῦ.

17 Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμέρων καὶ αὐτὸς ἦν διδάσκων, καὶ ἦσαν καθήμενοι Φαρισαῖοι καὶ νομοδιδάσκαλοι.

Τοῦ ἁγίου Κυρίλλου Ἀλεξανδρείας. Ἐπειδὴ δὲ ἦν ἀναγκαῖον, οὐκ εὐαριθμήτου πληθύος τῶν γραμματέων καὶ Φαρισαίων συνειλεγμένης, γενέσθαι τῶν ἔτι μάλιστα θεοπρεπεστάτων εἰς ὄνησιν αὐτοῦ, μικρὰ γὰρ ἐφρόνουν περὶ αὐτοῦ· ᾠκονομήθη τι πάλιν τῶν τεθαυμασμένων· ἔρριπτο μὲν γὰρ ἐπὶ κλίνης παράλυτος ἀνὴρ, ἀνιάτῳ νόσῳ κεκρατημένος. Ἐπεὶ δὲ ἀσθενοῦσι πρὸς τὸ συμβᾶν, ἡ τῶν ἰατρῶν ἠλέγχετο τέχνη, πρὸς τὸν ἄνωθεν καὶ ἐξ οὐρανῶν ἰατρὸν παρὰ τῶν οἰκείων ἐπεκομίζετο. Ἐπειδὴ δὲ ἦν ἐν ὄψει λοιπὸν τοῦ θεραπεύειν ἰσχύοντος, δεκτὴ μὲν αὐτοῦ γέγονεν ἡ πίστις. ὅτι δέ ἐστιν ἁμαρτίας ἀναιρετικὴ, διαδείκνυσιν εὐθὺς ὁ Χριστὸς, ἐπιφωνεῖ γὰρ τῷ κειμένῳ λέγων, "ἄνθρωπε, ἀφέωνταί

"σοι αἱ ἁμαρτίαι σου·" ἀλλ' ὥς γε οἶμαι, πρὸς τούτοις ἐρεῖ τις εὐθὺς ἀπαλλαγῆναι τῆς νόσου ἐβούλετο· καὶ πῶς ἄφεσιν τῆς ἁμαρτίας αὐτῷ Χριστὸς ἐπηγγέλλετο; ἵνα μάθῃς ὅτι σεσιγημένως καὶ ἀψοφητὶ Θεὸς κατασκάπτεται τὰ ἀνθρώπινα, καὶ ἐφορᾷ τῆς ἑκάστου ζωῆς τὴν ὁδόν· οὕτω καὶ γέγραπται· "ἐνώπιον "γάρ εἰσι τῶν τοῦ Θεοῦ ὀφθαλμῶν ὁδοὶ ἀνδρός· εἰς πάσας τὰς "τροχίας αὐτοῦ σκοπεύει." ἐπειδὴ δέ ἐστιν ἀγαθὸς, καὶ πάντας ἀνθρώπους θέλει σωθῆναι, διασμήχει πολλάκις ἐξ ἁμαρτιῶν τοὺς ἐνειλημμένους, ἀρρωστίαν ἐμβαλὼν τῷ σώματι· οὕτω γάρ πού φησι διὰ φωνῆς Ἱερεμίου, "πόνῳ καὶ μάστιγι παιδευθήσῃ Ἱερου-"σαλήμ." Ἔφη δέ που καὶ ὁ Παροιμιαστής· "υἱὲ, μὴ ὀλιγώρει "παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος· ὃν γὰρ "ἀγαπᾷ Κύριος, παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παρα-"δέχεται." Καλῶς οὖν ἄρα Χριστὸς τὴν τοῦ νοσεῖν ἀφορμὴν, καὶ οἷον τοῦ πάθους τὴν ῥίζαν, τουτέστι, τὴν ἁμαρτίαν, προαποκείρειν ἐπαγγέλλεται. Ἐξαιρεθείσης γὰρ ταύτης, δι' ἣν καὶ τὸ πάθος, ἔδει πάντως αὐτὴν συναναιρεθῆναι τὴν νόσον· ὁ μὲν οὖν τῶν ὅλων Σωτὴρ καὶ Κύριος, θεοπρεπεστάτην ἔχων τὴν ἐξουσίαν, τὴν τῶν ἁμαρτιῶν ἄφεσιν ἐπηγγέλλετο. θορυβεῖ δὲ πάλιν ὁ λόγος τὸ δυσπειθὲς καὶ βάσκανον τῶν Φαρισαίων ἐργαστήριον.

Τίτου τοῦ Βοστρῶν. Θαυμάσαι ἐστὶ τοὺς κομίσαντας τὸν παράλυτον, πῶς μὴ δυνηθέντες διὰ τῆς θύρας εἰσελθεῖν, ἀνεκόμισαν αὐτὸν ἐπὶ τὸ δῶμα, ὡς γὰρ ξένῳ καὶ καινῷ ἐπιχειρῆσαι πράγματι· ἀνασπάσαντες γὰρ τὸν κέραμον, μετεκίνησαν τὴν ἀποκειμένην ὕλην. καὶ ὅμως τούτων γενομένων, καὶ ὁ Ἰησοῦς ἐμακροθύμει, καὶ οἱ παρόντες ἐσιώπων, τὴν ἔκβασιν βουλόμενοι θεωρῆσαι, καὶ ἰδεῖν τί λαλεῖ καὶ τί ποιεῖ. Ἀναστομώσαντες τοίνυν τὸ δωμάτιον, χαλῶσι τὸν κράββατον, καὶ φέρουσι μέσον τὸν παραλελυμένον. Ὁ δὲ Κύριος, φησὶν, "ἰδὼν τὴν πίστιν αὐτῶν," οὐ τὴν πίστιν τοῦ παραλελυμένου, ἀλλὰ τὴν πίστιν τῶν καλῶς φιλοτιμησάντων, ὥστε ἄλλον δι' ἄλλων πίστιν θεραπεύεται. Εἴποι δ' ἂν τις ὕπαιθρον εἶναι τόπον, εἰς ὃν διὰ τῶν κεράμων κατεβίβασαν τὴν κλίνην τοῦ παραλύτου, μηδὲν παντελῶς τῆς στέγης ἀνατρέψαντες.

Κυρίλλου Ἀλεξανδρείας. "Τίς οὗτος," φησὶν, "ὃς λαλεῖ

"βλασφημίαν;" ἀλλ' οὐκ ἂν ἔφης, ὦ Φαρισαῖε, τουτὶ περὶ αὐτοῦ, εἰ τὰς θείας ἐπίστασο γραφάς· εἶτα προφητικῶν ἐμέμνησο λόγων, εἰ τὸ σεπτὸν καὶ μετὰ τῆς ἐνανθρωπήσεως συνῆκας μυστήριον. βλασφημίας δὲ ἐγκλήματι περιβάλλουσι, τὴν ἐσχάτην αὐτῶν καθορίζοντες δίκην, καὶ θάνατον καταψηφιζόμενοι. Τὸν γὰρ εἰπόντα δυσφημίαν κατὰ τοῦ Θεοῦ, θάνατον ὑπομένειν προσέταττε νόμος, ἐπειδὴ δὲ τοῦτο τετολμήκασι, διαδείκνυσιν εὐθὺς ὅτι Θεός ἐστιν, ἵνα πάλιν οὐ φορητῶς δυσσεβοῦντας ἐλέγξῃ. "Τί "γάρ," φησὶ, "διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν;" οὐκοῦν ὅταν λέγῃς, ὦ Φαρισαῖε, "τίς δύναται ἁμαρτίας ἀφιέναι, εἰ μὴ εἷς "ὁ Θεός;" ἐρῶ σοι κἀγὼ, τίς δύναται καρδίαν εἰδέναι, καὶ τοὺς ἐν τῷ βάθει τῆς διανοίας λογισμοὺς καθορᾷν, εἰ μὴ μόνος ὁ Θεός; Αὐτὸς γάρ πού φησι διὰ φωνῆς προφητῶν, "ὅτι ἐγὼ Κύριος "ἐτάζων καρδίαν καὶ δοκιμάζων νεφρούς·" ἔφη δέ που καὶ Δαβὶδ περί τε αὐτοῦ καὶ ἡμῶν, "ὁ πλάσας κατὰ μόνας τὰς καρδίας "αὐτῶν·" οὐκοῦν ὁ εἰδὼς καρδίαν καὶ νεφροὺς ὡς Θεὸς, οὗτος ἀφίησι καὶ ἁμαρτίαν ὡς Θεός.

ΚΕΦ. ΙΔ.

Περὶ τοῦ Λευΐ.

27 Καὶ μετὰ ταῦτα ἐξῆλθε, καὶ ἐθεάσατο τελώνην, ὀνόματι Λευΐν.

Τοῦ αὐτοῦ. Τελώνης ἦν ὁ Λευΐ[b], ἀνὴρ ἄπληστος εἰς φιλοκερδίαν, ἀχάλινος εἰς πλεονεξίαν, τῶν οὐδὲν προσηκόντων αὐτῷ ἄδικος ἐραστής· τοῦτο γὰρ τοῖς τελώναις τὸ ἐπιτήδευμα· ἀλλ' ἐξ αὐτῶν ἡρπάζετο τῶν τῆς ἀδικίας ἐργαστηρίων, καὶ σέσωσται παραδόξως, κεκληκότος αὐτὸν τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ· ἔφη γὰρ αὐτῷ, "ἀκολούθει μοι." ὁ δὲ πάντα ἀφεὶς ἠκολούθησεν αὐτῷ. Ὁρᾷς ὡς ἀληθεύει λέγων ὁ σοφώτατος Παῦλος, "ὅτι Χριστὸς "ἦλθεν εἰς τὸν κόσμον, ἁμαρτωλοὺς σῶσαι." ὁρᾷς ὡς σαρκωθεὶς ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος τὰ σκεύη τοῦ διαβόλου μετέστησεν εἰς

[h] λευΐσον Cod.

ἑαυτόν; καὶ σέσωσται μὲν ὁ Λευῒ[c], ἡμῖν δὲ τὸ πρᾶγμα χρηστὰς ἐποίησε τὰς ἐλπίδας· ὅτι γὰρ σώζει τὸ μετανοεῖν, ἐξ αὐτοῦ τοῦ γεγονότος δεδιδάγμεθα· πιστεύσεται δὲ αὐτὸς ὁ τῶν ὅλων δεσπότης Θεὸς διὰ φωνῆς προφήτου λέγων[d], "ἐπιστράφητε πρός με "καὶ σωθήσεσθε, οἱ ἀπ' ἐσχάτου τῆς γῆς." Ἀλλ' εἰσί τινες οἱ τῆς θείας γαληνότητος ἐπιχειροῦντες ἀποστερεῖν τοὺς ταῖς ἁμαρτίαις ἐνειλημμένους· οὐ γὰρ παραδέχονται μετάνοιαν, ἀλλ' οἷον ἐπιτιμῶσι τῷ σώζοντι, ζητοῦντι τὰ ἑαυτοῦ καὶ πανταχόθεν συλλέγοντι τὸ ἐσκορπισμένον, καὶ οὐκ ἀκούουσι λέγοντος τοῦ Σωτῆρος, "οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. "οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν."

Τοῦ αὐτοῦ. Ὁ γὰρ τῶν ὅλων Σωτὴρ, ἅτε δὴ ἰατρὸς ὑπάρχων πνευμάτων, οὐκ ἀποφοιτᾷ τῶν δεομένων αὐτοῦ, καὶ ὡς διασμῆξαι δυνάμενος τοῖς οὔπω κεκαθαρμένοις οἰκονομικῶς συνηυλίζετο· ἴδωμεν δὲ, ὦ Φαρισαῖε, τοῦ σοῦ φρονήματος τὴν ἀτροπίαν, ὁποίων σοι γέγονεν αἰτιαμάτων πρόξενος ἡ κατὰ τῶν ἐν ἁμαρτίαις ὀφρύς· αὐτὸν λάβωμεν ἐξηγητὴν, τὸν πάντα εἰδότα Χριστόν. Ἔφη γὰρ οὕτω· "ἄνθρωποι δύο ἀνέβησαν εἰς τὸ ἱερὸν προσεύξασθαι, ὁ εἷς "Φαρισαῖος, καὶ ὁ ἕτερος τελώνης· ἀλλ' ὁ μὲν Φαρισαῖος στὰς "προσηύχετο λέγων, Ὁ Θεὸς, εὐχαριστῶ σοι," καὶ τὰ ἑξῆς.

Περὶ δὲ τοῦ εἰπεῖν τὸν Εὐαγγελιστὴν ἐν σαββάτῳ δευτεροπρώτῳ, ὁ ἅγιος Ἰσίδωρος ὁ Πηλουσιώτης οὕτω λέγει, "ὅτι δευ-"τερόπρωτον εἴρηται, ἐπειδὴ δεύτερον μὲν ἦν τοῦ Πάσχα, πρῶτον "δὲ τῶν ἀζύμων." Εἰ δὲ σάββατον εἴρηται, μὴ θαυμάσῃς, σάββατον γὰρ πᾶσαν ἑορτὴν καλοῦσι, καὶ διὰ τοῦτο εἴρηται σάββατα σαββάτων.

Κυρίλλου Ἀλεξανδρείας. Ταῦτα πεπραχὼς ὁ Δαβὶδ παρά γε τὸ τῷ νόμῳ δοκοῦν, τοῦ παντὸς παρ' ὑμῖν ἀξιοῦται θαύματος, ὀρθῶς καὶ δικαίως· καὶ γὰρ ἦν ἀληθῶς ἅγιος καὶ προφήτης· οὐκοῦν τοῦ διὰ Μωϋσέως νόμου φάσκοντος ἐναργῶς, "κρῖμα "δίκαιον κρίνετε," καὶ "οὐ λήψῃ πρόσωπον ἐν κρίσει," πῶς τοὺς ἐμοὺς κατακρίνετε μαθητάς; καὶ εἰς δεῦρο θαυμάζοντες

[c] λευῒσὰς Cod. [d] ἔλεγεν Cod.

ὡς ἅγιον καὶ προφήτην τὸν μακάριον Δαυίδ· καίτοι τὴν Μωϋσέως ἐντολὴν οὐ τετηρήκατε.

Τίτου ἐπισκόπου Βοστρῶν. *Οὐδεὶς καλεῖται υἱὸς ἀνθρώπου, ἀλλ' Ἰησοῦς μόνον ἑαυτὸν οὕτω καλεῖ· ἐπειδὴ Υἱὸς ὢν Θεοῦ, παραδόξως κατηξίωσεν υἱὸς ἀνθρώπου δι' ἀνθρώπους κληθῆναι· ἑαυτὸν οὖν καὶ κύριον τοῦ σαββάτου, ὡς δημιουργὸν καὶ ποιητὴν καὶ νομοθέτην τοῦ σαββάτου ἐκάλεσεν.*

ΚΕΦ. ΙΕ.

Περὶ τοῦ ξηρὰν ἔχοντος τὴν χεῖρα.

9 Ἐπερωτήσω ὑμᾶς τί ἔξεστι τοῖς σάββασιν, ἀγαθοποιῆσαι ἢ κακοποιῆσαι;

Τίτου ἐπισκόπου Βοστρῶν. *Σοφωτάτη λίαν ἡ πεῦσις, πρέπουσα ταῖς ἐκείνων ἀβελτηρίαις ἡ πρότασις· εἰ μὲν γὰρ ἔξεστιν ἀγαθοποιεῖν ἐν σαββάτῳ καὶ τὸ κωλύον οὐδὲν ἐλεεῖσθαι παρὰ Θεοῦ τοὺς κάμνοντας, παῦσαι συλλέγων τὰς κατὰ Χριστοῦ συκοφαντίας, τὰς ἀφορμὰς, καὶ τῇ σαυτοῦ κεφαλῇ καταχέων τὴν δίκην, ἣν ἐπήρτησεν ὁ Πατὴρ τοῖς ἀτιμάζουσι τὸν Ἰησοῦν· ἤκουσας λέγοντος περὶ αὐτοῦ διὰ φωνῆς τοῦ Δαβὶδ, "καὶ "συγκόψω τοὺς ἐχθροὺς αὐτοῦ ἀπὸ προσώπου αὐτοῦ, καὶ τοὺς "μισοῦντας αὐτὸν τροπώσομεν." Εἰ δὲ οὐκ ἔξεστιν εὖ ποιεῖν ἐν σαββάτῳ, κεκώλυκεν ὁ νόμος σώζεσθαι ψυχήν· γέγονε τοῦ νομοθέτου κατήγορος, διαβέβληκεν ἐντολὴν, ἐφ' ᾗ καὶ τεθαύμασται ἡ διὰ Μωϋσέως διακονία. ἀλλ' οὐχ ἑαυτῷ, φησιν, ὁ τῶν ὅλων Θεὸς τὸν ἐπὶ τῷ σαββάτῳ τέθεικε νόμον· ἡμῖν δὲ μᾶλλον τοῖς ὑπέχουσιν αὐτῷ τὸν αὐχένα· καλῶς ἔφης ἐπαινῶν τοὺς λόγους· οὐκοῦν ἀνάγκης καὶ νόμου τὸ θεῖον ἐλεύθερον· πῶς οὖν αἰτιᾷ καὶ ἐν σαββάτῳ Χριστὸν ἐλεεῖν ἐθέλοντα καὶ εὐεργετοῦντα ψυχήν; ὅταν δὲ καὶ τὸν ἐπὶ τῷ σαββάτῳ τέθεικε νόμον, πολυπραγμονεῖν μέλλομεν, ἐλεημοσύνης ἕνεκα παρὰ Θεοῦ διωρισμένον εὑρήσωμεν. Ἐκέλευσε γὰρ ἀργεῖν ἐν σαββάτῳ, καὶ μηδενὸς τὸ σύμπαν ἅπτεσθαι πόνου, ἀνίεσθαι δὲ μᾶλλον καὶ αὐτοῖς ὁμοῦ*

τοῖς ἀλόγοις τῶν ζώων. Ἔφη γὰρ, "ἵνα ἀναπαύσηται ὁ παῖς σου καὶ ἡ παιδίσκη σου, ὁ βοῦς σου καὶ τὸ ὑποζύγιόν σου καὶ πᾶν κτῆνός σου." ὁ δὲ βοῦν ἐλεῶν, καὶ τὰ ἕτερα τῶν κτηνῶν—

ΚΕΦ. Ιϛ.

Περὶ τῆς τῶν Ἀποστόλων ἐκλογῆς.

12 Εἰπὼν ὁ Εὐαγγελιστὴς "ὅτι ἐγένετο ἐν ταῖς ἡμέραις ταύταις, "ἐξῆλθεν ὁ Ἰησοῦς προσεύξασθαι εἰς τὸ ὄρος," καὶ τὰ ἑξῆς. *Ἔδειξε διὰ τούτου, καθὼς ὁ ἅγιος Κύριλλός φησιν, ὅτι πάντα πρὸς οἰκοδομὴν ἡμετέραν, καὶ εἰς ὄνησιν τῶν πιστευόντων εἰς αὐτὸν εἰργάζετο ὁ Χριστὸς, καὶ πνευματικῆς πολιτείας τρόπον τινὰ τὸ καθ' ἑαυτὸν ἀναθεὶς, ἀληθινὴν ἤθελεν ἀποφαίνειν προσκυνητικὴν, καὶ ὅτι τὰς πρὸς Θεὸν ἱκετείας λάθρα καὶ κεκρυμμένως, καὶ οὐδενὸς ὁρῶντος προσήκει ποιεῖν. Τοῦτο γὰρ δηλοῖ τὸ εἰς ὄρος κατὰ μόνας καὶ ὡς ἐν σχολῇ προσεύχεσθαι τὸν Κύριον ἡμῶν Ἰησοῦν, καθὼς καὶ ἐδίδαξεν ἡμᾶς, εἰπὼν, "σὺ δὲ, ὅταν προσεύχῃ, "εἴσελθε εἰς τὸ ταμιεῖόν σου," καὶ τὰ ἑξῆς. Καὶ γὰρ ἀφιλοδόξως καὶ ὁσίους ἐπαίροντας χεῖρας προσεύχεσθαι δεῖ, ὥσπερ εἰς τὸ τῆς θεοπτίας ὕψος ἀποπηδῶντος τοῦ νοῦ, καὶ ἀποφοιτῶντος μὲν θορύβου παντὸς, ἀποτρέχοντος δὲ καὶ μερίμνης κοσμικῆς. δεῖ δὲ τοῦτο δρᾷν, οὐκ ἀψικόρως καὶ ἀδρανῆ ἔχοντας ὀλιγοψυχίαν, εὐτόνως δὲ μᾶλλον καὶ ἐν σπουδῇ, καὶ οὐκ ἀθαύμαστον ἔχοντας τὴν ὑπομονὴν, καὶ ἐν δευτέρῳ τὰς ἐν χερσὶν ἐργασίας τιθεμένους. Ἀκηκόαμεν γὰρ, ὅτι οὐ χαλεπῶς ηὔχετο ὁ Χριστὸς, ἀλλ' ὅτι διενυκτέρευε τοῦτο δρῶν. Περὶ τῆς τῶν Ἀποστόλων ἐκλογῆς, καὶ περὶ τῶν μακαρισμῶν προεγράφη εἰς τὸ κατὰ Ματθαῖον.*

ΚΕΦ. ΙΖ.

Περὶ τῶν μακαρισμῶν.

20 Προαποφήνας παντὸς ἀγαθοῦ τὴν διὰ Θεοῦ πτωχείαν γινομένην, καὶ τὸ πεινῆν καὶ κλαίειν οὐκ ἄμισθον ἔσεσθαι τοῖς ἁγίοις εἰπὼν, μεθίστησι τὸν λόγον ἐπὶ τὰ ἐναντίως ἔχοντα τούτοις. φησὶ

γὰρ, " οὐαὶ ὑμῖν τοῖς πλουσίοις, ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν, " οὐαὶ οἱ ἐμπεπλησμένοι ὅτι πεινάσετε. οὐαὶ ὑμῖν οἱ γελῶντες νῦν, " ὅτι πενθήσετε καὶ κλαύσετε· οὐαὶ ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες οἱ ἄνθρωποι·" δείκνυσι δὲ ταῦτα κολάσεως ὄντα καὶ δίκης ἐμποιητικὰ, ἵνα τῷ φόβῳ τῆς ἐπηρτημένης κολάσεως φεύγωσι μὲν τὸ πλουτεῖν, καὶ τὸ ἐν τρυφαῖς εἶναι καὶ γέλωτι, τουτέστιν, ἐν τέρψεσι κοσμικαῖς, τῇ δὲ τῶν στεφάνων ἐπιθυμίᾳ, ὧν κληρονομοι γενήσονται οἱ μακαρισθέντες, σαγηνεύονται πρὸς τοὺς πόνους, καὶ τὴν διὰ Θεὸν αἱρεῖσθαι πτωχείαν σπουδάσωσι. Καὶ γὰρ τοὺς μὲν κληρονόμους ἔσεσθαι τῆς τῶν οὐρανῶν βασιλείας φησί· τοὺς δὲ ἐσχάταις περιπετεῖσθαι συμφοραῖς· " ἀπέχετε γὰρ," φησὶ, " τὴν παράκλησιν " ὑμῶν." Λέγει δὲ καὶ τὴν ὁμοίαν τιμωρίαν ὑπομεῖναι καὶ τοὺς ὑπὸ πάντων ἀνθρώπων ἐπαινεῖσθαι θέλοντας.

Τοῦ ἁγίου Κυρίλλου Ἀλεξανδρείας. Εἰς καινότητα ζωῆς εὐαγγελικῆς, μετὰ τὴν χειροτονίαν καταρυθμίζων τοὺς ἑαυτοῦ μαθητὰς ὁ Σωτὴρ, ταῦτά φησι· περὶ ποίων δὲ ἄρα πτωχῶν ταῦτα λέγει ἀναγκαῖον ἰδεῖν. Ἐν μὲν γὰρ τῷ κατὰ Ματθαῖον μακαρίους ἔσεσθαι φησὶ τοὺς πτωχοὺς τῷ πνεύματι, καὶ αὐτῶν εἶναι τὴν βασιλείαν τῶν οὐρανῶν, ἵνα νοῶμεν πτωχοὺς τῷ πνεύματι, τὸν μετριόφρονα καὶ συνεσταλμένον ὥσπερ ἔχοντα νοῦν· ἀξιοζήλωτος δὲ ὁ τοιοῦτος καὶ Θεῷ γνώριμος· καὶ γοῦν ἔφη δι' ἑνὸς τῶν ἁγίων προφητῶν, " καὶ ἐπὶ τίνα βλέψω, ἀλλ' ἢ ἐπὶ ταπεινὸν καὶ ἡσύ" χιον καὶ τρέμοντά μου τοὺς λόγους;" Ἔφη δὲ καὶ ὁ προφήτης Δαβὶδ, " ὅτι καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ " Θεὸς οὐκ ἐξουδενώσει." καὶ μὲν αὐτὸς ὁ Σωτὴρ, " μάθετε ἀπ' " ἐμοῦ," φησὶν, " ὅτι πραΰς εἰμὶ καὶ ταπεινὸς τῇ καρδίᾳ·" ἐν δὲ τοῖς προκειμένοις ἡμῖν ἀναγνώσμασι μακαρίους ἔσεσθαί φησι τοὺς πτωχοὺς, οὐ προσκειμένους τῷ πνεύματι, οὐκ ἀλλήλοις ἐναντιούμενοι, ἀλλὰ μεριζόμενοι πολλάκις τὰ διηγήματα, καὶ ποτὲ μὲν διὰ τῶν αὐτῶν βαδίζουσι κεφαλαίων, ποτὲ δὲ τῷ ἑνὶ παραλειφθὲν, ἕτερος ταῖς ἰδίαις ἐντίθησι συγγραφαῖς, ἵνα μηδὲν τῶν ἀναγκαίων εἰς ὄνησιν λαθεῖν δυνηθῇ τοὺς πιστεύοντας εἰς Χριστόν. Ἔοικε τοίνυν πτωχοὺς ὀνομάζειν ἐν τούτοις τοὺς ἀφιλοπλούτους καὶ φιλοκερδίας κρείττονας καὶ τὸν τρόπον ἔχοντας ἀφιλάργυρον· καὶ

γε οὖν ὁ σοφώτατος Παῦλος ἀρίστων ἡμῖν μαθημάτων εἰσηγητὴς ἀνεδείκνυτο λέγων, “ἀφιλάργυρος ὁ τρόπος, ἀρκούμενοι τοῖς παροῦσι.” προσετίθει δὲ τούτοις, ὅτι “ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα.” Ἔδει γὰρ, ἔδει τὸ σωτήριον καὶ εὐαγγελικὸν μέλλοντας αὐτοὺς διαγγέλλειν κήρυγμα τοῖς ἁπανταχόσε, ἀφιλόπλουτον ἔχειν τὸ φρόνημα, καὶ εὔσχολον ἐπὶ τὰ κρείττω τὴν ἐπιθυμίαν. Οὐ πάντων δὲ τῶν ἐν εὐπορίᾳ ὄντων ὁ λόγος καθάπτεται, μόνων δὲ ἐκείνων τῶν περὶ τὰ χρήματα τὸν πόθον κεκτημένων. Τίνες δέ εἰσιν οὗτοι; οἱ μὲν τῆς τοῦ Κυρίου φωνῆς ἀκούοντες λέγουσι, “μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς, ὅπου σὴς καὶ βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται διορύσσουσι καὶ κλέπτουσι· θησαυρίζετε δὲ ὑμῖν μᾶλλον θησαυροὺς ἐν οὐρανῷ. Ὅπου γάρ ἐστιν ὁ θησαυρός σου, ἐκεῖ ἔσται καὶ ἡ καρδία σου.” . . . .

Ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρχετο, καὶ ἰᾶτο πάντας.

Τοῦ ἁγίου Κυρίλλου Ἀλεξανδρείας. Οὐ γὰρ ἰσχὺν ἐδανείζετο τὴν παρ' ἑτέρου Χριστὸς, ἀλλ' αὐτὸς ὢν φύσει Θεὸς, εἰ καὶ γέγονε σὰρξ, τὴν ἐπὶ τοῖς κάμνουσιν ἐκπέμπων δύναμιν ἰᾶτο πάντας.

Αἱ διδασκαλίαι αἱ ἐφεξῆς ἐγράφοντο εἰς τὸ κατὰ Ματθαῖον, ἕως “καὶ ἐγένετο τὸ ῥῆγμα τῆς οἰκίας ἐκείνης μέγα·” ὁμοίως καὶ περὶ τοῦ ἑκατοντάρχου προεγράφη.

Λέγει δὲ ὁ Χρυσόστομος εἰς τὸ κατὰ Ματθαῖον, ἑρμηνεύων τὰ περὶ τοῦ ἑκατοντάρχου, τὸν αὐτὸν εἶναι τὸν εἰς τὸν Λουκᾶν, τὸν δὲ εἰς τὸν Ἰωάννην ἕτερον.

Τοῦ ἁγίου Τίτου Βοστρῶν. Ὅταν ἀκούῃς τῶν Εὐαγγελίων λεγόντων, μὴ βαρηθῇς τὴν διάνοιαν, ἀλλὰ προθυμήθητι τὴν προαίρεσιν· οὐ γὰρ ἄτονος, οὐδὲ πρὸς τὰ εὔκολα εὔτονος· ὁ δὲ πρόθυμος καὶ πρὸς τὰ δυσχερῆ δυνατὸς, “λάβετε,” φησὶ, “τὸν ζυγόν μου, καὶ ἴδετε ὅτι ἐλαφρόν ἐστι τὸ φορτίον μου·” ἐὰν γὰρ ὅλως αὐτὸν βαστάζῃς, τὸ δοκοῦν εἶναί σοι βαρὺ, εὑρίσκεται κουφότατον πρὸς τὴν πεῖραν.

27 Κυρίλλου Ἀλεξανδρείας. Ἀληθεύει λέγων ὁ μακάριος Παῦλος, ὅτι “εἴ τις ἐν Χριστῷ καινὴ κτίσις·” πάντα γὰρ γέγονεν ἐν αὐτῷ τε καὶ δι' αὐτοῦ καινά· καὶ διαθήκη καὶ νόμος καὶ πολι-

τεία. Ἄθρει δὲ ὅπως πρεπωδεστάτη λίαν ἐστὶ τοῖς ἁγίοις μυσταγώγησις ἡ τοιάδε πολιτεία καὶ ζωή. ἔμελλον τοῖς ἁπανταχόσε γῆς τὸ σωτήριον ἐξαγγέλλειν κήρυγμα, καὶ ἦν ἐντεῦθεν προσδοκᾷν, οὐκ εὐαριθμήτους ἔσεσθαι τοὺς διώκοντας αὐτοὺς, καὶ πολυτρόπως ἐπιβουλεύοντας. ἀλλ' εἰ συνέβη ταῖς τοιαύταις λύπαις ἀχθεσθῆναι τοὺς μαθητὰς, εἶτα θέλειν ἀμύνεσθαι τοὺς λελυπηκότας, ἐσίγησαν ἂν, καὶ παρέδραμον αὐτοὺς, οὐκέτι τὸ θεῖον αὐτοῖς παρατιθέντες κήρυγμα, οὐ καλοῦντες εἰς ἐπίγνωσιν ἀληθείας. ἔδει τοίνυν ταῖς οὕτω σεπταῖς ἀνεξικακίαις τὸν τῶν ἁγίων μυσταγωγὸν ἀναχαιτίσαι[d] νοῦν, ἵνα πάντα γενναίως φέρωσι τὰ συμβαίνοντα, κἂν ὑβρίζωσί τινες, κἂν ἀνοσίως ἐπιβουλεύωσι. Πέπραχε δὲ τοῦτο καὶ πρό γε τῶν ἄλλων αὐτὸς εἰς ὑποτύπωσιν ἡμετέραν. ἔτι γὰρ ἀπηρτισμένος τοῦ τιμίου σταυροῦ, καίτοι τῆς Ἰουδαίων πληθύος ἐπιγελώσης αὐτῷ, τὰς πρὸς Θεὸν καὶ Πατέρα λιτὰς ὑπὲρ αὐτῶν ἐποιεῖτο λέγων, "ἄφες αὐτοῖς, ὅτι οὐκ οἴδασι τί ποιοῦσι." Ναὶ μὴν καὶ ὁ μακάριος Στέφανος καί τοι βαλλόμενος λίθοις, θεὶς τὰ γόνατα προσηύξατο λέγων, "Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν "ἁμαρτίαν ταύτην." Καὶ ὁ μακάριος δὲ Παῦλος, "εὐλογού-"μενοι εὐλογοῦμεν, δυσφημούμενοι παρακαλοῦμεν." οὐκοῦν ἀναγκαῖα μὲν ἡ τοιάδε παραίνεσις τοῖς ἁγίοις Ἀποστόλοις, χρησιμωτάτη δὲ καὶ ἡμῖν αὐτοῖς εἴς τε τὸ χρῆναι βιοῦν ὀρθῶς καὶ τεθαυμασμένως· μεστὴ γάρ ἐστι πάσης φιλοσοφίας. δυσκατόρθωτον δὲ ἀποτελοῦσιν αὐτὴν ταῖς ἡμετέραις διανοίαις προλήψεις οὐκ ἀγαθαὶ, καὶ τῶν ἐν ἡμῖν ὄντων παθῶν ἡ δυσκαταγώνιστος τυραννίς.

31 Καὶ καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν, οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως.

Τοῦ αὐτοῦ. Ἀλλ' ἦν εἰκὸς τοὺς ἁγίους Ἀποστόλους οἰηθῆναι τάχα που δυσκατόρθωτα εἶναι τὰ εἰρημένα· ὁ τοίνυν τὰ πάντα εἰδὼς, τὸν τῆς ἐν ἡμῖν φιλαυτίας νόμον δέχεται βραβευτὴν, ὧν ἂν βούλοιτό τις περ' ἑτέρου τυχεῖν. Γενοῦ γὰρ τοιοῦτος, φησὶν, εἰς ἑτέρους αὐτὸς, ὁποίους περ ἂν θέλῃς εἶναι περὶ σέ· εἰ μὲν σκληροὺς καὶ ἀσυμπαθεῖς, θρασεῖς καὶ ὀργίλους,

[d] Cod. ἀναχετίσαι.

μνησικάκους καὶ πονηροὺς, ἔσο καὶ αὐτὸς τοιοῦτος· εἰ δὲ τοὐναντίον, χρηστοὺς καὶ ἀμνησικάκους, μὴ ἀφόρητον ἡγοῦ τοιοῦτον εἶναί σε· καὶ τάχα που τοῖς οὕτω διακειμένοις περιττὸς ὁ νόμος, ἐγγράφοντος Θεοῦ ταῖς καρδίαις ἡμῶν τὴν τοῦ ἰδίου θελήματος γνῶσιν· “Ἐν γὰρ ταῖς ἡμέραις ἐκείναις,” φησὶ, “λέγει Κύριος, διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ τὴν καρδίαν αὐτῶν ἐπιγράψω αὐτούς.”

Τοῦ αὐτοῦ. Ἄριστον καὶ τοῦτο χρῆμα καὶ Θεῷ θυμαρέστατον, καὶ ὁσίαις ψυχαῖς τοῦτο μάλιστα πρέπον· ὅτι δὲ πλουσιωτέρᾳ χειρὶ ληψόμεθα τὴν ἀντέκτισιν παρὰ τοῦ πάντα πλουσίως νέμοντος Θεοῦ τοῖς ἀγαπῶσιν αὐτὸν, αὐτὸς πεπληροφόρηκεν, εἰπὼν, “ὅτι μέτρον καλὸν πεπιεσμένον, ὑπερεκχυνόμενον δώσωσιν εἰς τὸν κόλπον ὑμῶν.”

41 Τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου;

Τοῦ αὐτοῦ. Πᾶν χαλεπὸν ἀποκείρει πάθος τῶν ἡμετέρων διανοιῶν, ὑπεροψίας ἀρχὴν καὶ γένεσιν. καί τοι γὰρ δέον τινὰς ἑαυτοὺς κατασκέπτεσθαι καὶ κατὰ Θεὸν πολιτεύεσθαι· τοῦτο μὲν οὐ δρῶσι, πολυπραγμονοῦσι δὲ τὰ ἑτέρων, κἂν ἀσθενοῦντας ἴδωσί τινας, ὥσπερ εἰς λήθην ἐρχόμενοι τῶν ἰδίων ἀῤῥωστημάτων, φιλοψογίας ὑπόθεσιν ποιοῦνται τὸ χρῆμα, καὶ καταλαλιᾶς ἀφορμήν· καταψηφίζονται γὰρ αὐτῶν, οὐκ εἰδότες ὅτι τὰ ἴσα νοσοῦντες τοῖς παρ' αὐτῶν διαβεβλημένοις ἑαυτοὺς κατακρίνουσιν· οὕτω που καὶ ὁ σοφώτατος γράφει Παῦλος· “ἐν ᾧ γὰρ κρίνεις τὸν ἕτερον, ἑαυτὸν κατακρίνεις· τὰ γὰρ αὐτὰ πράττεις ὁ κρίνων.” καίτοι μᾶλλον ἐχρῆν ἀσθενοῦντας ἐλεεῖν ὡς ταῖς τῶν παθῶν ἐφόδοις ὑπεστρωμένους, καὶ τοῖς τῆς ἁμαρτίας βρόχοις ἀφύκτως ἐνειλημμένους, καὶ ὑπερεύχεσθαι τῶν τοιούτων, καὶ παρακαλεῖν αὐτοὺς καὶ διεγείρειν εἰς νῆψιν, καὶ πειρᾶσθαι μὴ τοῖς ἴσοις περιπεσεῖν αἰτιάμασιν· “ὁ γὰρ κρίνων τὸν ἀδελφὸν,” καθά φησιν ὁ τοῦ Χριστοῦ μαθητὴς, “καταλαλεῖ νόμου καὶ κρίνει νόμον.” εἷς ἐστιν ὁ νομοθέτης καὶ κριτὴς, ἄνω γὰρ δεῖ τῆς ἁμαρτανούσης φύσεως εἶναι τὸν ταύτης κριτήν· σὺ δὲ μὴ τοιοῦτος ὢν, τί κρίνεις τὸν πλησίον; ἀπολογήσεται τῷ κριτῇ ὁ ἁμαρτάνων. εἰ δὲ

τολμᾷς κατακρίνειν, καί τοι τούτου μὴ ἔχων τὴν ἐξουσίαν, κατακριθήσῃ μᾶλλον αὐτὸς, ὡς οὐκ ἐῶντος τοῦ νόμου τὸ κρίνειν ἑτέρους.

Τοῦ αὐτοῦ. Ἐξ ἀναγκαίων ἡμᾶς ἀναπείθει λογισμῶν ἀποσχέσθαι μὲν τοῦ βούλεσθαι κρίνειν ἑτέρους· τὴν ἑαυτῶν δὲ μᾶλλον καρδίαν περιεργάζεσθαι, καὶ τῶν ἐνόντων αὐταῖς παθῶν ἀπαλλάττεσθαι ζητεῖν, αἱροῦντας τοῦτο παρὰ Θεοῦ. Αὐτὸς γάρ ἐστιν ὁ ἰώμενος τοὺς συντετριμμένους τῇ καρδίᾳ, καὶ ψυχικῶν ἡμᾶς νοσημάτων ἐλευθερῶν. Τί γὰρ, εἰ νοσῶν αὐτὸς τὰ ἔτι μείζω καὶ χαλεπώτερα τῶν ὄντων ἐν ἑτέροις ἀφεὶς τὰ κατὰ σεαυτὸν, ἐκείνοις ἐπιτιμᾷς; οὐκοῦν ἅπασι μὲν τοῖς ἐθέλουσιν εὐσεβῶς ἀναγκαία εἰς ὄνησιν ἡ ἐντολὴ, μάλιστα δὲ τοῖς τὸ διδάσκειν ἑτέρους ἐγκεχειρισμένοις· εἰ μὲν γὰρ εἶεν ἀγαθοὶ καὶ νηφάλιοι, καθάπερ εἰκὸς, ζωῆς εὐαγοῦς τὰ καθ' ἑαυτοὺς ἀναστήσοντες τοῖς μὴ τὰ ἴσα δρᾷν ἑλομένοις, εὐπροσώπως ἐπιτιμήσωσιν, ὅτι μὴ τοὺς τῆς ἐνούσης αὐτοῖς ἐπιεικείας ἀνεμάξαντο τρόπους. Εἰ δὲ ῥάθυμοί τινες εἶεν καὶ ταῖς εἰς τὸ φαῦλον ἡδοναῖς εὐάλωτοι, πῶς ἂν ἑτέροις τὰ ἴσα νοσοῦσιν ἐπιτιμήσειαν;

Ὠριγένους. Δένδρον ἀγαθὸν τὸ Πνεῦμα τὸ Ἅγιον, δένδρον πονηρὸν ὁ διάβολος καὶ οἱ τούτου ὑπηρέται. ὁ ἔχων τὸ Πνεῦμα τὸ Ἅγιον, τοὺς τούτου καρποὺς ἐπιδείκνυται, οὓς ἀπαριθμεῖται ὁ ἀπόστολος Παῦλος. ὁ δὲ δύναμιν ἀντικειμένην ἔχων, τῆς ἀτιμίας τὰ πάθη ἀκάνθας καὶ τριβόλους ἀνατέλλεται.

Τίτου Βοστρῶν. Διαφύγωμεν τὴν φθορὰν τῆς ἁμαρτίας, καὶ ὅταν λέγῃ ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν, "οὐκ ἔστι δένδρον ἀγαθὸν "ποιοῦν καρπὸν σαπρὸν," μὴ λάβῃς συγγνώμην ἑαυτῷ τῆς ῥαθυμίας· τὸ μὲν γὰρ δένδρον φύσει κινεῖται, σὺ δὲ προαιρέσει πολιτεύῃ· καὶ πᾶν δένδρον μὴ φέρον καρπὸν, εἰς ἄλλην χρείαν κατεσκευάσθη, σὺ δὲ εἰς ἐργασίαν ἀρετῆς ἀνεδείχθης.

Μή τις τοίνυν αἱρετικὴν ἀκοὴν παρεισφέρων κακῶς νοείτω ταῦτα. Εἰ γὰρ φύσει κακὸς τυγχάνεις, τί μανθάνεις; εἰς τί διδάσκῃ; τὸ γὰρ φύσει ὂν ἀμετάβλητον πρᾶγμα· εἰ δὲ ἡ μεταβολὴ διδάσκει καὶ ὁ λόγος ἐντρέπει καὶ ἡ παραίνεσις μεταποιεῖ, καὶ ἡ διδασκαλία μεταβάλλει τὴν διάνοιαν, ἡ μὲν ὑποψία τῆς ἀνάγκης ἐκβάλλεται, τὸ δὲ δόγμα τῆς προαιρέσεως ὁμολογεῖται. Διὰ τοῦτο καὶ κλῆσις, διὰ τοῦτο καὶ διδασκαλία, διὰ τοῦτο

καὶ Χριστὸς παρεγένετο. Εἰ γὰρ ἦν ἀμετάβλητα φύσει τὰ πράγματα, μάτην ταῦτα ἐγίνετο· νῦν δὲ ὅρα μοι τὴν μεταβολὴν, καὶ νόει μοι τὴν προαίρεσιν· οὐδεὶς αἰτιᾶται τὰ ἄλογα ζῶα φύσει κινούμενα, ἀλλὰ τοὺς πρὸς τὴν ὁμοιοτροπίαν τῶν ἀλόγων ἀντ' ἐξουσίας ἐκκλίνοντας ἀνθρώπους.

Ἐξ ἀνεπιγράφου. Πολλὰ τὰ προπολεμοῦντα, καὶ πρὸς πολλοὺς ὁ ἀγὼν ἀνθρώποις δαίμονας, πάθη ψυχῆς, ὀδύνας σωμάτων καὶ θλίψεις πραγμάτων. πλὴν εἰ ταῦτα ἐπέλθῃ, βεβαιοῦσι τὸν ἐν τοῖς τοῦ Κυρίου παραγγέλμασι διὰ τῆς καθ' ἑκάστην ἡμέραν ἀσκήσεως, ἵνα μὴ καθάπερ βιαίων ὑδάτων ἐμβολὴ προελθοῦσα, σαθρὰ τὰ ἐν ἡμῖν δόγματα διασκεδάσει, ἀλλ' ἐν εὐδοκιμήσει τοῖς ἐναντιουμένοις πράγμασιν ἀκατάλυτος οὖσα ἡ ἀρετὴ, καὶ μὴ τῷ πτώματι περιφανεῖς ἀλλὰ τῇ νίκῃ γενώμεθα· περιφανὲς γὰρ καὶ τὸ πτῶμα τῶν μεγάλα δεδιδαγμένων, ὅταν μεγάλων ἀποπίπτωσι. Περιφανὴς δὲ καὶ ἡ δόξα τῶν ἐν πίστει βεβαίων, ὅτι ἐπὶ μεγάλοις στηρίζονται.

ΚΕΦ. ΙΗ.

Περὶ τοῦ Ἑκατοντάρχου.

1 Ἐπεὶ δὲ ἐπλήρωσε πάντα τὰ ῥήματα αὐτοῦ εἰς τὰς
2 ἀκοὰς τοῦ λαοῦ, εἰσῆλθεν εἰς Καπερναούμ. Ἑκατον-
τάρχου δέ τινος δοῦλος κακῶς ἔχων ἔμελλε τελευτᾶν.

Ἀνήρ τις ἐπεικὴς καὶ τῇ τῶν ἠθῶν χρηστότητι διαπρέπων, καὶ στρατιωτῶν ἡγούμενος τοῖς οἰκοῦσι τὴν Καπαρναοὺμ, συνέστιος ἦν· τούτου συνέβη τινὰ τῶν γνησίων οἰκετῶν ἀρρωστίᾳ περιπεσεῖν, καὶ ὡς ἐν ἐσχάταις ὁρᾶσθαι λοιπὸν ἐκπνοαῖς. Καὶ ἤκουσε, φησὶ, τὰ περὶ τοῦ Ἰησοῦ· εἶτα πέμπει πρὸς αὐτὸν, ὡς παρὰ Θεοῦ δηλονότι τὰ ὑπὲρ ἀνθρώπου φύσιν τε καὶ δύναμιν ἐξαιτῶν· ἠξίου γὰρ τῶν τοῦ θανάτου δεσμῶν ἀπαλλάττεσθαι τὸν ἐσχάτῃ νόσῳ κατειλημμένον.

Δηλώσαντος δὲ τοῦ Εὐαγγελιστοῦ περὶ τῶν ἀπεσταλμένων πρὸς τὸν Κύριον ὑπὸ τοῦ ἑκατοντάρχου, οὐκ ἀργῶς καὶ ὡς ἔτυχε χρὴ σκοπεῖν ἡμᾶς καὶ ἐν τούτῳ τὴν τοῦ Κυρίου θαυματουργίαν, ἐλέγχοντος τὴν τῶν Ἰουδαίων ἀγνωμοσύνην, διὰ τῶν Ἰουδαίων αὐτῶν

λέγων "παραγενόμενοι" γὰρ, φησὶ, "πρὸς τὸν Ἰησοῦν, παρεκάλουν αὐτὸν σπουδαίως λέγοντες, ὅτι ἄξιός ἐστιν, ᾧ παρέξει τούτῳ." οἱ γὰρ τὴν εἰς αὐτὸν πίστιν παραιτούμενοι παρεκάλουν αὐτὸν ἐνδείκνυσθαι τοῖς πιστεύουσιν ἐθνικοῖς, ὅτι Θεός ἐστιν ἀληθῶς. Τίνος γάρ ἐστιν ἄλλου τὸ ῥύεσθαι ἐκ θανάτου; ὅθεν εἰκότως ἐξώσθησαν μὲν οὗτοι οἱ ἀγνώμονες· εἰ ἐκλήθη δὲ καὶ προσεδέχθη τὰ ἔθνη, ἑτοιμοτέραν ἐσχηκότα τὴν καρδίαν εἰς τὸ πιστεύειν ἐπὶ τὸν Κύριον· κἂν τὰ μάλιστα πρότερον ἦσαν ἐν ἁμαρτίαις πολλαῖς, διὰ τὴν τοῦ Θεοῦ ἀγνωσίαν, κατὰ τὸ "ἐπληθύνθησαν αἱ ἀσθένειαι αὐτῶν," καὶ τὰ ἑξῆς. Πάλιν τὴν ἑτοιμασίαν τῆς καρδίας αὐτῶν προσέσχε τὸ οὗσσου[e].

ΚΕΦ. ΙΘ.

Περὶ τοῦ υἱοῦ τῆς Χήρας.

Τίνος ἕνεκεν μετὰ τὸ ἰάσασθαι τὸν δοῦλον τοῦ ἑκατοντάρχου, μὴ καλούμενος ὑπό τινος ἐπὶ νεκροῦ ἀνάστασιν πορεύεται ὁ πάντα εἰδὼς, καὶ ζωῆς καὶ θανάτου τὴν ἐξουσίαν ἀνέχων; "καὶ" γάρ φησιν, "ἐπορεύετο εἰς πόλιν καλουμένην Ναῒν," καὶ τὰ ἑξῆς· οὐχ ἁπλῶς ἀλλ' οἰκονομικώτατα δρῶν, ἵνα μὴ λέγωσί τινες ὅτι οὐ παντελῶς ἔμελλε τελευτᾷν ὁ τοῦ ἑκατοντάρχου παῖς· κἂν εἰ τοῦτο γέγραφεν ὁ Εὐαγγελιστὴς, τὰ πρὸς χάριν μᾶλλον ἢ τὰ πρὸς ἀλήθειαν ἀφηγούμενος, βουλόμενος τὴν ἀκόλαστον τῶν τοιούτων ἀποφράξαι γλῶτταν. Διὰ τοῦτο ὑπήντησε Χριστὸς ὁ Θεὸς ἡμῶν τῷ ἐκκομιζομένῳ τεθνεῶτι, καὶ προσελθὼν ἥψατο τῆς σοροῦ, καὶ τὸν νεανίσκον ἀνίστησιν ὁ παντοδύναμος λόγῳ τε καὶ ἁφῇ. Διὰ τί δὲ οὐ λόγῳ μόνῳ ἐπλήρου τὸ θαῦμα, ἀλλὰ καὶ ἥψατο τῆς σοροῦ; ἵνα μάθωμεν ὅτι τὸ σῶμα Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, σῶμα ζωῆς ἐστι, καὶ σὰρξ τοῦ πάντα ἰσχύοντος Λόγου. Ἐπειδὴ γὰρ ἰδία γέγονε τοῦ λόγου ἡ σὰρξ τοῦ πάντα ζωογονοῦντος, διὰ τοῦτο ζωοποιός ἐστι καὶ αὐτὴ, καὶ θανάτου καὶ φθορᾶς ἀναιρετική.

"Ἀνεκάθισε" γὰρ, φησὶν, "ὁ νεκρὸς καὶ ἤρξατο λαλεῖν," ἵνα μὴ κατὰ φαντασίαν δόξῃ τισὶν ἐγηγέρθαι· καὶ γὰρ ἀληθοῦς ἀνα-

[e] Sic.

στάσεως ὑπῆρχον ταῦτα σημεῖα· ἄψυχον γὰρ σῶμα οὔτε ἀνακαθίσαι οὔτε λαλῆσαι δύναται· ὅθεν "καὶ ἔδωκεν αὐτὸν," φησὶ, "τῇ "μητρὶ αὐτοῦ."

16 Καὶ ἐδόξαζον τὸν Θεὸν λέγοντες, Ὅτι προφήτης μέγας ἐγήγερται ἐν ἡμῖν.

Τοῦ Ἁγίου Κυρίλλου Ἀλεξανδρείας. Μέγα δὲ τοῦτο παρά γε ἀναισθήτῳ καὶ ἀχαρίστῳ λόγῳ, μικρὸν γὰρ ὕστερον οὐδὲ γὰρ προφήτην, οὐδὲ εἰς ἀγαθὸν τοῦ λαοῦ πεφηνότα νομίζουσιν αὐτὸν, ἀλλὰ τὸν τοῦ θανάτου καταλύτην θανάτῳ παραδιδόασιν, οὐκ εἰδότες ὅτι τότε δὴ, τότε κατέλυε θάνατον, ἡνίκα ἐφ' ἑαυτοῦ τὴν ἀνάστασιν ἐποιήσατο.

ΚΕΦ. Κ.

Περὶ τῶν ἀποσταλέντων παρὰ Ἰωάννη.

20 Ἐπειδὴ δὲ τὸ παράδοξον τοῦ θαύματος εἰς φόβον ἤγαγεν ἅπαντας τοὺς τότε παρόντας, διελαλήθη τε καὶ ἐν ὅλῃ τῇ Ἰουδαίᾳ, καὶ αὐτῷ δὲ τῷ ἁγίῳ βαπτιστῇ ἀπήγγειλάν τινες τῶν μαθητῶν· προσκαλεσάμενος οὖν ἔπεμψεν αὐτοὺς πρὸς τὸν Κύριον, "λέγων, "σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν;"

Διὰ τί δὲ αὐτοὺς ἀπέστειλε, προεγράφετο εἰς τὸ κατὰ Ματθαῖον, ἕως "καὶ ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς."

Κυρίλλου Ἀλεξανδρείας. Οὐκ ἠγνόησεν ὁ μακάριος βαπτιστὴς τὸν ἐνανθρωπήσαντα τοῦ Πατρὸς λόγον· μὴ τοῦτο ὑπολάβῃς· ᾔδει γὰρ καὶ μάλα σαφῶς, ὅτι αὐτός ἐστιν ὁ ἐρχόμενος· εἰργάζετο δέ τι σοφὸν καὶ εὐμήχανον, καὶ ὅπερ ἦν εἰκὸς, οὐ μετρίως ὀνίνησι τοὺς ὑπ' αὐτοῦ μαθητευομένους· οἱ μὲν γὰρ οὔπω Χριστὸν εἰδότες, ἤτοι τὴν δόξαν αὐτοῦ καὶ τὴν κατὰ πάντων ὑπεροχὴν, ἠρέμα πῶς καὶ ὑπεδάκνοντο, θαυματουργοῦντος αὐτοῦ, καὶ ταῖς τῶν δρωμένων ὑπερβολαῖς νικῶντος τὸν βαπτιστήν.

Καὶ μετ' ὀλίγα· τί οὖν ἄρα βούλεται νοεῖν ἐρωτῶν καὶ "λέγων, "σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν;" ἔφαν τοίνυν ὅτι πλάττεται τὴν ἄγνοιαν οἰκονομικῶς, οὐχ ἵνα μάθοι μᾶλλον αὐτός· ᾔδει γὰρ ὡς πρόδρομος τὸ μυστήριον, ἀλλ' ἵνα πληροφορηθῶσιν οἱ αὐτοῦ μαθηταὶ, ὅση τίς ἐστιν ἡ τοῦ Σωτῆρος ὑπεροχὴ, καὶ ὅτι

τῆς θνεοπνεύστου γραφῆς ὁ λόγος, τὸν μὲν ὡς Θεὸν καὶ Κύριον ἥξοντα προμεμήνυκεν· οἱ δὲ ἄλλοι πάντες ἦσαν οἰκέται προαπεταλμένοι, δεσπότου ἑτοιμάζοντες τὴν ὁδὸν Κυρίου, καθὰ γέγραπται· ἐκλήθη τοίνυν διὰ τῶν προφητῶν ὁ ἐρχόμενος, ὁ τῶν ὅλων Σωτὴρ καὶ Κύριος.

Τοῦ αὐτοῦ. *Εἰδὼς ὡς Θεὸς ὁ Χριστὸς τὴν οἰκονομίαν τοῦ πράγματος καὶ τῆς τῶν Ἰωάννου μαθητῶν ἀφίξεως τὴν αἰτίαν, κατ᾽ ἐκεῖνο δὴ μάλιστα τοῦ καιροῦ πολλαπλασίας τῶν ἤδη γεγενημένων εἰργάζετο θεοσημείας· γεγονότες οὖν ἄρα τῆς ἐνούσης αὐτῷ μεγαλοπρεπείας ἐπόπται καὶ θεωροὶ, καὶ πολὺ τὸ θαῦμα τῆς ἐνούσης αὐτῷ δυνάμεώς τε καὶ ἐνεργείας ἐν ἑαυτοῖς συλλέξαντες, προσάγουσι τὴν ἐρώτησιν ὡς ἐξ Ἰωάννου λέγοντες, εἰ αὐτός ἐστιν ὁ ἐρχόμενος; ἐνταῦθά μοι βλέπε τῆς τοῦ Σωτῆρος οἰκονομίας τὸ εὔτεχνές· οὐ γὰρ ἁπλῶς ἔφη τὸ*[f] *ἀλλ᾽ ἀποφέρει μᾶλλον αὐτοὺς εἰς τὴν δι᾽ αὐτῶν τῶν πραγμάτων πληροφορίαν, ἵν᾽ ἐναφόρμως τὴν εἰς αὐτοὺς πίστιν παραδεξάμενοι, ὑπονοστήσωσι πρὸς τὸν ἀποστείλαντα αὐτούς· "πορευθέντες" γὰρ, φησὶ, "ἀπαγγείλατε Ἰωάννῃ, "ἃ ἴδετε*[g] *καὶ ἠκούσατε· τυφλοὶ ἀναβλέπουσι, χωλοὶ περιπα-"τοῦσι," καὶ τὰ ἑξῆς. Ταῦτα πάντα προαπηγγέλκασιν ὡς ἐσόμενα δι᾽ ἐμοῦ κατὰ καιροὺς οἱ μακάριοι προφῆται. Εἰ δὲ ἐγὼ γέγονα τῶν πάλαι προειρημένων ἀποτελετὴς, καὶ τούτων αὐτοὶ γεγόνατε θεωροὶ, μακάριος τοίνυν ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί.*

24 *Τί ἐξεληλύθατε εἰς τὴν ἔρημον θεάσασθαι;*

Τοῦ ἁγίου Τίτου Βοστρῶν. *Νομίζετε ὅτι Ἰωάννης μεταφέρεται ὧδε κἀκεῖ ὡς ὑπὸ πνευμάτων σαλευόμενος, ὥστε ποτὲ μὲν μαρτυρεῖν, ὅτι αὐτός εἰμι ὁ Χριστός· ἄλλοτε δὲ ἐρωτῶν, εἰ αὐτὸς ἐγώ εἰμι; οἶδα ἃ ποιεῖ· ἐμὸν τὸ πνεῦμα, ἐμὴ ἡ χάρις, ἐμὴ ἡ ἐκείνου οἰκονομία. Τί τοίνυν ἐξήλθετε εἰς τὴν ἔρημον, τὴν μηδὲν ἔχουσαν τερπνόν; ἵν᾽ ὡς διὰ τὴν ἐκείνου θέαν ἐξιέναι προφασίζησθε. Δῆλον τοίνυν, ὡς δι᾽ οὐδὲν ἕτερον καταλείψαντες τὰς πόλεις τὴν ἔρημον κατελάβετε, εἰ μὴ ὡς ἀντιποιούμενοι τοῦ ἀνδρὸς καὶ τοῦ ἀξιώματος. ἐρωτᾷ με οὐκ ἀγνοῶν, ἀλλ᾽ οἶδα τί ποιεῖ· οὐ γὰρ νῦν μὲν ὧδε, ἑτέρῳ δὲ ἄλλοτε μεταβαίνει.*

f Sic. g Sic.

Μὴ σχῆμα ἔχει περίβλεπτον; μὴ βασιλικὸν ἀξίωμα; μὴ βασιλικὸν εἶχεν ἐντολήν; μὴ γράμματα καὶ δόγματα καὶ νόμους ἐπεφέρετο βασιλικούς; μὴ ἀντιποιησόμενος ἦν κατὰ τὸ φαινόμενον; οὐχὶ τρίχινον ἱμάτιον ἐφόρει; οὐχὶ αὐτοσχέδιον εἶχε τὴν τροφήν; μήτι τοιοῦτον ὑμᾶς προετρέψατο ἐκεῖ ἀπελθεῖν;

Εἰ ὡς εἰς προφήτην χρησίμως ἀπήλθετε, καὶ λέγω ὑμῖν, καὶ περισσότερον προφήτου· ὁ μὲν γὰρ προφήτης προλέγει, οὗτος δὲ οὐ μόνον ἥξοντα προμεμήνυκεν, ἀλλὰ καὶ ὑπέδειξεν εἰπὼν, "ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ "αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου." Ἄγγελον δὲ τὸν Ἰωάννην καλεῖ, οὐχ ὅτι ἦν Ἄγγελος, ἄνθρωπος γὰρ ἦν τὴν φύσιν, ἀλλ' ὅτι ἀγγέλου ἔργον ἐποίει, ἀγγέλλων τοῦ Χριστοῦ τὴν παρουσίαν· οὗτος βάπτισμα ἐκήρυξε μετανοίας, ἵνα προλάβῃ ἡ μετάνοια τὴν ἄφεσιν· ἄνευ γὰρ μετανοίας ἄφεσις οὐ δίδοται.

Ἐξ ἀνεπιγράφου. Ὅρα τὴν ἀκρίβειαν, μείζων ἐν γεννητοῖς γυναικῶν λέγει, ἵνα ἐξέλῃ τὴν παρθένον· ἐγεννήθη μὲν γὰρ ἐκ γυναικὸς, καὶ κατηξίωσε σῶμα ἐκ τοῦ ἡμετέρου φυράματος λαβεῖν, ἵνα τὸ ὅλον ἁγιασθῇ διὰ τῆς ἀπ' ἀρχῆς. Γεννητῶν δέ φησι γυναικῶν τῶν κατὰ φύσιν τικτουσῶν, ἵνα ἰδίᾳ θῇ τὴν παρὰ φύσιν παρθενίαν.

Ἄλλος. Οἷον μέγα εἶχεν ἀξίωμα ὁ Ἰωάννης καὶ φοβερὸς ἦν τὴν ἔνστασιν, καὶ σεμνὸς τὴν ὄψιν, καὶ ἅγιος τὴν προαίρεσιν, καὶ ἀνεπίληπτος τὸν βίον, καὶ καθαρὸς τὴν διάνοιαν, καὶ πνευματοφόρος τὴν χάριν, καὶ δυνατὸς ἐν πᾶσι, καὶ εὐγενὴς κατὰ πάντα. τοῦ γὰρ ἀρχιερέως υἱὸς ἦν, καὶ φοβερὸς τῷ λαῷ, συγκρινόμενος δὲ πρὸς τοὺς ἤδη πρὸς Θεὸν ἐκδημήσαντας, κἂν μέγας ἐστὶν, ἀλλ' ὅμως ἔτι ἐν βίῳ ἀναστρέφεται, καὶ οὐδέπω ἀπέλαβε τὴν προσδοκωμένην ἐλπίδα· ὁ μικρότερος τοίνυν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων αὐτοῦ ἐστιν· οὐχ ὅτι καὶ Ἰωάννης οὐκ ἀπολήψεται, ἀλλὰ συγκρίνωμεν τὸ ἐνταῦθα ἀξίωμα, ἐκείνῃ τῇ προσδοκωμένῃ χάριτι.

31 Τίνι οὖν ὁμοιώσω τοὺς ἀνθρώπους τῆς γενεᾶς ταύτης
καὶ τίνι εἰσιν ὅμοιοι; ὅμοιοί εἰσι παιδίοις τοῖς ἐν ἀγορᾷ
καθημένοις.

Τοῦ ἁγίου Κυρίλλου. Ἡνίκα ποῦ παιγνίου τις τρόπος παρὰ τοῖς Ἰουδαίων παισὶν οὕτως ἔχων, εἰς μέρη δύο πληθὺς παιδίων

ἐτέμνετο, ἃ καὶ τὴν τοῦ βίου γελῶντα τύρβην, καὶ τῶν ἐν αὐτῷ πραγμάτων τὸ ἀνώμαλον, καὶ τὴν ἑτέρως εἰς ἕτερα δεινὴν καὶ ἀθρόαν μεταβολὴν, τὰ μὲν ηὔλουν, τὰ δὲ ἐθρήνουν· ἀλλ' οὔτε τοῖς αὐλοῦσι καὶ χαίρουσιν οἱ θρηνοῦντες συνήδοντο· οὔτε μὲν τοῖς κλαίουσιν οἱ τὸν αὐλὸν ἔχοντες συνεπλάττοντο· εἶτ' ἀλλήλοις ἐνεκάλουν τρόπον τὸ ἀσυμπαθὲς ἤγουν ἀδιάθετον. τοιοῦτόν τι πεπονθέναι τοὺς τῶν Ἰουδαίων δήμους ὁμοῦ τοῖς προεστηκόσιν ἰσχυρίζετο ὁ Χριστός.

ΚΕΦ. ΚΑ.

Περὶ τῆς ἀλειψάσης τὸν Κύριον μύρῳ.

36 Ἠρώτα δέ τις αὐτὸν τῶν Φαρισαίων, ἵνα φάγῃ μετ' αὐτοῦ.

Χρὴ γινώσκειν ὅτι οὗτος ὁ Φαρισαῖος ὁ κεκληκὼς τὸν Κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστὸν, δολερᾶς ὑποκρίσεως οὐκ ἀπήλλακτο, οὐδὲ τῆς ἐμφωλευούσης ἀπιστίας αὐτῷ, ὅθεν ἔφη, "εἰ ἦν "προφήτης," καὶ τὰ ἑξῆς. Ὁ δὲ Κύριος καίπερ εἰδὼς αὐτὸν τοιοῦτον ὄντα, εἰσελθὼν εἰς τὸν οἶκον αὐτοῦ κατεκλίθη, "καὶ ἰδοὺ," φησι, "γυνὴ ἥτις ἦν ἐν τῇ πόλει ἁμαρτωλὸς, ἐπιγνοῦσα ὅτι κατάκειται ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου·" καὶ τὰ ἑξῆς.

Οὐκ ἔστι δὲ αὕτη οὔτε ἡ παρὰ τῷ Ματθαίῳ, οὔτε ἡ παρὰ τῷ Μάρκῳ, οὔτε ἡ παρὰ τῷ Ἰωάννῃ μνημονευομένη, ἀλλ' ἑτέρα τις. Κατανοῶν τοίνυν ἐγὼ καὶ κατεξετάζων ἐπιμελῶς τὴν διήγησιν καὶ τῶν εὐαγγελικῶν ῥημάτων ἐνατενίζων τῷ ἀκριβεῖ, τρεῖς εἶναι τὰς γυναῖκας λογίζομαι· καὶ ἐκ τῆς τῶν προσώπων ποιότητος, καὶ ἐξ αὐτοῦ τοῦ τρόπου τῆς πράξεως, καὶ ἐκ τῆς διαφορᾶς τοῦ καιροῦ. Ὁ μὲν γὰρ Ἰωάννης περὶ τῆς Μαρίας τῆς ἀδελφῆς Λαζάρου καὶ Μάρθας ἐπαινουμένης σφόδρα καὶ θεοσεβοῦς, καὶ ἐν ταῖς μαθητιώσαις λελογισμένης τῷ Ἰησοῦ τοῦτό φησιν, ὧδέ πως διηγούμενος, "ὁ οὖν, Ἰησοῦς, πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα "ἦλθεν εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος, ὃν ἤγειρεν ἐκ νεκρῶν. "Ἐποίησαν οὖν αὐτῷ ἐκεῖ δεῖπνον. Ἡ δὲ Μάρθα διηκόνει, ὁ "δὲ Λάζαρος εἷς ἦν τῶν συνανακειμένων αὐτῷ· ἡ οὖν Μαρία

" λαβοῦσα λίτραν μύρου νάρδου," καὶ τὰ ἑξῆς. ἤλειψε τοὺς πόδας τοῦ Ἰησοῦ· ἰδοὺ πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα· κατὰ τὴν οἰκίαν Μαρίας καὶ Λαζάρου καὶ Μάρθας τοῦτο γεγονέναι σαφῶς ἱστορησεν ὁ Εὐαγγελιστής· ὡς καὶ ἀνωτέρω τὸ αὐτὸ τοῦτο ἐξεῖπεν. "Ἦν δὲ Μαρία ἡ ἀλείψασα τὸν Κύριον μύρῳ καὶ ἐκμά-" ξασα," καὶ τὰ ἑξῆς, " ἧς ὁ ἀδελφὸς Λάζαρος ἠσθένει·" καὶ μὴ θαυμάσῃς εἰ κατὰ προαναφώνησεν ἐρρέθη· καὶ γὰρ περὶ τοῦ Ἰούδα φησὶν ὁ Μάρκος τὰ ὀνόματα τῶν ιβʹ Ἀποστόλων ἀπαριθμούμενος, " καὶ Ἰούδας Ἰσκαριώτης ὃς καὶ παρέδωκεν αὐτόν." καίτοι γε οὐδέπω παραδοὺς ἦν αὐτὸν, ἀλλὰ τὸ μέλλον, ὡς ἤδη γενόμενον ἔγραψεν· ὁ δέ γε Ματθαῖος ἐπάγει λέγων, " καὶ ἐγένετο ὅτε " ἐτέλεσεν ὁ Ἰησοῦς πάντας τοὺς λόγους τούτους, εἶπε τοῖς μα-" θηταῖς αὐτοῦ, οἴδατε ὅτι μετὰ δύο ἡμέρας τὸ Πάσχα γίνεται," καὶ τὰ ἑξῆς. " Τοῦ δὲ Ἰησοῦ γενομένου ἐν Βηθανίᾳ ἐν οἰκίᾳ " Σίμωνος τοῦ λεπροῦ, προσῆλθεν αὐτῷ γυνὴ ἔχουσα ἀλάβαστρον " μύρου πολυτίμου, καὶ κατέχεεν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ ἀνακει-" μένου." Σκόπει οὖν ὅτι εἰρηκότος τοῦ Ἰησοῦ, " οἴδατε ὅτι " μετὰ δύο ἡμέρας τὸ πάσχα γίνεται·" οὕτως ἱστόρησεν αὐτὸν ὁ Εὐαγγελιστὴς γενόμενον κατὰ τὴν αὐτὴν Βηθανίαν ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, καὶ ὑπὸ τῆς γυναικὸς τιμηθέντα τῷ μύρῳ, μὴ τῶν ποδῶν ἀλειφομένων, ἀλλὰ τοῦ ἀλαβάστρου καταχεομένου τῆς κεφαλῆς. ὥστε καὶ ὑπὸ τοῦ Ἰωάννου γραφὲν, ἐν τῷ οἴκῳ Μαρίας καὶ Μάρθας, καὶ ἀπὸ τοῦ τρόπου τῆς πράξεως, ἐκεῖ μὲν γὰρ τοὺς πόδας ἤλειψε καὶ ἀπέμαξε ταῖς θριξὶ τῆς ἰδίας κεφαλῆς ἀλείψασα, ἐνταῦθα δὲ κατέχεεν ἐπὶ τῆς τοῦ Ἰησοῦ κεφαλῆς· καὶ ἀπὸ χρόνου· πρὸ μὲν γὰρ ἓξ ἡμερῶν ἔφη ὁ Ἰωάννης τοῦ Πάσχα γενέσθαι τὸ δεῖπνον ἐκεῖνο, Ματθαῖος δὲ πρὸ ἡμερῶν δύο καὶ μόνος· Λουκᾶς[h] δὲ περὶ τὰ μέσα τοῦ Εὐαγγελίου ἢ καὶ ἔτι πρὸ τούτου. " ἰδοὺ γὰρ γυνὴ ἐν τῇ πόλει ἥτις ἦν ἁμαρτωλὸς, ἐπι-" γνοῦσα ὅτι ἀνάκειται ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου, κομίσασα " ἀλάβαστρον μύρου, καὶ στᾶσα παρὰ τοὺς πόδας αὐτοῦ ὀπίσω " κλαίουσα," καὶ τὰ ἑξῆς. " Ἰδὼν δὲ ὁ Φαρισαῖος ὁ καλέ-" σας αὐτὸν, εἶπεν ἐν ἑαυτῷ λέγων, οὗτος εἰ ἦν προφήτης, ἐνί-

[h] Μάρκος Cod.

"νωσκεν ἂν τίς καὶ ποταπὴ," καὶ τὰ ἑξῆς. προδηλότατα γοῦν ἐκ τοῦ καιροῦ δέδεικται μὴ τὴν αὐτὴν ταῖς ἄλλαις γυναιξὶ ταῖς περὶ τὸν καιρὸν τοῦ πάθους τιμησάσαις τὸν Σωτῆρα τῷ μύρῳ· μηδὲν δὲ νομιζέτω διὰ τὸ καὶ τοῦτον τὸν Φαρισαῖον τὸν κεκληκότα αὐτὸν Σίμωνα προαγορεύεσθαι, τὸν αὐτὸν εἶναι Σίμωνα τῷ λεπρῷ· φαίνεται γὰρ ἐκεῖνος τεθεραπευμένος ὑπὸ τοῦ Ἰησοῦ, καὶ χαριστήριον ὥσπερ ἀποτιννὺς αὐτῷ τὴν εἰς τὴν οἰκίαν ἀποδοχήν. οὐ γὰρ ἂν εἰ μὴ τεθεράπευτο, παρ' αὐτῷ κατέλυεν.

Κατεφίλει δὲ αὕτη οὐκ ἀργῶς, ἀλλὰ τῷ μύρῳ ἀλείφουσα τοὺς πόδας, τὴν πολλὴν στοργὴν ἐκ τούτου δεικνύουσα.

Ὁ δὲ Κύριος ὁ μὴ διὰ ῥημάτων μόνον ἀκούων, ἀλλὰ καὶ τὰς ἐνθυμήσεις καταλαμβάνων, ὡς καὶ τῶν προφητῶν δεσπότης ὑπάρχων, ἀπαγγέλλει τοὺς λογισμοὺς τοῦ Φαρισαίου λέγων· "Σίμων, "ἔχω σοί τι εἰπεῖν," καὶ τὰ ἑξῆς.

43 Εἶτα εἰπόντος ἐκείνου, ᾧ τὸ πλέον ἐχαρίσατο, αὐτός φησι πρὸς αὐτόν· τί τοίνυν σὺ τοιαῦτα ἐνεθυμήθης; οὐδὲ γὰρ σὺ ἀναμάρτητος· εἰ γὰρ ἐλάττω χρεωστεῖς, ἀλλ' οὐ μέντοι ἀπηλλαγμένος τυγχάνεις ἁμαρτημάτων· καὶ πολλάκις μὲν γίγνεται τὸν πολλὰ ἐπταικότα, δι' ἐξομολογήσεως τῶν ἁμαρτημάτων ἀπαλλαγῆναι· τὸν δὲ ὀλίγα ἡμαρτηκότα, δι' ὑπερηφανίαν μὴ προελθεῖν τῷ φαρμάκῳ τῆς ἐξομολογήσεως, καὶ ὑποκεῖσθαι τῇ κολάσει· οὐδὲ γὰρ διὰ τὸ μὴ ἔχειν πολλὰ τῆς κρίσεως ἀπαλλάττεταί τις, ἀλλ' ὁμοίως καὶ ἐπὶ τοῖς ὀλίγοις κατακρίνεται, μὴ τὴν προσήκουσαν καὶ ὑπὲρ αὐτῶν προσενέγκας ἐξομολόγησιν καὶ μετάνοιαν. ὡς γὰρ ἁμαρτωλὸς ἀπαρρησίαστος εὑρεθήσεται, ἐπὶ τοῦ φοβεροῦ βήματος, καὶ σὺ μέν, φησί, τοῖς ἑτοίμοις οὐκ ἐχρήσω· ὕδωρ γάρ μοι ἐπὶ τοὺς πόδας οὐκ ἔδωκας· εὔκολος γὰρ τῶν ὑδάτων ἡ χρῆσις· αὕτη δὲ τὰ ἀνέτοιμα ἐξεκένωσε, τοῖς δάκρυσιν αὐτῆς βρέχουσά μου τοὺς πόδας· οὐ δὲ γὰρ εὔκολος ἡ τῶν δακρύων ἔκχυσις, καὶ ταῖς θριξὶν ἐξέμαξεν, ἵνα δι' ὧν ἐθήρευσε πρὸς ἁμαρτίαν νεότητα, διὰ τούτων ἁγιοσύνην εὑρεθῇ θηρεύουσα· ἔτι δὲ καὶ κατεφρόνησάς μου· φίλημα γάρ μοι οὐκ ἔδωκας, οὐδὲ ἐλαίῳ τὴν κεφαλήν μου ἤλειψας· αὕτη δὲ μετὰ παντὸς πόθου καταφιλοῦσά μοι τοὺς πόδας, μύρῳ τούτους ἤλειψε· καὶ ἐπειδὴ εἶπας ἐν σεαυτῷ "οὗτος εἰ ἦν προφήτης, "ἐγίνωσκεν ἄν, τίς καὶ ποταπὴ ἡ γυνὴ αὕτη ἥτις ἅπτεται αὐτοῦ,

"ὅτι ἁμαρτωλός ἐστι" γνῶθι κἂν νῦν ἐκ τούτου ὅτι οὐκ ἠγνόουν, ὅτι καὶ τοὺς σοὺς διαλογισμοὺς ἐπίσταμαι καὶ τὰς ἁμαρτίας ταύτης γινώσκων· διὸ καὶ σὲ μὲν ὡς πάντα εἰδὼς ἐλέγχω, καὶ τὸν ὄγκον τῶν ἁμαρτημάτων ταύτης ἐπιστάμενος λέγω σοι "ὅτι ἀφέωνται "αὐτῆς αἱ ἁμαρτίαι," καὶ τὰ ἑξῆς.

Ἔδοξε δὲ ὁ Εὐαγγελιστὴς, ὅτι καὶ ἕτεροι ἦσαν συνανακείμενοι, οὓς καὶ ἐξένισεν ὁ λέπρος, ὅτι οὐχ ὡς προφήτου ἦν, ἀλλ' ὡς δεσπότου τὸ δίκαιον ἀπονέμοντος· τί δὲ ἦν τὸ δίκαιον; ἡ ἐξομολόγησις τῆς γυναικὸς καὶ τὸ δάκρυον καὶ ἡ τιμὴ, καὶ ἡ παρὰ τοὺς πόδας στᾶσις.

Εἶπε δὲ αὐτῇ ὁ Χριστός· "ἡ πίστις σου σέσωκέ σε." Διὰ τὸ πιστεῦσαι αὐτὴν ὅτι ἐξουσίαν ἔχει ἀφίεναι ἁμαρτίας.

Τὸ δὲ "πορεύου εἰς εἰρήνην" τοῦτό ἐστι τὸ μηκέτι ἁμαρτάνειν.

ΚΕΦ. ΚΒ.

Περὶ τῆς παραβολῆς τοῦ σπείραντος.

1 Καὶ ἐγένετο ἐν τῷ καθεξῆς καὶ αὐτὸς διώδευε κατὰ πόλιν καὶ κώμην, κηρύσσων καὶ εὐαγγελιζόμενος τὴν βασιλείαν τοῦ Θεοῦ.

Διοδεύων δὲ κατὰ πόλεις καὶ κώμας καὶ κηρύσσων καὶ εὐαγγελιζόμενος τὴν βασιλείαν τοῦ Θεοῦ ὁ οὐρανόθεν γενόμενος διδάσκαλος εἰς τὴν γῆν, τοὺς ἐπὶ γῆς εἰς τὴν βασιλείαν ἐκάλει τῶν οὐρανῶν· ἔστι γὰρ καὶ ἡ γῆ αὕτη δημιούργημα, ὅπως οἱ διὰ πλάνην ἀποστάντες τῆς οὐρανίου καταστάσεως τῶν ἐπιγείων καταφρονήσωσιν.

Οἱ δὲ δώδεκα ἦσαν σὺν αὐτῷ οὐκ εὐαγγελιζόμενοι, ἀλλὰ μαθητευόμενοι καὶ παιδαγωγούμενοι πρὸς τὸ Εὐαγγέλιον.

Διηκόνουν δὲ αὐτοῖς αἱ συνακολουθοῦσαι γυναῖκες ἐκ τῶν ὑπαρχόντων αὐταῖς· οὐ γὰρ σωματικὴν ἀνάπαυσιν παρέχουσιν αὐτοῖς, ἀλλ' εὐαγγελικῆς σωτηρίας ἀντιποιούμεναι καὶ προσαναλίσκουσαι τὰ ὑπάρχοντα εἰς τὴν τῶν δεομένων ἐπίδοσιν, ἵνα κτήσηται τὴν εὐσέβειαν. Περὶ τῆς παραβολῆς τοῦ σπόρου καὶ ἀκολούθως, περὶ τοῦ ἅπτειν λύχνον, καὶ μὴ καλύπτειν αὐτὸν σκεύει, καὶ τοῦτο

προτέρως δὲ, καὶ περὶ τῆς μητρὸς αὐτοῦ καὶ τῶν ἀδελφῶν αὐτοῦ, ὅτι ἤθελον αὐτὸν ἰδεῖν, καὶ περὶ τῆς ἐπιτιμήσεως τῶν ὑδάτων καὶ περὶ τοῦ ἔχοντος τὸν λεγεῶνα, καὶ περὶ τῶν Γεργεσηνῶν, καὶ περὶ τῆς θυγατρὸς τοῦ ἀρχισυναγώγου, καὶ περὶ τῆς αἱμορροούσης, καὶ περὶ τῆς ἀποστολῆς τῶν δώδεκα, καὶ περὶ Ἡρώδου, καὶ περὶ τῶν πέντε ἄρτων, καὶ περὶ τῆς τῶν μαθητῶν ἐπερωτήσεως, ὅτι τίνα με λέγουσιν οἱ ὄχλοι εἶναι; καὶ περὶ τῆς μεταμορφώσεως καὶ περὶ τοῦ σεληνιαζομένου, καὶ περὶ τῶν διαλογιζομένων τίς μείζων ἐστιν, ὅπερ ἐστὶ κεφάλαιον. Εἰς τὰ μικρὰ, εἰς τὸν ἅγιον λόγον, ἕως ὧδε, προυγράφη εἰς τὸν ἅγιον Ματθαῖον.

Τοῦ ἁγίου Τίτου Βοστρῶν. *Ὁ οὐρανόθεν παραγενόμενος διδάσκαλος εἰς τὴν γῆν τοὺς ἐπὶ τῆς γῆς τὴν βασιλείαν τῶν οὐρανῶν εὐαγγελίζεται, ἵνα τὴν γῆν ποιήσῃ οὐρανόν· ἦν γὰρ καὶ ἡ γῆ αὐτοῦ δημιούργημα. Ἐπειδὴ γὰρ διὰ πλάνην ἀπέστη τῆς οὐρανίου καταστάσεως· ἦλθε δὲ καὶ τὴν γῆν κατορθῶσαι εἰς εὐσέβειαν, καὶ συνάψαι τὸ συναμφότερον διὰ μόνην φιλανθρωπίαν. τίς δὲ κηρύσσειν ἔμελλε βασιλείαν Θεοῦ, ἢ ὁ υἱὸς τοῦ Θεοῦ, οὗ ἡ βασιλεία; οὐ γὰρ οἱ κάτω τὰ ἄνω κηρύττομεν, ἀλλ' ὁ ἄνωθεν τὰ ἄνω ἀπαγγέλλει. Γεγόνασιν οὖν πολλοὶ προφῆται, ἀλλ' οὐκ ἐκήρυξαν οὐρανῶν βασιλείαν· ὧν γὰρ μὴ ἦσαν θεαταὶ, τὸν λόγον τούτων πως ἐδίδουν. Διὰ τοῦτο ἔλεγεν ὁ Ἰωάννης, ὁ ὢν ἐκ τῆς γῆς, ἐκ τῆς γῆς λαλεῖ, ὁ δὲ ἄνωθεν ἐρχόμενος ἐπάνω πάντων ἐστὶ, καὶ ὃ ἑώρακε μαρτυρεῖ· ἐκήρυξε τοίνυν τὴν βασιλείαν τοῦ Θεοῦ τοῖς ἀπίστοις μὴ φαινομένην, τὴν παρ' Ἀγγέλοις πολιτευομένην τε καὶ κρατοῦσαν, ἵνα οἱ ἀκούοντες βασιλείαν τοῦ Θεοῦ τῶν ἐπιγείων καταφρονήσωσιν.*

Οὐ σωματικὴν ἀνάπαυσιν μετεδίωκον, ἀλλ' εὐαγγελικῆς σωτηρίας ἀντεποιεῖτο, προανήλισκον οὖν τὰ ὑπάρχοντα, ἵνα κτήσωνται τὴν εὐσέβειαν.

Τοῦ ἁγίου Κυρίλλου. *Εἰσκεκόμικε τὸν Κύριον ὁ μακάριος ψαλμῳδὸς Δαβὶδ λέγοντα, "ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα "μοῦ." Ἄθρει δὴ οὖν ἐς πέρας ἐκβεβηκὸς τὸ παρ' αὐτοῦ διηγορευμένον· πλείστη μὲν γὰρ πληθὺς συνεγήγερτο περὶ αὐτὸν ἐξ ἁπάσης τῆς Ἰουδαίας. Προσελάλει δὲ αὐτοῖς ἐν παραβολαῖς, ἀλλ' ἐκείνοις μὲν οὐκ οὖσιν ἀξίοις τοῦ μαθεῖν τὰ μυστήρια τῆς*

τῶν οὐρανῶν βασιλείας, ἀσυμφανὴς ἦν ὁ λόγος· λόγου γὰρ ἠξίουν οὐδενὸς τὸ χρῆσθαι τὴν εἰς αὐτὸν προσήκασθαι πίστιν, ἀντέπραττον δὲ ἀνοσίως τοῖς δι' αὐτοῦ κηρύγμασιν. καὶ γοῦν ἐπετίμων τοῖς ἐθέλουσι προσεδρεύειν αὐτῷ, καὶ τὴν παρ' αὐτοῖς διψῶσι μυσταγωγίαν, δυσσεβοῦντές τε καὶ λέγοντες, δαιμόνιον ἔχει καὶ μαίνεται, τί ἀκούετε αὐτοῦ; οὐκοῦν οὐκ ἐκείνοις δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν, ἡμῖν δὲ μᾶλλον τοῖς ἑτοιμοτέροις εἰς πίστιν· δέδωκε γὰρ ἡμῖν αὐτὸς τὸ δύνασθαι μόνον· παραβολὰς δὲ, σκοτεινὸν λόγον, ῥήσεις τε σοφῶν καὶ αἰνίγματα· εἰκόνες γάρ εἰσι, ὥσπερ αἱ παραβολαὶ πραγμάτων οὐχ ὁρατῶν, νοητῶν τε μᾶλλον καὶ πνευματικῶν· ὁ γὰρ ἴδιος[a] οὐκ ἔνεστι τοῖς τοῦ σώματος ὀφθαλμοῖς· τοῦτο δείκνυσιν ἡ παραβολὴ τοῖς τῆς διανοίας ὄμμασι διὰ τῶν ἐν αἰσθήσει, καὶ οἷον ἀπὸ τῶν πραγμάτων διαμορφοῦσα καλῶς τὴν νοητῶν ἰσχνότητα. ἴδωμεν τοίνυν ὁποίαν ἡμῖν ἐξυφαίνει τὴν νόησιν τοῦ Σωτῆρος ὁ λόγος, "Ἐξῆλθε," φησὶν, "ὁ σπείρων τοῦ σπεῖραι," καὶ τὰ ἑξῆς.

5 ΤΟΥ ἉΓΙΟΥ ΤΙΤΟΥ. "Ἐξῆλθεν·" ἦν γὰρ ἐν τοῖς κόλποις τοῦ Πατρὸς, καὶ πρὸ παντὸς αἰῶνος ὁ συναΐδιος τοῦ Πατρὸς Λόγος. Οὐ γὰρ ὅτι σπείρει, τότε ἔσται μόνον, οὐδ' ὅτε ἐκ Μαρίας γεννᾶται, καὶ "ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω." Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν ἴδιον σπόρον. Διὰ τί τὸν ἴδιον; οὐ γὰρ δανείζεται λόγον, Λόγος Θεοῦ ὑπάρχων τὴν φύσιν. οὐκέτι ἴδιος σπόρος Παύλου, οὐδὲ Ἰωάννου, οὐδὲ ἄλλου τινὸς τῶν Ἀποστόλων ἢ προφητῶν, ἀλλὰ σπόρος μὲν ἦν· οὐκ ἦν δὲ αὐτῶν ἴδιος, ἀλλὰ λαβόντες ἔχουσι· Χριστὸς δὲ ἴδιον ἔχει σπόρον, ἐκ τῆς ἰδίας φύσεως τὴν διδασκαλίαν προσφέρων. Ἐὰν γὰρ λέγῃ Παῦλος, "ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισε," δίδωσι μὲν τῷ Σωτῆρι τὸ σπείρειν, ἑαυτῷ δὲ τὸ φυτεῦσαι. ὁ γὰρ φυτεύων ἄλλοθεν λαμβάνων, ἀλλαχοῦ μετατίθησιν, ὁ δὲ σπείρων φυτεύει, ἀλλ' ἐκ τῶν ἰδίων ταμιεύων λαμβάνων σκορπίζει. ἀφθόνως χειρὶ σπείρων ὁ Παῦλος ἔλεγεν· "εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος "Χριστοῦ·" ὁ δὲ Σωτὴρ "μὴ καλέσητε διδάσκαλον ἐπὶ τῆς γῆς· "εἷς γάρ ἐστιν ὑμῶν διδάσκαλος ἐν τοῖς οὐρανοῖς." Ποῖος διδάσκαλος; ὁ δίχα τοῦ μαθεῖν διαλεγόμενος. διὰ τοῦτο ἔλεγον οἱ Ἰουδαῖοι,

[a] Sic.

"πῶς γράμματα οὗτος οἶδε μὴ μεμαθηκώς;" Διὰ τοῦτο εἶπε τὸν ἴδιον σπόρον, ἵνα μάθῃς ὅτι αὐτοῦ τῆς φύσεως ὁ σπόρος· καὶ γὰρ αὐτός ἐστιν ὁ παντὸς ἀγαθοῦ σπορεύς, καὶ ἡμεῖς γεωργοὶ αὐτοῦ, καὶ δι' αὐτοῦ τε καὶ παρ' αὐτοῦ καρποφορία πᾶσα πνευματική, καὶ τοῦτο ἡμῶν διδάσκει λέγων, "χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν "οὐδέν."

Κυρίλλου Ἀλεξανδρείας. Καὶ ποία τίς ἐστιν ἡ πρόφασις δι' ἣν ἁρπάζετε τὰ ἐν ταῖς ὁδοῖς; ἴδωμεν τέως, ὡς ἐν παχέσι πράγμασι τὸ ζητούμενον. σκληρὰ καὶ ἀνήροτος πᾶσά πως ἐστιν ὁδὸς διὰ τὸ τὴν ἁπάντων ὑποκεῖσθαι ποσί· καὶ οὐδὲν αὐταῖς ἐγχώνυνται τῶν σπερμάτων· κεῖται δὲ μᾶλλον ἐπιπολαίως, καὶ τοῖς ἐθέλουσι τῶν πτηνῶν ἕτοιμα εἰς διαρπαγήν. οὐκοῦν ὅσοι τὸν νοῦν ἔχουσιν ἐν ἑαυτοῖς σκληρὸν καὶ οἷον πεπιλημένον, οὗτοι τὸν θεῖον οὐ παραδέχονται σπόρον. οὐκ εἰσδύεται γὰρ ἐν αὐτοῖς θεῖόν τε καὶ ἱερὸν νουθέτημα, δι' οὗ δύνανται καρποφορεῖν τὰ εἰς ἀρετὴν αὐχήματα· οὗτοι τοῖς ἀκαθάρτοις πνεύμασι, καὶ αὐτῷ δὲ τῷ Σατανᾷ πεπατημένοι γεγόνασιν ὁδὸς, ἣν οὐκ ἔνεστί ποτε καρπῶν ἁγίων ἐγγενέσθαι τροφὴν, στεῖραν καὶ ἔκγονον[b] ἔχων τὴν καρδίαν.

Ἰωάννου Χρυσοστόμου. Ταῦτα λέγων εἰς ἀκρίβειαν ἄγει βίου, παιδεύων ἐναγωνίους εἶναι, ὡς ὑπὸ τοῖς ἁπάντων ὀφθαλμοῖς κείμενον, καὶ ἐν μέσῳ τοῦ τῆς οἰκουμένης ἀγωνιζομένους θεάτρῳ. Μὴ γὰρ δὴ τοῦτο ἴδητε, φησὶν, ὅτι ἐνταῦθα καθήμεθα νῦν, καὶ ἐν μικρῷ γωνίας ἐσμὲν μέρει· γενήσεσθε γὰρ πᾶσι κατάδηλοι.

Βίκτωρος πρεσβυτέρου. Ὅταν γὰρ τοσαύτη ἡ ἀρετὴ ἀδύνατον αὐτὴν λαθεῖν· ὁ ἔχων γὰρ σπουδαίαν προαίρεσιν, λήψεται πνεύματος χάριν καὶ σοφίας καὶ γνώσεως, καὶ ἀξίαν τῶν πόνων τὴν ἀμοιβήν.

Τοῦ αὐτοῦ. Τὰ γὰρ ἐκ φύσεως ἡμῖν ἐνόντα ἢ διὰ χάριτος δοθέντα, ἐὰν μὴ διὰ τῆς συνεχοῦς προσοχῆς καὶ σπουδῆς φιλοπόνου φυλάξωμεν, ταῦτα ζημιωθησόμεθα, οὐ μόνον μηδὲν προλαμβάνοντες, ἀλλὰ καὶ προσαπολλύντες καὶ ἃ ἔχειν ἐδόξαμεν.

Τίτου Βοστρῶν. Ἐκ τούτου δῆλον ὅτι οὐκ ἦν ὁ Σωτὴρ μετὰ τῶν κατὰ σάρκα εὐγενῶν· καταλιπὼν γὰρ τούτους σχολάζει τῇ

[b] Cod. ἔγονον.

πατρικῇ διδασκαλίᾳ. Ἐπειδὴ δὲ ποθητὸς ἦν διὰ τὴν ἀπόλειψιν, καὶ ἐπιθυμητὸς εἰς θέαν διὰ τὴν χρονίαν ἀναχώρησιν, παραγίνεται ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ, οἱ πρόγονοι τοῦ Ἰωσὴφ οἱ κληθέντες ἀδελφοί· οὐκ ἔστι δὲ στεμτὴ (sic) *τοῦ Κυρίου ἡ συγγένεια, οὐδὲ ἐν ὀλίγῳ περιγράφεται αὐτοῦ ἡ πρὸς ἀνθρώπους φιλία. Ἦλθε γὰρ ἅπαντα τὸν κόσμον εἰς ἀδελφότητα καλέσαι ἄφθονον, καὶ προλαβὼν ἔλεγε ἐν προφήταις τῷ Πατρὶ, "ἀπαγγελῶ τὸ ὄνομά "σου τοῖς ἀδελφοῖς μου·" ποίοις ἀδελφοῖς ἑρμηνεύει λέγων, "ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε·" ὅπου τοίνυν ἐκκλησία Χριστοῦ, ἐκεῖ ἀδελφότης Χριστοῦ.*

12 ΤΟΥ ΑΥΤΟΥ. *Ὁ λόγος τοῦ Θεοῦ, λόγος ἦν αὐτοῦ, Πατρὸς γὰρ καὶ Υἱοῦ μία διδασκαλία ἐν προφήταις καὶ ἐν Εὐαγγελισταῖς διὰ τῆς ἐνεργίας τὴν τοῦ Ἁγίου Πνεύματος. λέγει δὲ τὸν λόγον τοῦ Θεοῦ, ἵνα τὴν τιμὴν ἀναπέμψῃ πρὸς τὸν Πατέρα. Ὡς γὰρ ἔπρεπε τῷ Πατρὶ γεννῆσαι Υἱὸν, οὕτω πρέπει γεγεννημένῳ τιμᾶν τὸν γεννήσαντα. Μήτηρ μέντοι καὶ ἀδελφοὶ οὗτοί εἰσιν οἱ τὸν λόγον τοῦ Θεοῦ ἀκούοντες καὶ ποιοῦντες· χρείαν γὰρ ἔχει ἀκοὴ ἐργασίας.*

ΚΕΦ. ΚΓ.

Περὶ τῆς ἐπιτιμήσεως τῶν ὑδάτων.

22 ΚΥΡΙΛΛΟΥ ἈΛΕΞΑΝΔΡΕΙΑΣ. *Διέπλει ὁμοῦ τοῖς ἁγίοις Ἀποστόλοις ὁ Χριστὸς τὴν Τιβεριάδα θάλασσαν, ἤτοι λίμνην· ἐγήγερται δὲ κατὰ τοῦ σκάφους ἀδόκητός τε καὶ ἀπηνὴς χειμὼν, καὶ ταῖς τῶν ἀνέμων ἐμβολαῖς ὑψοῦ τὸ κῦμα κυρτούμενον καὶ τὸ τοῦ θανάτου δέος ἐνετίθει ταῖς μαθηταῖς· τεθορύβηνται γὰρ οὐ μετρίως, καίτοι τὸ θαλασσουργεῖν εἰδότες, καὶ κλύδωνος οὐκ ὄντος ἀπείρατοι. ἐπειδὴ δὲ λοιπὸν τοῦ κινδύνου τὸ μέγεθος πρὸς ἀφόρητον αὐτοὺς ἐκάλει δειλίαν, ὡς ἑτέραν οὐκ ἔχοντες τοῦ σώζεσθαι τὴν ἐλπίδα, πλὴν ὅτι μόνον αὐτὸν τὸν τῶν δυνάμεων κύριον· δῆλον δὲ ὅτι Χριστὸν διανιστᾶσι λέγοντες, "ἐπιστάτα, σῶ τον, ἀπολλύμεθα." καὶ καθευδῆσαι γὰρ αὐτὸν ὁ Εὐαγγελιστής φησιν. οἰκονομικώτατα δέ μοι καὶ τοῦτο λίαν πεπράχθαι δοκεῖ, ἵνα μὴ εὐθὺς ἀρξαμένου τοῦ κλύδωνος ἐπιπηδᾶν τῷ σκάφει, τὴν παρ' αὐτοῦ ζητοῦσιν ἐπικουρίαν, ἀλλ' οἷον ἀκμάσαντος ἤδη τοῦ κακοῦ, ἐμφανεστέρα γένη-*

ται τῆς θεοπρεποῦς ἐξουσίας ἡ δύναμις, μαινομένην καθιστᾶσα θάλασσαν καὶ μεθιστᾶσα πρὸς γαλήνην.

Τοῦ αὐτοῦ. Ἐνταῦθά μοι βλέπε μετὰ πίστεως ὀλιγοπιστίαν. πιστεύουσι μὲν γὰρ ὅτι σῶσαι δύναται, ὡς δὲ ὀλιγόπιστοι λέγουσι τὸ "σῶσον, ἀπολλύμεθα·" οὐ γὰρ ἐφικτὸν ἀπολεῖσθαί ποτε συνόντος αὐτοῖς τοῦ πάντα ἰσχύοντος. ἀλλ' ἐγήγερται παραχρῆμα Χριστὸς ὁ πάντων ἔχων τὴν ἐξουσίαν, καὶ καθίστησι μὲν εὐθὺς τὸν κλύδωνα, συνέστειλε δὲ τὰς τῶν πνεύματων ὁρμάς· καὶ τὸν θόρυβον ἔπαυσε, καὶ δι' αὐτῶν ἔδειξε τῶν πραγμάτων, ὅτι Θεός ἐστι. λεγέσθω τοίνυν παρ' ἡμῶν τὸ ἐν βίβλῳ ψαλμῶν· "σὺ δεσπόζεις "τοῦ κράτους τῆς θαλάσσης, καὶ τὸν σάλον τῶν κυμάτων αὐτῆς "σὺ καταπραΰνεις."

Τοῦ αὐτοῦ. Ὥσπερ ὁ χρυσὸς ἐν πυρὶ δοκιμάζεται, οὕτω καὶ ἡ πίστις ἐν πειρασμοῖς· πλὴν ἀσθενὴς ὁ ἀνθρώπου νοῦς, δεῖται δὲ πάντως τῆς ἄνωθεν χειρὸς εἰς τὸ διενεγκεῖν ἀνδρείως τὰ παρεμπίπτοντα. καὶ τοῦτο ἡμᾶς ὁ Σωτὴρ ἐδίδασκεν, εἰπὼν, "χωρὶς "ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν·" ὡμολόγει δὲ τοῦτο καὶ ὁ σοφώτατος Παῦλος λέγων, "ὅτι πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με "Χριστῷ."

25 Ἆρ' οὖν ὡς οὐκ εἰδότες τὸ "τίς οὗτός ἐστι," παρηγόρευον ἀλλήλοις; εἶτα πῶς οὐκ ἀπίθανον παντελῶς τὸ χρῆμά ἐστιν; ᾔδεσαν γὰρ ὄντα Θεὸν, καὶ Υἱὸν Θεοῦ τὸν Ἰησοῦν· καταπληττόμενοι δὲ τῆς ἐνούσης αὐτῷ δυνάμεως τὴν ὑπερβολὴν, καὶ τὴν τῆς θεότητος δόξαν, καίτοι καθ' ἡμᾶς ὄντι τε καὶ ὁρωμένῳ κατὰ τὴν σάρκα, λέγουσι τὸ "τίς οὗτός ἐστιν," ἀντὶ τοῦ πόσος καὶ οἷος, καὶ ἐν ὅσῃ δυνάμει καὶ ἐξουσίᾳ, "ὅτι καὶ αὐτοῖς ἐπιτάσσει τοῖς ὕδασι καὶ τοῖς "ἀνέμοις, καὶ ὑπακούουσιν αὐτῷ·" ἐπιτακτικὸν γὰρ ἦν τὸ ἔργον, δεσποτικὴ ἡ πρόσταξις καὶ οὐκ ἀξίως οἰκητική· μέγα καὶ τοῦτο πρὸς θαῦμα καὶ ὄνησιν τοῖς ἀκροωμένοις· ὑπακούει γὰρ ἡ κτίσις, οἷς ἂν ἐπιτάττειν βούλεται Χριστός. ἀμέλει καὶ τὸν τῆς ἐπιτιμῆς τρόπον ἐν ἐξουσίᾳ θεοπρεπεῖ γενέσθαι φησὶν ὁ Ματθαῖος· ἔφη γὰρ εἰπεῖν τῇ θαλάσσῃ τὸν Κύριον, "σιώπα, πεφί"μωσο," καὶ ἅμα τῷ λόγῳ ἠκολούθησε τὸ πρᾶγμα, καὶ ἡ θάλασσα γινώσκει τὸν ἀπαρχῆς αὐτὴν συναγαγόντα, προστάγματι τὸν θέμενον ἄμμον ὅριον αὐτῇ, ὃ οὐχ ὑπερβήσεται.

ΚΕΦ. ΚΔ.

Περὶ τοῦ Λεγεῶνος.

27 Ἐξελθόντι δὲ αὐτῷ ἐπὶ τὴν γῆν ὑπήντησεν αὐτῷ ἀνήρ τις ἐκ τῆς πόλεως, ὃς εἶχε δαιμόνια ἐκ χρόνων ἱκανῶν.

Κυρίλλου Ἀλεξανδρείας. Ἐνταῦθά μοι βλέπε θράσει πολλῷ καὶ ἀπονοίᾳ συμπεπληγμένην δειλίαν· δεῖγμα μὲν γὰρ ἀπονοίας δηλωτικὸν τὸ τολμῆσαι λέγειν, "τί ἐμοὶ καὶ σοὶ, Ἰησοῦ Υἱὲ τοῦ "Θεοῦ τοῦ ὑψίστου;" εἰ γὰρ οἶδας ὅλως ὄντα αὐτὸν Υἱὸν τοῦ Ὑψίστου Θεοῦ, ὁμολογεῖς ὅτι Θεός ἐστιν οὐρανοῦ τε καὶ γῆς καὶ τῶν ἐν αὐτοῖς· εἶτα πῶς τὰ μὴ σὰ, μᾶλλον δὲ τὰ αὐτοῦ διαρπάζεις, εἶτα λέγεις, "τί ἐμοὶ καὶ σοί;" καὶ τίς ἀνέξεται τῶν ἐπὶ τῆς βασιλείας μέχρι παντὸς ἀνεῖναι βαρβάρῳ τοὺς ὑπὸ σκήπτρα κειμένους, τὰς αὐτῷ δὲ πρεπούσας ἐρεύγεσθαι· φωνάς. αὗται δέ εἰσι τὸ "δέομαί σου μή με βασανίσῃς·" παρήγγειλε γὰρ," ἔφη, "τῷ πνεύματι ἐξελθεῖν ἀπὸ τοῦ ἀνθρώπου." Ἄθρει δέ μοι πάλιν τὴν ἀπαράβλητον δόξαν τοῦ πάντα ἰσχύοντος, φημὶ δὴ Χριστοῦ τὴν ἀκαταγώνιστον ἰσχὺν, συντρίβει τὸν Σατανᾶν, ἐθελήσας μόνον τοῦτο παθεῖν αὐτόν· πῦρ αὐτῷ καὶ φλόγες εἰσὶ τὰ τοῦ Χριστοῦ ῥήματα. Ἄληθες οὖν ὅτι, καθά φησιν ὁ μακάριος ψαλμῳδὸς "τὰ "ὄρη ἐτάκησαν ὡσεὶ κηρὸς ἀπὸ προσώπου τοῦ Θεοῦ·" ὄρεσι γὰρ τὰς ὑψηλὰς καὶ ὑπερηφάνους παρεικάζει δυνάμεις, πονηρίας δηλονότι, πλὴν ὡς πυρὶ προσβαλλούσας τῇ τοῦ Σωτῆρος ἡμῶν δυνάμει τε καὶ ἐξουσίᾳ, κατατήκονται κηροῦ δίκην.

31 Τοῦ ἁγίου Τίτου Βοστρῶν. Ὡσανεὶ ἔλεγε, μὴ ἀποπέμψῃς ἡμᾶς, μηδὲ εἰς τὸ σκότος τὸ ἐξώτερον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς Ἀγγέλοις αὐτοῦ· ἐπεὶ τοίνυν οἴδασιν, ὅτι ποτὲ πεμφθήσονται, ἄνεσιν πρὸς καιρὸν αἰτοῦσιν, ὁμολογοῦντες δηλαδὴ σαφῶς ὅτι ἐὰν ἐπιτάξῃ, ἀπελεύσωνται. ὥστε ὁ Κύριος τὸ μὲν ἐπιτάξαι αὐτοῖς οὐκ εἴασεν, συνεχώρησε δὲ αὐτοὺς εἶναι ἐν τῇ γῇ ταύτῃ ἕως ὅτε καὶ τὸν διάβολον, πρὸς γυμνασίαν τῶν ἀνθρώπων· τοῦ γὰρ ἀντιπάλου ἡ ἀπουσία τοῦ νικητοῦ ἀφαιρεῖται τὸν στέφανον. Αὐτοὶ μὲν γὰρ πονηρεύονται, ὁ δὲ ἀγωνοθέτης στέφανον προτιθεῖ τοῖς νικῶσι. παρεκάλουν οἱ δαίμονες τὸν Κύριον. εἰ κατὰ

τοὺς αἱρετικοὺς ἀρχαὶ ἦσαν δύο, οὐκ ἂν οἱ δαίμονες παρεκάλουν τὸν Κύριον, εἰ μὴ ἦσαν δημιούργημα μὲν τοῦ Θεοῦ, ὡς δὲ ἁμαρτήσαντες ἀποβεβλημένοι. βλέπε τοίνυν τὴν οἰκειότητα τῆς δημιουργίας καὶ τῆς ἁμαρτίας τὸν ἔλεγχον, ἡμᾶς γὰρ δημιουργία ὑπὸ τὸν δεσπότην, οἱ δὲ ἁμαρτάνοντες ὑπὸ τὸν κριτὴν παρακαλοῦσι καὶ ὁμολογοῦσι τὴν ἐξουσίαν.

Τοῦ αὐτοῦ. Καθαρὰ ἡ κάθαρσις, ἀναντίρρητος ἡ θεραπεία, οὕτω γὰρ ἔνηψεν ὁ πάσχων ὥστε ἐπιγνῶναι τὸν Σωτῆρα καὶ ἀξιοῦν αὐτὸν, ἵνα ᾖ σὺν αὐτῷ· τάχα δὲ καὶ εὐλαβούμενος τὴν ὑποστροφὴν τῶν δαιμόνων. ὁ δὲ Κύριος ἵνα μὴ δόξῃ διὰ τῆς παρουσίας φυλάττειν, παρὼν γὰρ καὶ ἀπὼν φυλάσσει οὓς βούλεται, ἀπέλυσεν αὐτὸν, εἰπὼν, "ὑπόστρεφε εἰς τὸν οἶκον" καὶ μνημόνευε τῆς ἐνεργείας, διηγοῦ τὸ θαῦμα, ἵνα βεβαιώσῃς τὴν χάριν, "διηγοῦ ὅσα σοι ἐποίησεν ὁ Θεός·" οὐ λέγει, ἐγὼ τύπος ὑμῖν ταπεινοφροσύνης γενόμενος, ἀλλ' ἀναπέμπει εἰς Πατέρα, οὗ αὐτὸς ποιεῖ τὸ θαῦμα.

Βίκτορος πρεσβυτέρου. Θεὸν ἄρα ᾔδει τὸν Ἰησοῦν, καὶ ὁ τῶν δαιμόνων ἀπαλλαγεὶς κηρύσσων ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς, εἰπὼν αὐτῷ, "διηγοῦ ὅσα σοι ἐποίησεν ὁ Θεός·" ἄλλως δὲ οὐ παραβαίνει τὸν νόμον, ὃ γὰρ ἐνεργεῖ ὁ Υἱὸς, ἐνεργεῖ ὁ Πατήρ.

ΚΕΦ. ΚΕ.

Περὶ τῆς θυγατρὸς τοῦ ἀρχισυναγωγοῦ.

41 Καὶ ἰδοὺ ἦλθεν ἀνὴρ ᾧ ὄνομα Ἰάειρος.

Τοῦ ἁγίου Τίτου Βοστρῶν. Τὸ ὄνομα κεῖται διὰ τοὺς Ἰουδαίους τοὺς εἰδότας τὸ γεγονὸς, ἵνα γένηται τὸ ὄνομα ἀπόδειξις τοῦ θαύματος, καὶ οὗτος ἄρχων τῆς συναγωγῆς τῶν Ἰουδαίων, οὐκ ἦλθέ τις τῶν εὐτελῶν, οὐδὲ τῶν τυχόντων· εἴθε μὲν οὖν προὔλαβε, καὶ διὰ πίστιν προσέπεσε, καὶ δι' εὐγνωμοσύνην ἐπέγνω, μὴ διὰ χρείαν παρεγένετο. Ἡ γὰρ χρεία διαβάλλει τὴν παράκλησιν, ὅμως θλίψις ἔσθ' ὅτε καταβιάζεται πρὸς τὸ ἑλέσθαι δρᾷν τὰ αὐτῷ χρήσιμα καὶ συμφέροντα. Ταύτῃ τοι καὶ ὁ μακάριος ἔφη Δαβὶδ, "ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξεις, τῶν μὴ ἐγγιζόντων πρός σε."

ΚΕΦ. ΚϚ.

Περὶ τῆς αἱμορρούσης.

43 Ἐξ Ἀνεπιγράφου. Πρόσεισι γυνὴ καλῶς καὶ οἰκείως τὴν μόνην ἱκανὴν ἀφορμὴν εἰς τὸ ἰαθῆναι παρασκευάσασα τὴν πίστιν. "Προσελθοῦσα" γὰρ, φησὶν, "ὄπισθεν, ἥψατο τοῦ κρασπέδου τοῦ "ἱματίου αὐτοῦ," δηλαδὴ πεπιστευκυῖα μεγάλως, οὕτως ὡς καὶ διὰ τῆς ἐπαφῆς πιστεῦσαι τὴν ἴασιν. Λέγει δὲ αὐτῷ[b] καὶ διηγεῖται Μάρκος ὁ Εὐαγγελιστής· "ἔλεγε γὰρ," φησὶν, "ὅτι κἂν "τῶν ἱματίων αὐτοῦ ἅψωμαι, σωθήσομαι, καὶ παραχρῆμα ἔστη "ἡ ῥῦσις τοῦ αἵματος αὐτῆς." Ὥσπερ γὰρ εἰ προσαγάγοι τις ὀφθαλμὸν φωτὶ λάμποντι ἢ πυρὶ φλέγοντι τὴν πεφυκυίαν ὕλην ἐξάπτεσθαι, ἅμα τε προσήγαγε, καὶ τὸ τῆς ἐνεργείας πεπλήρωται, ὀφθαλμός τε γὰρ, ἅμα τὸ πρὸς φῶς ἀπιδεῖν ἐφωτίσθη, καὶ τὸ πεφυκὸς ὑποδέχεσθαι πρὸς ἐνέργειαν ἅμα τὸ πλησιᾶσαι φλέγεται, οὕτως ἡ πιστῶς ἐφαψαμένη τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ, τῆς ἰάσεως ἔτυχεν, οὐκ ἠγνοήθη δὲ τὸ παράδοξον.

Ἐξ ἀνεπιγράφου. Οὐκ ἦν τῷ Κυρίῳ πλησιᾶσαι καὶ ἐφάψασθαι αὐτοῦ σωματικῶς πλησιάζοντα καὶ ἐφαπτόμενον, εἰ μὴ πνευματικῶς τοῦτο ποιῇ· ἔτυχε τοίνυν οὗπερ ἔχρηζεν ἡ γυνή. Διὸ καὶ ζητεῖ τοὺς ὑπὸ τοῦ Κυρίου, καὶ ἐς ὄψιν καλεῖται τῶν μαθητῶν οὐκ εἰδότων τὸ ζητούμενον, ἀλλ' ἁπλήν τινα τὴν ἐπαφὴν οἰομένων λέγειν τὸν Κύριον, καὶ τοιαύτην οἵαν οἱ λοιποὶ πάντες ἐφήπτοντο. διόπερ ὁ Κύριος διαστέλλων· "ἥψατό μού τις," φησὶν, ὥσπερ καὶ ἔλεγεν, ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω, καίτοι πάντων τὴν σωματικὴν ταύτην ἐχόντων ἀκοήν· καὶ μέχρι δὲ ψιλῆς τῆς τῶν λόγων ἀκροάσεως ἀκουόντων ἁπάντων, ἀλλ' οὔτε ἀκούειν ἦν τῷ μὴ συνετῷ, οὔτε ἅπτεσθαι τῷ μὴ πιστῷ. Τί οὖν; εἰς ὄψιν αὐτὴν καλεῖ, καὶ τοὺς ἱεροὺς ὀφθαλμοὺς ἐπαίρει περισκοπῶν τὴν γυναῖκα, ὅτι θέας ἀξία παρὰ τῷ Κυρίῳ· ἀξία δὲ καὶ τῆς εἰς τοὺς παρόντας ἐπιδείξεως, ὅτι παράδειγμα πίστεως πᾶσιν ἤμελλεν ἔσεσθαι καὶ παράκλησις ἐπὶ πίστιν, διὰ τοῦ δοθησομένου αὐτῇ δικαίως ἐπαίνου.

Ἐξ ἀνεπιγράφου. Πρότερον μὲν οὐκ ἐτόλμα δι' εὐλάβειαν ἄντικρυς ἀπαντᾶν, καὶ περὶ θεραπείας ἀξιοῦν, ζητουμένη δὲ

[b] Sic. Leg. τοῦτο.

ἅπαντα πρεπόντως, ἔμφοβός τε καὶ εὐλαβὴς καὶ τὸ σέβας ἁρμόττον προσφέρουσα· καὶ τὴν ὁμολογίαν τῆς ἰάσεως εἰς ἐμφανὲς πᾶσι ποιεῖται, οὐ τῷ πάντα εἰδότι, ἀλλὰ τοῖς ἀγνοοῦσιν, αἰσθήσει τὴν ἴασιν ἐπεγνωκυῖα. Λέγει γὰρ καὶ τοῦτο ὁ Μάρκος· "ὅτι ἔγνω "τῷ σώματι, ὅτι ἴαται ἀπὸ τῆς μάστιγος." ἣν δ' ἐκ τῆς ἐπαφῆς ἔλαβε θεραπείαν, ταύτην καὶ διὰ τοῦ λόγου ἐβεβαίωσεν ὁ Σωτὴρ εἰπὼν, "πορεύου ἐν εἰρήνῃ, καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου," καὶ ὑγίαινε πρῶτον τῇ πίστει τὴν ψυχήν· εἶτα δὲ καὶ τὸ σῶμα.

49 Ἔτι αὐτοῦ λαλοῦντος ἔρχεταί τις παρὰ τοῦ ἀρχισυναγώγου.

Τίτου Βοστρῶν. Ἵνα γὰρ μὴ εἴπῃ καὶ αὐτὸς, ἐπίσχες, οὐ χρείαν σου ἔχω, Κύριε, ἤδη γέγονε τὸ πέρας, ἀπέθανεν, ἣν προσεδοκῶμεν ὑγιαίνειν· ἄπιστος γὰρ ἦν, Ἰουδαϊκὸν ἔχων φρόνημα, φθάνει ὁ Κύριος καί φησι, μὴ φοβοῦ, παῦσον τῆς ἀπιστίας τὰ ῥήματα, ἐπίσχες τὴν γλῶτταν, μόνον πίστευε κατὰ τὴν γυναῖκα, ἣν γὰρ αὐτὴ καθάπερ προοίμιον τῆς μελλούσης θαυματουργίας.

Ἐξ ἀνεπιγράφου. Ἀθορύβως περὶ τὴν τηλικαύτην πάρεστι δύναμιν, οὐκ ὄχλον ἐπαρομένος, ἀλλ' ὅσον οἷόν τε τὸν ὄχλον ἀφιστάς· τῶν μὲν μαθητῶν μόνους τρεῖς συμπαραλαβὼν, τῷ δὲ ὄχλῳ πρόφασιν ἀναχωρήσεως προβάλλων, τὸ μὴ τεθνᾶναι φᾶναι τὴν κόρην, ἀλλὰ καθεύδειν. προσκαλεσάμενος δὲ μόνους ἐκ πάντων τοὺς γονεῖς, οὕτω τὴν κόρην καθάπερ καθεύδουσαν ἀνίστησιν, ἀληθὲς τῇ θαυματουργίᾳ ποιήσας τὸ καθεύδειν αὐτήν· ὅπερ ἄνευ τῆς ἀναστάσεως οὐκ ἂν ἦν ἀληθές. Διόπερ οἱ μὲν τὴν ἀνάστασιν οὐ προσδοκῶντες κατεγέλων, καθεύδειν ἀκούοντες τὴν τεθνηκυῖαν· αὐτὸς δὲ κατὰ τὴν αὐτοῦ δύναμιν ἀληθὲς τὸ εἰρημένον ἀπέδειξεν.

51 Ὅτι τῶν ἄλλων οὗτοι ἦσαν ὑπερέχοντες, καὶ ὁ μὲν Πέτρος ἐκ τοῦ σφόδρα φιλεῖν αὐτὸν ἐδήλου τὴν ὑπεροχήν· ὁ δὲ Ἰωάννης ἐκ τοῦ σφόδρα φιλεῖσθαι, καὶ Ἰάκωβος δὲ ἀπὸ τῆς ἀποκρίσεως, ἧ ἀπεκρίνατο λέγων, δυνάμεθα πιεῖν τὸ ποτήριον· οὐκ ἀπὸ τῆς ἀποκρίσεως δὲ μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν ἔργων, τῶν τε ἄλλων καὶ ἀφ' ὧν ἐπλήρωσεν, ἅπερ εἶπεν. Οὕτω γὰρ ἦν σφοδρὸς καὶ βαρὺς Ἰουδαίοις, ὡς καὶ τὸν Ἡρώδη ταύτην δωρεὰν μεγίστην νομίσαι χαρίσασθαι τοῖς Ἰουδαίοις, εἰ ἐκεῖνον ἀνέλοι[c].

[c] Hæc Chrys. sunt. Cf. Cat. ad S. Matth. p. 134.

ΚΕΦ. ΚΖ.

Περὶ τῆς ἀποστολῆς τῶν ιβ΄.

1 Συγκαλεσάμενος δὲ τοὺς δώδεκα μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς δύναμιν καὶ ἐξουσίαν ἐπὶ πάντα τὰ δαιμόνια καὶ νόσους θεραπεύειν.

Κυρίλλου Ἀλεξανδρείας. Ἀληθὲς εἰπεῖν ὅτι πόνων ἀγαθῶν καρπὸς εὐκλεής· τοῖς γάρ τοι τὴν πάναγνον καὶ ἀβέβηλον, κατά γε τὸ ἀνθρώποις ἐγχωροῦν, κατορθοῦν ἐθέλοντας ζωὴν, τοῖς παρ' ἑαυτοῦ χαρίσμασι καταφαιδρύνει Χριστὸς, καὶ πλουσίαν αὐτοῖς ἁγιοπρεπῶς χαρίζεται τὴν ἀντέκτησιν, καὶ δόξης αὐτοῦ τῆς ἰδίας καθίστησι κοινωνούς. δέχου τοῦ πράγματος ἀπόδειξιν σαφῆ τε καὶ ἐνεργῆ τοὺς ἁγίους Ἀποστόλους· ὅρα γεγονότας ἐκπρεπεστάτους, καὶ τῇ ὑπὲρ ἄνθρωπον δόξῃ κατεστεμμένους, μένοντος αὐτοῖς μετὰ τῶν ἄλλων καὶ τοῦτο Χριστοῦ. Δέδωκε γὰρ αὐτοῖς, φησὶ, "δύναμιν καὶ ἐξουσίαν ἐπὶ πάντα τὰ δαιμόνια καὶ νόσους θεραπεύειν," ἀλλ' ὅρα πάλιν τὸν ἐνανθρωπήσαντα τοῦ Θεοῦ Λόγον, τὸ τῆς ἀνθρωπότητος ὑπερτρέχοντα μέτρον, καὶ τοῖς τῆς θεότητος ἀξιώμασι διαπρέποντα· ἐπέκεινα γὰρ τῶν τῆς ἀνθρωπότητος μέτρων τὸ διδόναι κατὰ πνευμάτων ἀκαθάρτων, οἷς ἂν βούληται τὴν ἐξουσίαν· καὶ μὴν καὶ τὸ δύνασθαι νοσημάτων ἐλευθεροῦν τοὺς ἐνειλημμένους καὶ μόνον Θεοῦ. Ἡ γὰρ τῆς ἀνωτάτω φύσεως ὑπεροχή τε καὶ διδασκαλία καὶ δόξη οὐδενὶ τῶν ὄντων ἔνεστι φυσικῶς, πλὴν ὅτι αὐτῷ τε καὶ μόνῳ. ἀξία τοίνυν θαύματος ἡ τοῖς ἁγίοις Ἀποστόλοις ἐκνεμηθεῖσα χάρις, ἐπέκεινα δὲ ἐπαίνου καὶ θαύματος ἡ τοῦ νέμοντος ἀφθονία· τὴν ἑαυτοῦ γὰρ, ὡς ἔφην, ἐχαρίζετο δόξαν· ἄνθρωπος ἐξουσίαν κατὰ πνευμάτων δέχεται πονηρῶν, καὶ τὴν οὕτως ὑπέροπτον ὀφρὺν τὴν τοῦ διαβόλου φήμην καταστρέφει, καί τοι λέγοντα ποτὲ "τὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρὶ ὡς νοσσίαν, καὶ ὡς καταλελειμμένα ὠὰ ἀρῶ, "καὶ οὐκ ἔστιν ὃς διαφεύξεταί με, ἢ ἀντείπῃ μοι." ἐσφάλλετο δὲ τῆς ἀληθείας καὶ διημάρτηκε τῆς ἐλπίδος ὁ σοβαρὸς καὶ θρασύς, καὶ τῆς ἁπάντων ἀσθενείας κατακαυχώμενος. Ἀντιτάξεται γὰρ αὐτῷ τοὺς τῶν ἱερῶν κηρυγμάτων ἱερουργοὺς, ὁ τῶν δυνάμεων

Κύριος, καὶ τοῦτο ἦν ἄρα τὸ δι' ἑνὸς τῶν ἁγίων προφητῶν προκεκηρυγμένον, περί τε τοῦ Σατανᾶ καὶ τῶν ἁγίων μυσταγωγῶν, ὅτι "ἐξαίφνης ἀναστήσονται οἱ δάκνοντες αὐτόν· καὶ ἐκνήψουσιν οἱ "ἐπίβουλοί σου, καὶ ἔσῃ εἰς διαρπαγὴν αὐτοῖς·" μόνον γὰρ οὐχὶ κατεδηδόκασι τὸν Σατανᾶν, ἐπιβουλεύοντες αὐτοῦ τῇ δόξῃ, καὶ διαρπάζοντες αὐτοῦ τὰ σκεύη, καὶ προσκομίζοντες τῷ Χριστῷ διὰ πίστεως τῆς εἰς αὐτόν.

ΚΕΦ. ΚΗ.

Περὶ τῶν ε' ἄρτων καὶ τῶν β' ἰχθύων.

12 Προσελθόντες δὲ οἱ δώδεκα εἶπον αὐτῷ, ἀπόλυσον τὸν ὄχλον.

Κυρίλλου Ἀλεξανδρείας. Καὶ τί τὸ "ἀπόλυσόν" ἐστιν, ἐξετάσωμεν ἀκριβῶς. οἱ μὲν, ὡς ἔφην, τῶν ἑπομένων αὐτῷ πονηρῶν πνευμάτων συνεχόντων αὐτοὺς ἀπαλλάττεσθαι παρεκάλουν, οἱ δὲ καὶ ἑτέρων ἀρρωστημάτων ἐζήτουν ἀπόθεσιν. ὡς οὖν εἰδότες οἱ μαθηταὶ ὅτι κατανεύσας μόνον ἀποπεραίνει τοῖς κάμνουσι τὸ ποθούμενον, τὸ "ἀπόλυσον αὐτοὺς" φασὶ, καὶ οὐκ αὐτοὶ μᾶλλον ἀκηδιῶντες ὡς παρακμάσαντος τοῦ καιροῦ, ἀλλὰ τῆς εἰς τοὺς ὄχλους ἀγάπης ἐχόμενοι, καὶ οἷον μελετῶντες ἤδη τὴν ποιμενικὴν ἐπιστήμην καὶ τοῦ κήδεσθαι λαῶν ἀρχόμενοι.

Τοῦ αὐτοῦ. "Κατακλίνατε αὐτούς·" ἵνα δὲ καὶ ἐπὶ μείζω εἰς ὕψος τὸ πρᾶγμα τρέχῃ, καὶ Θεὸς ὢν φύσει διὰ τρόπου παντὸς ἐπιγινώσκηται, πολυπλασιάζει τὸ βραχύ. Βλέπει τε εἰς οὐρανὸν, οἷον τὴν ἄνωθεν εὐλογίαν αἰτῶν. ἔδρα δὲ καὶ τοῦτο δι' ἡμᾶς οἰκονομικῶς. ἔστω μὲν γὰρ αὐτὸς ὁ πάντα πληρῶν, ἡ ἄνωθεν καὶ παρὰ Πατρὸς εὐλογία· ἵνα δὲ μάθωμεν ἡμεῖς, ὅτι τραπέζης ἀρχόμενοι καὶ μέλλοντες ἄρτους διακλᾷν, Θεῷ προσάγειν ὀφείλομεν ὑπτίαις ὥσπερ ἐνθέντες χερσὶ, καὶ τὴν ἄνωθεν εὐλογίαν ἐπ' αὐτὸν καταφέρειν, ἀρχὴ καὶ τύπος καὶ ὁδὸς τοῦ πράγματος γέγονεν ἡμῖν οἰκονομικῶς. εἶτα ὅποι ποτὲ προέβη τὸ θαῦμα· κατεκορέσθη πληθὺς ἀνδρῶν οὐκ ὀλίγων, εἰς πέντε γὰρ ἐξετείνετο χιλιάδας χωρὶς γυναικῶν καὶ παίδων· τοῦτο γὰρ ἕτερός τις τῶν Εὐαγγελιστῶν τοῖς ἑαυτοῦ προσήνεγκε λόγοις· καὶ οὐ μέχρι τούτου τὸ παράδοξον,

ἀλλὰ γὰρ καὶ κόφινοι συνελέγησαν κλασμάτων δώδεκα· καὶ τί τὸ ἐντεῦθεν; πληροφορία σαφὴς, ὅτι τῆς φιλοξενίας τὸ χρῆμα πλουσίαν ἔχει παρὰ Θεοῦ τὴν ἀντέκτησιν. Ἔξεστι δὲ καὶ ἰδεῖν τοῖς ἀρχαιοτέροις θαύμασι τὰ νέα συμβαίνοντα, καὶ μιᾶς ὄντα καὶ τῆς αὐτῆς δυνάμεως ἐνεργήματα. ἔβρεξεν ἐν ἐρήμῳ τὸ μάννα τοῖς ἐξ Ἰσραὴλ· ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς, ἄρτον Ἀγγέλων ἔφαγεν ἄνθρωπος κατὰ τὸ ἐν ψαλμοῖς ὑμνούμενον· ἀλλ' ἰδοὺ δὴ πάλιν ἐν ἐρήμῳ τοῖς ἐν ἐνδείᾳ τροφῆς κεχωρήγηκεν ἀφθόνως, οἷον ἐξ οὐρανοῦ καθιεὶς αὐτήν· τὸ γὰρ πολυπλασιάσαι τὸ βραχὺ, καὶ οἷον ἐκ τοῦ μηδενὸς τὴν οὕτω πολλὴν ἀποθρέψαι πληθὺν, οὐκ ἀπεοικὸς ἂν εἴη τῷ πρώτῳ σημείῳ.

ΚΕΦ. ΚΘ.

Περὶ τῆς τοῦ Κυρίου ἐπερωτήσεως.

18 Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν προσευχόμενον καταμόνας, συνῆσαν αὐτῷ οἱ μαθηταὶ, καὶ ἐπερώτησεν αὐτούς.

Τοῦ αὐτοῦ. Ὁρᾷς τὸ τῆς πεύσεως εὐτεχνές; οὐκ εὐθὺς εἶπεν, ὑμεῖς τίνα με λέγετε εἶναι; ἀποφέρει δὲ μᾶλλον ἐπὶ τὸν τῶν ἔξωθεν θρύλλον, ἵν' ἐκβαλὼν αὐτὸν καὶ ἀδόκιμον ἀποφήνας, μετασοβήσῃ λοιπὸν εἰς δόξαν ἀληθινὴν, ὃ δὴ καὶ πέπρακται. εἰπόντων γὰρ τῶν μαθητῶν, οἱ μὲν Ἰωάννην τὸν βαπτιστὴν, ἄλλοι δὲ Ἠλίαν, ἄλλοι δὲ ὅτι προφήτης τις τῶν ἀρχαίων ἀνέστη, εἶπεν αὐτοῖς, "ὑμεῖς δὲ τίνα με λέγετε εἶναι;" ὥσπερ ἐξαίρετον τὸ "ὑμεῖς" ἔξω τίθησιν αὐτοὺς τῶν ἄλλων, ἵνα καὶ τὰς ἐκείνων φύγωσιν ὑπόνοιας, καὶ μὴ μικρὰν ἔχωσι περὶ αὐτοῦ τὴν δόξαν· ὑμεῖς, φησὶν, οἱ ἐξειλεγμένοι, οἱ ψήφῳ τῇ παρ' ἐμοῦ κεκλημένοι πρὸς ἀποστολὴν, οἱ τῶν ἐμῶν τερατουργημάτων μάρτυρες, τίνα μὲ εἶναι φατέ; προπηδᾷ δὲ πάλιν τῶν ἄλλων ὁ Πέτρος, καὶ παντὸς τοῦ χοροῦ γίνεται στόμα, καὶ τοὺς φιλοθέους ἐρεύγεται[b]· φωνὴν ἀκριβῆ δὲ τῆς εἰς αὐτὸν πίστεως τὴν ὁμολογίαν ἐκφέρει λέγων "τὸν Χριστὸν τοῦ Θεοῦ." ἀσφαλὴς ὁ μαθητής, οὐ γάρ τοι φησὶν ἁπλῶς Χριστὸν αὐτὸν εἶναι τοῦ Θεοῦ, τὸν Χριστὸν δὲ μᾶλλον. Πλεῖστοι μὲν γὰρ οἱ ὡς

[b] Leg. vid. καὶ τὴν φιλόθεον ἐρ. φωνὴν, ἀκρ.

ἀπὸ τοῦ κεχρῖσθαι[c] παρὰ Θεοῦ κατὰ διαφόρους τρόπους ὠνομασμένοι χριστοί· οἱ μὲν γὰρ ἐχρίσθησαν εἰς βασιλέας, οἱ δὲ εἰς προφήτας, οἱ δὲ καὶ τὴν δι' αὐτοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ λαβόντες λύτρωσιν, τουτέστιν ἡμεῖς, καὶ τῷ Ἁγίῳ Πνεύματι κατακεχρισμένοι, τὴν τοῦ Χριστοῦ κλῆσιν ἐσχήκαμεν. οἰκοῦν πλεῖστοι μὲν οἱ χριστοί· κέκληνται δὲ οὕτως ἀπὸ τοῦ πράγματος. εἷς δὲ καὶ μόνος ὁ τοῦ Θεοῦ καὶ Πατρὸς, οὐχ ὡς ἡμῶν μὲν ὄντων χριστῶν καὶ οὐ Θεοῦ μᾶλλον, ἀλλ' ἑτέρου τινὸς, ἀλλ' ὡς αὐτοῦ καὶ μόνον ἴδιον ἔχοντος Πατέρα τὸν ἐν τοῖς οὐρανοῖς. Δῆλον οὖν ἐστι τῆς ἑτέρων πληθύος ὑφεξαιρῶν αὐτὸν, προνενέμηκε τῷ Πατρὶ ὡς ὄντα μόνον αὐτοῦ. Θεὸς γὰρ ὢν φύσει, καὶ ἐκ Θεοῦ Πατρὸς ἀναλάμψας ἀπορρήτως, ὁ μονογενὴς αὐτοῦ "Λόγος γέγονε σάρξ" κατὰ τὸ γεγραμμένον.

26 Ὃς γὰρ ἂν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους, τούτου ὁ υἱὸς ἀνθρώπου ἐπαισχυνθήσεται.

ΚΥΡΙΛΛΟΥ ἈΛΕΞΑΝΔΡΕΙΑΣ. Πολλὰ κατὰ ταὐτὸν ἐργάζεται χρήσιμά τε καὶ ἀναγκαῖα διὰ τούτων τῶν λόγων. πρῶτον μὲν δείκνυσιν ὅτι πάντη τε καὶ πάντως ἕψεται τοῖς αἰσχυνομένοις αὐτὸν καὶ τοὺς αὐτοῦ λόγους τὸ τῶν ἴσων τυχεῖν. Τί δ' ἂν γένοιτο τούτῳ τὸ ἰσοστατοῦν εἰς δύναμιν εὐθυμίας; εἰ γὰρ ἐπαισχύνεταί τινος ὁ κριτὴς, ὡς ἐποφείλων αὐτοῖς τὸν τῆς εὐπειθείας μισθὸν, καὶ τῆς εἰς αὐτὸν ἀγάπης τὰ ἔργα, καὶ τὸν τῆς εὐνοίας στέφανον, πῶς οὐκ ἔστιν ἀναμφιλόγως εἰπεῖν, ὅτι πάντη τε καὶ πάντως ἐν ἀτελευτήτοις ἔσονται τιμαῖς τε καὶ δόξαις οἱ τῶν οὕτω λαμπρῶν τετυχηκότες ἀγαθῶν; εἶτα πρὸς τούτοις φόβον αὐτοῖς ἐντίκτει, καταβήσεσθαι λέγων ἐξ οὐρανοῦ, οὐκ ἐν σμικροπρεπείᾳ τῇ πρώτῃ καὶ ὑφέσει τῆς καθ' ἡμᾶς, ἀλλ' ἐν δόξῃ τῇ τοῦ Πατρὸς, δορυφορούντων Ἀγγέλων. οὐκοῦν παγχάλεπον καὶ ὀλέθρου μεστὸν[d] τὸ καταγνωσθῆναι μὲν ἐπὶ δειλίᾳ τε καὶ ἀφιλεργίᾳ, καταφοιτήσαντος ἄνωθεν τοῦ κριτοῦ καὶ ἀγγελικῶν ταγμάτων περιεστηκότων. μέγα δὲ καὶ παντὸς θαύματος ἄξιον καὶ τῆς εἰς λῆξιν εὐημερίας πρόξενον, τὸ ἐπὶ τοῖς ἤδη προπεπονημένοις χαίρειν αὐτοὺς, καὶ τὸ προσδοκᾷν τῶν ἱδρώτων τὰς ἀμοιβάς· ἐπαινεθήσονται γὰρ οἱ τοιοῦτοι,

[c] κεχρῆσθαι Cod.

[d] Cod. ὀλεθυρμεστὸν.

Χριστοῦ λέγοντος, "δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου."

ΚΕΦ. Λ.

Περὶ τῆς μεταμορφώσεως.

27 Τοῦ αὐτοῦ. Οὔπω τὴν ἐξ ὕψους δύναμιν ἐσχηκότας τοὺς μαθητὰς, εἰκὸς ἦν τάχα που καὶ ἀνθρωπίναις περιπεσεῖν ἀσθενείαις, καὶ τί τοιοῦτον περὶ αὐτοὺς ἐννενοηκότας εἰπεῖν, πῶς ἀρνήσεταί τις ἑαυτὸν, ἢ πῶς ἀπολέσας τὴν ἑαυτοῦ ψυχὴν εὑρήσει πάλιν αὐτήν; τί δὲ τοῖς τοῦτο παθοῦσι τὸ ἰσοστατοῦν ἔσται γέρας, ἢ καὶ ποίων ἔσται χαρισμάτων μέτοχος; Ἵνα τοίνυν τῶν τοιούτων αὐτοὺς ἀποστήσῃ λογισμῶν, καὶ οἷον μεταχαλκεύσῃ πρὸς εὐανδρίαν τῆς ἐσομένης αὐτοῖς εὐκλείας ἐπιθυμίαν ἐντεκὼν, "λέγω δὲ ὑμῖν," φησὶν, "εἰσί τινες τῶν αὐτοῦ ἑστηκότων, οἳ οὐ μὴ γεύσωνται θανάτου, ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ." Βασιλείαν δὲ Θεοῦ φησὶν αὐτὴν τὴν θέαν τῆς δόξης, ἐν ᾗ καὶ αὐτὸς ὀφθήσεται κατ' ἐκεῖνο τοῦ καιροῦ, καθ' ὃν ἂν ἐπιλάμψῃ τοῖς ἐπὶ τῆς γῆς. ἥξει γὰρ ἐν δόξῃ τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ οὐκ ἔν γε μᾶλλον σμικροπρεπείᾳ τῇ καθ' ἡμᾶς. πῶς οὖν ἄρα θεωροὺς ἐποιεῖτο τοῦ θαύματος τοὺς λαβόντας τὴν ὑπόσχεσιν; ἄνεισιν ἐπὶ τὸ ὄρος, τρεῖς ἀπ' αὐτῶν τοὺς ἀπολέκτους ἔχων, εἶτα μεταπλάττεται πρὸς ἐξαίρετόν τινα καὶ θεοπρεπῆ λαμπρότητα, ὥστε καὶ τὸν ἱματισμὸν αὐτοῦ τῇ τοῦ φωτὸς προσβολῇ διαλάμψαι, καὶ ὅσον ἀπαστράψαι δοκεῖν· εἶτα Μωϋσῆς καὶ Ἠλίας περιεστηκότες τὸν Ἰησοῦν προσελάλουν ἀλλήλοις "τὴν ἔξοδον αὐτοῦ ἣν ἔμελλε πληροῦν," φησὶν, "ἐν Ἱερουσαλὴμ," τουτέστι τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ μυστήριον καὶ τὸ σωτήριον πάθος τὸ ἐπί γε, φημὶ, τῷ τιμίῳ σταυρῷ. καὶ γάρ ἐστιν ἀληθὲς ὅτι καὶ ὁ διὰ Μωϋσέως νόμος καὶ τῶν ἁγίων προφητῶν ὁ λόγος τὸ Χριστοῦ μυστήριον προανέδειξαν, ὁ μὲν ἐν τύποις καὶ σκιαῖς, μονονουχὶ καθάπερ ἐν πίνακι καταγράφων αὐτό· οἱ δὲ πολυτρόπως προηγορευκότες, ὡς καὶ ὀφθήσεται κατὰ καιροὺς ἐν εἴδει τῆς καθ' ἡμᾶς, καὶ ὅτι τῆς ἁπάντων ἕνεκα σωτηρίας καὶ ζωῆς οὐ παραιτήσεται τὸ παθεῖν τὸν ἐπὶ ξύλου θάνατον. οὐκοῦν ἡ Μωϋσέως καὶ Ἠλίου παράστασις

καὶ τὸ προλαβεῖν ἀλλήλοις αὐτοὺς, οἰκονομία τις ἦν, εὖ μάλα καταδεικνύουσα δορυφορούμενον μὲν ὑπὸ νόμου καὶ προφητῶν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ὡς καὶ νόμου καὶ προφητῶν δεσπότην· προδειχθέντα δὲ παρ' αὐτῶν δι' ὧν ἀλλήλοις συνῳδὰ προεκήρυξαν. ἀλλ' οἱ μὲν μακάριοι μαθηταὶ βραχύ πως ἀπονυστάζουσιν ὡς τῇ προσευχῇ σχολάζοντος τοῦ Χριστοῦ. Ἐπλήρουν γὰρ οἰκονομικῶς τὰ ἀνθρώπινα· εἶτα διαγρηγοροῦντες, θεωροὶ γεγόνασι τῆς οὕτω σεπτῆς καὶ παραδόξου μεταβολῆς. οἰηθεὶς δὲ ἴσως ὁ θεσπέσιος Πέτρος ὅτι τάχα που ἐνέστηκεν ὁ καιρὸς τῆς βασιλείας τοῦ Θεοῦ, ἀποδέχεται μὲν τὰς ἐν τῷ ὄρει διατριβὰς, σκηνὰς δὲ τρεῖς δεῖ γενέσθαι, φησὶ, τῷ Χριστῷ μὲν μίαν, τὰς ἑτέρας δὲ Μωϋσῇ καὶ Ἠλίᾳ· ἀλλ' οὐκ ᾔδει, φησὶν, ὃ λέγει, οὐ γὰρ ἦν καιρὸς τῆς συντελείας τοῦ αἰῶνος, οὔτε μὴν τοῦ χρόνου λαβεῖν τοὺς ἁγίους τῆς ἐπηγγελμένης αὐτοῖς ἐλπίδος τὴν μέθεξιν. Ὡς γὰρ ὁ Παῦλός φησι, μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ κυρίους δηλονότι. οὔσης οὖν ἐν ἀρχαῖς ἔτι τῆς οἰκονομίας καὶ οὔπω πεπερασμένης, πῶς ἦν εἰκὸς καταλῆξαι Χριστὸν τῆς εἰς τὸν κόσμον ἀγάπης, ἀποφοιτήσαντα τοῦ παθεῖν ὑπὲρ αὐτοῦ; σέσωκε γὰρ τὴν ὑπουράνιον, καὶ αὐτὸν ὑπομείνας τὸν κατὰ σάρκα θάνατον, καὶ διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως καταργήσας αὐτόν. οὐκ ᾔδει τοιγαροῦν ὁ Πέτρος ὅπερ ἔφη.

ΚΕΦ. ΛΑ.

Περὶ τοῦ σεληνιαζομένου.

37 Ἐγένετο δὲ ἐν τῇ ἑξῆς ἡμέρᾳ, κατελθόντων αὐτῶν ἀπὸ τοῦ ὄρους, συνήντησεν αὐτῷ ὄχλος πολύς.

Τοῦ αὐτοῦ. Διὰ τὴν σὴν ἀπιστίαν οὐκ ἐνήργηκεν ἡ χάρις· ὅτι γὰρ χρὴ μετὰ πίστεως προσιέναι Χριστῷ καὶ τοῖς παρ' αὐτοῦ τὴν τοῦ θεραπεύειν δύνασθαι καταπλουτήσασι χάριν, αὐτὸς ἡμᾶς ἐδίδαξε πανταχοῦ τὴν πίστιν αἰτῶν παρὰ τῶν προσιόντων αὐτῷ, ταύτης ἕνεκα τῆς αἰτίας κατενόησε δικαίως αὐτοῦ Χριστὸς λέγων, "ὦ γενεὰ ἄπιστος καὶ διεστραμμένη, ἕως τίνος ἔσομαι πρὸς ὑμᾶς "καὶ ἀνέξομαι ὑμῶν." ἄπιστον δὲ γενεὰν ἐκεῖνόν που πάντως καὶ

τοὺς ὁμογνώμονας εἰκότως ἀπεκάλει, καὶ διεστραμμένον, καὶ κατ' οὐδένα τρόπον ὀρθοποδεῖν εἰδότα. περὶ τῶν τοιούτων φησὶ τὸ γράμμα τὸ ἱερὸν, "ὧν αἱ τρίβοι σκολιαὶ καὶ καμπύλαι αἱ τροχιαὶ "αὐτῶν." Καὶ μετ' ὀλίγα—Ἔδει μὲν οὖν τὸν τοῦ δαιμονῶντος πατρὸς λυπούμενον ἀπελθεῖν, καὶ οὐ τετυχηκότα τῆς φιλοτιμίας· ἀλλ' ἵνα μή τις οἴεται καὶ αὐτὸν ἀτονῆσαι Χριστὸν πρὸς τὴν τοῦ παραδόξου κατόρθωσιν, ἐπετίμησε τῷ ἀκαθάρτῳ πνεύματι, καὶ παραχρῆμα τοῦ νοσεῖν ἀπηλλάττετο, καὶ ἀποδέδωκεν αὐτὸν τῷ πατρὶ αὐτοῦ· οὐ γὰρ ἦν ἔτι τοῦ πατρὸς, ἀλλὰ τοῦ κρατοῦντος πνεύματος. Ἐπειδὴ δὲ ἀπεσείσατο τὴν πλεονεξίαν, γέγονε πάλιν τοῦ ἰδίου πατρὸς, Χριστοῦ δὲ τὸ δῶρον.

ΚΕΦ. ΛΒ.

Περὶ τῶν διαλογιζομένων τις μείζων.

46 Κυρίλλου Ἀλεξανδρείας. Πάθος δὴ οὖν διακένου δόξης εἰσδεδράμηκε τινὰ τῶν ἁγίων Ἀποστόλων· τὸ γὰρ ὅλως διαλογίζεσθαι τὸ τίς ἂν εἴη μείζων αὐτῶν, φειλονεικοῦντος τουτέστι καὶ τὸ προεστᾶναι τῶν ἄλλων ἐπιθυμήσαντος· ἀλλ' ὁ τὰ πάντα εἰδὼς Χριστὸς ὁ Θεὸς ἡμῶν, τὸν ἐν τῇ τοῦ μαθητοῦ διανοίᾳ διαλογισμὸν, ὥσπερ τινὰ πικρίαν ἄνω φύουσαν κατὰ τὸ γεγραμμένον, πρὶν εἰς ὕψος ἀρθῆναι, πρὶν ἁδρυνθῆναι, ἐκ ῥίζης αὐτῆς ἀναβαθρεύει τὸ κακόν· ἀρχόμενα γὰρ ἐν ἡμῖν τὰ πάθη νικᾷ ῥαδίως, ἁδρυνθέντα δὲ δυσαπόβλητά ἐστι. Πῶς οὖν ἄρα τὸ φιλόδοξον πάθος ἀποκείρει ὁ πνευμάτων ἰατρός; ἐπελάβετο τὸ παιδίον καὶ ἔστησεν αὐτὸ παρ' ἑαυτῷ. ὠφελείας δὲ χάριν ἐποιεῖτο τὸ χρῆμα, καὶ αὐτοῖς τοῖς ἁγίοις Ἀποστόλοις, καὶ ἡμῖν δὲ τοῖς μετ' ἐκείνους. Παραβόσκεται γὰρ ἡ τοιάδε νόσος, ὡς ἐπίπαν πάντας ἀνθρώπους, εἴπερ ἂν εἶεν ἐν ὑπεροχῇ τῇ κατά τινων. Τίνος οὖν ἄρα τύπον καὶ εἰκόνα τὸ παρενεχθὲν ἐποιεῖτο παιδίον; ἀπονήρου τε καὶ ἀφιλοδόξου ζωῆς· ἀκαπήλευτον γὰρ ἔχει τὴν γνώμην, ἀνώθευτον τὴν καρδίαν, καὶ ἔστιν ἐν ἁπλότητι διαλογισμῶν· οὐ φιλοδοξίας ἐρᾷ, οὐκ οἶδεν ὑπεροχῆς τρόπον. Εἶτά φησιν, "ὅτι ὃς ἂν δέξηται τὸ παιδίον "τοῦτο ἐπὶ τῷ ὀνόματί μου," καὶ τὰ ἑξῆς, τοῦτο ἔστιν, ὁ μικρό-

τερος ἐν πᾶσιν ὑμῖν ὑπάρχων, οὗτος ἔσται μέγας, τὸν μετριόφρονα λέγων καὶ οὐδὲν ὑψηλὸν περὶ αὐτοῦ λογιζόμενον δι' εὐλάβειαν· γέγραπται γὰρ "ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, καὶ ὁ "ταπεινῶν ἑαυτὸν ὑψωθήσεται."

ΚΕΦ. ΛΓ.

Περὶ τοῦ μὴ ἐπιτρεπομένου ἀκολουθεῖν.

49 Εἰπὼν δὲ ὁ Εὐαγγελιστὴς περὶ Ἰωάννου τοῦ ἀδελφοῦ Ἰακώβου, ὅτι πρὸς τὸν Κύριον εἶπεν "ἐπιστάτα, εἴδομέν τινα ἐπὶ τῷ "ὀνόματί σου ἐκβάλλοντα δαιμόνια καὶ ἐκωλύσαμεν αὐτὸν," οὐχ ὡς φθονησάντων τῶν Ἀποστόλων τοῦτό φησιν, ἀλλ' ὡς ἀξιούντων μαθεῖν. Εἰ δὲ ἑτέροις ἔξεστι τοῦτο δρᾷν, διὸ καὶ αὐτὸς διδάσκων αὐτοὺς ἀνταπεκρίθη, μὴ κωλύετε τὸν συντρίβοντα τὸν Σατανᾶν ἐν τῷ ὀνόματί μου, οὐ γάρ ἐστι καθ' ὑμῶν, φησὶν, ὁ τοιοῦτος. ὅστις δὲ οὐκ ἔστι καθ' ὑμῶν, ὑπὲρ ὑμῶν ἐστι τῶν ἀγαπώντων με, οἵτινες τὰ εἰς δόξαν μου πληροῦν θέλουσι, τῇ παρ' ἐμοῦ χάριτι στεφανούμενοι.

51 Τί ἔστιν ὅπερ φησὶν, ὅτι "ἐγένετο ἐν τῷ συμπληροῦσθαι τὰς "ἡμέρας τῆς ἀναλήψεως αὐτοῦ;" ὅτι ἐνστάντος τοῦ καιροῦ καθ' ὃν ἔδει λοιπὸν τὸ σωτήριον ὑπὲρ ἡμῶν ὑπομείναντα πάθος, ἀναβῆναι μὲν εἰς τὸν οὐρανὸν, συνεδρεῦσαι δὲ τῷ Θεῷ καὶ Πατρὶ, ἔκρινεν ἀνελθεῖν εἰς Ἱεροσόλυμα, οὐκέτι ὧδε κἀκεῖσε περιερχόμενος, οὐδὲ περιοδεύων κώμας καὶ πόλεις. τοῦτο γὰρ δηλοῖ τὸ "ἐστήριξε τὸ "πρόσωπον αὐτοῦ." Ἐκπέμπει ἀπὸ προσώπου αὐτοῦ τοὺς μαθητὰς, οὐκ ἀγνοῶν ὡς οὐκ ἔσονται δεκτοὶ παρὰ τῶν Σαμαρειτῶν, προκαταγγέλλοντες αὐτὸν ἐπὶ τῷ καταλῦσαι παρ' αὐτοῖς, ἀλλ' ἵνα κἀκείνοις πᾶσαν ἀφορμὴν προφάσεως ἐκκόψῃ, καὶ τοῖς μαθηταῖς ὠφελείας γένηται πρόξενος. Ἐπειδὴ γὰρ ἀνέβαινεν εἰς Ἱεροσόλυμα, τὸν τοῦ πάθους καιρὸν ἤδη ἔχων γείτονα, καὶ ἔμελλε τῆς Ἰουδαίων ἀνέχεσθαι παροινίας, ἵνα μὴ σκανδαλισθῶσιν ὅτ' ἂν παθόντα ἴδωσιν, ἀνεξίκακοι δὲ μᾶλλον καὶ αὐτοὶ γένωνται, κἂν ὑβρίζωσί τινες ἢ ἀποδιώκουσι, προγύμνασμα τοῦ πράγματος τὴν ἐκ τῶν Σαμαρειτῶν ὕβριν ἐποιήσατο, ὡσανεὶ λέγων αὐτοῖς· εἰ γὰρ καὶ οὐκ ἐδέξαντο ὑμᾶς, ὑμεῖς τοῖς ἐμοῖς τοῦ δεσπότου ἴχνεσιν

ἐξακολουθήσαντες, διακαρτερήσατε ἁγιοπρεπῶς, ὅθεν καὶ εἰπόντων ἐκ τῶν μαθητῶν, "Κύριε, θέλεις εἴπωμεν πῦρ καταβῆναι ἀπὸ τοῦ "οὐρανοῦ καὶ ἀναλῶσαι αὐτούς;" ἐπετίμησεν αὐτοῖς, περιστέλλων θεοπρεπῶς τὴν ὀξυθυμίαν, καὶ πείθων ἀνεξικακεῖν, οὐ μόνον τότε, ἀλλὰ καὶ εἰς τὰ μετὰ ταῦτα, ἡνίκα τὴν ὑπ' οὐρανὸν διερχόμενοι, ἔμελλον ἀνοσίοις τισὶ περιπίπτειν ἀνδράσιν, οὐκ ἀνεχομένων τοῦ θείου κηρύγματος. εἰδέναι γὰρ χρὴ, ὅτι ὡς μήπω τῆς νέας κεκρατηκότες χάριτος, ἀλλ' ἔτι τῆς προτέρας ἐχόμενοι συνηθείας, τοῦτο εἶπον [n], τὸν Ἠλίαν ἀφορῶντες τὸν πυρὶ καταφλέξαντα δὶς τοὺς πεντήκοντα καὶ τοὺς ἡγουμένους αὐτῶν.

Περὶ τοῦ μὴ ἐπιτρεπομένου ἀκολουθεῖν προεγράφη εἰς τὸ κατὰ Ματθαῖον.

Ὁ δὲ εἰπὼν, "ἀκολουθήσω σοι, Κύριε," πρῶτον δὲ ἐπίτρεψόν μοι ἀποτάξασθαι τοὺς ἐν τῷ οἴκῳ μου, ἀξιοζήλωτον μὲν ὑπόσχεσιν ἐνεδείξατο, κατὰ παντὸς ἐπαίνου μεστήν· τὸ δέ γε ζητεῖν ἀποτάξασθαι τοῖς εἰς τὸν οἶκον αὐτοῦ, διαδείκνυσιν ὅτι μεμέρισταί πως τῇ διανοίᾳ· τὸ γὰρ ὅλως προσανακαινοῦσθαι θέλειν τοῖς κατὰ γένος οἰκείοις τοῖς μὴ ἀποδεξαμένοις, ἐσθ' ὅτε τὸν ἐπὶ τούτῳ τῷ πράγματι σκοπεῖν, οὐ βεβηκότος ἐστὶ λογισμοῦ· διὸ καί φησι πρὸς αὐτὸν, "οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα ἐπ' ἄροτρον καὶ στραφεὶς "εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ." Ὥσπερ γὰρ ὁ γηπόνος τῆς διὰ τῶν ἀρότρων ἀνατομῆς ἀρξάμενος, ὅταν ὀκνήσῃ πρὸς τὸ λεῖπον τῷ παντὶ πόνῳ, οὐχ ὄψεται τοῖς ἀστάχυσιν κομῶσαν τὴν γῆν, προσοφλήσει δὲ τοῖς ὁρῶσι καὶ γέλωτα, οὕτως εἴ τις ἕλοιτο μὲν ἀκολουθῆσαι Χριστῷ τῷ Θεῷ, οὐκ ἀποτάσσεται δὲ τοῖς ἐν τῷ κόσμῳ πράγμασι, καὶ τοῖς κατὰ σάρκα οἰκείοις, καὶ μάλιστα τοῖς μὴ τὸν σκοπὸν ἀποδεχομένοις αὐτοῦ, οὐδαμῶς οὗτος κατορθώσει τοῖς ἐφ' ἅπασι [o] τοῖς ἐπαινουμένοις ἀγαθὴν εὐτολμίαν, οὐδὲ εὔθετος ἔσται εἰς τὴν τοῦ Θεοῦ βασιλείαν. ἐπιβάλλει μὲν ἀρότρῳ τὴν χεῖρα, διότι πρόθυμός ἐστιν ἐπακολουθεῖν, ὀπίσω δὲ βλέπει, διότι μελλήσεως καὶ ἀναβολῆς ποιεῖται πρόφασιν τὴν πρὸς τοὺς οἰκείους διάλεξιν· ἀλλ οὐ τοιούτους ὄντας εὑρήσεις τοὺς ἁγίους Ἀποστόλους. Ἅμα γὰρ ἤκουσαν τοῦ δεσπό-

[n] εἰπὼν Cod. [o] ἐφάπασι Cod.

του Χριστοῦ λέγοντος πρὸς αὐτοὺς, "δεῦτε ὀπίσω μου," εὐθέως ἀφέντες τὸ πλοῖον καὶ τὸν πατέρα αὐτῶν, ἠκολούθησαν αὐτῷ. τοιούτους οὖν προσήκει τυγχάνειν τοὺς ἀκολουθεῖν ἐθελήσαντας τῷ Θεῷ.

ΚΕΦ. ΛΔ.

Περὶ τῶν ἀναδειχθέντων ο΄.

1 Μετὰ δὲ ταῦτα ἀνέδειξεν ὁ Κύριος καὶ ἑτέρους ἑβδομήκοντα.

Τίτου Βοστρῶν. Τούτου ὁ τύπος ἐν τοῖς Μωϋσέως ἐγράφετο λόγοις· Θεοῦ γὰρ προστάττοντος, ἑβδομήκοντα ἐπελέξατο, ἐπηφίει δὲ τοῖς ἐξειλεγμένοις τὸ Πνεῦμα Θεοῦ· καὶ καθ' ἕτερον δὲ τρόπον, τούς τε δύο καὶ δέκα μαθητὰς καὶ αὐτοὺς δὲ τοὺς ἑβδομήκοντα, διὰ τῆς τοῦ νόμου σκιᾶς σημαινομένους εὑρήσομεν· γέγραπται γὰρ οὕτως ἐν τῇ ἐξόδῳ περὶ τῶν υἱῶν Ἰσραήλ· "ἦλ-"θον," φησὶν, "εἰς Αἰλὰμ," ἑρμηνεύεται δὲ εἰς ἀνάβασιν, ἤγουν εἰς αὔξησιν, "καὶ ἦσαν ἐκεῖ," φησὶν, "δώδεκα ὑδάτων πηγαὶ, "καὶ ἑβδομήκοντα στελέχη φοινίκων." ἀναβαίνοντες γὰρ εἰς τελειοτέραν σύνεσιν, καὶ εἰς αὔξησιν ἀνατρέχοντες τὴν πνευματικὴν τὰς δυοκαίδεκα πηγὰς εὑρήσομεν, τουτέστι, τοὺς ἁγίους Ἀποστόλους, καὶ τὰ ἑβδομήκοντα τῶν φοινίκων στελέχη τοὺς ἀναδειχθέντας δηλονότι παρὰ Χριστοῦ· ἀρυόμενοι γὰρ ὡς ἐκ πηγῶν ἁγίων ἐκ τῶν τοῦ Σωτῆρος ἡμῶν μαθητῶν παντὸς εἴδησιν ἀγαθοῦ.

Κυρίλλου Ἀλεξανδρείας. Καὶ ἐπειδὴ πολλή τις ἔμελλεν ἔσεσθαι τῶν εἰς αὐτὸν πιστευόντων ἡ πληθὺς, ἐσαγηνεύετο γὰρ οὐ μόνον ὁ Ἰσραὴλ, ἀλλὰ γὰρ καὶ αἱ τῶν ἐθνῶν ἀγέλαι· διὰ τοῦτο ἀνεδείχθησαν παρὰ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πρὸς τοῖς δύο καὶ δέκα καὶ ἕτεροι ἑβδομήκοντα. Τὰ ἀκόλουθα τούτων οἷον "ὁ μὲν "θερισμὸς πολὺς," καὶ τὰ ἑξῆς. καὶ "μὴ μεταβαίνετε ἐξ οἰκίας "εἰς οἰκίαν," ὅπερ ῥεμβασμὸν δηλοῖ, καὶ μισθὸν αἰτούντων καὶ διαβολῆς ἐστι τεκμήριον. Προεγράφετο εἰς τὸ κατὰ Ματθαῖον. Ἔτι δὲ καὶ τὰ τούτων ἀκόλουθα ἕως ὧδε· "ὁ δὲ ἐμὲ ἀθετῶν ἀθετεῖ τὸν "ἀποστείλαντά με."

2 Ἔλεγεν οὖν πρὸς αὐτοὺς, ὁ μὲν θερισμὸς πολὺς, οἱ δὲ ἐργάται ὀλίγοι.

Τίτου Βοστρῶν. Ὥσπερ γὰρ ἀγροὶ κομῶντες πλουσίως εὐρεῖς τε καὶ μακροὶ πολλοὺς ζητοῦσι τοὺς θεριστὰς, οὕτως ἡ σύμπασα γῆ, ἤτοι τῶν μελλόντων πιστεύειν εἰς Χριστὸν ἡ πληθὺς, πολλή τις οὖσα καὶ ἀναρίθμητος, οὐκ ὀλίγων ἐδεῖτο μυσταγωγῶν. ἐβάδιζον οὖν ἀνὰ δύο πεμπόμενοι κατὰ πόλεις καὶ κώμας, μονονουχὶ βοῶντες τὸ διὰ τῆς Ἰωάννου φωνῆς, "ἑτοιμάσατε ὁδὸν "Κυρίου." πλὴν ἐκεῖνο ἄθρει· εἰπὼν γὰρ τὸ "δεήθητε τοῦ Κυρίου "τοῦ θερισμοῦ, ὅπως ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ," τοῦτο πέπραχεν αὐτὸς καίτοι τοῦ θερισμοῦ Κύριος, τουτέστι τῶν ἐπὶ τῆς γῆς· τίς ἂν εἴη παρὰ τὸν φύσει καὶ ἀληθῶς ὄντα Θεόν; "αὐτοῦ γὰρ ἡ σύμπασα γῆ καὶ τὸ πλήρωμα αὐτῆς," καθὰ γέγραπται· εἶτα πῶς μόνως πρέποντος τῷ ἐπὶ πάντων Θεῷ τοῦ ἐκβαλεῖν τοὺς ἐργάτας τούτους ἀνέδειξεν ὁ Χριστός· αὐτὸς ἄρα ἐστὶν ὁ τοῦ θερισμοῦ δεσπότης, καὶ δι᾿ αὐτοῦ τε καὶ σὺν αὐτῷ κατάρχει τῶν ὅλων ὁ Θεὸς καὶ Πατήρ. ἴδια δὲ πάντα ἐστὶν αὐτοῦ, καὶ οὐδέν ἐστιν ὧν ἂν ἔχειν ὁ Πατὴρ λέγοιτο, ἃ μή ἐστι καὶ τοῦ Υἱοῦ.

Τοῦ αὐτοῦ. Προλέγει δὲ αὐτοῖς καὶ τὸν διωγμὸν, ἵνα ἐνέγκωσι τῇ πείρᾳ τὰς συνθήκας, μὴ βαστάζετε βαλάντιον, μὴ βαρεῖτε ἀργυρίῳ τὸν ὦμον· ἀρκεῖ γὰρ ὑμῖν βεβαρῆσθαι τῇ φροντίδι τοῦ λόγου τὴν διάνοιαν· μὴ ἐν τῷ βαλαντίῳ τὴν ἐλπίδα τοῦ ἄρτου ἔχετε, ἀλλ᾿ ἐν τῷ πέμψαντι τίθεσθε τὴν φροντίδα· μηδένα κατὰ τὴν ὁδὸν ἀσπάσησθε, μὴ τοῦτο ἐμπόδιον τοῦ κηρύγματος γένηται ὁμιλίας ἐν μέσῳ παραπιπτούσης καὶ βραδυτῆτος προφάσει, μηδεμία τις διαβολικὴ κακουργία ὑμᾶς ἀποσπάσῃ· οὐ γὰρ κατ᾿ ἀποκλήρωσιν δώσετε τὴν προσηγορίαν, ἀλλ᾿ ὑμεῖς μὲν τὸν λόγον δώσετε, ὅπου δὲ ᾖ ἄξιον ἐπαναπαύσεται τὸ πρᾶγμα. Εἰ δὲ μὴ, ἐφ᾿ ὑμᾶς ἀνακάμψει· οὐ γὰρ ἁπλῶς ῥίπτεται, ἀλλὰ κρίσει τῇ ἐμῇ βάλλεται.

7 Μὴ μεταβαίνετε ἐξ οἰκίας εἰς οἰκίαν.

Τοῦτο γὰρ ῥεμβομένων καὶ μισθὸν αἰτούντων, καὶ ἀστασίας ἔργον, καὶ διαβολῆς τεκμήριον· βεβηκότες δὲ γίνεσθε καὶ ἀμετακίνητοι τὸν νοῦν.

11 *Καὶ τὸν κονιορτὸν τὸν κολληθέντα ἡμῖν ἐκ τῆς πόλεως ὑμῶν ἀπομασσόμεθα ὑμῖν.*

Ὠριγένους. Τῶν γὰρ ἁμαρτημάτων ὑμῶν ὁ κονιορτὸς δικαίως ἂν εἰς ὑμᾶς ἐπανέλθῃ. παρατήρει ὅτι αἱ μὴ παραδεχόμεναι τοὺς Ἀποστόλους καὶ τὴν ὑγιῆ διδασκαλίαν πόλεις, ἔχουσι πλατείας ἀνάλογον· τὸ "πλατεῖα καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἄγουσα εἰς τὴν "ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ διερχόμενοι δι᾽ αὐτῆς."

12 *Λέγω δὲ ὑμῖν ὅτι Σοδόμοις ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνεκτότερον ἔσται.*

Τίτου Βοστρῶν. Ἐπειδὴ εἰς Σοδόμα οὐκ ἀπεστάλησαν Ἀπόστολοι, ἐὰν τοίνυν μὴ δέξωνται ὑμᾶς τοὺς Ἀποστόλους, χείρους ἔσονται οὗτοι ἐκείνων.

13 *Οὐαί σοι Χοραζὶν, οὐαί σοι Βηθσαϊδα, ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγένοντο, καὶ τ. ἑ.*

Οὗτοι οἱ τόποι Ἰουδαϊκοὶ ἐτύγχανον, Τύρος δὲ καὶ Σιδὼν Ἑλληνικοί. Σημαίνει τοίνυν ὁ Κύριος, ὅτι εἰ ἐν τοῖς ἔθνεσιν ἐγένοντο αἱ δυνάμεις, ῥᾷον ἂν ἐπίστευον ἤπερ ὑμεῖς· ἐλέγχει τοίνυν τὰς Ἰουδαϊκὰς πόλεις, καὶ ἀντιπαρατίθησι τῶν Ἑλληνικῶν πόλεων τὰς χείρους. καὶ γὰρ οὕτως ἔχει, τὰ ἔθνη ῥαδίως ἐπίστευσαν· Ἰουδαῖοι δὲ ἔμειναν ἄπιστοι, καίπερ πολλὴν ἐσχηκότες τοῦ λόγου τὴν ἐπιμέλειαν. Μὴ λυπεῖσθε ὅταν ἀπειθῶσιν ὑμῖν, μηδὲ λέγετε τί ὑπάγομεν ὑβρισθῆναι; οὐδεὶς ἡμῶν ἀνέχεται· ὁ ἀκούων ὑμῖν ἐμοῦ ἀκούει, οὔτε ἂν πιστεύσῃ τις, ὑμεῖς ἐστε δυσωποῦντες, οὔτε ἐὰν ἀντιλέγωσιν, ὑμεῖς ἐστε οἱ ἐνεδρεύοντες, χρήσατέ μοι τὴν γλῶτταν, ἐγὼ παρέχω τὴν χάριν, ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ· εἰς ἐμὲ γὰρ ἀνατρέχει ἡ ὑμετέρα ὕβρις.

Προείρηται ὅτι ἀπέστειλε τοὺς ἑβδομήκοντα· διὸ νῦν λέγει ὅτι ὑπέστρεψαν μετὰ χαρᾶς, ὡς ἐπακολουθησάσης τῷ λόγῳ τῆς θεοσεβείας· ἔλεγον γὰρ, "Κύριε, καὶ τὰ δαιμόνια ὑποτάσσεται "ἡμῖν ἐν τῷ ὀνόματί σου." οὐχ οὕτω δὲ χαίροντες ὅτι μᾶλλον γεγόνασι τοῦ θείου κηρύγματος διάκονοι, τοῦτο εἶπον, καὶ ὅτι ἠξίωνται γερῶν Ἀποστολικῶν, ἀλλ᾽ ὅτί σημείων γεγόνασιν ἀποτελεσταί. Ὅπερ δὲ, φησὶν ὁ Χριστὸς πρὸς αὐτοὺς, "ὅτι ἐθεώρουν

“τὸν Σατανᾶν, ὡς ἀστραπὴν πεσόντα ἐκ τοῦ οὐρανοῦ,” τοῦτο δηλοῖ, ὅτι εἰ ὁ ἄρχων αὐτῶν κατέπεσεν, οἱ δοῦλοι τί προσδοκῶσι δύνασθαι δρᾶσαι· λέγει δὲ ἑωρακέναι, ἐπειδὴ ἄλλος οὐ δύναται ἰδεῖν ἢ ὁ κριτὴς ὁ ἀόρατος· ὡς ἀστραπὴν δὲ εἶπεν, ὅτι λαμπρὸς ἦν τὴν φύσιν, εἰ καὶ σκοτοειδὴς γέγονε τὴν προαίρεσιν· ὃ γὰρ ἐποίησεν ὁ Θεὸς, τοῦτο καλόν. Διὸ μὴ θαυμάζετε, φησὶ, μηδὲ μέγα φρονεῖτε· ἐγὼ γὰρ δέδωκα ὑμῖν τὴν ἐξουσίαν.

Ἔστι δὲ καὶ οὕτω λαβεῖν περὶ τούτου κατὰ τὸν ἅγιον Κύριλλον, ὅτι ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ εἶδε πεσόντα τὸν διάβολον, τουτέστιν, ἐξ ὕψους εἰς γῆν κατενηνεγμένον, ἐκ δόξης εἰς ἀτιμίαν, ἐξ ἰσχύος πολλῆς εἰς ἐσχάτην ἀσθένειαν. Πρὸ μὲν γὰρ τῆς τοῦ Χριστοῦ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν ἐπιδημίας κατεκράτησε τῆς ὑπ’ οὐρανόν· προσεκυνήθη σχεδὸν παρὰ πάντων· ναοὶ πανταχοῦ καὶ βωμοὶ καὶ θυσίαι. ἐπειδὴ δὲ καταπεφοίτηκεν ἐξ οὐρανῶν ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, πέπτωκεν ἐκεῖνος ὡς ἀστραπὴ, ὁ πάντας ἔχων προσκυνητὰς τοὺς πεπλανημένους, ὑπὸ πόδας τέθειται τῶν προσκυνούντων αὐτόν.

Καὶ ὄφεις δὲ καὶ σκορπίους αὐτὸ τοῦτο δηλοῖ ὡς περὶ αὐτοῦ τε τοῦ διαβόλου εἰρημένον καὶ τῶν δαιμόνων αὐτοῦ, οἵτινες σὺν αὐτῷ καταπατοῦνται ὑπὸ τῶν δούλων Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τὴν τοιαύτην ἐξουσίαν λαμβάνοντες ὑπ’ αὐτοῦ.

Τὸ δὲ, “μὴ χαίρετε ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσεται,” τοῦτο σημαίνει, ἵνα μὴ κενοδοξίαν ἐκ τούτου κτήσονται. Καὶ γὰρ ἄλλοι εἰσὶ, φησὶν, οἱ ἐκ τούτου εὐεργετούμενοι, οἱ τῆς ἰάσεως δηλονότι καταξιούμενοι· ἀλλὰ μᾶλλον ἐν τούτῳ χαίρετε, ὅτι τὰ ὀνόματα ὑμῶν γέγραπται ἐν τοῖς οὐρανοῖς, οὐ διὰ μέλανος, ἀλλὰ διὰ μνήμης καὶ χάριτος καὶ δόξης Θεοῦ. καὶ ὁ μὲν διάβολος ἄνωθεν καταπίπτει, οἱ δὲ ἄνθρωποι κάτω ὄντες ἄνω γράφονται. αὕτη τοίνυν ἐστὶν ἡ ἀληθινὴ χαρὰ, τὸ ἄνω γράφεσθαι. γράφεται δὲ ἕκαστος ὅσον ἐὰν κάμῃ τῷ τε ἀξιώματι, καὶ τῇ τῆς ἐνεργείας χάριτι.

Τὰ ἀκόλουθα τούτῳ οἷον, “αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ “πνεύματι ὁ Ἰησοῦς.” Καὶ “μακάριοι οἱ ὀφθαλμοὶ οἱ βλέποντες ἃ βλέπετε.” καὶ περὶ τοῦ ἐπερωτήσαντος νομικοῦ, ἕως

"καὶ τὸν πλησίον σου ὡς ἑαυτόν·" προεγράφη εἰς τὸ κατὰ Ματθαῖον.

Ὠριγένους. Οὐ μακρὰν τὸ "πάντα μοι παρεδόθη ὑπὸ τοῦ "Πατρός μου" ἐστὶ, καὶ τὸ "ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ "καὶ ἐπὶ γῆς." καὶ διὰ τοῦτο αὐτῷ δίδοται πᾶσα ἐξουσία, ἵνα εἰρηνοποιήσῃ διὰ τοῦ σταυροῦ αὐτοῦ· εἴτε τὰ ἐπὶ τῆς γῆς, εἴτε τὰ ἐν τοῖς οὐρανοῖς. οὐδέπω μὲν οὖν τὰ πάντα εἰρηνοποίησεν, ὡς δῆλον ἔστι ἐκ τοῦ τὸν ἀπὸ τῆς κακίας ὑπαρχεῖν πόλεμον· ἔσται δὲ πάντως ἡ τελεία εἰρήνη. δικαιότατα δὲ πάντα παραδέδωκεν αὐτῷ ὁ Πατήρ· ἐπεὶ καὶ αὐτὸς ὁ Υἱὸς παρεδόθη ὑπὲρ πάντων, ὅς ἐστι Πατὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν, καὶ "ἱλασμός "ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν," οὐ περὶ τῶν ἡμετέρων δὲ μόνον, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου. παρεδόθη δὲ καθὸ γέγονεν ἄνθρωπος, "ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ "ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται "ὅτι Κύριος Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ Πατρὸς, ἀμήν."

Τίτου Βοστρῶν. Ἀποκάλυψίς ἐστι μετάδοσις γνώσεως πρὸς τὸ μέτρον τῆς ἑκάστου φύσεώς τε καὶ δυνάμεως, καὶ ὅπου μὲν ὁμοία φύσις, ἐκεῖ γνῶσις ἄνευ διδασκαλίας· ἐνταῦθα δὲ ἐξ ἀποκαλύψεως μάθησις. ἐπιτήρει τοίνυν, πῶς ἐνταῦθα μὲν ἐκ χάριτος, ἐκεῖ δὲ ἐκ φύσεως.

ΚΕΦ. ΛΕ.

Περὶ τοῦ ἐπερωτήσαντος νομικοῦ.

25 Καὶ ἰδοὺ νομικός τις ἀνέστη, ἐκπειράζων αὐτόν.

Ἐπαινεθεὶς ὑπὸ τοῦ Σωτῆρος ὁ νομικὸς, τὴν ἀλαζονείαν ἐξέρρηξεν, οὐδένα εἶναι πλησίον αὐτοῦ τιθέμενος, ὡς οὐδενὸς ὄντος αὐτοῦ κατὰ τὴν δικαιοσύνην ἐφαμίλλου. Τοῦτο γὰρ ἐδείκνυτο ὁ Εὐαγγελιστὴς εἰπὼν, "ὁ δὲ θέλων δικαιῶσαι αὐτὸν πρὸς τὸν Ἰησοῦν "εἶπε, τίς ἐστί μου πλησίον;" ὁ νομικὸς πλησίον μόνον ἐνόμιζεν εἶναι τὸν δίκαιον τῷ δικαίῳ, τὸν ὑψηλὸν τῷ ὑψηλῷ, κατ' ἀρετὴν, φημί. οὐ γὰρ τῇ οὐσίᾳ μιᾷ οὔσῃ τὸ ὑψηλὸν ἔκρινεν, ἀλλ' ἢ τοῖς ἀξιώμασιν, ἢ ταῖς πράξεσι· διὸ θέλων αὐτὸν δικαιῶσαι, τουτέστι δίκαιον ἀποδεῖξαι, ὡς ὑψηλὸς εἴη κατὰ τὴν ἀρετὴν,

ἢ μέγας κατὰ τὸ διδάσκαλον εἶναι, φησὶ "καὶ τίς ἐστί μου "πλησίον;" δεῖξόν μοι τὸν οὕτω μέγαν· ὁ δὲ Σωτὴρ ἅτε δὴ ποιητὴς, μικρὸν γὰρ καὶ μέγαν αὐτὸς ἐποίησεν, οὐ ταῖς πράξεσιν οὐδὲ τοῖς ἀξιώμασιν, ἀλλὰ τῇ φύσει ὡρίσατο τὸν πλησίον, μονονουχὶ λέγων, οὔπω σοι τέως λέγει ὅτι οὐδὲν τῶν ἄλλων διενήνοχεν, ἵνα μὴ οἱ ὄντως φιλάρετοι νομίσωσι μὴ χρεωστεῖν τοῖς πέλας τὴν ἀγάπην, δόγμα τὸν σὸν ἔλεγχον νομίσαντες εἶναι, ἀλλὰ καὶ εἰ οὕτως ἔχει· δεδόσθω γὰρ σπουδὰς τοῦ δεομένου γενέσθαι πλησίον, οὐ τῷ τόπῳ μόνον, ἀλλὰ καὶ τῇ διαθέσει, καὶ τῇ εἰς αὐτὸν ἐπιμελείᾳ· διὰ γὰρ τοῦτο καὶ τὸν Σαμαρείτην σοι ἐχαρακτήρισα· τὸ γὰρ πλησίον τῇ φύσει κρίνεται οὐ τῇ ἀρετῇ, οὐ τῇ οὐσίᾳ, οὐ τῷ ἀξιώματι, ἀλλὰ τῇ συμπαθείᾳ καὶ τῷ τρόπῳ τῆς θεραπείας· ἐκεῖνον οὖν ἡγοῦ μάλιστα πλησίον εἶναι τὸν δεόμενον, καὶ αὐτεπάγγελτος ἐπὶ τὴν βοήθειαν βάδιζε.

ΚΕΦ. ΛϚ.

Περὶ τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς.

30 "Ἄνθρωπός τις κατέβαινε ἀπὸ Ἱερουσαλὴμ," τὴν ἄνωθεν κάθοδον τοῦ ἀνθρώπου αἰνιττόμενος τοῦτό φησιν, ἥτις διὰ τῆς τοῦ Ἀδὰμ παραβάσεως ἀπὸ τῆς ὑψηλῆς καὶ ἀστασιάστου καὶ θείας τοῦ παραδείσου διατριβῆς, Ἱερουσαλὴμ εὐκαίρως ὀνομασθείσης, ὅπερ εἰρήνην[p] σημαίνει Θεοῦ, πρὸς τὴν Ἱεριχὼ τὴν κοίλην καὶ χθαμαλὴν, καὶ τῷ καύματι πνιγηρὰν κατωλίσθησε. δηλοῖ δὲ τὴν ἐμπαθῆ τοῦδε τοῦ κόσμου ζωὴν χωρίζουσαν Θεοῦ· λῃστὰς δὲ λέγει τὸ τῶν ἀγρίων δαιμόνων σύστημα, οἵτινες τῶν τῆς ἀρετῆς ἱματίων, ἀνδρίαν φημὶ, καὶ σωφροσύνην καὶ τὰ ὅμοια, ἐκδύσαντες αὐτὸν, τὰ τῆς ἁμαρτίας τραύματα καταλιπόντες ἐν αὐτῷ, ἀπῆλθον θέντες ἡμιθανῆ· καὶ γὰρ οὐκ ἔστι τούτοις ὅλως εὐχέρεια τοῦ πλήττειν, εἰ μὴ προλαβόντες συλήσωσι τὰ τῶν ἀρετῶν περιβόλαια, ὅθεν μετὰ τοῦτο πλήττουσιν ἀφειδῶς καὶ μέχρι θανάτου. οὐ γὰρ τὴν ἀρετὴν ἐκδύσαι σπουδάζωσι μόνον, ἀλλὰ καὶ τῆς ἡμετέρας ἐρῶσιν ἀπωλείας. Ἐπειδὴ δὲ τῆς Λευϊτικῆς ἱερωσύνης

[p] εἰρημένον Cod.

ὀνόματός ἐστιν εἰσηγητὴς, διὰ τοῦ ἱερέως καὶ τοῦ Λευΐτου τὴν ἀνωφελῆ τοῦ νόμου σημαίνει πάροδον· οὐδὲ γὰρ τὰς πληγὰς τοῦ παραπεπτωκότος εἰς τοὺς λῃστὰς ἐθεράπευσεν· "ἀδύνατον γὰρ "αἷμα ταύρων καὶ τράγων ἀφελεῖν ἁμαρτίας," καὶ ἐπεῖδε μὲν, ἠτόνησε δὲ, καὶ πρὸς τελείαν θεραπείαν οὐκ ἤρκεσεν, οὔτε κείμενον ἀνέστησε· τὸ γὰρ "ἀντιπαρῆλθε" δηλοῖ ὅτι οὐ παρώδευσε καταλείψας ἀθέατον, ἀλλ' ἔστη καὶ ἐθεάσατο, καὶ θεραπεῦσαι διενοήθη καὶ ἐφήψατο· πρὸς δὲ τὴν θεραπείαν ἀδυνατήσας, τῇ τῶν πληγῶν ἤτοι τῶν παθῶν ἐπικρατείᾳ νικηθεὶς, εἰς τοὐπίσω πάλιν ἀπέδραμε· τοῦτο γὰρ τὸ "ἀντιπαρῆλθεν" ἐνδείκνυται.

Ἀλλ' ὁ πᾶσαν τὴν ἀνθρωπίνην φύσιν διὰ τῆς ἀπαρχῆς τοῦ φυράματος περιθέμενος, ἐν ᾗ παντὸς ἦν ἔθνους τὸ μέρος, Ἰουδαίου τε καὶ Σαμαρείτου καὶ Ἕλληνος, καὶ πάντων ἅπαξ ἀνθρώπων, τοῦτον μετὰ τοῦ σώματος, ὅπερ ἐστὶν ὑποζύγιον, τῷ τόπῳ τῆς τοῦ ἀνθρώπου κακώσεως ἐπιστὰς, τῶν τραυμάτων ἐθεράπευσε. καὶ γὰρ ὥδευσεν ἀληθῶς, οὐ παρώδευσεν· αὐτὸ τοῦτο πρόφασιν ὁδοῦ ποιησάμενος τὸ ἡμᾶς ἐπισκέψασθαι, δι' οὓς καὶ κατῆλθεν ἐπὶ τῆς γῆς, δι' οὓς καὶ κατέλυσεν· οὐ γὰρ ὤφθη μόνον, ἀλλὰ καὶ συνανεστράφη τοῖς ἀνθρώποις, κατὰ ἀλήθειαν χωρὶς τροπῆς καὶ φαντασίας γενόμενος ἄνθρωπος· τοῦτο γὰρ ἴδιον ἰατρῶν γνησίων καὶ φιλοστόργων τὸ συναναστρέφεσθαι τοῖς ἀῤῥωστοῦσι, καὶ μὴ ἀφίστασθαι πρὶν ἂν ὑγιαίνωσιν. ὅθεν καὶ οἶνον τοῖς ἕλκεσιν ἐπαντλῶν τὸν διδασκαλικὸν λόγον καὶ ἐπιστύφοντα, ἐλαίῳ τοῦτον ἐκέρασεν· οὐ γὰρ οἷόν τε ἦν ἄκρατον αὐτὸν ἐνεγκεῖν· οὐ γὰρ ὑπέμεινε τὴν ὑπερβάλλουσαν στύψιν τὸ τῶν τραυμάτων χαλεπὸν καὶ ἀνίατον· ὅθεν διὰ τοῦτο ἁμαρτωλοῖς καὶ τελώναις συνανεκλίνετο. ἐπὶ τὸ ἴδιον δὲ ὑποζύγιον ἀνεβίβασεν· ἐν ἑαυτῷ γὰρ ἡμᾶς φέρει, ὅτι ἐσμὲν μέλη τοῦ σώματος αὐτοῦ· εἰς πανδοχεῖον δὲ ἀπήγαγε, τουτέστιν εἰς τὴν Ἐκκλησίαν τὴν πάντων γενομένην δεκτικὴν καὶ χωρητικήν· οὐκέτι γὰρ κατὰ τὸ στενὸν τῆς νομικῆς σκιᾶς καὶ τῆς ἐν τύποις λατρείας ἀκούσομεν, οὐκ εἰσελεύσεται Ἀμμωνίτης καὶ Μωαβίτης εἰς ἐκκλησίαν Κυρίου, ἀλλὰ τοῦτο ἀκούσομεν, "πορευ-"θέντες μαθητεύσατε πάντα τὰ ἔθνη" καὶ τὰ ἑξῆς, καὶ ὅτι "ἐν παντὶ "ἔθνει ὁ φοβούμενος αὐτὸν καὶ ἐργαζόμενος δικαιοσύνην δεκτὸς αὐτῷ "ἐστι." Πῶς δὲ ἀπαγαγὼν μειζόνως ἐπιμελείας ἠξίωσεν; ἐπειδὴ

τῆς Ἐκκλησίας συλλεγείσης ἐκ τῶν τῇ πολυθεΐᾳ νενεκρωμένων ἐθνῶν, αὐτὸς ἦν ὁ Χριστὸς ἐν αὐτῇ, κατὰ τὸ γεγραμμένον, οἰκῶν καὶ περιπατῶν καὶ πᾶσαν πνευματικὴν δωρούμενος χάριν.

Ἐπέχουσι δὲ τοῦ πανδόχου τύπον οἱ Ἀπόστολοι καὶ οἱ μετ' αὐτοὺς ποιμένες καὶ διδάσκαλοι, οἷς εἰς οὐρανοὺς ἀνιὼν ἔδωκεν ὁ δεσπότης Χριστὸς δύο δηνάρια, προνοεῖν ἐπιμελῶς τοῦ ἠῤῥωστηκότος ἐγκελευσάμενος, καὶ προσθεὶς " ὡς ἐάν τι προσδαπανήσῃς, " ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι·" δύο δὲ δηνάρια τὰς δύο διαθήκας φησὶ, παλαιὰν καὶ καινὴν, ἀμφοτέρας οὔσας τοῦ Θεοῦ, καὶ μίαν εἰκόνα τοῦ ἄνω καὶ ἑνὸς βασιλέως φερούσας, ὡς τὰ δηνάρια, καὶ τὸν αὐτὸν βασιλικὸν χαρακτῆρα ταῖς καρδίαις ἡμῶν διὰ τῶν ἱερῶν λογίων ἐνσφραγιζομένας καὶ ἐντυπουμένας. ἃ δὴ λαβόντες οἱ τῶν ἁγιωτάτων ἐκκλησιῶν ποιμένες, καὶ μετὰ πόνων καὶ ἱδρώτων ταῖς διδασκαλίαις πλατύναντες, καὶ οἴκοθεν προσδαπανήσαντες· τοιοῦτον γὰρ ὑπάρχει τὸ νοητὸν ἀργύριον, ἐπανερχομένῳ τῷ δεσπότῃ κατὰ τὴν τελευταίαν ἡμέραν ἐροῦσιν ἕκαστος, Κύριε, δύο δηνάριαδ ἔδωκάς μοι· ἰδοὺ προσδαπανήσας οἴκοθεν, ἄλλα δύο ἐκέρδησα· καὶ γὰρ τὸ ποίμνιον ηὔξησα. οἷς ἀποκριθεὶς ἐρεῖ " εὖ, δοῦλε ἀγαθὲ καὶ πιστὲ," καὶ τὰ ἑξῆς.

Εἶτα ἐρωτήσαντος τοῦ δεσπότου Χριστοῦ τὸν νομικὸν, " τίνα " τούτων τῶν τριῶν πλησίον δοκεῖ σοι γεγονέναι τοῦ ἐμπεσόντος " εἰς τοὺς λῃστάς;" κακείνου ἀποκριθέντος, ὅτι " ὁ ποιήσας τὸ " ἔλεος μετ' αὐτοῦ," ἀποκριθεὶς εἶπε, " πορεύου καὶ σὺ καὶ ποίει " ὁμοίως," ὡσανεὶ ἔλεγεν αὐτῷ· ἀνόνητον γὰρ τῆς ἱερωσύνης ἀξίωμα τοῖς λαχοῦσιν αὐτὸ, καὶ τοῖς δοκοῦσιν εἶναι νομομαθέσι, τὸ ὠνομᾶσθαι νομομαθεῖς, εἰ μὴ δι' αὐτῶν εὐδοκιμοῦσι τῶν ἔργων· ἰδοὺ γὰρ παραπέπλεκται τῆς ἀγάπης ὁ στέφανος τῷ τὸν πλησίον.

ΚΕΦ. ΛΖ.

Περὶ Μάρθας καὶ Μαρίας.

38 Μέγα μὲν τὸ τῆς φιλοξενίας κατόρθωμα, ὅπερ ἡ Μάρθα ἔχουσα τὸν Κύριον ὑπεδέξατο, ὑψηλότερον ὅπερ ἡ Μαρία πεποίηκε, καθὼς ὁ Κύριος ἡμῶν καὶ Θεὸς Ἰησοῦς ὁ Χριστὸς ἐμαρτύρησε. παρακαθέζουσα γὰρ πρὸς τοὺς πόδας αὐτοῦ, καὶ τῶν λόγων αὐτοῦ ἀκούουσα

ἀπεδέχθη μειζόνως ὑπὲρ τὴν Μάρθαν. πρὸς ἐκείνην μὲν γάρ φησι, " Μάρθα, Μάρθα, *μεριμνᾷς,*" *καὶ τὰ ἑξῆς.* Οὐδὲ *γὰρ διὰ τοῦτο πάρεσμεν, ἵνα περὶ τοῖς βρώμασι τὴν κοιλίαν θρέψωμεν· καὶ δι' ὀλίγων γὰρ ἡ χρεία γίνεται· περὶ δὲ ταύτης ἔφη,* " Μαρία *γὰρ* " *τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ'* " *αὐτῆς.*" Τίς *δὲ ἦν ἡ μερίς; ἀκοὴ λόγων ἀληθείας, καὶ θεωρίας μυστηρίων, καὶ τὴν μὲν οὐκ ἀπέστρεψεν, ἀφ' ὧν ἐποίει, τὴν δὲ προσεδέξατο, ἐφ' οἷς προσεῖχε. σκοπήσας μὲν τοίνυν τὰς δύο μερίδας διὰ τῶν δύο γυναικῶν, εἰσάγομεν, τὴν μὲν σωματικωτέραν διακονίαν ἐλάττω· χρησιμωτάτη γὰρ καὶ αὕτη· τὴν δὲ ἀναβεβηκυῖαν καὶ πνευματικωτέραν· καὶ ἕκαστος ἡμῶν ὃ θέλει ἐκλέξεται. ὁ βουλόμενος διακονεῖν τοῖς πτωχοῖς καὶ θεραπεύειν νοσοῦντας, διὰ* Μάρθας *τὸν κανόνα τοῦτον λαβεῖν· ὃ γὰρ ἂν ποιήσῃ τις εἰς δοῦλον* Χριστοῦ, *εἰς* Χριστὸν *ἀνατρέχει τὸ γινόμενον· ὁ δὲ θέλων τὴν* Μαρίαν *ζηλῶσαι τὴν καταλελοιπυῖαν τοῦ σώματος τὴν διακονίαν, ἀναβᾶσαν δὲ εἰς τὴν θεωρίαν τῶν πνευματικῶν μαθημάτων, γνησίως μετελθέτω τὸ πρᾶγμα. ὀνίνησι δὲ καὶ τοὺς ἑαυτοῦ μαθητὰς ὁ* Κύριος *διὰ τούτων οὐ μετρίως, ἵν' εἰδεῖεν ὅπως τε καὶ τίνα τρόπον ταῖς τῶν δεχομένων αὐτοὺς οἰκίαις ἐνδιαιτᾶσθαι χρὴ, ἡνίκα τὴν ὑπ' οὐρανὸν περιέρχονται, τὸ θεῖον κήρυγμα καταγγέλλοντες.*

Περὶ *προσευχῆς καὶ περὶ τοῦ* " *πατὲρ ἡμῶν*" *προεγράφη εἰς τὸ κατὰ* Ματθαῖον.

ΚΕΦ. ΛΗ.

Περὶ *προσευχῆς.*

5 *Λέγει δὲ τὸ* " *τὶς ἐξ ὑμῶν ἕξει φίλον καὶ πορεύσεται πρὸς* " *αὐτὸν μεσονυκτίου*" *καὶ τὰ ἑξῆς, ὡς ἐν τρόπῳ παραβολῆς, ἵνα μὴ ἀψικόρως τὴν προσευχὴν ποιώμεθα, ἢ καὶ ὡς μὴ ἀκουσθέντες ἐκ πρώτης εὐχῆς καὶ δευτέρας, ἀνακόπτωμεν τὰς ἱκετείας, ὡς οὐδὲν ἐχούσας τὸ τελοῦν εἰς ὄνησιν· ἀσυνέτως τοῦτο καθ' ἑαυτοὺς λογιζόμενοι, ὅτι προσῆλθον πολλάκις, ἐδάκρυσα, ἐδεήθην καὶ οὐ προσεδέχθην· οὐ γὰρ ἐκβέβηκέ τι πρὸς πέρας τῶν αἰτηθέντων παρ' ἐμοῦ. χρὴ δὲ μᾶλλον ἐκεῖνο λογίζεσθαι ἡμᾶς, ὅτι οἶδε τὰ καθ' ἡμᾶς ὁ τῶν ὅλων δεσπότης· καὶ πάντες ἐπέκεινα τῶν ἡμετέρων*

μέτρων αἰτοῦμεν. ταῦτα οὖν καὶ τὰ τούτοις ὅμοια ἐνθυμούμενοι, ἐμμένωμεν προσκαρτεροῦντες τῇ προσευχῇ· καὶ γὰρ τὰ ἀνιδρωτὶ πορισθέντα καὶ ἐξ ἑτοίμου ληφθέντα καταφρονεῖσθαι φιλεῖ. εἰπὼν γὰρ "ζητεῖτε," τὸ πονεῖν ἐπιτάττει, πόνῳ γὰρ ἀεί πως εὑρίσκεται τὸ ζητούμενον. ὁ κρούων τῇ χειρὶ προσαράττει τὴν θύραν, ἵνα τὴν τῶν κρουσμάτων ὄχλησιν οὐκ ἐνεγκὼν τῆς ἑστίας δεσπότης, ἀνοίξῃ καὶ οὐχ ἑκών· μάθωμεν τοίνυν ἐκ τῶν καθ' ἡμᾶς πραγμάτων τοῦ χρησίμου τὴν θήραν, καὶ κρούσωμεν καὶ ὀχλήσωμεν ζητοῦντες, καὶ ἐπιτύχωμεν.

Τὸ δὲ "*πορεύσεται μεσονυκτίως*" *περὶ τῶν εἰς τὰ ἔσχατα τοῦ βίου πρὸς συναίσθησιν ἐρχομένων τῶν οἰκείων ἁμαρτημάτων καὶ τῇ πίστει προστρέχουσι, τοῦτό φησιν ὁ φιλάνθρωπος· ὁ δὲ φίλος ὁ τῆς οἰκίας κύριος, ὁ* Θεὸς *ἡμῶν καὶ* Σωτὴρ Ἰησοῦς, *ὁ πάντας φιλῶν, καὶ τοὺς μή πως πεπιστευκότας αὐτῷ, καὶ διψῶν τὴν σωτηρίαν αὐτῶν· τρεῖς δὲ ἄρτους ὠνόμασε, τὴν εἰς* Πατέρα, *καὶ* Υἱὸν, *καὶ* Ἅγιον Πνεῦμα, *πίστιν αἰνιττόμενος, ἥ τις ἐστὶν ὁμολογία τῆς παναγίου καὶ ὁμοουσίου, καὶ ζωοποιοῦ* Τριάδος. *ὁ δὲ φίλος ὁ παραγενόμενος ἐξ ὁδοῦ καὶ ἐπιξενωθεὶς αὐτῷ, νοηθείη ἂν εἰκότως ὁ* Ἄγγελος, *ἤγουν οἱ* Ἄγγελοι *οἱ παραγενόμενοι πρὸς τὴν ἐσχάτην τοῦ βίου ὥραν παραλαβεῖν ἡμᾶς· φιλοῦσι γὰρ ἡμᾶς καὶ αὐτοὶ, τὴν ἡμετέραν σωτηρίαν εὐφροσύνην ποιούμενοι, ὡς ὁ* Κύριος *φησὶν, "ὅτι χαρὰ γίνεται ἐν οὐρανῷ" καὶ τὰ ἑξῆς. τὰ δὲ παιδία τὰ ἐπὶ τῆς κλίνης ἀναπαυόμενα τοὺς τραφέντας ὡς τὰ παιδία καὶ παραπεπιστευκότας ἐν ἁπλῇ καρδίᾳ τῷ* Εὐαγγελίῳ *παρίστησι, καὶ ἠξιωμένους τῷ* Κυρίῳ *συναναπαύεσθαι, ὡς καὶ περὶ τούτου αὐτὸς ὁ* Σωτὴρ *λέγει, "ὅτι πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσι "καὶ ἀνακλιθήσονται μετὰ* Ἀβραὰμ" *καὶ τὰ ἑξῆς.* "Ἀναίδειαν" *ἐνταῦθα λέγει τὴν μεθ' ἐπιμονῆς ἐπιτεταμένην προσευχήν.*

11 Τὸ δὲ, "*τίς ἐξ ὑμῶν τὸν πατέρα, ἐὰν αἰτήσῃ ἄρτον,*" *καὶ τὰ ἑξῆς, καὶ περὶ τοῦ ἔχοντος δαιμόνιον κωφὸν, καὶ περὶ τῶν λεγόντων ὅτι ἐν* Βεελζεβοὺλ *ἐκβάλλει τὰ δαιμόνια, καὶ* "*ὅταν τὸ ἀκάθαρτον "πνεῦμα ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου,*" *καὶ τὰ ἑξῆς, ἕως* "*καὶ ἔσονται ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν πρώτων,*" *προεγράφη εἰς τὸ κατὰ* Ματθαῖον.

ΚΕΦ. ΛΘ.

Περὶ τοῦ ἔχοντος δαιμόνιον κωφόν.

14 Τίτου Βοστρῶν. Κωφὸν καλεῖ, τὸ κωφότητα ἐμποιοῦν πρὸς τὸ μὴ ἀκουσθῆναι λόγον Θεοῦ· δαίμονες γὰρ πονηρότατοι περιελόντες τὸ εὐήκοον τῆς τῶν ἀνθρώπων προαιρέσεως, ἐπήρωσαν ἡμῶν τὴν ἀκοὴν τῆς ψυχῆς· διὰ τοῦτο Χριστὸς παρεγένετο, ἵνα ἐκβάλῃ τὸ δαιμόνιον τὸ κωφὸν, καὶ ἀκούσωμεν λόγον ἀληθείας· οὐδὲ γὰρ ἐκεῖνος ἦν ὁ δαιμονιζόμενος κωφὸς, ἀλλ' ὁ εἷς ἐτύγχανε δεῖγμα τῶν πάντων· τὸν δὲ ἕνα θεραπεύει, ἵνα καθολικὸν γεῦμα παράσχῃ τῆς οἰκουμενικῆς σωτηρίας, καὶ ὅταν εἷς ἐκ γενετῆς τυφλὸς σωματικῶς εὐεργετεῖται, πάντες πνευματικῶς εὐαγγελιζόμεθα· καὶ ὅταν εἷς παραλυτικὸς βαδίσῃ, εἷς μὲν διὰ ποδῶν παρ' ἐλπίδα τρέχει, ὁ δὲ κόσμος ἅμα τῷ ἑνὶ, διὰ τῷ τῆς πίστεως αἰνίγματι τρέχει τὸν δρόμον τῆς ἀληθείας, ἀλλ' οἱ πονηροὶ μετέθηκαν τὴν εὐεργεσίας εἰς γοητείαν, τῆς ἰδίας ὑποψίας ὄντες αὐτοὶ μαθηταί.

Κυρίλλου Ἀλεξανδρείας. Κωφὸν ἐν τούτοις τὸν ἄφωνον ὠνομάσθαι φαμέν· τούτου καθαρισθέντος, καὶ τελεσθέντος τοῦ θαύματος, κατεκρότει μὲν ἡ πληθὺς ταῖς εὐφημίαις αὐτὸν, καὶ δόξῃ θεοπρεπεῖ στεφανοῦν ἠπείγετο τὸν θαυματουργόν· τινὲς δὲ, φησὶν, ἐξ αὐτῶν, οὗτοί τε ἦσαν γραμματεῖς τε καὶ Φαρισαῖοι, ἀπονοίᾳ καὶ φθόνῳ μεθύοντες τὴν καρδίαν, προσθήκην τῇ νόσῳ τὸ θαῦμα πεποίηνται, ἀφιστάντες γὰρ αὐτοῦ τὰ θεοπρεπῶς εἰργασμένα, τῷ διαβόλῳ προσνενέμηκαν τὸ[n] πάντα δύνασθαι κατορθοῦν, δι' αὐτοῦ γὰρ αὐτὸν ἐκβάλλειν ἔφασαν τὰ δαιμόνια.

Ἀκύλ.[o] Ἵστησι μὲν γὰρ βασιλείας τῶν ὑπὸ χεῖρα τὸ γνήσιον, ἵστησι δὲ οἴκους, τὸ κατὰ μηδένα τρόπον ἀντιφέρεσθαί τινας ἀλλήλοις τῶν ἐν αὐτῷ. ἔστησε δ' ἂν καὶ τὴν τοῦ Βεελζεβοὺλ βασιλείαν, τὸ μὴ αὐτὸν ἑαυτῷ δρᾷν ἐθέλειν τὰ ἐναντία. Πῶς οὖν ἐκβάλλει Σατανὰς τὸν Σατανᾶν; οὐκοῦν οὐχ ἑκόντα τῶν ἀνθρώπων ἐκπέμπονται τὰ δαιμόνια, οὐ γὰρ μάχεται, φησὶν, ὁ Σατανᾶς ἑαυτῷ, οὐκ ἐπιπλήττει τοῖς ἑαυτοῦ δορυφόροις. Συγ-

[n] τῷ Cod. [o] Ἀκύλ. Cod. Nomen vid. esse corruptum; fors. repon. Ἀπολ. i. e. Ἀπολιναρίου.

κροτεῖ δὲ μᾶλλον τὴν ἑαυτοῦ βασιλείαν· λείπεται τοίνυν ἐννοεῖν, ὅτι δύναμις θεία συντρίβει τὸν Σατανᾶν.

Τίτου Βοστρῶν. Ἰουδαῖοι καὶ ἐξ Ἰουδαίων κατὰ σάρκα γεγόνασιν οἱ μακάριοι μαθηταί· οὗτοι τὴν κατὰ πνευμάτων ἀκαθάρτων ἐξουσίαν ἐσχήκασιν παρὰ Χριστοῦ, καὶ δὴ καὶ ἀπήλλαττον τοὺς ἐνισχημένους, ἐπιφωνοῦντες αὐτοῖς τὸ "ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ." Ὅτε τοίνυν, φησὶν, οἱ ἐξ ὑμῶν γεγονότες υἱοὶ ἐν ὀνόματί μου τὸν Βεελζεβοὺλ θριαμβεύουσιν[p], ἐπιπλήττοντες αὐτοῦ τοὺς δορυφόρους, καὶ ἀμελλητὶ τῶν ἐχόντων αὐτοὺς ἐκπέμποντες, πῶς οὐκ ἐναργὴς δυσφημία, πολὺ τὸ ἀμαθὲς ἔχουσα συμπεπλεγμένον τῷ λέγειν, ἐμὲ δανείζεσθαι δύναμιν, τὴν παράκλησιν τε τοῦ Βεελζεβούλ. κατακριθήσεσθε τοίνυν, φησὶν, ὑπὸ τῆς πίστεως τῶν ἐξ ὑμῶν γεγονότων υἱῶν, εἴπερ αὐτοὶ μὲν τὴν παρ' ἐμοῦ λαβόντες ἐξουσίαν καὶ δύναμιν, παραλύουσι τὸν Σατανᾶν, καὶ οὐκ ἑκόντες τῶν ἐχόντων αὐτὸν ἐκπέμποντες· ὑμεῖς δὲ λέγετε ταῖς ἐκείνου δυνάμεσι κεχρημένον ἐνεργεῖν ἐμὲ τὰς θεοσημείας. Ἐπειδὴ δὲ τοῦτο μὲν οὐκ ἀληθὲς, ἕωλον δὲ μᾶλλόν ἐστι καὶ κατεψευσμένον καὶ συκοφαντίας ἔχον γραφὴν, πρόδηλον ὅτι ἐν δακτύλῳ Θεοῦ ἐκβάλλω τὰ δαιμόνια· δάκτυλον Θεοῦ τὸ Ἅγιον Πνεῦμά φησι.

Κυρίλλου Ἀλεξανδρείας. Ἐγὼ μὲν γὰρ ἐπεδήμησα, φησὶ, ἵνα πάντας ἐξέλωμεν τῶν τοῦ διαβόλου χειρῶν, ἵνα αἰχμαλώτους ὄντας ἐλευθερώσω, καὶ φωτίσω ἐσκοτισμένους, καὶ πεσόντας ἀναστήσω, καὶ συντεθραυσμένους ἰάσωμαι, ἵνα τὰ τέκνα τοῦ Θεοῦ τὰ διεσκορπισμένα παρ' ἐκείνου δηλονότι, συναγάγω εἰς ζωήν. ὁ δέ γε Σατανᾶς μὴ ὢν μετ' ἐμοῦ ἐπιχειρεῖ σκορπίζειν ἃ συνῆξα καὶ ἔσωσα. Πῶς οὖν ὁ μαχόμενος ταῖς ἐμαῖς οἰκονομίαις δίδωσί μοι δύναμιν καθ' ἑαυτοῦ; ἆρ' οὐκ εὔηθες τὸ οἴεσθαί γε τοιοῦτόν τι γεγενῆσθαι; πόθεν οὖν ἄρα συμβέβηκε τοῖς Ἰουδαίων δήμοις τὸ κατολισθεῖν εἰς τοσαύτας ἐννοίας περὶ Χριστοῦ, αὐτὸς διεσάφησεν εἰπὼν, ὅτι "ὅταν τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου," καὶ τὰ ἑξῆς.

24. Ὠριγένους. Τί ἐστι τὸ διέρχεσθαι τὸ πνεῦμα τὸ πονηρὸν "δι' "ἀνύδρων τόπων ζητοῦν ἀνάπαυσιν καὶ μὴ εὑρίσκων;" ἄνυδροι τόποι οἱ ἐξ ἐθνῶν τὸ πρότερον, νυνὶ δὲ πεπλήρωται ὕδατος θείου, καὶ

[p] τρίβουσιν Cod.

οὐκέτι παρέχουσαν ἀνάπαυσιν αὐτοῖς· ποιεῖται τοίνυν ἐπιστροφὴν πρὸς τὸ πρότερον αὐτοῦ δοχεῖον τοῦ ἐξ Ἰσραὴλ, καὶ ὡς εὗρεν αὐτοὺς οὐκέτι θεῖον ἔχοντας ἐν αὐτοῖς οὐδὲν, ἀλλ' ἐρήμους ὄντας καὶ σχολάζοντας αὐτῷ πρὸς ἐνοίκησιν, κατῳκήσατο δηλαδὴ μετὰ πάσης αὐτοῦ τῆς δυνάμεως. Τοῦτο γὰρ φαίνεται δηλοῦν, "ἑπτὰ λέγων ἕτερα πνεύματα μετ' αὐτοῦ," καθάπερ εἴωθεν ἐπὶ πλήθους ὀνομάζειν ἡ θεία γραφὴ τὸν τοσοῦτον ἀριθμῷ, ἐπειδὰν λέγῃ, "ὅτι "στεῖρα ἔτεκεν ἑπτὰ, καὶ ἡ πολλὴ ἐν τέκνοις ἠσθένησεν." οὐδὲ γὰρ τὸ πνεῦμα τὸ ἀκάθαρτον ὁποῖον ἔσχον ἐν Αἰγύπτῳ, τοιοῦτον ἔχουσιν οἱ εἰς τὸν Υἱόν μου ἀπιστήσαντες· πεπλήρωται καὶ ἄλλων πονηρῶν, καὶ γέγονεν αὐτοῖς τὰ ἔσχατα χείρονα τῶν πρώτων· χείρονα γὰρ τῶν ἐν Αἰγύπτῳ νῦν πάσχουσιν, ἐπειδήπερ εἰς Ἰησοῦν Χριστὸν οὐ πεπιστεύκασιν, ἀλλὰ τὸν ἀρχηγὸν τῆς ζωῆς ἀπέκτειναν, ὅθεν ἐστερήθησαν τῆς ζωῆς· καὶ οὐκέτι λέγει ἐν αὐτοῖς προφήτης, τάδε λέγει Κύριος, οὐκ ἔστι σημεῖον ἐν αὐτοῖς, οὐκέτι πέρας, οὐκέτι σημεῖον ἐπιφανείας καὶ παρουσίας τοῦ Θεοῦ. μεταβέβηκε γὰρ τὰ ἀγαθὰ ἐφ' ἡμᾶς τοὺς ἐξ ἐνθῶν, τοῦτον[q] Ἰησοῦ λόγον εἰρηκότος, "ἀρθήσεται ἀπ' αὐτῶν ἡ βασιλεία τοῦ Θεοῦ, καὶ "δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς."

ΚΕΦ. Μ.

Περὶ τῆς ἐκ τοῦ ὄχλου ἐπαράσης φωνήν.

27 Διὰ τί τῆς γυναικὸς εἰπούσης, "μακαρία ἡ κοιλία ἡ βαστάσασά σε," καὶ τὰ ἑξῆς, αὐτὸς Χριστὸς ὁ δεσπότης εἶπε, "μενοῦνγε μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ Θεοῦ καὶ φυλάσσοντες αὐτόν;" ἁρμοδίως πρὸς τὸν καιρὸν τοῦτό φησιν· ἐπειδὴ γὰρ οἱ τῶν θείων λόγων ἀνήκοοι τοὺς ὑπηκόους τούτων κατέκριναν, αὐτὸς τὸ ἐναντίον ποιῶν, μᾶλλον μακαρίζει τούτους· λοιπὸν δὲ καὶ διὰ τὸν ἰαθέντα κωφὸν, ἵνα καὶ αὐτὸς ἀκούσας μάθῃ, καὶ μαθὼν πιστεύσῃ, καὶ πιστεύσας ἐργάσηται, καὶ ἐργασμένος στεφανωθῇ καὶ δοξασθῇ μετὰ πάντων τῶν φυλασσόντων τὰς δεσποτικὰς ἐντολάς. ἅπερ εἶπεν ὁ δεσπότης Χριστὸς, "ὅτι ἡ γενεὰ αὕτη πονηρά ἐστιν," ἕως "ἔσται φωτεινὸν ὅλον" προεγράφη εἰς τὸ κατὰ Ματθαῖον.

[q] τὸν τοῦ Cod.

ΚΕΦ. ΜΑ.

Περὶ τῶν αἰτούντων σημεῖον.

33 *Οὐδεὶς δὲ λύχνον ἅψας εἰς κρυπτὸν τίθησιν, οὐδὲ ὑπὸ τὸν μόδιον κ. τ. ἑ.*

Λύχνον ἔχοντες ἐν αὐτοῖς οἱ ἄνθρωποι τὴν νοερὰν δύναμιν, οὐκ εἰς τὸ ἐμφανὲς ἄγουσι ταύτην, ἀλλ' εἰς τὸ ἀφανὲς κρύπτουσι τὸ μὴ ζητεῖν τὴν ἔκλαμψιν τοῦ νοῦ, ἀλλὰ τὴν ἔξωθεν καὶ ματαίαν λαμπρότητα. αὕτη γὰρ γίνεται περὶ τὸν νοῦν σκότος, εἰς πονηρίαν αὐτὸν ἐκκαλουμένη, οἷα δὴ καὶ ἡ περὶ τοὺς Φαρισαίους δόξα παρὰ τῷ πλήθει φθονερῷ καὶ κακοήθως κατὰ τοῦ τιμωμένου παρασκευάζουσα, καὶ προσάγειν διὰ στόματος λόγους ἀσεβεῖς καὶ συκοφαντικούς. οὕτω γὰρ ἔνδοθεν καὶ ἀπὸ καρδίας ἐρχόμενον τὸ σκότος, ὅλον τὸ σῶμα πληροῖ, οὐ μόνον τὸ στόμα λόγων ἐμπιπλῶσα τῶν μὴ δικαίων, ἀλλὰ καὶ χεῖρας ἐπὶ μιαιφονίαν ἐγείρουσα· ὃ δὴ καὶ πράττουσι μικρὸν ὕστερον, ἀπὸ τοῦ φθόνου πρὸς τὸν φόνον ἐγειρόμενοι. ἐξὸν οὖν ὑμῖν, φησὶ, καθαρὸν κατασκευάζειν τὸν νοῦν, καὶ διὰ τούτου καταλαμπρύνειν ἑαυτῶν τούς τε λόγους καὶ τὰς πράξεις, ὑμεῖς δὲ τοὐναντίον, ὅθεν χρὴ προάγειν φῶς, ἐντεῦθεν προάγεται σκότος.

ΚΕΦ. ΜΒ.

Περὶ τοῦ Φαρισαίου τοῦ καλέσαντος τὸν Ἰησοῦν.

37 *Τίνος ἕνεκεν πονηρῶν καὶ βεβήλων ὄντων τῶν Φαρισαίων καὶ βασκάνων καὶ ἀλαζόνων, κληθεὶς παρ' ἑνὸς ἐξ αὐτῶν Χριστὸς ὁ Θεὸς ἡμῶν οὐ παρῃτήσατο, ἀλλ' εἰσελθὼν ἀνεκλίθη; οὐχ ὡς ἀγνοῶν τὴν ἐνοῦσαν αὐτοῖς σκαιότητα ὁ πάντα εἰδὼς τοῦτο πεποίηκεν, ἀλλὰ νουθετῆσαι τούτους ἐπειγόμενος, μυσταγωγίας πρόφασιν τὸ πρᾶγμα ποιούμενος.*

Ἐσκανδαλίσθη δὲ ὁ Φαρισαῖος, ὅτι οὐ πρὸ τοῦ ἀρίστου ἐβαπτίσθη, ἀσυνέτως σφόδρα, τοῦτο γὰρ ἐποίουν ἐκεῖνοι, ῥύπου παντὸς ἑαυτοὺς, ὡς ἐνόμιζον, ἀπαλλάττοντες, ὅπερ οὐδαμοῦ προσέταξε Μωϋσῆς τοῦτο ποιεῖν.

Μόνη γὰρ διὰ τῶν ὑδάτων ἀπόνιψις χρειωδεστάτη λίαν ἐστὶ, τοῖς ῥυπῶσι σωματικῶς, ἀκαθαρσίαν δὲ τὴν εἰς νοῦν καὶ καρδίαν ἀπαλλάξαι οὐ δύναται. Τὰ τούτων ἀκόλουθα, οἷόν ἐστιν, εἶπεν ὁ Κύριος, " ὑμεῖς οἱ Φαρισαῖοι τὸ ἔξωθεν τοῦ ποτηρίου," ἕως " τὸ " γὰρ Ἅγιον Πνεῦμα διδάξει ὑμᾶς," προεγράφη εἰς τὸ κατὰ Ματθαῖον.

Κυρίλλου Ἀλεξανδρείας. *Ἐξῆν μὲν γὰρ καὶ ἑτέροις λόγοις χρήσασθαι τὸν Κύριον, νουθετεῖν ἐθέλοντα τὸν ἀσύνετον Φαρισαῖον, ἐπιδράττεται καὶ τοῦ καιροῦ καὶ οἷον ἐκ τῶν ὄντων ἐν χερσὶν ἐξυφαίνει τὴν μυσταγωγίαν· ὡς γὰρ ἐν καιρῷ τροφῆς καὶ τραπέζης ἐναργὲς ὑπόδειγμα δέχεται τὸ ποτήριον καὶ τὸν πίνακα, καὶ διαδείκνυσιν ὅτι καθαροὺς καὶ ἐκνενιμμένους εἶναι χρὴ τοὺς εἰλικρινῶς λατρεύοντας τῷ Θεῷ, καὶ οὐ δήπου μόνης ἐξ ἀκαθαρσίας σωματικῆς· ἀλλὰ γὰρ καὶ τῆς εἰς νοῦν ἔσω κεκρυμμένης, καθάπερ ἀμέλει καὶ τὰ ταῖς τραπέζαις ἐξυπηρετοῦντα τῶν σκευῶν καὶ τῶν ἔξωθεν ἐλευθεροῦσθαι ῥύπων, εὖ ἂν ἔχοι, καὶ προσέτι τοῦτο τῶν ἔσω. Ὁ γὰρ ποιήσας τὸ ἔξωθεν φησὶ, καὶ τὰ ἄνωθεν ἐποίησε, τουτέστιν ὁ τὸ σῶμα κτίσας, καὶ ψυχὴν εἰργάσατο. χρὴ τοιγαροῦν ἐν ὅσῳ τὰ ποιήματα τοῦ φιλαρέτου Θεοῦ σύνδρομον ἔχει τὴν ἀποκάθαρσιν*[r], *ἀλλ' ἦν ἀληθὲς τοῦτο τοῖς γραμματεῦσί τε καὶ Φαρισαίοις· μέχρι γὰρ μόνου τοῦ δοκεῖν εἶναι καθαροὺς αὐτοὺς πάντα δρᾷν ἐσπούδαζον, " τάφοις κεκονιαμένοις προσεοικότες" κατὰ τὴν αὐτοῦ τοῦ Σωτῆρος φωνὴν, " ἔξωθεν μὲν ὡραῖοι, ἔσωθεν δὲ γέμοντες ὀστέων νεκρῶν καὶ " πάσης ἀκαθαρσίας." Ἀλλ' οὐ τοιούτους ἡμᾶς εἶναι βούλεται Χριστός· ἁγίους δὲ καὶ ἀμώμους ψυχῇ*[s] *τε καὶ σώματι.*

42 *Ἃ γὰρ ἔδει μάλιστα κατορθοῦν, ταῦτα παρέντες ὡς ἕωλα, τουτέστι τὴν κρίσιν καὶ τὴν ἀγάπην τοῦ Θεοῦ, μόνας ἐκείνας ἀκριβῶς ἐτήρουν τὰς ἐντολὰς, ἤγουν τηρεῖσθαι προσέταττον παρὰ τὸν ὑπὸ χεῖρα λαὸν, αἳ πλείστας αὐτοῖς λημμάτων ὁδοὶ ἦσαν καὶ ἀφορμαὶ, ὥστε μηδὲ τὰ τῶν λαχάνων λεπτὰ καὶ οὐδενὸς ἄξια λόγου παρατρέχειν αὐτούς· ἔργον δὲ ἀγάπης τῆς εἰς Θεὸν, τὸ κατὰ μηδένα τρόπον προσκρούειν αὐτῷ, δεδιέναι δὲ τοῦ παντὸς νόμου παράβασιν, κρίσεως δὲ ἡ δικαιοκρισία καὶ τὸ φροντίδος ἴσης ἀξιοῦν τὰ τεθεσπισμένα, καὶ μὴ ῥᾳθυμεῖν μὲν τῶν ἀναγκαίων·*

[r] Leg. vid. *ἔχειν* sed alia manca sunt. [s] *ψυχήν* Cod.

μόνοις δὲ τοῖς ἐπικερδέσιν ἀκριβῶς ὁρᾶν, ἀλλὰ προσκλινῆ ποιεῖσθαι τὴν ψῆφον τὴν ἐφ' ἑκάστῳ πράγματι· τὸ γὰρ ἄδικα κρίνειν οὐκ ἀγάπην τὴν εἰς ἀδελφοὺς τηρούντων ἐστί· τὰ τοίνυν ἀναγκαῖα καὶ συνεκτικὰ μὴ τηροῦντες τοῦ νόμου, τὰς δεκάτας λαμβάνειν ἐσπούδαζον καὶ τῶν εὐτελεστάτων.

Τὸ γὰρ ἀσπασμοὺς ζητεῖν παρὰ πάντων τῶν ἐν ἀγορᾷ, καὶ τὸ προσεδρεύειν ἐν συλλόγοις περὶ πολλοῦ ποιεῖσθαι σπουδάζοντες, μνημάτων ἀδήλων οὐδὲν διαφέρουσι· ἃ διαπρέπει μὲν τοῖς ἔξωθεν κόσμοις, μεστὰ δέ εἰσι πάσης ἀκαθαρσίας. ἐνταῦθά μοι βλέπε διαβεβλημένην ἐσχάτως τὴν ὑπόκρισιν τὸ πρὸς ἀρέσκειαν ἀνθρώπων ἅπαντα διαπράττεσθαι. Διὰ τοῦτό φησιν ὁ μακάριος Παῦλος, "εἰ ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην."

ΚΕΦ. ΜΓ.

Περὶ τοῦ ταλανισμοῦ τῶν νομικῶν.

46 Δυσφόρητον μὲν ἀεί πως ἐστὶν ἀνθρώπῳ παντὶ τὸ ἐλέγχεσθαι, πλὴν οὐκ ἀνόνητον τοῖς ἐπιεικέσι, μεθίστησι γὰρ αὐτοὺς ἐπὶ τὸ ἄμεινον. ἄθρει τοῦτο πεπονθότας τοὺς παρά γε τοῖς Ἰουδαίοις ὠνομασμένους νομικούς. ὁ μὲν γὰρ τῶν ὅλων Σωτὴρ ἐπετίμα τοῖς Φαρισαίοις, ὡς ἔξω τρέχουσι τῆς εὐθείας ὁδοῦ· πρὸς ταῦτα δὲ τὸ τῶν ἀνοσίων νομικῶν ἐχαλέπαινε στῖφος. ἑαυτοὺς γὰρ ὑποφέρουσι τοῖς ἐγκλήμασι, καὶ καθ' ἑαυτῶν εἰρῆσθαι νομίζουσιν, ἃ πρὸς ἐκείνους ἔφη Χριστός· ἀλλ' ἦν δήπου κρεῖττον, ἀγαπῆσαι μὲν τὸν ἔλεγχον, αἰτῆσαι δὲ τῶν ἀρρωστημάτων τὴν λύσιν, καὶ μὴ ὕβριν ἀμαθῶς τὸν ἔλεγχον ὀνομάζειν, ἐπωφελῆ ὄντα καὶ χρήσιμον. Τί οὖν πρὸς ταῦτα Χριστός; ἐπιτείνει τὸν ἔλεγχον καὶ τὴν εἰκαίαν αὐτῶν ὀφρὺν καταφέρει λέγων, "καὶ ὑμῖν τοῖς νομικοῖς οὐαί."

50 Περὶ δὲ τοῦ Ζαχαρίου, οὗ εἶπεν ὁ Κύριος ὅτι μεταξὺ τοῦ θυσιαστηρίου τοῦ ναοῦ ἐσφάγη, ὁ ἅγιος Γρηγόριος ὁ Νύσσης φησὶν, ὅτι ὁ πατήρ ἐστι τοῦ προδρόμου· καὶ ἐπειδὴ οὐκ ἀπεχώρισε τὴν παναγίαν θεοτόκον Μαρίαν, καὶ μετὰ τὸν ἄφθορον τόκον, τοῦ ταῖς παρθένοις ἀποκεκληρωμένου τόπου ἐν τῷ ναῷ, ἦν δὲ οὗτος ὁ τόπος μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου, ἐμαρτύρει δὲ καὶ βασιλέα τῆς κτίσεως εἶναι τὸν εἰς γέννησιν ἀνθρωπίνην οἰκονομικῶς

ἐξ αὐτῆς κατὰ ἀλήθειαν προσελθόντα, φόβῳ τοῦ μὴ γενέσθαι βασιλεῖ ὑποχειρίους, διὰ τοῦτο τὸν ἱερέα μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου κατέσφαξαν.

52 Οὐαὶ ὑμῖν τοῖς νομικοῖς, ὅτι ἤρατε τὴν κλεῖδα τῆς γνώσεως.

ΚΥΡΙΛΛΟΥ ἈΛΕΞΑΝΔΡΕΙΑΣ. "Κλεῖδα γνώσεως" καὶ αὐτὸν εἶναι φαμὲν τὸν νόμον καὶ τὴν ἐν Χριστῷ δικαίωσιν, διὰ πίστεως δὲ δηλονότι τῆς εἰς αὐτόν. ἦν μὲν γὰρ ὁ νόμος ἐν σκιᾷ καὶ τύπῳ, πλὴν οἱ τύποι διαμορφοῦσι τὴν ἀλήθειαν καὶ γράφουσιν αἱ σκιαὶ πολυτρόπως ἡμῖν τὸ Χριστοῦ μυστήριον. μόνος ἐσφάζετο κατὰ τὸν τοῦ Μωϋσέως νόμον· ἤσθιον τῶν κρεῶν αὐτοῦ, καὶ ἔχριον τῷ αἵματι τὰς φλιὰς, καὶ νενικήκασι τὸν ὀλοθρευτὴν, ἀλλ' αἷμα προβάτου κοινοῦ οὐκ ἂν ἴσχυσεν ἀνατρέψαι θάνατον. ἐμορφοῦτο δὴ οὖν ὡς ἐν ἀμνῷ Χριστὸς, τὴν ὑπὲρ τῆς τοῦ κοινοῦ ζωῆς ὑπομένων σφαγὴν, καὶ σώζων αἵματι τῷ ἰδίῳ τοὺς μετέχοντας αὐτοῦ. πλεῖστα δ' ἄν τις πρὸς τοῦτο λέγοιτο, δι' ὧν ἔνεστιν ἰδεῖν τὸ Χριστοῦ μυστήριον διὰ τῆς τοῦ νόμου σκιᾶς γραφόμενον· ἔφη δέ που καὶ αὐτὸς τοῖς Ἰουδαίοις προλαλῶν, ὅτι "ὁ κατηγορῶν "ὑμῶν Μωϋσῆς, εἰς ὃν ὑμεῖς ἠλπίκατε· εἰ γὰρ ἐπιστεύετε Μωϋ-"σεῖ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψε." καὶ πάλιν, "ἐρευνᾶτε τὰς γραφὰς, ὅτι ἐν αὐταῖς δοκεῖτε ὑμεῖς ζωὴν "αἰώνιον ἔχειν, καὶ αὐταί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ." καὶ "οὐ θέλετε ἐλθεῖν πρός με·" ἅπας γὰρ ὁ λόγος τῆς θεοπνεύστου γραφῆς εἰς αὐτὸν ὁρᾷ, καὶ ἐπ' αὐτῷ συντείνεται.

Ἐπειδὴ οὖν τοὺς καλουμένους νομικοὺς, ἅτε δὴ τὸν Μωϋσέως πολυπραγμονοῦντας νόμον, καὶ τὰς τῶν ἁγίων προφητῶν οὐκ ἠγνοηκότας φωνὰς, ἀνοίγει τρόπον τινὰ τοῖς Ἰουδαίων δήμοις τὰς τῆς γνώσεως θύρας. παιδαγωγεῖ γὰρ ὁ νόμος ἐπὶ Χριστὸν, ἀποφέρει δὲ εἰς ἐπίγνωσιν αὐτοῦ καὶ τὰ τῶν ἁγίων προφητῶν εὐσεβῆ κηρύγματα. ἀλλὰ τοῦτο μὲν οὐ πεπράχασιν οἱ καλούμενοι νομικοὶ, ἐκ δὲ τῶν ἐναντίων ἦραν τὴν κλεῖδα τῆς γνώσεως, ἵνα τὴν διὰ νόμου χειραγωγίαν ἐννοῇς ἤτοι τὴν πίστιν, δῆλον δ' ὅτι τὴν εἰς Χριστὸν, προσγίνεται γὰρ διὰ τῆς πίστεως τῆς ἀληθείας ἡ γνῶσις· καὶ γοῦν ὁ προφήτης Ἡσαΐας οὕτω πού φησί· "καὶ ἐὰν πιστεύητε,

"οὐδ' οὐ μὴ συνῆτε," χωρὶς γὰρ πίστεως ἀδύνατον εὐαρεστῆσαί ποτε. ἦραν τοίνυν τὴν κλεῖδα τῆς γνώσεως οἱ καλούμενοι νομικοί· οὐ γὰρ εἴων πιστεῦσαί τινας εἰς τὸν τῶν ὅλων Σωτῆρα Χριστὸν, εἰ καὶ τεθαυματούργηκε πολυτρόπως· οἱ δὲ καίτοι θαυμάσαι δέον, ἐπὶ τούτοις αὐτὸν διέσυρον τὰς θεοσημείας καὶ τοὺς ὑπὸ χεῖρα λαοὺς σκανδαλίζοντες ἔφασκον, "οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια εἰ μὴ "ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων."

Ὁρᾷς ἐν τούτοις τὴν κλεῖδα τῆς γνώσεως αἴροντας· ἐδίδασκεν ἐν ταῖς συναγωγαῖς, φανερὸν καθέστη τοῖς ἀκροωμένοις τὸ θέλημα τοῦ Θεοῦ καὶ Πατρὸς τὸ ἀγαθὸν καὶ τέλειον καὶ εὐάρεστον· οἱ δὲ ταύτας αὐτοῦ τὰς μυσταγωγίας οὐκ ἀμωμήτους ἀφέντες ἁλίσκονται. προσεφώνουν γὰρ τοῖς ὄχλοις, δαιμόνιον ἔχει καὶ μαίνεται, τί ἀκούετε αὐτοῦ; ἦραν οὖν κατὰ τὸ ἀληθὲς τὴν κλεῖδα τῆς γνώσεως, αὐτοὶ δὲ οὐκ εἰσῆλθον, κεκωλύκασι δὲ καὶ ἑτέρους.

ΚΕΦ. ΜΔ.

Περὶ τῆς ζύμης τῶν Φαρισαίων.

Κυρίλλου Ἀλεξανδρείας. Ἅπας γὰρ ἡμῶν λόγος καὶ πᾶν ἔργον ἐν ἡμέρᾳ κρίσεως ἔσται φανερὸν, περιττὴ τοιγαροῦν ἡ ὑπόκρισις, δεῖ δὴ ἀληθινοὺς ἡμᾶς ὁρᾶσθαι προσκυνητάς.

4 Τοῦ αὐτοῦ. Εἰς πνευματικὴν εὐανδρίαν ἀλείφει τοὺς ἀγαπῶντας αὐτόν· λέγω γὰρ ὑμῖν, φησὶ, τοῖς φίλοις μου, οὐχ ἅπασιν ἁπλῶς πρέποι ἂν, ὡς ἔοικεν, ὁ περὶ τούτων λόγος, ἐκείνοις δὲ μᾶλλον οἷς ἂν ἐνυπάρχων ὁρῷτο τὸ ἐξ ὅλης καρδίας ἀγαπᾷν αὐτὸν, οἷς καὶ ἁρμόζει λέγειν, "τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ "Χριστοῦ; θλίψις ἢ στενοχωρία, ἢ λιμὸς, ἢ διωγμὸς, ἢ γυμνότης, "ἢ μάχαιρα;" οἱ γὰρ μὴ τοιοῦτοι, εὐπαρακόμιστοι λίαν εἰσὶ, καὶ πρὸς ἀποστασίαν ἑτοιμότεροι.

Καὶ μετ' ὀλίγα—Προσενθυμεῖσθαι δὲ τούτοις κἀκεῖνο προσήκει· εὑρίσκονται γὰρ διὰ πόνων οἱ στέφανοι, καὶ ἄνθρωποι μὲν μέχρι σώματος ἐκτείνουσι τὰς ὀργὰς, καὶ πέρας αὐτοῖς τῆς καθ' ἡμᾶς ἐπιβουλῆς ὁ τῆς σαρκὸς θάνατος, Θεοῦ δὲ κολάζοντος οὐ μέχρι μόνης σαρκὸς ἡ ζημία στήσεται, ἀλλὰ καὶ αὐτὴ συνυπο-

φέρεται ταῖς οἰκείαις ἡ ἀθλία ψυχή· οὐκοῦν εἰσίτω μᾶλλον ὁ μετ' εὐκλείας θάνατος, εἰς ἀρχὰς ἡμᾶς ἀναφέρων ἀτελευτήτου ζωῆς.

Τοῦ αὐτοῦ. Ὁρᾷς ὅσην ποιεῖται τὴν πρόνοιαν τῶν ἀγαπώντων αὐτόν· εἰ γὰρ μέχρι τῶν οὕτω εὐτελεστάτων ἐκτείνεται, καὶ οἷον κάτεισιν ἐπὶ τὰ πάντων μικρότατα τῶν ζώων, πῶς ἂν ἐπιλάθοιτο τῶν ἀγαπώντων αὐτόν; οὔγε τοσαύτην αὐτῶν ποιεῖται πρόνοιαν, ὡς ἕκαστα τῶν κατ' αὐτοὺς εἰδέναι λεπτῶς, καὶ οἷον ἠριθμημένας ἔχειν αὐτῶν τὰς τρίχας; ἢ γὰρ οὐκ ἐάσει πεσεῖν εἰς πειρασμὸν, ἢ γοῦν οἰκονομικῶς, ἵνα παθόντες εὐδοκιμήσωμεν, εἰς παγίδα πεσεῖν ἐπιτρέψας, χορηγήσει πάντως καὶ τὸ δύνασθαι διενεγκεῖν.

ΚΕΦ. ΜΕ.

Περὶ τοῦ θέλοντος μερίσασθαι τὴν κληρονομίαν.

13 Διὰ τί πρὸς τὸν εἰπόντα αὐτῷ, "διδάσκαλε, εἰπὲ τῷ ἀδελφῷ "μου, μερίσασθαι μετ' ἐμοῦ τὴν κληρονομίαν," ἀποκριθεὶς εἶπεν, "ἄνθρωπε, τίς με κατέστησεν ἄρχοντα ἢ μεριστὴν ἐφ' ὑμᾶς;" ἐπειδήπερ ἐκεῖνος καταλιπὼν αὐτὸν τὰ χρήσιμα καὶ πρὸς σωτηρίαν ψυχῆς συντείνοντα, περὶ γηΐνων τε καὶ προσκαίρων πραγμάτων, ἐζήτει μεριστὴν αὐτὸν γενέσθαι, τούτου χάριν ὡς ὀχληρὸν καὶ οὐδὲν ἐθέλοντα μαθεῖν ὧν ἐχρῆν εἰδέναι, πράως ἀποπέμπεται, καὶ ὡς σμικρόψυχος περὶ τὴν αἴτησιν γενόμενος τῆς αὐτοῦ μικροπρεπείας· πείθων διὰ τούτων αὐτόν τε καὶ τοὺς τότε καὶ νῦν ἀκούοντας, παντὸς μὲν ἀποφοιτᾷν γηΐνου τε καὶ προσκαίρου πράγματος, μὴ φιλονεικοῦντας ἀδελφοῖς, εἴκοντας μᾶλλον αὐτοῖς, κἂν εἰ βούλωνται πλεονεκτεῖν· ἀπὸ γὰρ τοῦ "αἴροντος," φησι, "τὰ σὰ μὴ ἀπαίτει·" ζητεῖτε δὲ μᾶλλον τὰ ὅσαπερ ἐστὶ χρήσιμα καὶ ἀναγκαῖα πρὸς σωτηρίαν ψυχῆς· διὸ καὶ ἐπήγαγε λέγων, "ὁρᾶτε καὶ φυλάσσεσθε, ἀπὸ πάσης πλεονεξίας," καὶ τὰ ἑξῆς· ὡς βόθρον τινὰ διαβολικὸν παραινῶν ἡμῖν ταύτην ἀποφεύγειν, καὶ δὴ καὶ εἰδωλολατρίαν ὁ σοφὸς ὀνομάζει Παῦλος, ὡς μόνως τάχα που πρέπουσαν τοῖς οὐκ εἰδόσι Θεὸν, ἢ καὶ ἰσοστάθμως ἔχουσαν εἰς βεβήλωσιν τὸ λατρεύειν τινὰς ξύλοις τε καὶ λίθοις.

ΚΕΦ. ΜϚ.

Περὶ τοῦ οὗ ηὐφόρησεν ἡ χώρα πλουσίου.

16 *Πῶς δὲ "οὐκ ἔστι ἐν τῷ περισσεύειν τινὶ ἡ ζωὴ αὐτοῦ ἐκ τῶν "ὑπαρχόντων αὐτοῦ," διὰ τὸ μὴ πλούτῳ συνεκτείνεσθαι τὸ τῆς ζωῆς μέτρον, καθὼς ἡμῖν σαφῶς τε καὶ ἐναργῶς ὑπέδειξεν αὐτὸς ὁ δεσπότης* Χριστὸς, *τὴν τοῖς προειρημένοις συνεζευγμένην παραβολὴν εὖ μάλιστα συντέθεικεν. "Ἀνθρώπου γάρ τινος," φησὶ, "πλουσίου εὐφόρησεν ἡ χώρα," καὶ τὰ ἑξῆς.*

17 *Χρὴ δὲ σκοπῆσαι ἡμᾶς ἀκριβῶς τὸ τοῦ λόγου εὔτεχνον, ὅτι οὐχ ἓν ἡμῖν εὐφορῆσαν εἰσέδειξε χωρίον, ἀλλ' ὅλην, ἔφη, χώραν εὔκαρπον γενέσθαι τῷ κεκτημένῳ, ἵνα μάθωμεν τοῦ πείθους τὸ βάθος· καὶ γὰρ ὅταν οὕτω πολλοῖς περιχεόμενος ἀγαθοῖς στενοχωρεῖται πεφροντικὼς, "τί γὰρ ποιήσω;" φησὶ, διὸ καὶ ἐσκέπτετο μόνος ἀπολαύειν τῶν προσόντων αὐτῷ, οὐχ ὁρῶν πρὸς τὸ μέλλον, οὐκ ἀναβλέπων πρὸς τὸν* Θεὸν, *οὐκ ἐρῶν φιλοπτωχίας, καὶ τῶν ἐντεῦθεν αὐχημάτων ἐφιέμενος, ἀλλὰ καὶ τὸ ἔτι τούτου παραλογώτερον, ἑαυτῷ μῆκος ὁρίζει ζωῆς, ὥσπερ ἐκ γῆς καὶ τοῦτο θερίσας· "ἐρῶ γὰρ," φησὶ, "τῇ ψυχῇ μου, ψυχὴ, ἔχεις πολλὰ "ἀγαθὰ κείμενα εἰς ἔτη πολλά· φάγε, πίε, εὐφραίνου· διὸ καὶ "*Θεὸς *εἶπεν αὐτῷ, ἄφρων, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαι-"τοῦσιν ἀπὸ σοῦ, ἃ δὲ ἡτοίμασας, τίνι ἔσται;" ἀληθὲς οὖν, ὅτι "οὐκ ἐν τῷ περισσεύειν τινὶ ἔσται ἡ ζωὴ αὐτοῦ ἐκ τῶν ὑπαρχόντων "αὐτῷ." διὸ τὸ ἐπαγόμενον ὅτι "οὕτως ὁ θησαυρίζων ἑαυτῷ καὶ μὴ "εἰς* Θεὸν *πλουτῶν," φοβηθέντες, μηδὲ εἰς ἔννοιαν τοῦ πλουτεῖν ἔλθωμεν· τρισμακάριος γὰρ καὶ ἐν ἐλπίσι λαμπραῖς ὁ κατὰ* Θεὸν *πλουτῶν.*

Ἄφρων δὲ δικαίως ἐκλήθη, ἐπειδὴ πᾶς ἄφρων τοιοῦτος καὶ μάταιος, καθὼς καὶ ὁ ψαλμῳδὸς φησὶ, "πλὴν μάτην πᾶς ἄνθρω-"πος θησαυρίζει, καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά."

Τὰ *ἀκόλουθα τούτων, οἷον "μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν," προεγράφη εἰς τὸ κατὰ* Ματθαῖον, *ἕως "καὶ ταῦτα πάντα προσ-"τεθήσεται ὑμῖν."*

Κυρίλλου Ἀλεξανδρείας. *Ὡς ἀπό γε τῶν πτηνῶν καὶ τῶν ἐν ἀγροῖς ἀνθῶν ἱδρυμένην καὶ ἀκατάσειστον ἐργάζεταί σοι πίστιν, ἐνδοιάζειν δὲ ὅλως οὐκ ἐφίησιν ἡμᾶς, ὅτι πάντῃ τε καὶ πάντως τὴν*

παρ᾽ αὐτοῦ χαρίζεται φειδῶ, τὸ ἀνενδεὲς ἐφ᾽ ἅπασι διδούς· "κατανοήσατε," λέγων "τὰ κρίνα, πῶς αὐξάνει," καὶ τὰ ἑξῆς.

Ἀληθὲς δὲ τοῦτο· τὰ γὰρ τῶν χρημάτων ἄνθη ποικίλα τε ὄντα καὶ πολυειδῆ ἐν κρίνοις μὲν καὶ ἐν ἑτέροις τισὶ τῶν φυομένων ἐν ἀγροῖς ἀξιοθαύμαστόν ἐστι τὴν ὥραν· πρὸς δὲ μίμησιν τὴν αὐτῶν ὑποβαλλόμενον τὸ τεχνουργούμενον λείπεται πάντως ἐκείνων, καὶ μόλις ἔρχεταί πως τῆς ἀληθείας ἐγγύς. Εἰ τοίνυν τοῦθ᾽ οὕτως ἔχει, πῶς οὐκ ἀληθὲς ὅτι οὐδὲ Σολομῶν, καίτοι φιλότιμος οὕτω γεγονὼς, ἐν ὅλῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων. Ἀπόχρη τοιγαροῦν τοῖς σοφοῖς τὸ χρείας ἕνεκα καὶ μόνης εὐσχήμονα καὶ εὐπόριστον ἔχειν τὴν στολὴν, καὶ σιτίων λιτότητα μὴ ὑπεραίρουσαν τὸ ἀρκοῦν· ἀρκέσει δὲ τοῖς ἁγίοις ἡ ἐν Χριστῷ τροφὴ, ἡ πνευματικὴ δηλονότι καὶ θεία καὶ νοητὴ, καὶ ἡ μετὰ ταῦτα δόξα.

32 *"Μὴ φοβοῦ τὸ μικρὸν ποίμνιον" ἀντὶ τοῦ μὴ ἀπιστήσῃς εἴρηται, μικρὸν δὲ ποίμνιον ὀνομάζει, ἢ ἐπειδὴ παράκειται μικρότης ἐν τῷ κόσμῳ τούτῳ τοῖς ἑκουσίως ἀκτήμοσι καὶ ἀχρημάτοις, ἢ διὰ τὸ ἡττᾶσθαι τῆς τῶν Ἀγγέλων πληθύος ἀμετρήτου οὔσης, καὶ ἀσυγκρίτως πλεονεκτούσης τὰ καθ᾽ ἡμᾶς. εἰπὼν γὰρ ἐν τῇ τῶν ἑκατὸν προβάτων παραβολῇ, ὅτι χαίρει ἐπὶ τῷ ἑνὶ μᾶλλον τῷ πλανηθέντι καὶ εὑρεθέντι ἢ ἐπὶ τοῖς ἐννενηκονταεννέα τοῖς μὴ πεπλανημένοις, ἔδειξεν ὅτι ὡς ἓν ἐν τοῖς ἑκατὸν, τὸ ἐπὶ γῆς ἐστι ποίμνιον πρὸς τὰς ἀμετρήτους τῶν ἄνω πνευμάτων ἀγέλας. ἀλλ᾽ εἰ καὶ οὕτω μικρόν ἐστι, φησὶν, ἡ τοῦ Θεοῦ ἀγαθότης ἡ[a] πάντα λόγον ὑπερεκτείνουσα, δέδωκε καὶ αὐτῷ τῶν ὑπερκειμένων πνευμάτων τὸν κλῆρον, τουτέστι τὴν τῶν οὐρανῶν βασιλείαν· ὁ οὖν τὰ οὕτω μεγάλα καὶ ἐξαίρετα διδοὺς, πῶς ὀκνήσει πλουσίως τὰ ἐπὶ γῆς παρέχειν ἡμῖν ἀγαθά· προδήλως ἐκπληρούντων ἡμῶν τὸ ἐπαγόμενον· φησὶ γὰρ, "πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν καὶ δότε "ἐλεημοσύνην," καὶ τὰ ἑξῆς· ἅπερ προεγράφη εἰς τὸ κατὰ* Ματθαῖον, *ἕως "ἐκεῖ καὶ ἡ καρδία ὑμῶν ἔσται."*

35 Εἰπὼν *ὅτι "ἔστωσαν αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι," οὐ τὴν τοῦ σώματος ὀσφὺν διεζωσμένην ἡμᾶς ἔχειν παρακελεύεται, ἀλλὰ τὸ τῆς διανοίας ἕτοιμον εἰς φιλεργίαν τοῖς ἐφ᾽ ἅπασι δηλονότι τοῖς ἐπαινουμένοις.*

[a] *εἰ* Cod.

Οἱ δὲ λύχνοι τὴν τοῦ νοῦ ἐγρήγορσιν καὶ φαιδρότητα νοητὴν ἐπιδηλοῦσιν, ἵνα ἀρετὴν ἀσκοῦντες, καὶ τὸν προφορητικὸν καὶ τὸν ἐνδιάθετον λόγον διὰ παντὸς ἀστράπτοντα ἔν τε τῇ ψυχῇ, ἔν τε τῇ γλώττῃ ἔχοντες, δι' ἀμφοτέρων ἐκλάμπωμεν. ὁ μὲν γὰρ ἔνδον ἡμᾶς φωτίζει, ὁ δὲ ἔξω τοὺς ἄλλους· διόπερ ὁ διδασκαλικὸς λύχνος ψυχούσθω καὶ ἀρδευέσθω καὶ τρεφέσθω ὑπὸ τῆς πρακτικῆς ἀρετῆς, ἵνα μὴ σκοτεινὸς ᾖ καὶ ἀλαμπής.

37 Γάμους δὲ ὀνομάζει, διὰ τὸ μηδὲν ὅλως κατηφὲς ἢ λυπηρὸν ὑπάρχειν παρὰ τῇ θείᾳ καὶ ἀκηράτῳ φύσει, ἵνα ἐλθόντος, φησὶ, δῆλον δὲ ὅτι ἐν τῇ δευτέρᾳ αὐτοῦ παρουσίᾳ, ἀθρόως καὶ ἀδοκήτως καθάπερ ἀώρως τῶν νυκτῶν ἐφιστάμενος, ὅπερ σημαίνει τὸ ἄδηλον τῆς παρουσίας αὐτοῦ, οὓς ἂν παρεσκευασμένους εὕρῃ καὶ ἑτοίμους, εἴτε ἐν τῇ δευτέρᾳ, εἴτε ἐν τῇ τρίτῃ φυλακῇ τῆς νυκτὸς, τὴν παρουσίαν αὐτοῦ ἀναμένοντας, καὶ διὰ τοῦτο πᾶσαν ἀρετὴν ἐργαζομένους, "μακάριοί εἰσι, φησὶν, οἱ δοῦλοι ἐκεῖνοι, περιζώσεται γὰρ καὶ διακονήσει αὐτοῖς." τουτέστιν ὅτι τοῖς ἴσοις ἡμᾶς ἀνταμείψεται καὶ οἷον κάμνοντας ἀνακτήσεται, τρυφὰς ἡμῖν παραθεὶς τὰς πνευματικὰς, καὶ πολυτελεστάτην, δαψιλῆ, ποικίλην, ἀμφιλαφῆ τῶν ἑαυτοῦ χαρισμάτων ἁπλώσει τράπεζαν. Νομίσωμεν δὲ τοὺς μὲν τῆς πρώτης φυλακῆς τοὺς ἐπιμελέστερον βιοῦντας, καὶ παρὰ τοὺς ἄλλους ἀγρύπνως διακειμένους περὶ τὴν τῶν ἀγαθῶν ἐργασίαν, καὶ διὰ τοῦτο πρώτης τάξεως ἐπειλημμένους· τοὺς δὲ τῆς δευτέρας, τοὺς ὑποβεβηκότας· τοὺς δὲ τῆς τρίτης, τοὺς τούτων καταδεεστέρους.

39 Τινὲς δὲ πρώτην καὶ δευτέραν φυλακὴν καὶ τρίτην τὸ διάφορον τῶν ἡλικιῶν ἐξηγήσαντο, πρώτην μὲν, καθ' ἣν παῖδές ἐσμεν ἄνηβοι, δευτέραν δὲ, καθ' ἣν νεανίαι, καὶ τρίτην, καθ' ἣν πρεσβύται· τὸ δὲ, "εἰ ᾔδει ὁ οἰκοδεσπότης," καὶ τὰ ἑξῆς, ἕως μετὰ τῶν ἀπίστων θήσει, προεγράφη εἰς τὸ κατὰ Ματθαῖον. Εἰς τὰ μικρὰ εἰς τὴν ἑρμηνείαν τοῦ σχολίου.

Ὠριγένους. Ἔστιν ὕπνος καὶ ἐγρήγορσις, ὥσπερ ἐπὶ τοῦ ἔξω ἀνθρώπου καὶ ἐπὶ τοῦ ἔσω· ἀπαιτούμεθα τοίνυν ἐγρηγορέναι, καθά φησιν ὁ Σωτήρ· "γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν." Καὶ μετ' ὀλίγα—Πλὴν τὰ πολλὰ ἢ κατὰ πάντα ἐν τῷ βίῳ τούτῳ ἀγρυπνητέον ἐστι, πῇ μὲν διὰ τὸ ἐφε-

δρεύειν τοὺς πολεμίους ὄντας, "οὐχ αἷμα καὶ σάρκα, ἀλλ' ἐξουσίας "καὶ κοσμοκράτορας τοῦ κόσμου τούτου, καὶ πνευματικὰ[b] τῆς "πονηρίας," ἵν' ἐκ τοῦ ἐγρηγορέναι σωζώμεθα, ὥσπερ δορκαὶ ἐκ βρόχων, καὶ ὥσπερ ὄρνεον ἐκ παγίδος, καὶ "ἵνα τὰς ὀσφύας "περιζωσάμενοι καὶ τοὺς λύχνους ἀναπτομένους ἔχοντες, ὅμοια "γενώμεθα ἀνθρώποις προσδεχομένοις τὸν Κύριον ἑαυτῶν, ἵνα "ἐλθόντος καὶ κρούσαντος εὐθέως ἀνοίξωμεν αὐτῷ."

Ἐξ ἀνεπιγράφου. Διχοτομίαν φησὶ τοῦ κακοῦ δούλου τὸ διαιρεθῆναι τὸ ἐπισυμβεβηκὸς αὐτῷ, καὶ διακοπῆναι ἀπ' αὐτοῦ μετὰ μεγάλων καὶ σφοδρῶν ἀλγηδόνων· ἀτελὴς γὰρ εὑρεθήσεται ὁ τοιοῦτος, ἄνευ θείου Πνεύματος, σὰρξ ὢν καὶ οὐ πνεῦμα. ἐπεὶ τότε ἐσμὲν ἐν πνεύματι κατὰ τὸν Ἀπόστολον, ὅταν Πνεῦμα Θεοῦ ἐστιν ἐν ἡμῖν. μέρος δὲ ἀτελὲς ἀπολειφθεὶς ἔσται μετὰ τῶν ἀπίστων, ὡς ἂν οὐδὲν τῆς πίστεως ἀπολαύσας εἰς σωτηρίαν, ἀλλὰ σὺν τῷ ἀπίστῳ κόσμῳ κατακριθεὶς, καὶ τοσούτῳ γε μείζων ἡ κόλασις, ὅσῳ πλεῖον ἡ χάρις.

46 Ἐλθὼν οὖν ὁ Κύριος τὸν τοιοῦτον διχοτομητὸν[c] τῷ ζῶντι ἑαυτοῦ λόγῳ καὶ ἐνεργεῖ ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, ὡς μὴ γενομένους ὁλοκλήρους πνεύματι καὶ ψυχῇ καὶ σώματι, ὁποῖοί εἰσιν οἱ ἁγιαζόμενοι ὁλοτελεῖς, ὧν ὁλόκληρον τὸ πνεῦμα καὶ ἡ ψυχὴ, καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τηρεῖται τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ἵνα δὲ σαφέστερον ἴδῃς, πρόσεχε πῶς ἂν νοηθείη ἐκ τοῦ διϊκνεῖσθαι τὸν ζῶντα τοῦ Θεοῦ λόγον ἐπιμερισμὸν ψυχῆς καὶ πνεύματος, ὅντινα ἐπιμερισμὸν ψυχῆς καὶ πνεύματος οἱ μὲν οὖν διχοτομούμενοι πείσονται, οἱ δὲ πιστοὶ καὶ φρόνιμοι οἰκονόμοι οὐ πείσονται. ὁ λόγος γὰρ ἐν αὐτοῖς ποιήσας τὰ ἀμφότερα ἓν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, τοὺς δύο ἔκτισεν εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην, καὶ ἀποκαταλλάξας αὐτοὺς τῷ Θεῷ.

Διὰ ποίαν αἰτίαν "ὁ δοῦλος ὁ μὴ γνοὺς τὸ θέλημα τοῦ Κυρίου "αὐτοῦ, καὶ ποιήσας ἄξια πληγῶν," ὑπέχει λόγον; διότι μὴ ἠθέλησεν εἰδέναι, δυνάμενος μαθεῖν· εἰ δὲ ὁ μὴ γνοὺς ὅλος οὐκ ἄμοιρος ὀργῆς ἔσται, ὅτι μὴ εἰδὼς κατημέλησε τοῦ μαθεῖν, ποῖος ἀπαλλάξει λόγος τοῦ χρῆναι πολλὰς ὑπομεῖναι πληγὰς, τὸν εἰδότα καὶ ῥαθυμήσαντα.

[b] πνεύματι καὶ Cod. [c] Leg. fors. διχοτομήσει, sed excidere plura.

Εἰπὼν δὲ ὅτι "παντὶ ᾧ ἐδόθη πολὺ, πολὺ ζητηθήσεται παρ' "αὐτοῦ," ἔδειξεν ὅτι φορτικώτερον τῶν διδασκόντων τὸ κρίμα.

Ποῖα δὲ ταῦτά ἐστιν ἃ ζητηθήσεται παρ' αὐτῶν; τὸ ἐν πίστει ὀρθὸν, τὸ ἀπλανὲς εἰς μυσταγωγίας, τὸ βεβηκὸς ἐν ἐλπίδι, τὸ ἀκατάσειστον ἐν ὑπομονῇ, τὸ ἄθραυστον ἐν ἰσχύϊ τῇ πνευματικῇ, τὸ εἰς πᾶν ὁτιοῦν τῶν ἀρίστων ἀνδραγαθημάτων πρόθυμόν τε καὶ εὐσθενὲς, ὥστε καὶ ἑτέροις ὑποτύπωσιν εἶναι πολιτείας ἀγγελικῆς. Τὸ "πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν" προεγράφη εἰς τὸ κατὰ Ματθαῖον ἕως καὶ "τὸ ἔσχατον λεπτὸν ἀποδῷς."

ἘΞ ἈΝΕΠΙΓΡΆΦΟΥ. Τοῦτο τὸ πῦρ ἔχοντες οἱ περὶ Κλεώπαν ἐν ἑαυτοῖς ἔλεγον, "οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν ἐν τῇ "ὁδῷ, καὶ ὡς ἐλάλησεν ἡμῖν, καὶ ὡς διήνοιγεν ἡμῖν τὰς γραφάς."

49 ΤΟΥ ΧΡΥΣΟΣΤΌΜΟΥ. "Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν," οὐκ ἐπὶ τὴν γῆν τὴν ὑφ' ὑμετέροις ποσὶ πατουμένην, ἀλλ' ἐπὶ τὴν γῆν τὴν ὑφ' ἐμαῖς χερσὶ πεπλασμένην, ἐπειδήπερ ὁ διάβολος ταῖς τῶν ἀνθρώπων καρδίαις ἀκάνθας καὶ τριβόλους ἐνέσπειρεν ἁμαρτημάτων· "πῦρ ἦλθον ἐπιβαλεῖν ἐπὶ τὴν γῆν, καὶ τί θέλω εἰ ἤδη "ἀνήφθη;" δεῖ γάρ με καθαρίσαι τὴν ἐμὴν γῆν· δεῖ μετὰ τοῦ διαβόλου πικροφόρα καὶ βλαβοποιὰ βλαστήματα πυρὶ ἐξαναλῶσαι, ἵνα καθαρῷ τῇ ψυχῇ καθαρὸν τὸν οὐράνιον σπόρον ἐν οὐρανῷ. "Οὐκ ἦλθον γὰρ βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν," ἐὰν μὴ χαλάσω τῷ ἐχθρῷ ὑμῶν μάχαιραν, ὑμῖν οὐκ ἔσται εἰρήνη.

ΚΥΡΊΛΛΟΥ ἈΛΕΞΑΝΔΡΕΊΑΣ. Καίτοι Χριστὸς ἐστὶν ἡ εἰρήνη ἡμῶν κατὰ τὰς γραφάς. Πῶς οὖν, ἔφη, οὐκ ἦλθον εἰρήνην δοῦναι ἐπὶ τῆς γῆς; ὅτι χρῆμα μὲν ἡ εἰρήνη καλὸν καὶ ὄντως ἀγαθὸν, ἀλλ' οὐ πᾶσα πάντως εἰρήνη τὸ ἀκατάψεκτον ἔχει, ἀλλ' ἐστὶν ἐπισφαλὴς πολλάκις καὶ τῆς εἰς Θεὸν ἀγάπης ἀποκομίζουσα. Ἀλυσιτελὴς γὰρ ἡ πρὸς τοὺς ἑτερόφρονας εἰρήνη, κατάγε τὸ τὰ ἶσα φρονεῖν ἐκείνοις. Διὰ τοῦτο γὰρ καὶ τῶν ἐπὶ γῆς φίλτρων οἱ πιστοὶ ἀφίστανται καὶ συγγενεῖς ἀγνοοῦσι, καὶ πατὴρ υἱοῦ φιλίαν ἀναίνεται[a], καὶ υἱὸς πατρὸς τιμὴν ἀγνοεῖ, καὶ μήτηρ θυγατρὸς φίλτρον ἀπώσατο.

[a] ἀνένεται Cod.

ΚΕΦ. ΜΖ.

Περὶ τῶν Γαλιλαίων καὶ τῶν ἐν τῷ Σιλωάμ.

Περὶ τῶν Γαλιλαίων ὧν ἀπήγγειλαν τῷ Χριστῷ ὅτι τὸ αἷμα αὐτῶν ὁ Πιλάτος ἔμιξε μετὰ τῶν θυσιῶν, χρὴ γινώσκειν ὅτι οὗτοί εἰσιν οἱ τοῖς δόγμασιν ἐξακολουθήσαντες Ἰούδα τοῦ Γαλιλαίου, οὗ καὶ ὁ Λουκᾶς ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων μέμνηται. ἦν δὲ τὸ δόγμα τοῦ Ἰούδα, ὡς καὶ ὁ Ἰώσηππος ἐν τοῖς τελευταίοις τῆς Ἰουδαϊκῆς Ἀρχαιολογίας ἔδειξε, φαντασίαν ἐξαγγέλλων πολλὴν πρόφασιν δῆθεν εὐσεβείας. κύριον γὰρ μηδὲ μέχρι στόματος, ἔφασκε, μὴ δεῖν τινα λέγειν, μηδὲ κατά τινα τιμὴν καὶ φιλοφροσύνην· οὕτω δὲ μήτε τὸν βασιλεύοντα. ὅθεν καὶ πολλοί γε αὐτῶν περὶ τοῦ μὴ εἰπεῖν Καίσαρα κύριον, χαλεπωτάταις αἰκίαις ὑπεβάλλοντο, οἱ καὶ ἐδίδασκον μηδὲν παρὰ τὰ διατεταγμένα ἐν τῷ Μωϋσέως νομοθεσίας ἀναφέρεσθαι τῷ Θεῷ. Διόπερ καὶ ἐκώλυον τὰς ὑπὸ τῆς γερουσίας τοῦ λαοῦ παραδεδομένας γίγνεσθαι περὶ τῆς σωτηρίας τοῦ βασιλέως καὶ τοῦ Ῥωμαίων ἔθνους θυσίας. εἰκὸς οὖν ἐπὶ τούτοις ἀγανακτοῦντα πρὸς Γαλιλαίους τὸν Πιλάτον κελεῦσαι παρ' αὐταῖς αἷς ἐδόκουν κατὰ τὸν νόμον προσφέρειν θυσίαις αὐτοὺς ἀναιρεθῆναι, ὥστε ἀναμιχθῆναι ταῖς προσφερομέναις θυσίαις τὸ αἷμα τῶν προσφερόντων. ταῦτα οὖν ἐπείπερ ἐδόκει ὑπὲρ εὐσεβείας γίνεσθαι, ἀπήγγελον τῷ Σωτῆρι, βουλόμενοι τὸ ἐπὶ τούτοις ἀρέσκον αὐτῷ μαθεῖν· καὶ γὰρ ἐνόμιζόν τινες ἀπὸ τοῦ λαοῦ δικαιότατα κατὰ τὰς ἁμαρτίας αὐτῶν ταῦτα πεπονθέναι τοὺς ἀναιρεθέντας, ἅτε στάσιν κινήσαντας τὰς τῷ λαῷ, καὶ ἐπὶ τὸ μισεῖν ἐρεθίσαντας τοὺς ἄρχοντας κατὰ τῶν ὑπηκόων· διὸ αὐτὸς τὸ μὲν εἶναι αὐτοὺς ἁμαρτωλοὺς τίθησιν, οὐ μήν φησι ταῦτα αὐτοὺς πεπονθέναι, ὡς τῶν μὴ πεπονθότων χείρονας.

Εἶτα ἐπὶ τούτοις φησὶν, ὅσον ἐπὶ τῷ ῥήματι, ἀποτρέπων τῆς ἐμφυλίου στάσεως προφάσει εὐσεβείας ἀναπτομένους τοὺς ἀπὸ τοῦ λαοῦ, τὸ "ἐὰν μὴ μετανοήσητε," τουτέστιν, ἐὰν μὴ μεταβάλητε τοῦ στασιάζειν καὶ ἀνθίστασθαι τοῖς ἄρχουσιν, ὅπερ οὐ κατὰ βούλημα ποιεῖ τοῦ Θεοῦ, πάντες ὁμοίως ἀπολεῖσθε, καὶ τὸ ὑμέτερον αἷμα ἀναμιχθήσεται ὑμετέραις θυσίαις.

4 Ὁ πύργος ὁ πεσὼν ἐν τῷ Σιλοὰμ οὐχ ὡς ἁμαρτωλοτέρους πάντων ὄντας τοὺς δέκα καὶ ὀκτὼ κατέχωσεν, καθὼς καὶ αὐτός φησιν ὁ Κύριος, ἀλλὰ δι' ὀλίγων ὑπόδειγμα τοῖς οἰκοῦσι τὴν Ἱερουσαλὴμ γέγονε. καὶ ὁ μὲν εἷς πύργος παραβάλλεται ὅλῃ τῇ πόλει, ἵνα τὸ μέρος ἐκφοβήσῃ τὸ ὅλον, οἱ δέκα καὶ ὀκτὼ τῷ λαῷ τῆς πόλεως· ὅθεν ἐπείπερ τοὺς οἰκήτορας τὰ τῆς ἀπιστίας ἐνέμεινε, καὶ αὐτοὶ σὺν αὐτῇ μικρὸν ὕστερον τοῖς αὐτοῖς περιέπεσαν οἷς περ ὁ πύργος καὶ οἱ δέκα καὶ ὀκτὼ, ὅτε τὴν Ἱερουσαλὴμ ὁ Τίτος κατέστρεψεν καὶ πολὺν λαὸν ἐθανάτωσε.

6 Ἡ τῆς συκῆς παραβολὴ τὴν ἀκαρπίαν ἐλέγχει τῆς Ἱερουσαλὴμ διὰ Μωϋσέως, διὰ τῶν προφητῶν, δι' ἑαυτοῦ.

Ἰσιδωρου Πηλουσιώτου. Ἡ Εὐαγγελικὴ συκῆ ἡ ἀνθρωπότης ἐστὶ, ὁ δὲ οἰκοδεσπότης ὁ Θεὸς καὶ Πατὴρ, ὁ δὲ ἀμπελουργὸς ὁ Υἱὸς τοῦ Θεοῦ, φιλοπονῆσαι καὶ ἐκκαθᾶραι τὸν ἀμπελῶνα ἡμῶν ἐνδημήσας, ἐκκοπῆναι δὲ παρὰ τοῦ οἰκοδεσπότου κελευσθεῖσαν τὴν συκὴν ὡς ἄκαρπον, ἐφ' αὕτην φησι καὶ τοῦτο τὸ ἕτερον· εἰ διὰ νόμου καὶ προφητῶν οὐκ ἐβελτιώθησαν καὶ μετανοίας καρποὺς οὐκ ἀπέδωκαν, [καὶ] τοῖς ἐμοῖς ἀρδευθῶσι δόγμασι καὶ παθήμασι· κἂν μὲν ποιήσωσι καρπὸν εὐπειθείας· εἰ δὲ μήγε, εἰς τὸ μέλλον ἐκκόψῃς αὐτὴν, εἰς τὸν ἄλλον αἰῶνα τῆς τῶν δικαίων μερίδος, ἐκτεμὼν αὐτούς· ἔστι δὲ ἡ πρώτη ἀθέτησις τῆς ἐντολῆς, ἡ παράβασις ἡ ἀπὸ τοῦ ξύλου, τοῦ ἐν μέσῳ τοῦ παραδείσου προστάττουσα μὴ γεύεσθαι· ἡ δὲ δευτέρα, ἡ ἐν τῷ νόμῳ δυσσέβεια ἡ πρὸς τὸν μόσχον· ἡ δὲ τρίτη ἀσέβεια ἡ ἐν τῇ χάριτι τυγχάνει παραίτησις, "οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα," καὶ τὸν Κύριον τῆς δόξης ἀπαρνουμένων.

8 Κόπρια δὲ λέγει τὰ δάκρυα, καὶ τοὺς στεναγμοὺς, καὶ τὰς χαμευνίας, καὶ τὰς ἀγρυπνίας, καὶ τῆξιν ψυχῆς καὶ σώματος, τὴν δι' ἐξαγορεύσεως καὶ ἀτιμοτέρας ἀγωγῆς ἐπανόρθωσιν, ὡς ὁ θεολόγος λέγει Γρηγόριος.

ΚΕΦ. ΜΗ.

Περὶ τῆς ἐχούσης πνεῦμα ἀσθενείας.

11 Ἡ συγκύπτουσα γυνὴ τοῦτο λέγεται παθεῖν ἐξ ἀγριότητος διαβολικῆς, καθώς φησιν ὁ δεσπότης, "ἣν ἔδησεν ὁ Σατανᾶς, ἔτη

"δέκα καὶ ὀκτὼ," ἴσως παρεωραμένην παρὰ Θεοῦ δι' οἰκεῖα πταίσματα· παραίτιος γὰρ τοῖς ἀνθρωπίνοις σώμασι τοῦ νοσεῖν ὁ ἀλιτήριος γέγονε Σατανᾶς, θεοπρεπεστάτῃ δὲ λίαν φωνῇ καὶ ἐξουσίας γεμούσῃ τῆς ἀνωτάτω, τῆς γυναικὸς ταύτης τὴν νόσον ἐλαύνει· προσεπιτίθησι δὲ καὶ χεῖρας αὐτῇ, ἵνα μάθωμεν, ὅτι τὴν τοῦ Θεοῦ λόγου δύναμίν τε καὶ ἐνέργειαν ἡ ἁγία πεφόρηκε σάρξ· ἰδία γὰρ ἦν αὐτοῦ καὶ οὐχ ἑτέρου τινὸς παρ' αὐτὸν ὄντος Υἱοῦ καταμόνας καὶ ἰδικῶς, κατά γε τὸ τισὶν ἀνοσιώτατον δοκοῦν. περὶ ὧν εἶπεν ὁ δεσπότης Χριστὸς πρὸς τὸν ἀρχισυνάγωγον περὶ τοῦ σαββάτου, προεγράφη εἰς τὸ κατὰ Ματθαῖον.

17 Ἔχαιρε δὲ ὁ λαὸς ἐπὶ πᾶσι τοῖς ἐνδόξοις τοῖς γινομένοις ὑπ' αὐτοῦ, ἐπειδὴ τὰ παράδοξα ἔργα ἔλυε πᾶσαν ζήτησιν παρά γε τοῖς μὴ κακοήθειαν ζητοῦσιν, ὅπερ οἱ ἄρχοντες ἔπραττον, ἐπὶ πρόφασιν νόμου τὸν Σωτῆρα κακῶς ὑβρίζοντες.

ΚΕΦ. ΜΘ.

Περὶ τῶν παραβολῶν.

19 Τοῦ ἁγίου Εἰρηναίου ἐπισκόπου Λουγδόνος. Ἴδε κόκκον σινάπεως διὰ παραβολῆς δεικνύμενον, καὶ λόγον ἐπουράνιον σπέρματος δίκην ἐν κόσμῳ ὡς ἐν ἀγρῷ σπειρόμενον, ἔχοντος ἐν ἑαυτῷ τὸ πυρρακὲς καὶ τὸ αὐστηρὸν τῆς δυνάμεως. κριτὴς γὰρ τοῦ παντὸς κόσμου ἐκηρύσσετο, οὗτος ἐν τῇ καρδίᾳ τῆς γῆς ἐν χώματι κρυβεὶς καὶ τριημέρως μέγιστον δένδρον γεννηθεὶς, ἐξέτεινε τοὺς ἑαυτοῦ κλάδους εἰς τὰ πέρατα τῆς γῆς. ἐκ τούτου προκύψαντες οἱ δώδεκα Ἀπόστολοι κλάδοι ὡραῖοι καὶ εὐθαλεῖς γενηθέντες, σκέπη ἐγενήθησαν τοῖς ἔθνεσιν ὡς πετεινοῖς οὐρανοῦ, ὑφ' ὧν κλάδων σκεπασθέντες οἱ πάντες ὡς ὄρνεα ὑπὸ καλιὰν συνελθόντα, μετέλαβον τῆς ἐξ αὐτῶν προερχομένης ἐδωδίμου καὶ ἐπουρανίου τροφῆς.

21 Ὠριγένης τὴν μὲν γυναῖκα λαμβάνει εἰς τὴν ἐκκλησίαν, τὴν δὲ ζύμην εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, σάτα δὲ τρία, σῶμα, πνεῦμα, ψυχὴν, ἁγιάζεται δὲ ταῦτα τῇ ζύμῃ τοῦ ἁγίου Πνεύματος, ὡς γενέσθαι πρὸς τὸ Ἅγιον Πνεῦμα, ἓν φύραμα.

Τὰ δὲ ἕτερα τούτων περί τε τοῦ κόκκου τῆς σινάπεως καὶ περὶ

τῆς ζύμης ἕως καὶ "εἰσὶν πρῶτοι οἳ ἔσονται ἔσχατοι," προεγράφη εἰς τὸ κατὰ Ματθαῖον.

ΚΕΦ. Ν.

Περὶ τοῦ ἐπερωτήσαντος εἰ ὀλίγοι οἱ σωζόμενοι.

25 Ὡς γὰρ ἐπί τινος οἰκοδεσπότου πολλοὺς τῶν ἐπιτηδείων συνεγηγερκότος εἰς ἑστίαν καὶ τράπεζαν, εἶτα προεισβεβηκότος μεθ' ὧν ἔδει τοῦτο δρᾷν, ἀποκλείσαντός τε τὴν θύραν, τοὺς μετὰ τοῦτο κρούοντας ἀκούσεσθαί φησιν, ὅτι "οὐκ οἶδα ὑμᾶς πόθεν ἐστὲ, ἀπό- "στητε ἀπ' ἐμοῦ πάντες ἐργάται ἀδικίας·" οὐδεμία γὰρ κοινωνία φωτὶ πρὸς σκότος. τίνες δ' ἂν νοηθεῖεν οἱ λέγοντες, τῷ Χριστῷ τὸ "ἐφάγομεν καὶ ἐπίομεν ἐνώπιόν σου, καὶ ἐν ταῖς πλατείαις ἡμῶν "ἐδίδαξας;" ἁρμόσειεν ἂν ὁ τοιοῦτος δὲ λόγος, μάλιστα τοῖς ἐξ Ἰσραὴλ, οἷς δὴ καὶ ἔφη Χριστὸς, "ὅτι ὄψεσθε Ἀβραὰμ καὶ Ἰσαὰκ, "καὶ Ἰακὼβ, καὶ πάντας τοὺς προφήτας," καὶ τὰ ἑξῆς.

26 Κυρίλλου Ἀλεξανδρείας. Πῶς οὖν ἤσθιον καὶ ἔπινον ἐνώπιον τοῦ Θεοῦ; τὴν νομικὴν τελοῦντες λατρείαν, προσκομίζοντες γὰρ τῷ Θεῷ τὰς δι' αἵματος θυσίας ἤσθιον καὶ ηὐφραίνοντο, ἠκροῶντο δὲ καὶ ἐν ταῖς συναγωγαῖς τῶν Μωϋσέως βιβλίων, οὐ τὰ ἑαυτοῦ γεγραφότος μᾶλλον, ἑρμηνεύοντος δὲ τὰ παρὰ τοῦ Θεοῦ· προανετίθει γὰρ ἀεὶ τῶν ἑαυτοῦ φωνῶν τὸ "τάδε λέγει Κύριος." Ἀλλ' οὐκ ἀρκεῖ πρὸς δικαίωσιν ἡ δι' αἱμάτων λατρεία, οὐδ' ἂν ἀπονήψετό τις μολυσμοὺς, ἀκροατὴς μὲν τῶν θείων γενόμενος νόμων, πεπραχὼς δὲ οὐδὲν τῶν κεκελευσμένων, καὶ ἑτέρως δὲ τὴν πίστιν οὐ προσηκάμενοι τὴν δικαιοῦσαν τὸν εὐσεβῆ, καὶ τὴν εὐαγγελικὴν, θεσπίσμασιν ἀκολουθήσαντες, δι' ὧν ἦν δύνασθαι τὴν εὐφυᾶ καὶ ἐξειλεγμένην ἐξασκῆσαι ζωὴν, πῶς ἂν εἰ ἐλάσειεν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ ἐπαριθμήσεις τοῖς ὠνομασμένοις, καὶ ἑτέρους τινὰς δυναμένους εἰπεῖν, ἐσθ' ὅτε τῶν πάντων κριτὴς, "ἐφάγομεν καὶ ἐπίομεν ἐνώπιόν σου, καὶ ἐν ταῖς πλατείαις ἡμῶν "ἐδίδαξας." καὶ τίνες ἂν εἶεν οὗτοι πάλιν; πολλοὶ πεπιστεύκασιν εἰς τὸν Χριστὸν, καὶ τὰς ἁγίας ἐπ' αὐτῷ τελοῦσιν ἑορτάς. φοιτῶντες δὲ καὶ ἐν ἐκκλησίᾳ τῶν εὐαγγελικῶν ἀκροῶνται παιδευμάτων, ἀποτίθενται δὲ εἰς νοῦν τῶν γεγραμμένων οὐδὲν, ἀλλὰ

καὶ πνευματικῆς ἐργασίας γυμνὴν ἔχουσι τὴν ψυχήν. κλαύσονται καὶ οὗτοι πικρῶς καὶ βρύξουσι τοὺς ὀδόντας· ἀρνήσεται γὰρ καὶ αὐτοὺς ὁ Κύριος. ἔφη οὖν ὅτι "οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, "εἰσελεύσεται εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, ἀλλ' ὁ ποιῶν τὸ "θέλημα τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς."

ΚΕΦ. ΝΑ.

Περὶ τῶν εἰπόντων τῷ Ἰησοῦ διὰ Ἡρώδην.

31 Τὸ "ἔξελθε καὶ πορέυου ἐντεῦθεν," φθόνῳ φερόμενοι οἱ Φαρισαῖοι ἔλεγον δεσπότῃ Χριστῷ· οὐδὲ γὰρ ἤθελόν τινας φιλεῖσθαι ὑπ' αὐτοῦ, οὔτε ταῖς θεοσημίαις, οὔτε ταῖς ὑπὲρ νόμου μυσταγωγίαις. Ὅπερ γὰρ εἶπον, "ὅτι Ἡρώδης θέλει σε ἀποκτεῖναι," προφασιζόμενοι ἔλεγον, ὅθεν αὐτὸς ὡς ἐτάζων νεφροὺς καὶ καρδίας, τοῦτο εἰδὼς, πράως τε καὶ ἐπεσκιασμένως, καθὼς ἔθος αὐτῷ, ἀνταποκριθεὶς εἶπε, "εἴπατε τῇ ἀλώπεκι ταύτῃ." καὶ δοκεῖ μέν πως τετράφθαι καὶ βλέπειν τὴν τοῦ λόγου δύναμιν εἰς τὸ Ἡρώδου πρόσωπον, ὥς τινες ἐνόμισαν, ἔρχεται δὲ μᾶλλον κατὰ τῆς Φαρισαίων σκαιότητος. οὐ γὰρ εἶπε τῇ ἀλώπεκι ἐκείνῃ, ἀλλὰ "ταύτῃ," εὐφυέστατα μέσῃ τινὶ χρώμενος φωνῇ, σαφῶς δεικνύων ἐγγὺς ὄντας τῇ ἀλώπεκι τοὺς Φαρισαίους τῇ πανουργίᾳ· καὶ γὰρ πῶς ὡς ἀεὶ πανοῦργόν ἐστι καὶ δύστροπον τὸ ζῶον, οὕτω καὶ οἱ Φαρισαῖοι· ὅθεν καὶ ὡς προσδοκῶντες κατορρωδήσειν αὐτὸν τὴν Ἡρώδου χεῖρα, ταῦτα ἔλεγον, καί τοι τῶν δυνάμεων ὄντα Κύριον. Ὅπερ δὲ ᾔδει λυπεῖν τὸ τῶν Φαρισαίων στῖφος, ἀποπληροῦν ἐπαγγέλλεται λέγων, "ἰδοὺ, ἐκβάλλω δαιμόνια, καὶ ἰάσεις ἐπιτελῶ." Ὡς γὰρ προείρηται διὰ τοῦτο ἐδίωκον αὐτὸν, ἵνα μὴ τῇ τῶν παραδόξων ἐπιδείξει χρώμενος, σαγηνεύῃ πολλοὺς εἰς τὸ πιστεύειν αὐτῷ.

Διὰ δὲ τοῦ εἰπεῖν "τελειοῦμαι," ἔδειξεν, ὅτι ἑκὼν ὑπομένει τὸ ἐπὶ τῷ σταυρῷ πάθος, καὶ τότε ὑπέρχεταί γε τοῦ σῶσαι τὴν ὑπ' οὐρανόν.

33 Εἰπὼν δὲ ὅτι "δεῖ με" οὐκ ἀνάγκην ἀδιαφύλακτον ἐπηρτημένην ὥσπερ ἑαυτῷ ἐδήλωσεν, ἀλλ' ὅτι μᾶλλον ἐν ἐξουσίᾳ τῶν αὐτοῦ θελημάτων ἀνειμένως τε καὶ ἀνυπόπτως, ὅποιπερ ἂν ἐθέλοι,

βαδιεῖται, καὶ περινοστήσῃ τὴν Ἰουδαίαν, οὐδενὸς ἐπιόντος ἢ ἐπιβουλεύοντος, ἄχρις ἂν αὐτὸς καταδέξηται τὴν διὰ τοῦ τιμίου σταυροῦ τελείωσιν. Τὸ δὲ "σήμερον καὶ αὔριον," πλείονας ἡμέρας δηλοῖ.

Εἰπὼν δὲ ὅτι "οὐκ ἐνδέχεται προφήτην ἀπολέσθαι ἔξω Ἱερουσαλὴμ," ἐδήλωσεν ὅτι καὶ τοῦτό, φησιν, ἀπόκειται αὐτῇ, τὸ καὶ ἐμὲ αὐτὸν τὸν τῶν προφητῶν κύριον ἐν αὐτῇ παθεῖν.

Τὸ δὲ "οὐκ ἐνδέχεται" μηδεὶς νομιζέτω βίαν ἀναγκαστικὴν Ἰουδαίοις ἐπαγομένην εἰς τὸ τοιαῦτα δρᾷν εἰρῆσθαι, ἀλλὰ κατὰ τὴν τῆς ἀληθείας διάγνωσιν ἐξ ὧν ἔπραττον μιαιφόνον κεκτημένοι προαίρεσιν. Τὸ "Ἱερουσαλὴμ, Ἱερουσαλὴμ," ἕως, "ἐν ὀνόματι Κυρίου, προεγράφη εἰς τὸ κατὰ Ματθαῖον."

ΚΕΦ. ΝΒ.

Περὶ τοῦ ὑδρωπικοῦ.

1 *Κληθεὶς δὲ πάλιν ὑπὸ Φαρισαίου ἐν σαββάτῳ ὁ δεσπότης Χριστός· ἦν δὲ οὗτος τῶν παρ' αὐτοῖς διαπρεπεστάτων, μάλιστα διὰ τὸ δύστροπον αὐτῶν ἀπῆλθε, μᾶλλον δὲ διὰ τὴν τούτων ὠφέλειαν συνέστιος γενόμενος τούτοις, ὅπως θεωροὶ γενόμενοι τῆς ὑπὲρ ἄνθρωπον ἰσχύος τε ὁμοῦ τε καὶ δόξης αὐτοῦ, τάχα πως κἂν οὕτως πιστεύσωσιν ὅτι Θεός ἐστι, καὶ Υἱὸς Θεοῦ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν ὑπελθὼν, οὐκ ἀποστὰς τοῦ εἶναι ὃ ἦν· παρετηροῦντο δὲ αὐτὸν, μὴ ἄρα πως καταπεφρόνηκε τῆς εἰς τὸν νόμον αἰδοῦς, τί τῶν ἀπηγορευμένων ἐργαζόμενος ἐν ἡμέρᾳ σαββάτῳ. ὁ δὲ Κύριος οὐχ ὅπως ἐκκλίνῃ τὴν ἄφρονα μέμψιν, ἀλλ' ὅπως εὐεργετήσῃ τινὰς πάντα διαπράττεται, ὅθεν καὶ τὴν ἀφροσύνην ἐλέγχει τῶν αἰτιᾶσθαι μελλόντων αὐτὸν ἐπὶ σαββατικαῖς εὐεργεσίαις, λέγων, "ἔξεστι τῷ σαββάτῳ θεραπεῦσαι ἢ οὔ;" καὶ γὰρ ἦν, φησὶν, ἄνθρωπός τις ὑδρωπικὸς ἔμπροσθεν αὐτοῦ. ἐπειδὴ δὲ δυστρόπως σεσιγήκασι, παραλύει Χριστὸς τὴν ἄθραυστον αὐτῶν ἀναισχυντίαν, λογισμοῖς ἀναγκαίοις εἰς τοῦτο χρώμενος, καὶ ὡσανεὶ λέγων αὐτοῖς, εἰ κεκώλυκεν ὁ νόμος ἐλεεῖν ἐν σαββάτῳ, πῶς ἐποικτείρεις αὐτὸς τὸν εἰς φρέαρ καταπεσόντα; μὴ φροντίσῃς υἱοῦ κινδυνεύοντος ἐν σαββάτῳ, μηδὲ τὶ*

τῶν τοιούτων διαπράξῃ; τοιγαροῦν χαίρειν εἰπὼν ταῖς Φαρισαϊκαῖς βασκανίαις, ἀπαλλάττει τοῦ νοσεῖν τὸν ὑδέρῳ κεκρατημένον.

ΚΕΦ. ΝΓ.

Περὶ τοῦ μὴ ἀγαπᾶν τὰς πρωτοκλισίας.

7 Ὅπερ δὲ εἶπε, τοὺς κεκλημένους "ἐπίσχων πῶς τὰς πρωτοκλισίας ἐξελέγοντο," δοκεῖ μέν τισιν ἴσως μικρά πως εἶναι ταῦτα, καὶ οὐ πολλῆς ἄξια φροντίδος· ὅταν δέ τις αὐτοῖς τὸν τῆς διανοίας ὀφθαλμὸν ἐνερείσῃ, τοτηνικάδε μαθήσεται, ὁποίου μὲν ἀπαλλάττει μώμου τὸν ἄνθρωπον, ὅσον δὲ τὸ κόσμιον αὐτὸν ἐργάζεται· τὸ γὰρ τιμὰς οὐ πάντως ἡμῖν ὀφειλομένας προχείρως ἐπιζητεῖν ἀσυνέτους ἀποφαίνει. πόσης γὰρ αἰσχύνης τὸ πρᾶγμα μεμέστωται, ὅταν ἐντιμωτέρου ἐλθοντος, ὁ ἀμφοτέρους καλέσας ἐρεῖ, "δὸς "τούτῳ τόπον;" σώφρων δὲ καὶ ἀξιοθαύμαστος ὁ δυνατὸς ὢν τοῖς πρώτοις κατασεμνύνεσθαι, καὶ τούτου μὲν οὐκ ἐφιέμενος, παραχωρῶν δὲ ἑτέροις ὑπό γε τοῦ μὴ δοκεῖν ἡττᾶσθαι φιλοδοξίᾳ· διόπερ ὁ τοιοῦτος ὡς ὄφλημα λήψεται τὴν τιμὴν, τὸ "προσανάβηθι" ἀκούων. μέγα τοίνυν καὶ ἐξαίρετον ἀγαθὸν τὸ μέτριον φρόνημα.

Κυρίλλου Ἀλεξανδρείας. Εἰ γὰρ τοῖς ἑτέροις προστάττεσθαι ζητεῖ, κερδαινέτω τοῦτο διὰ τῆς ἄνωθεν ψήφου, καὶ στεφανούσθω τιμαῖς ταῖς παρὰ Θεοῦ, νικάτω πολλοὺς τῇ τῶν ἀρετῶν λαμπρότητι, τῇ ταπεινοφροσύνῃ· ὑψηλὸν γὰρ παρὰ Θεῷ τὸ συνεσταλμένον φρόνημα. μιμητὴς γίνεται τοῦ Χριστοῦ τοῦ εἰπόντος, "μάθετε ἀπ' ἐμοῦ ὅτι πραΰς εἰμι καὶ ταπεινὸς τῇ καρ"δίᾳ." Ταῦτα δὲ λέγων οὐκέτι ἐπιπλήττει βαρέως, ἀλλὰ παραινεῖ χρηστῶς.

11 Τὸ δὲ, "πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, καὶ ὁ ταπεινῶν ἑαυ"τὸν ὑψωθήσεται," τῆς θείας ἤρτηται κρίσεως, οὐ πάντως γὰρ κατὰ τὴν τῶν ἀνθρώπων ἐπιτελεῖται συνήθειαν, ἐπειδὴ καὶ πολλοὶ τιμῆς ὀρεχθέντες, ἐπέτυχον τῆς εὐτελοῦς ταύτης τιμῆς.

ΚΕΦ. ΝΔ.

Περὶ τῶν καλουμένων ἐν τῷ δείπνῳ.

12 Ὑποθέμενος περὶ τῆς σωτηρίου ταπεινοφροσύνης θεῖον παράγγελμα καλὸν καὶ πρὸς τοὺς καλοῦντας ἐπιφέρει τὸ δίδαγμα, καὶ μέγαν εἰσάγει τῆς πρὸς ἀνθρώπους δεξιώσεως τὸν σκοπὸν καὶ τὸν καρπὸν ἀξιοσπούδαστον, εἰ καὶ μὴ παραχρῆμα τὴν ἀνταπόδοσιν κέκτηται. οἱ γὰρ μικρόψυχοι φίλους καλοῦντες καὶ ἀδελφοὺς καὶ συγγενεῖς καὶ γείτονας, διὰ τὸ εὐθέως ἀντικληθῆναι παρ' αὐτῶν τοῦτο ποιοῦσιν· οἱ δὲ μεγαλόψυχοι τὸ ὑπερβαλλόντως κάλλιον καὶ μεγαλοπρεπέστερον ἐργάζονται, ὅπερ ὑπέδειξεν ὁ Κύριος· τὸ τοὺς δεομένους καὶ ἀσθενεῖς καὶ λελωβημένους φιλανθρωπεύεσθαι, παρ' ὧν οὐκ ἔστιν ἀνταπόδοσις· ἀλλ' ὁ Θεὸς ὁ ἀνταποδιδοὺς τῆς φιλανθρωπίας τὴν τιμὴν ἐπὶ τῆς μελλούσης ζωῆς· τοῦτο δὲ οὐχ ἵνα τῆς πρὸς τοὺς ἰδίους ἀπείρξῃ τιμῆς διεμαρτύρατο, ἀλλ' ἵνα διδάξῃ μὴ πιπράσκειν τὰς φιλοφροσύνας τῶν ἴσων ἀνταποδώσεως, ἀλλ' ὠφελίμους ποιεῖσθαι ταύτας ἐπὶ μεγάλαις ἀνταποδώσεσι ταῖς παρὰ Θεοῦ.

Ὁ εἰπὼν "μακάριος ὅς τις φάγεται ἄριστον ἐν τῇ βασιλείᾳ "τῶν οὐρανῶν," οὔπω μὲν ἦν πνευματικὸς, ψυχικὸς δὲ μᾶλλον, καὶ ἀνεπιτηδείως ἔχων πρὸς σύνεσιν ἀκριβῆ τῶν λαλουμένων περὶ Χριστοῦ, ᾠήθη γὰρ σωματικὰς ἔσεσθαι τῶν ἁγίων τὰς ἀμοιβάς. διόπερ ἐξυφαίνει Χριστὸς ὁ Θεὸς ἡμῶν παραβολὴν τοῖς τότε παροῦσιν· ἀποχρεώντως ἔχουσαν εἰς παράδειξιν τῆς ἐπὶ παντὶ τῷ κόσμῳ γενομένης οἰκονομίας, ἥτις ἐστὶν αὕτη.

16 "Ἄνθρωπός τις," φησὶν, "ἐποίησε δεῖπνον μέγα," καὶ ὁ μὲν ἄνθρωπος νοηθείη ἄνθρωπος καὶ πατήρ· αἱ γὰρ εἰκόνες πλάττονται πρὸς τὸ ἀληθὲς, οὐκ αὐταὶ δὲ πάντως εἰσὶν ἡ ἀλήθεια· οὕτω δὴ οὖν ὁ τῶν ὅλων δημιουργὸς, ὁ Πατὴρ τῆς δόξης μέγα πεποίηκε δεῖπνον, τουτέστιν, οἰκουμενικὴν εἰργάσατο πανήγυριν· δῆλον δὲ ὅτι τὴν ἐπὶ Χριστῷ· δεῖπνον δὲ αὐτὸ καλεῖ καὶ οὐχὶ ἄριστον, ὅτι ἐν ἐσχάτοις καιροῖς τοῦ αἰῶνος, καὶ οἷον ἐπὶ δυσμαῖς τοῦ καθ' ἡμᾶς αἰῶνος ἐπεφάνη ἡμῖν ὁ Υἱὸς, ὅτε καὶ τὸν δι' ἡμᾶς ὑπέστη θάνατον, καὶ δέδωκεν ἡμῖν τὴν ἑαυτοῦ σάρκα φαγεῖν, ἐκάλεσε

δὲ πολλοὺς, τὰ πλήθη δηλονότι τῶν Ἰουδαίων. τίς δὲ ἦν ὁ ἀπεσταλμένος, ὃν δὴ καὶ δοῦλον εἶναί φησιν; αὐτὸς ὁ Χριστός· ὅστις Θεὸς ὢν φύσει, καὶ Υἱὸς ἀληθινὸς, "μορφὴν δούλου ἑαυτὸν "κενώσας ἀνέλαβε." Ποῖα δὲ ἦν ἃ ἡτοίμασε τοῖς κεκλημένοις; ἁμαρτιῶν ἀπόθεσιν, Πνεύματος Ἁγίου μέθεξιν, υἱοθεσίας λαμπρότητα, βασιλείαν οὐρανῶν· ἐπὶ ταῦτα κέκληκε Κύριος ὁ Θεὸς διὰ τῶν εὐαγγελικῶν θεσπισμάτων πρό γε τῶν ἄλλων τὸν Ἰσραήλ.

Τὸ δὲ "ἤρξαντο ἀπὸ μιᾶς πάντες παραιτεῖσθαι," τοῦτό ἐστιν, ὅτι ὡς ἐξ ἑνὸς συνθήματος οὐδένα λόγον ἐποιήσαντο τῆς κλήσεως, τοῖς γεωδεστέροις ἀσυνέτως προσνενευκότες, ἀγρῶν τε καὶ γεωργίας καὶ παιδοποιΐας ἕνεκα.

18 Τίνες δὲ ἂν νοηθεῖεν οἱ παραιτησάμενοι; ἢ τάχα που τῆς Ἰουδαίων συναγωγῆς οἱ προεστηκότες, ἄνδρες ἁδροὶ τὰ βαλλάντια καὶ φιλοκερδίᾳ ἡττημένοι, καὶ πᾶσαν εἰς τοῦτο δαπανῶντες σπουδήν· διὰ πάσης γὰρ ἔπος εἰπεῖν τῆς θεοπνεύστου γραφῆς ἐπ' αὐτοῖς δὴ τούτοις διαβεβλημένους ἔνεστιν ἰδεῖν τούτους. διὸ καὶ ἔξω μεμενήκασι τῆς ἑορτῆς, ταῖς οὕτω σκληραῖς ἀπειθείαις τὸ μέγα δεῖπνον περιυβρίσαντες.

21 Κέκληνται δὲ ἀντ' ἐκείνων οἱ εἰς τὰς πλατείας καὶ τὰς ῥύμας, οἱ ἐκ τῆς Ἰουδαϊκῆς πληθύος ἀσθενῆ τε καὶ ἀγεννῆ τὴν διάνοιαν ἕως τινὸς ἔχοντες καὶ ἀφεγγῆ καὶ χωλεύουσαν, ὑγιεῖς δὲ καὶ εὔρρωστοι διὰ τῆς εἰς Χριστὸν γενομένης πίστεως· ἐδιδάχθησαν γὰρ ὀρθοποδεῖν, καὶ τὸ θεῖον εἰς νοῦν ἐδέξαντο φῶς· ὅτι δὲ πεπιστεύκασι τῶν Ἰουδαίων οὐκ εὐαρίθμητοι, διαμάθοι τις ἂν ταῖς τῶν ἁγίων Ἀποστόλων Πράξεσιν ἐντυχών.

23 Ἀγαθὸς ὢν φύσει ὁ Θεὸς καὶ φιλάνθρωπος καὶ εἰς τὰς ὁδοὺς καὶ εἰς τοὺς φραγμοὺς ἐξαποστέλλει τὸν δειπνοκλήτορα, ὅπερ ἀποφαίνει τὴν τῶν ἐθνῶν κλῆσιν, μετάγε τοῖς ἐξ αἵματος Ἰσραὴλ εἰσενενεγμένους διὰ τῆς πίστεως· καὶ γὰρ "ἔτι τόπος ἐστὶ," φησίν· ὑπῆρχον δὲ οἱ ἐξ ἐθνῶν ἄγροικοι τὰς φρένας καὶ ἀπηγριωμένοι τὸν νοῦν, καὶ οἷον ἔξω πόλεως διάγοντες, διὰ τὸ μὴ ζῆν ἐν εὐνομίᾳ, κτηνοπρεπῶς δὲ μᾶλλον, καὶ σὺν ἀλογίᾳ πολλῇ.

Οὐχ ἁπλῶς δὲ εἶπε τούτους καλέσαι, ἀλλὰ καὶ ἀναγκάσαι, καίτοι προαιρετικὸν ἅπασι τὸ πιστεύειν ἐστὶ, καὶ δεκτὸν τοῦτο παρὰ Θεῷ, καὶ τῶν παρ' αὐτοῦ χαρισμάτων ἀναπιμπλάμεθα. πῶς

οὖν εἶπεν ἀναγκάσαι; κατ᾽ οἰκονομίαν τινα· ἐπειδὴ γὰρ ταῦτα ἐν ἀφορήτῳ δουλείᾳ τῆς πλάνης κατείχοντο, ὑπεζευγμένα τῷ διαβόλῳ καὶ οὐκ εἰδότα· διὰ τοῦτο συντομωτέρας κλήσεως ἐδεήθησαν μιμουμένης ἀνάγκης χρείαν, ἵνα κἂν οὕτως ἰσχύσωσιν ἀναβλέψαι πρὸς Θεὸν, καὶ τῶν ἱερῶν γεύσασθαι μαθημάτων, ἀποφοιτήσαντα τῆς ἀρχαίας ἀπάτης, καὶ ἀποπηδήσαντα τρόπον τινὰ τῆς τοῦ διαβόλου χειρός.

Εἰπὼν ὁ δεσπότης Χριστὸς καὶ φιλάνθρωπος, "εἴ τις ἔρχεται "πρός με, καὶ οὐ μισεῖ τὸν πατέρα ἑαυτοῦ," καὶ τὰ ἑξῆς, οὔτε ἀγνοῆσαι τὴν φύσιν, οὔτε δουλεῦσαι τῇ φύσει προστάσσει Χριστὸς, ἀλλὰ χρῆσθαι τῇ φύσει πρὸς τὸ ἄμεινον καὶ σωτήριον· καὶ γὰρ τὸ τιμᾷν γονέας καὶ αὐτῷ τῷ Κυρίῳ δοκεῖ, καὶ τὸ ἐκτρέφειν τὰ τέκνα καὶ τὰ τοιαῦτα, τοῖς γονεῦσιν ὑπακούειν, καὶ τὸ ἀγαπᾷν τὰς ἑαυτῶν γυναῖκας τοὺς ἄνδρας, καὶ τὸ τὰς γυναῖκας τοὺς ἑαυτῶν ἄνδρας φοβεῖσθαι, ὁ θεῖος Ἀπόστολος εἰσηγήσατο. οὐ γὰρ οἰκείους γε ὄντας τῇ πίστει, τοὺς οἰκείους μισητέον, ἀλλὰ τοῦτό ἐστιν, ὅπερ φησὶν, ὅτι τοὺς πρὸς τὴν εἰς Θεὸν πίστιν ἐμποδίζοντας καὶ πρὸς σωτηρίαν ψυχῆς κωλύοντας, τούτους παραιτητέον, καὶ μηδαμῶς ἕνεκεν ἀγάπης σαρκικῆς, τῆς εἰς Χριστὸν ἀγάπης καταφρονεῖν.

ΚΕΦ. ΝΕ.

Περὶ οἰκοδομῆς πύργου παραβολή.

28 Τὸ δὲ ἐκ τῆς τοῦ πύργου οἰκοδομῆς ἡμῖν ἐπιδηλούμενον, τοῦτό ἐστιν, ἵνα οἱ τὴν εὐκλεᾶ καὶ ἀμώμητον ζωὴν κατορθοῦν ἑλόμενοι, τὴν ἀρκοῦσαν ἐν τούτῳ προθυμίαν, τῷ ἑαυτῶν ἐγκαταθέμενοι νοῒ, οὕτως ἔχονται τῆς τοιαύτης μακαρίας πολιτείας, μεμνῆσθαί τε τοῦ λέγοντος "τέκνον, εἰ προσέρχῃ δουλεύειν Κυρίῳ, ἑτοίμασον τὴν "ψυχήν σου εἰς πειρασμὸν, εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρη"σον·" εἰ δὲ παρά τισιν οὐκ ἔστι προθυμία τοιαύτη, οὗτοι πῶς ἂν ἰσχύσειαν τὸν προστεθεικότα αὐτοῖς περαιῶσαι σκοπόν;

Τοῦ ἁγίου Μαξίμου σχόλιον. Τίς ἡ παραβολὴ τοῦ πύργου; ὁ πύργος σημαίνει τὴν τῶν ἀρετῶν τελείωσιν μετὰ γνώσεως οἰκοδομηθεῖσαν. ὅστις οὖν πράττει τὴν κατὰ πρᾶξιν ἀπάθειαν, ἔχει ἐπιτηδειότητα πρὸς ἐπίκτησιν φυσικῶν καὶ θεωρητικῶν καὶ

θεολογικῶν λόγων, δι᾽ ὧν ἀπαρτίζεται ἡ τελεία γνῶσις· οὗτος τελειοῖ τὴν οἰκοδομὴν τοῦ πύργου, ὁ δὲ ἐλλειπὴς τούτων μὴ δυνηθεὶς εἰς πέρας ἀγαγεῖν τὴν οἰκοδομὴν, ἐμπαίζεται παρὰ τῶν παραπορευομένων, εἴτε ἀνθρώπων εἴτε δαιμόνων.

31 Τὸ δὲ "εἴ τις βασιλεὺς πορευόμενος ἑτέρῳ βασιλεῖ συμβαλεῖν εἰς πόλεμον," καὶ τὰ ἑξῆς, τοῦτο σημαίνει, ὅτι πρὸς τὰς ἐναντίας δυνάμεις ἐστὶν ἡμῖν ὁ ἀγὼν, καθὼς ὁ Ἀπόστολός φησιν, "οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα," καὶ τὰ ἑξῆς. Ἔτι δὲ καὶ πρὸς τὸ φρόνημα τῆς σαρκὸς, ὁ ἐν τοῖς μέλεσιν ἡμῶν ἀγριαίνων νόμος, τὰ πολύτροπα πάθη, πρὸς ταῦτα ἡμῖν ἡ πάλη, αὕτη τῶν ἐχθρῶν ἡ ἀγρία πληθύς· πῶς οὖν ἄρα τούτων περιεσόμεθα; ὅταν πιστεύσωμεν ὅτι ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν, καὶ ὅτι αὐτὸς ἐξουδενώσει πάντας τοὺς θλίβοντας ἡμᾶς, καθὼς ἑαυτόν τις τῶν ἁγίων προφητῶν διαθεὶς ἔφη, "ἰδοὺ, Κύριος βοηθεῖ μοι, "καὶ τίς κακώσει με;" καὶ πάλιν ὁ θεσπέσιος Δαβίδ· "Κύριε, "φωτισμός μου καὶ Σωτήρ μου," καὶ τὰ ἑξῆς· αὐτὸς γὰρ ἡμῶν ἡ ἰσχύς ἐστι. διὸ αὐτὸν ἔχοντες βοηθὸν, μηδαμῶς περὶ εἰρήνης τοὺς ἐχθροὺς ἡμῶν δαίμονας ἐρωτήσωμεν, ὅπερ ἐστὶ δουλωθῆναι τοῖς πάθεσιν, ἀλλὰ μᾶλλον ἀντιστῶμεν αὐτοῖς, τὸν κραταιὸν Θεὸν ἡμῶν εἰς ἀντίληψιν ὁλοψύχως καὶ ἀδιαλείπτως ἐπικαλούμενοι.

34 Καλὸν τὸ ἅλας· ἐὰν δὲ τὸ ἅλας μωρανθῇ ἐν τίνι ἀρτυθήσεται;

Κυρίλλου. Ἔστωσαν οὖν ἐν ἡμῖν οἱ ἅλες, τουτέστιν, οἱ θεῖοί τε καὶ σωτήριοι λόγοι, ὧν ἐὰν καταφρονήσωμεν, ἐσόμεθα μωροὶ καὶ ἀσύνετοι, καὶ ἀχρεῖοι παντελῶς.

Ἐξ ἀνεπιγράφου. Οὕτω δὴ καὶ τὸ ἅλας εἶναι πάντας συστήσεται τοὺς μὲν πρώτως, τοὺς δὲ δευτέρως· πρώτως μὲν γὰρ οἱ Ἀπόστολοι, οἳ τῷ κόσμῳ παντὶ γεγόνασιν ἅλες, καὶ ὅσοι μετ᾽ ἐκείνους τοιοῦτοι ἀρτύοντες εἰς σωτηρίαν ἀνθρώπους, δεύτερον δὲ οἱ τὰς ἐκκλησίας πληροῦντες, λαοὶ χρήσιμοι πρὸς ὠφέλειαν τοῖς πλησιάζουσι καθιστάμενοι, "καλὸν οὖν," φησὶ, "τὸ ἅλας, ἐὰν "δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἀρτυθήσεται, οὔτε εἰς γῆν, οὔτε εἰς "κοπρίαν εὔθετόν ἐστιν· ἔξω βάλλουσιν αὐτό. Ὁ ἔχων ὦτα ἀκούειν "ἀκουέτω." χρησίμους ὑμᾶς φησιν, ὁ παρ᾽ ἐμοῦ λόγος ἅπασιν ἀνθρώποις κατασκευάζει, καὶ πᾶσιν ἐπὶ σωτηρίᾳ παραμίγνυσι,

τοιούτους ἀποδεικνὺς οἵους προείρηκα· εἰ δὲ παραφθείρει τὴν προσήκουσαν διάνοιαν, οὔτε ἀφ' ὑμῶν ὄφελος οὐδενὶ, οὔτε ὑμῖν ἑτέρωθεν ὠφέλεια ἀπολείπεται, ὅθεν οὔτε εἰς γῆν, οὔτε εἰς κοπρίαν εὔθετοι ἔσεσθε· γῆ μὲν γὰρ τὸ ὠφελούμενον, κόπρος τὸ ὠφελοῦν· ὑμεῖς δὲ πρὸς τὸ ὠφελεῖν κόσμῳ ἅπαντα κείμενοι, εἰ μήτε ὠφέλιμοι μένοιτε, μήτε ὠφελεῖσθαι δύνασθε· ἀπόκλητοι καὶ εἰς οὐδὲν ἔσεσθε. Ἔνθα δὴ καὶ συνέσεως ἔφη δεῖν τοῖς ἀκούουσιν, ὥστε παραβολικὸν ὄντα τὸν λόγον συνιέναι. τὰ ἀκόλουθα ἕως τῆς παραβολῆς τῶν ρ̄ προβάτων προεγράφη εἰς τὸ κατὰ Ματθαῖον.

8 Περὶ τῆς δραχμῆς φησιν ὁ ἅγιος Γρηγόριος ὁ θεολόγος, ὅτι λύχνον ἧψεν ὁ Χριστὸς καὶ Θεὸς, δηλονότι τὴν ἑαυτοῦ σάρκα, καὶ τὴν οἰκίαν ἐσάρωσε τῆς ἁμαρτίας, τὸν κόσμον ἀποκαθάρας, καὶ τὴν δραχμὴν ἐζήτησε, τὴν βασιλικὴν εἰκόνα συγκεχωσμένην τοῖς πάθεσι, καὶ συγκαλεῖται τὰς φίλας αὐτῷ δυνάμεις ἐπὶ τῇ τῆς δραχμῆς εὑρέσει, καὶ κοινωνοὺς ποιεῖται τῆς εὐφροσύνης, ἃς καὶ τῆς οἰκονομίας μύστιδας ἐπεποίητο.

Ἐξ ἀνεπιγράφου. Λύχνον μὲν ἁπτόμενον εἶναι τῆς διδασκαλίας τὸν λόγον, σάρωσιν δὲ τὴν τῶν ἁμαρτιῶν ἀποκάθαρσιν, καὶ τῶν πονηρῶν δαιμόνων τὸν χωρισμὸν καὶ τὴν ἀπαλλοτρίωσιν. ταῦτα γὰρ οἱονεὶ χρήματα τῇ εἰκόνι ἐπιπροσθοῦντα οὐ συνεχώρει ἐπ' ὄψεσιν ὁρᾶσθαι Θεοῦ· ὅθεν τούτων ἀπωσθέντων, εὑρεθῇ ἡ ἀπολωλυῖα δραχμὴ, ὑπὸ τῆς γυναικὸς, ἣν εἰς τὴν ἐπουράνιον εἴληφεν Ἱερουσαλήμ.

ΚΕΦ. ΝϚ.

Περὶ τοῦ ἀποδημήσαντος εἰς χώραν μακράν.

11 Εἰπὼν ὁ δεσπότης Χριστὸς ὅτι "ἄνθρωπός τις δύο εἶχεν υἱοὺς," περὶ τοῦ ἀνθρωπίνου γένους φησὶν, ὅτι εἰς δύο διήρηται τάγματα, εἰς δικαίους καὶ ἁμαρτωλοὺς, εἷς δὲ πατὴρ τῆς ἀνθρωπότητος, ὁ φιλάνθρωπος Θεός. Προσῆλθε δὲ, φησὶν, ὁ νεώτερος, οὐ διὰ τὸν χρόνον νεώτερος ἀλλὰ διὰ τὸ ἐνὸν τῆς διανοίας καὶ τὴν γνώμην ἄστατον κεκτῆσθαι ἀνήλιξ ὑπάρχων· καὶ λέγει τῷ πατρὶ, "δός "μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας," τουτέστιν, οὐ θέλω δουλεύειν ἀνάγκῃ, αὐτεξούσιος γάρ εἰμι, ἐὰν θέλω, σωφρονῶ, ἐὰν οὐ θέλω, οὐκ ἀναγκάζομαι· ἔδωκεν οὖν ὁ πατὴρ ἀφθόνως ἅπασαν τὴν κτίσιν, ἐπέστησεν αὐτῷ τὸν ἑαυτοῦ νόμον τὸν φυσικὸν καὶ γραπτὸν,

ἵνα ἐν τούτῳ παιδαγωγούμενος πληρώσῃ τοῦ νομοθέτου τὸ βούλημα, θέλει γὰρ ἡμᾶς ἑκουσίως δουλεύειν αὐτῷ· εἶτα, φησὶν, ἀπεδήμησέ που, καὶ ἀπέστη ὁ Θεὸς ἀπ' αὐτοῦ· οὐ βιάζεται γὰρ οὐδένα μὴ βουλόμενον δουλεύειν αὐτῷ.

13 Ἀποδημήσας τοίνυν ἔζησεν ἀσώτως, καὶ ἀνήλωσε τὴν οὐσίαν, τουτέστι τὸν ἔμφυτον λογισμὸν, τὴν σωφροσύνην, τὴν γνῶσιν τῆς ἀληθείας, τὴν μνήμην τοῦ Θεοῦ· ὅθεν καὶ γέγονεν αὐτῷ λιμὸς ἰσχυρὸς, οὐ λιμὸς ἄρτου οὐδὲ δίψα ὕδατος, ἀλλὰ λιμὸς τοῦ ἀκοῦσαι λόγον Κυρίου· ἕπεται γὰρ τῇ ἀπωλείᾳ τῶν προειρημένων ἀρετῶν ὁ τοιοῦτος λιμός. Διὸ "καὶ παρευθὺς ἐκολλήθη ἑνὶ τῶν "πολιτῶν τῆς χώρας ἐκείνης·" ἔνθαπέρ εἰσιν οἱ μὲν πολῖται αὐτῆς δαίμονες, ὁ δὲ λιμὸς τῶν ἀγαθῶν σφοδρός· διὸ καὶ ἔπεμψεν αὐτὸν εἰς τοὺς ἀγροὺς αὐτοῦ βόσκειν χοίρους· οὕτω γὰρ τιμῶσιν οἱ δαίμονες τοὺς τιμῶντας αὐτοὺς, τοιαύτας δωρεὰς χαρίζονται τοῖς πειθομένοις αὐτοῖς. καὶ γὰρ ἐκπίπτων τις ἀπὸ Θεοῦ, καὶ διὰ τῶν ἡδονῶν τοῖς δαίμοσι προσκολλώμενος, χοιρώδης τε γενόμενος ὡς εἰς γῆν νενευκὼς, καὶ τῷ βορβόρῳ τῶν τῆς ἀτιμίας παθῶν ἐγκυλινδούμενος, εἰκότως χοῖρος νομισθήσεται· χρονίζων δὲ τοῖς κακοῖς καὶ ἄλλοις τύπος ἀπωλείας εὑρίσκεται, τρόπον τινὰ βόσκων αὐτοὺς καὶ τρέφων τοῖς τῆς ἀσωτίας διδάγμασι. τὸ δὲ "ἐπεθύμει "χορτασθῆναι ἐκ τῶν κερατίων ὧν ἤσθιον οἱ χοῖροι, καὶ οὐδεὶς ἐδί-"δου αὐτῷ·" τοῦτο ἐστὶν, ὅτι τῶν κακῶν οὐκ ἐλάμβανε κόρον· παραβάλλεται δὲ τοῖς κερατίοις ἡ ἁμαρτία, ὅτι ὥσπερ ἡ τούτων γεῦσις γλυκεῖά ἐστι, κατ' αὐτὸ δὲ καὶ τραχεῖα, οὕτω καὶ ἡ τῆς ἁμαρτίας φύσις εὐφραίνει μικρὰ καὶ κολάζει μεγάλα, τέρπει πρόσκαιρα καὶ μαστίζει αἰώνια. εἰς ἑαυτὸν ἐλθὼν, τουτέστι λογισάμενος τὴν προτέραν μακαριότητα καὶ τὴν δευτέραν ἀθλιότητα, καὶ τίς μὲν ἦν ὅτε ἦν μετὰ τοῦ Θεοῦ καὶ Πατρὸς, τίς δὲ γέγονεν ὅτε ἦν ὑποτεταγμένος τοῖς δαίμοσιν, εἶπε, "πόσοι μίσθιοι τοῦ Πατρός μου," τουτέστι κατηχούμενοι, καὶ γὰρ μισθοῦται ἀεὶ ὁ φιλάνθρωπος Θεὸς, καὶ περὶ τρίτην ὥραν καὶ ἐφεξῆς, ὡς γέγραπται, "περισσεύ-"ονται ἄρτων," τῶν θείων ἐντρυφῶντες γραφῶν, "ἐγὼ δὲ τῷ λιμῷ "τούτων συνέχομαι." "Ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου," ὑποστρέψω καλῶς ὅθεν ἐξῆλθον κακῶς, καὶ ἐρῶ αὐτῷ, "πάτερ, "ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνωπιόν σου," ἀρκεῖ μοι πρὸς

σωτηρίαν ταῦτα τὰ ῥήματα· οἶδα τοῦ Θεοῦ μου τὴν ἀγαθότητα, οἶδα τοῦ πατρός μου τὴν ἡμερότητα, προσδέξεται μετανοοῦντα, ὃν οὐκ ἐκόλασεν ἁμαρτάνοντα.

20 "Καὶ ἀναστὰς ἦλθε πρὸς τὸν πατέρα αὐτοῦ·" πόθεν ἀναστάς; ἐκ τῆς καθέδρας τῆς ἡδονῆς, ἐκ τοῦ τῆς ἁμαρτίας πτώματος· προσέθηκε γὰρ τῇ καλῇ βουλῇ καὶ τὴν πρᾶξιν· δεῖ γὰρ ἡμᾶς οὐ μόνον βουλεύεσθαι τὰ φίλα Θεῷ, ἀλλὰ καὶ τὰς ἀγαθὰς ὁρμὰς ἐπιδεικνύειν ταῖς πράξεσιν· "ἔτι δὲ αὐτοῦ μακρὰν ἀπέχοντος," πῶς μακράν; ὅτι προέλαβεν ἡ εὐεργεσία τὴν μετάνοιαν· "εἶδεν αὐτὸν "ὁ πατὴρ αὐτοῦ, καὶ εὐσπλαγχνίσθη·" πατὴρ γὰρ ἐστὶ τῇ χρηστότητι, εἰ καὶ Θεὸς ὑπάρχει τῇ φύσει, "καὶ δραμὼν ἔπεσεν "ἐπὶ τὸν τραχηλὸν αὐτοῦ καὶ κατεφίλησεν αὐτόν·" οὐ γὰρ ἀνέμεινε τὸν προσκεκρουκότα πλησίον ἐλθεῖν, ἀλλ' αὐτὸς αὐτῷ προσαπήντησεν· ἔθος γὰρ τῷ φιλανθρώπῳ Θεῷ τοῦτο ποιεῖν· τὸ περιπλέκεσθαι τῇ μετανοούσῃ ψυχῇ, καὶ ἀσπάζεσθαι αὐτῆς τὴν ὑποταγήν. "εἶπε δὲ αὐτῷ ὁ υἱὸς αὐτοῦ, πάτερ, ἥμαρτον εἰς τὸν "οὐρανὸν," φοβοῦμαι τοῦ στερεώματος τὴν μορφὴν, ὡς κατηγόρου φωνὴν, "καὶ ἐνώπιόν σου·" διὸ καὶ εὐλαβοῦμαι τῷ φωτὶ τῆς σῆς θειότητος ἐνατενίσαι, ῥυπαροὺς ἔχων τοὺς ἐπὶ τοῦ σώματος καὶ τῆς ψυχῆς ὀφθαλμοὺς, μετὰ γὰρ πάντων μου τῶν κακῶν καὶ αἱ ἱπποδρομίαι κατηγοροῦσί μου· τὸ δὲ, "ποίησόν με ὡς ἕνα "τῶν μισθίων σου," τοῦτο ἔστιν, ὅτι μήτε τῆς αὐλῆς ἀπελάσῃς με, δέσποτα, ἵνα μὴ πάλιν ὁ πολέμιος εὑρών με πλανώμενον, ὡς αἰχμάλωτον ἀπαγάγῃ, μήτε πλησίον ἑλκύσῃς τῆς μυστικῆς τραπέζης καὶ φοβερᾶς, οὐ τολμῶ γὰρ ὀφθαλμοῖς ἐναγέσιν ὁρᾷν τῶν ἁγίων τὰ ἅγια. "εἶπε δὲ ὁ πατὴρ πρὸς τοὺς δούλους αὐτοῦ," τουτέστι πρὸς τοὺς ἱερέας, "ἐνέγκατε τὴν στολὴν πρώτην," τουτέστιν, ἣν ἀπώλεσε τοῦ πατρὸς ἀναχωρήσας, τὴν πίστιν, τὴν γνῶσιν τῆς ἀληθείας, καὶ ἐνδύσατε αὐτὸν τὸν ἑαυτὸν ἀποδύσαντα, καὶ δότε δακτύλιον εἰς τὴν χεῖρα αὐτοῦ, τὴν σφραγίδα τῆς πίστεως τὴν κατὰ τοῦ διαβόλου, καὶ ὑποδήματα εἰς τοὺς πόδας αὐτοῦ, ἵνα τούτους ὑποδησάμενος ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης καταπατῇ τοὺς ὄφεις καὶ τοὺς σκορπίους, τὰς ἀντικειμένας δυνάμεις. καὶ ἐνέγκατε τὸν μόσχον τὸν σιτευτὸν τὸν τυθέντα ὑπὲρ τῆς οἰκουμένης, τὸν τοῖς μετανοοῦσι μεταδιδόμενον, τὴν μετάλειψιν

τῶν θείων μυστηρίων, "καὶ φαγόντες εὐφρανθῶμεν, ὅτι ὁ οὗτος "ὁ υἱός μου νεκρὸς ἦν καὶ ἀνέζησεν, ἀπολωλὼς ἦν, καὶ εὑρέθη."

24 "Καὶ ἤρξαντο εὐφραίνεσθαι·" χαρὰ γὰρ γίνεται, οὐ μόνον ἐν οὐρανοῖς ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, ἀλλὰ ἐν τῇ γῇ πάντων εὐφραινομένων τῶν δικαίων. τὰ γὰρ ἐφεξῆς τῆς παραβολῆς ταύτης εἰρημένα, οἷον ἔστιν ὁ υἱὸς αὐτοῦ ὁ πρεσβύτερος, ἐρωτήσας καὶ μαθὼν τῆς ἑορτῆς τὴν ὑπόθεσιν, ἠγανάκτησε καὶ οὐκ ἠθέλησεν εἰσελθεῖν, καὶ τὰ τούτων ἀκόλουθα, οὐ χρὴ ὡς φθονήσαντος ἢ ἐγκαλέσαντος ταῦτα ἡμᾶς λογίζεσθαι, διότι παραβολὴ τὸ λεγόμενόν ἐστι, τὰ δὲ ἐν παραβολαῖς λεγόμενα οὐ δεῖ πάντα κατὰ λέξιν περιεργάζεσθαι, καθώς φησιν ὁ Χρυσόστομος εἰς τὴν ἑρμηνείαν τοῦ κατὰ Ματθαῖον, τὴν παραβολὴν ἑρμηνεύων τῶν μισθουμένων ἐργατῶν, ἀλλὰ τὸν σκοπὸν μαθόντας δι' ὧν συνετέθησαν, τοῦτον δρέπεσθαι μόνον, καὶ μηδὲν περαιτέρω ζητεῖν ἢ πολυπραγμονεῖν. καὶ γὰρ οὐκ ἔστιν οὐδεὶς τῶν ἁγίων τοιαῦτα δικαιολογούμενος, ὡς φθόνου καὶ βασκανίας ὑπάρχοντες καθαροί. Εἰ γὰρ καὶ τὰς ψυχὰς αὐτῶν ὑπὲρ τῶν ἁμαρτωλῶν διδόασι, πολλῷ μᾶλλον ὁρῶντες αὐτοὺς σωζομένους χαίρουσι καὶ οἰκεῖα νομίζουσι τὰ εἰς αὐτοὺς γινόμενα ἀγαθά.

Τίνος οὖν ἕνεκεν οὕτως συνετέθη ἡ παραβολὴ αὕτη; καὶ τί κατασκευάσαι βούλεται; τὴν ὑπερβάλλουσαν ἐμφαίνει φιλανθρωπίαν τοῦ Θεοῦ, ὅτι τοσαύτη ἐστὶ πρὸς τοὺς ἐπιστρέφοντας εἰς αὐτὸν καὶ γνησίως μετανοοῦντας, ὥστε καὶ φθόνον τεκεῖν ἑτέροις δυναμένους· ὅπερ καὶ ἡμεῖς πολλάκις ποιοῦμεν, εὐεργετήσαντες τινὰ, λέγοντες αὐτῷ, ὅτι ὁ δεῖνά μοι ἐνεκάλεσεν, ὅτι σε τοιαύτης τιμῆς ἠξίωσα, οὔτε ἐγκληθέντες παρὰ τοῦ ἐκεῖνον διαβαλεῖν ἐθέλοντος, ἀλλ' ἐν τούτῳ δεῖξαι βουλόμενοι τὸ μέγεθος τῆς δωρεᾶς ἧς ἀπήλαυσεν, ὅμως δὲ καὶ προασφαλίζεται διὰ τοῦ ὑποδείγματος τοῦ πρεσβυτέρου υἱοῦ, τοὺς ἀμέμπτως πολιτευομένους μηδέποτε δέξασθαι λογισμὸν φθόνον τίκτοντα ἐπὶ σωτηρίᾳ μετανοούντων ἁμαρτωλῶν, ὑπὸ τοῦ μισανθρώπου διαβόλου ὑποβαλλόμενον, ἀλλὰ μᾶλλον παραυτὰ τοῦτον ἀποστρέφεσθαι, εὐφραινομένους καὶ χαίροντας ἐπὶ τῇ σωτηρίᾳ αὐτῶν.

Χρὴ δὲ καὶ τοῦτο γινώσκειν, ὅτι δοκεῖ τισι διὰ τῆς τῶν υἱῶν δυνάμεως τούς τε ἁγίους Ἀγγέλους κατασημαίνεσθαι, καὶ ἡμᾶς

τοὺς ὄντας ἐπὶ τῆς γῆς, καὶ τὸ μὲν τοῦ πρεσβυτέρου πρόσωπον τὸ τῶν ἁγίων Ἀγγέλων τάγμα δηλοῦν, τὸ δὲ τοῦ ἀσώτου καὶ νεωτέρου τὸ γένος τὸ ἀνθρώπινον· καὶ ἄλλοι δὲ πάλιν νομίζουσι, διὰ μὲν τοῦ πρεσβυτέρου τὸν κατὰ σάρκα Ἰσραὴλ δηλοῦσθαι, διὰ δὲ τοῦ νεωτέρου τὰ ἔθνη. "ἀπόψηφος δέ," φησιν, ὁ ἅγιος Κύριλλος, "ταῖς περὶ τούτων δόξαις εἰμὶ μὲν ἐγὼ, δοκιμαζέτω δὲ καὶ ὁ "φιλομαθὴς τὸ ἀληθὲς, οὔτε γὰρ περὶ τῶν ἁγίων Ἀγγέλων "πρέπον ἐστὶ λογίζεσθαι, ὅτι οὐκ ἐπεγίνωσκον τοῦ ἀσώτου μετά-"νοιαν καὶ τὴν ἐπὶ τούτῳ τελουμένην ἑορτὴν, ἀλλ' ὡς ἀγνοοῦντες "ἠρώτων· οὔτε πάλιν χρὴ συναινεῖν ἡμᾶς ὡς εὖ βεβιωκότας τῶν "ἐξ Ἰσραὴλ, ὅπου γε τούτους διὰ πάσης, ὡς ἔπος εἰπεῖν, τῆς "θεοπνεύστου γραφῆς, διαβεβλημένους ἐστιν ἰδεῖν ὡς ἀποστάτας "καὶ ἀπειθεῖς."

ΚΕΦ. ΝΗ.

Περὶ τοῦ οἰκονόμου τῆς ἀδικίας.

1 Λέγει δὲ καὶ περὶ τῶν παραβολῶν ὁ ἅγιος Κύριλλος, ὅπερ καὶ ὁ Χρυσόστομός φησιν, ὅτι πλαγίως καὶ ἀσυμφανῶς ἡμῖν αὗται πραγμάτων ὀνησιφόρων δήλωσιν εἰσκομίζουσιν, ὅταν αὐτὸν ἐν βραχεῖ καὶ συνεσταλμένως τὸν νοῦν καταθήσωμεν· οὐ γὰρ ἅπαντά φησι, τῆς παραβολῆς τὰ μέρη πολυπραγμονεῖσθαι χρή· λεπτῶς δὲ καὶ ἐξητασμένως, ἵνα μήτε πρὸς τὰ πέρα μέτρου βαδίζων ὁ λόγος καταλυπήσῃ τῷ περιττῷ τοὺς φιλακροάμονας, μήτε μὲν ἀδολεσχίας ὄχλον ἐργάσηταί τισιν, οἷον καὶ ἐπὶ τῆς παραβολῆς ἐστι τῆς λεγούσης, "Ἄνθρωπός τις ἦν πλούσιος ὃς εἶχεν οἰκονόμον" καὶ τὰ ἑξῆς· εἰ γὰρ μὴ βούλοιτό τις διατρανοῦν, τίς μὲν ἂν εἴη ὁ ἄνθρωπος ὁ τὸν διαβεβλημένον ἔχων οἰκονόμον, ἢ καὶ τίς ἂν εἴη τυχὼν ὁ διαβεβληκὼς αὐτὸν, τίνες δὲ καὶ οἱ τοῖς ὀφλήμασιν ἔνοχοι καὶ τὰς τῶν ὀφλημάτων ποιοῦντες ἀποκοπὰς, καὶ διὰ ποίαν αἰτίαν ὁ μὲν ἔλαιον, ὁ δὲ σῖτον ἐποφλῆσαι λέγονται, σκοτεινὸν ἅμα καὶ περιττὸν ἀποτελέσει τὸν λόγον. οὐκοῦν οὐ πάντη τε καὶ πάντως ἅπαντα τῆς παραβολῆς τὰ μέρη τῇ τῶν δηλουμένων εἰσὶ θεωρίᾳ χρήσιμα, εἰς εἰκόνα δὲ ληφθεῖεν ἂν ἀναγκαίου πράγματος ἀμυδρῶς ὑπεμφαίνουσα τὸ τελοῦν εἰς ὄνησιν τοῖς ἀκροωμένοις.

Ἔστι τοίνυν τῆς προκειμένης παραβολῆς τοιοῦτος ὁ νοῦς· βού-

λεται ἡμᾶς ὁ τῶν ὅλων δεσπότης Θεὸς ὁλοτρόπως τοῖς εἰς ἀρετὴν ἀνακεῖσθαι σπουδάσμασιν, ἀπαλλάττοντας ἑαυτοὺς τῶν τοῦ παρόντος βίου περιασπασμῶν, ἵν᾽ εὐπαρέδρως καὶ ἀπερισπάστως ὑπηρετῶμεν αὐτῷ, καθὼς διὰ τοῦ Δαβὶδ φησι, "σχολάσατε καὶ γνῶτε "ὅτι ἐγώ εἰμι ὁ Θεός·" καὶ πάλιν δι᾽ ἑαυτοῦ, "πωλήσατε τὰ ὑπάρ- "χοντα καὶ δότε ἐλεημοσύνην," καὶ ἡ μὲν ἐντολὴ σωτήριος, ἀσθενὴς δὲ λίαν ὁ ἀνθρώπου νοῦς, καὶ ἀεί πως προσπέπηγε τοῖς γεωδεστέροις· ὅθεν δηλαδὴ πρόφασιν σωτηρίας ἡμῖν ὑπέδειξεν ὁ Χριστὸς διὰ τῆς προκειμένης παραβολῆς, μονουχὶ λέγων, ὅτιπερ εἰ μὴ βούλοιντο τὴν τῶν χρημάτων περιουσίαν καταλιπεῖν· καὶ τὴν ὑψηλὴν πολιτείαν ἀσπάσασθαι, πλὴν κατά γε τὸν ὑποβεβηκότα τρόπον, κἂν οἰκονόμοι γενέσθωσαν[a] τῶν πτωχευόντων συμμεριστὰς τῶν ὑπαρχόντων τούτους ποιούμενοι, ὅπως φίλους κτησάμενοι πολλοὺς, καὶ μάρτυρας τῆς εὐσπλαγχνίας τοὺς εὖ πεπονθότας ἔχοντες, ὅταν αὐτοὺς ἡ ἐπίγειος ἐκλείποι ζωὴ, τύχωσι τόπου τινὸς ἐν ταῖς ἐκεῖθεν σκηναῖς· εἰ δὲ μὴ βούλοιντο τὸ μηδὲ τοῦτο διαπράξασθαι, ἀλλὰ τὰ παρὰ τοῦ δεσπότου δοθέντα αὐτῷ, μόναις ταῖς ἑαυτῶν δαπανῶσι τροφαῖς, ἢ καὶ προσκαίρους ὠνοῦνται τιμὰς, ἀμνημονοῦντες τοῦ λέγοντος Θεοῦ, "ἀνοίγων ἀνοίξεις τὰ σπλάγχνα τῷ "ἀδελφῷ σου," καὶ ὅσα ἄλλα ἡ θεία διδάσκει γραφὴ περὶ τῆς εἰς τοὺς δεομένους συμπαθείας, ἀποπεσοῦνται πάντως τῆς οἰκονομίας, ἐπιπηδῶντος αὐτοῖς τοῦ θανάτου, καὶ τῶν τῆς περιουσίας αὐτῶν πραγμάτων ἐξέλκοντος, καὶ διὰ τὴν ἀπάνθρωπον αὐτῶν προαίρεσιν, ἀντὶ τῶν αἰωνίων σκηνῶν τῷ αἰωνίῳ καὶ ἀσωμάτῳ πυρὶ παραδοθήσονται.

10 Τίς ἐστιν "ὁ πιστὸς ἐν ἐλαχίστῳ," ὁ καλῶς εἰδὼς βιοῦν καὶ τὴν εἰς τὸ μέλλον ἐλπίδα δεδιψηκὼς, καὶ ἀποφέρων μὲν τῶν ἐπιγείων τὸν νοῦν, φρονῶν δὲ μᾶλλον τὰ ἄνω, καὶ διὰ τοῦτο τὸν ἐπίγειον πλοῦτον εἰς τοὺς ἐνδεεῖς καλῶς δαπανῶν. ἐλάχιστον δὲ τὸν ἐπίγειον πλοῦτον ἐκάλεσεν, ὃν δὴ καὶ ἄδικον μαμμωνᾶν φησιν. ὁ τοιοῦτος οὖν ἐν τῷ ἐλαχίστῳ πιστὸς εὑρισκόμενος, καὶ ἐν πολλῷ πιστός ἐστι, τουτέστιν ἐν τοῖς πνευματικοῖς καὶ θείοις χαρίσμασιν· ὁ δὲ ἐν τῷ πλούτῳ τούτῳ ἄδικος γενόμενος, εἰς ἑαυτὸν μόνον συντηρῶν αὐτὸν δηλονότι, καὶ ἐν τοῖς θείοις χαρίσμασιν ἄδικος εὑρεθήσεται.

[a] Sic.

Ἀλλότριον δὲ τὴν τῶν χρημάτων περιουσίαν ὠνόμασεν, ἐπειδὴ οὐ γεγενήμεθα μετὰ πλούτου, γυμνοὶ δὲ μᾶλλον, καὶ ὡς ἀληθῶς ἐστι γεγραμμένον, "ὅτι οὐδὲν εἰσενέγκαμεν εἰς τὸν κόσμον, οὐδὲ "ἐξενεγκεῖν τι δυνάμεθα·" ἀλλότριον τοίνυν ἀνθρώπου παντὸς φυσικῶς τὸ πλουτεῖν· ἔξωθεν γὰρ ἕνα καὶ τὸν αὐτὸν μερίζεσθαι πρὸς τὰ ἐναντία, καὶ ἀκαταψέκτως δύνασθαι βιοῦν, δείκνυσιν ὁ δεσπότης Χριστὸς λέγων, "οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν," καὶ τὰ ἑξῆς.

14 Ἐπειδὴ δὲ τῇ νόσῳ τῆς φιλαργυρίας συνεχόμενοι ἐξημυκτήριζον αὐτὸν οἱ Φαρισαῖοι καίπερ διὰ μακρῶν λόγων τούτους θεραπεῦσαι βουληθέντος, τρέπεται λοιπὸν ἐπὶ τὸ δριμὺ τῶν ἐλέγχων, καιροῦ καλοῦντος εἰς τοῦτο, καὶ ἀποφαίνει δόξης αὐτοὺς ὄντας ἐραστὰς τῆς τοῖς δικαίοις τε καὶ ἀγαθοῖς πρεπούσης ἀνδράσιν, αὐτοὺς δὲ οὐ μὴν ὄντας τοῦτο κατὰ ἀλήθειαν· φησὶ γὰρ, "ὑμεῖς ἐστε οἱ "δικαιοῦντες ἑαυτοὺς ἐνώπιον τῶν ἀνθρώπων· ὁ δὲ Θεὸς γινώσκει "τὰς καρδίας ὑμῶν, ὅτι τὸ ἐν ἀνθρώποις ὑψηλὸν βδέλυγμα ἐνώπιον "τοῦ Θεοῦ·" τοῦτο καὶ ἑτέρωθέν που πρὸς αὐτοὺς εὑρίσκεται λέγων, "πῶς δύνασθε πιστεύειν, δόξαν παρὰ ἀνθρώπων λαμβάνοντες, τὴν δὲ "δόξαν τὴν παρὰ τοῦ μόνου οὐ ζητεῖτε;" τοὺς μὲν γὰρ ἀληθῶς ὄντας ἀγαθοὺς τοῖς εἰς δικαιοσύνην ἐπαίνοις ὁ τῶν ὅλων στεφανοῖ Θεὸς, οἵ γε μὴν ἀφιλάρετοι καὶ ὑποκριταὶ τάχα ταῖς ἑαυτῶν ψήφοις τὸ δοκεῖν εἶναι σεπτοὶ παραβλέπουσιν, ἀλλ' οὐδεὶς, ὦ βέλτιστοι, φαίη τις ἂν αὐτοῖς ἑαυτὸν στεφανοῖ. Γέγραπται γὰρ, "ἐγκωμιαζέτω σε ὁ πέλας, καὶ μὴ τὸ σὸν στόμα, ἀλλότριος καὶ μὴ τὰ "σὰ χείλη. ὁ γὰρ Θεὸς γινώσκει τὰς καρδίας ὑμῶν, καὶ τιμᾷ μὲν "δίκαιον τὸν ἀληθινόν· σκορπίζει δὲ τὰ τῶν ἀνθρωπαρέσκων ὀστᾶ." ἀνθρωπαρεσκία γὰρ ῥίζα καὶ ἀρχὴ καὶ γένεσις τῆς μεμισημένης παρὰ τῷ Θεῷ καὶ ἀνθρώποις ὑπεροψίας. περὶ ὧν εἶπεν ὁ Κύριος "ὁ νόμος καὶ οἱ προφῆται," ἕως "μοιχεύει," προεγράφη εἰς τὸ κατὰ Ματθαῖον.

ΚΕΦ. ΝΗ.

Περὶ τοῦ πλουσίου καὶ τοῦ Λαζάρου.

19 Τὴν προκειμένην παραβολὴν τὴν τοῦ πλουσίου καὶ τοῦ Λαζάρου ἄριστα διαμορφοῖ καὶ διαπλάττει Χριστὸς ὁ Θεὸς ἡμῶν, ὥστε

τοῖς εἰς ἀγαθουργίαν αὐχήμασιν ἐπείγεσθαι διαπρέπειν ἡμᾶς· θέλει γὰρ εἶναι φιλαλλήλους καὶ κοινωνικοὺς καὶ εὐμεταδότους καὶ φιλοπτωχίας ἐπιμελητὰς, καὶ τῶν εἰς τοῦτο σπουδασμάτων ἔχεσθαι νεανικῶς. Εἰπὼν δὲ ὅτι "ἄνθρωπός τις ἦν πλούσιος" ὡς ἀφιλοικτίρμονα τοῦτον ἀνωνύμως ἐσήμανε, καθὼς διὰ τοῦ προφήτου περὶ τῶν μὴ φοβουμένων αὐτόν φησιν ὁ Θεὸς, "ὅτι οὐ μὴ μνησθῶ "τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου," μνημονεύει δὲ τοῦ πένητος ὀνομαστὶ, ἐπειδήπερ ἐν γλώσσῃ Θεοῦ οἱ τοιοῦτοί εἰσιν. ἔχει δὲ καὶ λόγον ὡς ἡ τῶν Ἑβραίων παράδοσίς φησι, Λάζαρον εἶναί τινα κατ' ἐκεῖνο τοῦ καιροῦ ἐν Ἱεροσολύμοις, ἐσχάτην ποιοῦντα πτωχείαν καὶ ἀρρωστίαν, οὗ μνημονεῦσαι τὸν Κύριον, ὡς εἰς παραβολὴν λαβόντα αὐτὸν εἰς ἐμφανεστέραν τοῦ λεγομένου δύναμιν.

Μηδεὶς δὲ νομιζέτω τῶν ταῦτα ἀκουόντων, ὅτι γέγονέ τισιν ἀνταπόδοσις ἢ πονηρῶν ἔργων ἢ ἀγαθῶν· ἔστι γὰρ παραβολὴ τὸ εἰρημένον ἀστείως παρὰ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἐσχηματισμένη, ἵν' εἴδοιεν οἱ τὸν ἐκ γῆς ἔχοντες πλοῦτον, ὡς εἰ μὴ βουληθεῖεν εἶναι χρηστοὶ καὶ εὐμετάδοτοι καὶ κοινωνικοὶ, καὶ ταῖς τῶν πενήτων ἀνάγκαις ἐπικουρεῖν ἕλοιντο, δεινῇ καὶ ἀφυλάκτῳ περιπεσοῦνται δίκῃ. Ἴδωμεν τοίνυν τοῦ πλουσίου τὴν ἐπ' οὐδενὶ τῶν ἀναγκαίων ἠρμένην ὀφρύν. "Ἐνεδιδύσκετο," φησὶ, "πορφύραν καὶ βύσ-"σον," τουτέστιν εὐειματεῖν[b] ἐσπούδαζε, καὶ ἦν ἐν ἐσθῆτι πολυτελεστάτῃ καὶ ἀκαταλείπτοις τρυφαῖς. Τοῦτο γὰρ ἐμφαίνει τὸ εὐφραίνεσθαι καθ' ἡμέραν. πρόσκειται δὲ "λαμπρῶς," τουτέστιν, ἀσώτως.

Ὁ δὲ Λάζαρος νόσῳ καὶ πενίᾳ πεπεδημένος ἐβέβλητο, φησὶ, πρὸς τὸν πυλῶνα αὐτοῦ ἀτημελῶς ἐρριμμένος, οὐδενὸς ἀξιούμενος λόγου, φειδοῦς καὶ φροντίδος ἄμοιρος ὤν· ζητῶν πρὸς κόρον τῆς τοῦ πλουσίου τραπέζης τὰ παρολισθαίνοντά τε καὶ ἀχρηστότερα· ἐκολάζετο δὲ καὶ ἑτέρως νόσῳ χαλεπωτάτῃ, ἀλλὰ καὶ οἱ κύνες, φησὶν, ἔλειχον τὰ ἕλκη αὐτοῦ, οὐκ ἀδικοῦντες ἀλλ' οἷον συναλγοῦντες καὶ θεραπεύοντες τῇ γλώττῃ, καὶ τὸ λυποῦν ἀποξέοντες, καὶ φιλοφρόνως περιαλείφοντες, ὅπως καὶ ἐν τούτῳ δειχθῇ ὁ πλούσιος καὶ θηρῶν ἀπηνέστερος, ὡς ἀσυναλγὴς καὶ ἀφιλοικτίρμων καὶ μεστὸς πάσης ἀπανθρωπίας. ὑπάρχων δὲ ὁ πένης ἐν τοιούτοις

[b] εὐϊματεῖν Cod.

δεινοῖς, οὔτε ἀπεδυσώπησεν, οὔτε ἐβλασφήμησεν, οὔτε ἠγανάκτησεν, οὔτε κατεγόγγυσε τοῦ πλουσίου. πόθεν δὲ τοῦτο δῆλον; ἐξ ὧν ἀπήγαγον αὐτὸν οἱ Ἄγγελοι δορυφοροῦντες, καὶ εἰς τὸν κόλπον τοῦ Ἀβραὰμ ἀπεκατέστησαν.

22 "Ἀπέθανε δὲ καὶ ὁ πλούσιος καὶ ἐτάφη·" μὴ ἁπλῶς παραδράμωμεν τὸ εἰρημένον ὅτι μετὰ τὸ ἀποθανεῖν τὸν πλούσιον πρόσκειται τὸ "ἐτάφη." ἐπειδὴ γὰρ καὶ ζῶν, καθάπερ ἐν μνήματι κατορρυγμένη ὑπῆρχεν αὐτοῦ ἡ ψυχὴ, τάφου περιφέρουσα τὴν σάρκα· διὰ τοῦτο προσετέθη τὸ "ἐτάφη," ἀπαλλαγεὶς δὲ τοῦ σώματος ἄπεισιν ἐκ τρυφῆς εἰς τὸν ᾅδην· ἵνα δὲ μειζόνως κατατρύχηται, ὁρᾷ, φησὶν, τὸν Λάζαρον ἐν κόλποις ὄντα τοῦ Ἀβραὰμ, ὥσπερ γὰρ τὸν Ἀδὰμ ἐκβαλὼν τοῦ παραδείσου κατ' ἄντικρυ τούτου κατῴκισεν αὐτὸν ὁ Θεὸς, ἵνα ἡ συνεχὴς ὄψις ἀνανεοῦσα τὸ πάθος ἀκριβεστέραν αὐτῷ παράσχῃ τῆς ἐκπτώσεως τῶν ἀγαθῶν τὴν αἴσθησιν, οὕτω δὴ καὶ τοῦτον κατέναντι τοῦ Λαζάρου κατῴκησε.

Τίνος δὲ ἕνεκε οὐχὶ παρ' ἑτέρῳ δικαίως τὸν Λάζαρον, ἀλλ' ἐν τοῖς κόλποις τοῦ Ἀβραὰμ εἶδεν; ἐπειδὴ φιλόξενος ἦν ὁ Ἀβραάμ. Ἵν' οὖν ἔλεγχος αὐτοῦ γένηται τῆς μισοξενίας, διὰ τοῦτο αὐτὸν μετ' ἐκείνου βλέπει. ἐκεῖνος καὶ τοὺς παριόντας ἐθήρευε καὶ εἰς τὴν οἰκίαν εἷλκεν εἴσω τὴν ἑαυτοῦ· οὗτος καὶ τὸν ἔσω κείμενον παρεώρα.

24 Διὰ τί δὲ οὐ πρὸς τὸν Λάζαρον τὸν λόγον ἀπέτεινεν, ἀλλὰ πρὸς τὸν Ἀβραάμ φησι, "πάτερ Ἀβραὰμ, ἐλέησόν με," καὶ τὰ ἑξῆς; Ἐπειδὴ ᾐσχύνθη καὶ ἠρυθρίασεν ἐκ τῶν κατ' αὐτὸν πραγμάτων, καὶ ἐνόμισεν αὐτὸν μνησικακήσειν πάντως. Εἰ γὰρ ἐγὼ, φησὶ, τοσαύτης ἀπολαύων εὐπορίας, καὶ οὐδὲν ἠδικημένος, ὑπερεῖδον ἐν τοσούτοις ὄντα τὸν ἄνθρωπον κακοῖς, καὶ οὐδὲ ψιχίων μετέδωκα, πολλῷ μᾶλλον αὐτὸς οὕτως ὑπεροφθεὶς οὐκ ἐπινεύσει τῇ χάριτι ταύτῃ. Ταῦτα λέγομεν, οὐχὶ τοῦ Λαζάρου κατηγοροῦντες, οὐ γὰρ δὴ οὕτως διέκειτο ἐκεῖνος, ἀλλ' ὅτι οὗτος ταῦτα δεδοικὼς οὐκ ἐκάλεσεν ἐκεῖνον, ἀλλὰ τὸν Ἀβραὰμ ἐφώνησεν· ἐνόμιζε γὰρ αὐτὸν ἀγνοεῖν τὰ γεγενημένα.

25 Τί οὖν ἐκεῖνος; "τέκνον μνήσθητι ὅτι ἀπέλαβες τὰ ἀγαθά σου "ἐν τῇ ζωῇ σου." Σκοπήσωμεν φιλοσοφίαν δικαίου· οὐκ εἶπεν, ἀπάνθρωπε καὶ ὠμὲ καὶ παμπόνηρε, τοσαῦτα κακὰ διαθεὶς τὸν

ἄνθρωπον, φιλανθρωπίας μέμνησαι νῦν καὶ ἐλέους καὶ συμπαθείας καὶ συγγνώμης· οὐκ αἰσχύνῃ οὐδὲ ἐρυθριᾷς, οὐδὲ ἐγκαλύπτῃ; ἀλλὰ τί; "τέκνον," φησὶν, "ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου·" ψυχὴν γὰρ τεταπεινωμένην μὴ προσταράξῃς, φησί· ἀρκεῖ τὰ τῆς τιμωρίας αὐτῷ, μὴ προσεπεμβαίνωμεν αὐτοῦ ταῖς συμφοραῖς, τέκνον, οὗ κύριός εἰμι, μεταδίδωμί σοι, τὸ δ' ἐντεῦθεν ἀπελθεῖν ἐκεῖ, οὐκ ἔστιν ἡμέτερον λοιπόν. Διὰ τί οὐκ εἶπε, ἔλαβες τὰ ἀγαθά σου, ἀλλ' "ἀπέλαβες;" ὀφειλὴν γάρ τινα ἐνδεικνυμένου καὶ δηλοῦντός ἐστιν· ἀπολαμβάνει γάρ τις τὰ ὀφειλόμενα.

Τί οὖν ἐντεῦθεν μανθάνομεν; ὅτι κἂν μιαροί τινες ὦσι, κἂν εἰς ἔσχατον κακίας ἐληλακότες, πολλάκις ἕν τι καὶ δύο καὶ τρία εἰργάσαντο ἀγαθά· καίπερ οὖν καὶ οὗτος ὁ πλούσιος, ὅθεν διὰ τῆς εὐημερίας τῆς ἐν τῷδε τῷ βίῳ ἀπολαβὼν αὐτὰ, ἤκουσεν ὅτι "ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως "τὰ κακά." Ἴσως γὰρ καὶ οὗτος ἓν ἢ καὶ δύο ἢ καὶ τρία ἡμαρτηκὼς, ἐντεῦθεν διὰ τῆς ὀδύνης ἧς ὑπέμεινεν, ἀπέλαβε ταῦτα. Διό φησιν, "ὅδε παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι·" ἡ γὰρ κρίσις ἀνήλεος τῷ μὴ ποιήσαντι, ἔλεγε.

26 Τί δὲ σημαίνει ὅπερ εἶπεν Ἀβραὰμ, "ὅτι χάσμα μέγα ἐστή- "ρικται," καὶ τὰ ἑξῆς; τὴν τῶν δικαίων διαφορὰν πρὸς τοὺς πταίοντας· ὥσπερ γὰρ ἐναντίαι αἱ προθέσεις, οὕτως ἀμιγὴς ἡ μετάστασις, τῶν μὲν τὴν ἄνεσιν, τῶν δὲ τὴν κόλασιν δεχομένων. ἀποτυχὼν δὲ τῶν καθ' ἑαυτὸν, ὑπὲρ ἑτέρων λοιπὸν ποιεῖται τὴν ἱκετηρίαν. Ὅρα πῶς φιλάνθρωπος καὶ ἥμερος γέγονεν ὑπὸ τῆς κολάσεως· ὁ γὰρ τοῦ Λαζάρου καταφρονῶν παρόντος, ἑτέρων ἀπόντων φροντίζει, καὶ παρακαλεῖ πεμφθῆναι τὸν Λάζαρον εἰς τὸν οἶκον τοῦ πατρὸς, καὶ οὐδὲ ἁπλῶς παρεκάλεσεν ἀναστῆναί τινα ἐκ τῶν νεκρῶν, ἀλλὰ τὸν Λάζαρον, ὅπως, φησὶν, ἰδόντες αὐτὸν στεφανωθέντα, ὃν ἔβλεπον μυρίοις κακοῖς ἀγωνιζόμενον, οἱ γενόμενοι μάρτυρες τῆς πενίας αὐτοῦ τοῦ λιμοῦ καὶ τῶν ὀδυνῶν, αὐτοὶ καὶ τῆς μεταβολῆς καὶ τῆς δόξης αὐτοῦ γενόμενοι μάρτυρες, ἑκατέρωθέν τε παιδευθέντες, καὶ μαθόντες ὅτι οὐ μέχρι τοῦ παρόντος βίου τὰ ἡμέτερα στήσεται πράγματα, κἂν οὕτω παρασκευάσωνται ὡς δυνηθῆναι ταύτην διαφυγεῖν τὴν κόλασιν.

29 Τί οὖν ὁ Ἀβραάμ; "ἔχουσι Μωσέα καὶ τοὺς προφήτας, ἀκου-

"σάτωσαν αὐτῶν." Οὐχ οὕτω γὰρ, φησὶ, σὺ κήδῃ τῶν ἀδελφῶν, ὡς ὁ ποιήσας αὐτοὺς Θεός· μυρίους γὰρ αὐτοῖς ἐπέστησε διδασκάλους.

Τίνος δὲ ἕνεκεν ἀνταποκριθεὶς ὁ πλούσιος ἔφη, "οὐχὶ, πάτερ "Ἀβραὰμ, ἀλλ' ἐάν τις ἐκ νεκρῶν πορευθῇ πρὸς αὐτοὺς, μετανοή-"σουσιν;" ἐπειδὴ αὐτὸς οὗτος τῶν θείων γραφῶν ἀκούων κατεφρόνει, καὶ μύθους ἐνόμιζεν εἶναι τὰ λεγόμενα, ἐξ ὧν αὐτὸς ὑπενόει, καὶ περὶ τῶν ἀδελφῶν οὕτως ὑποπτεύουσιν ὥσπερ κἀγὼ, ὅτι "τις ἦλθεν "ἐκεῖθεν;" τίς ἐκ νεκρῶν ἀνέστη; τίς εἶπε τὰ ἐν τῷ ᾅδῃ; διὰ τοῦτο ἐάν τις ἀπὸ τῶν νεκρῶν ἀπέλθῃ, οὐκ ἀπιστήσουσιν αὐτῷ, ἀλλὰ μᾶλλον τοῖς λεγομένοις προσέξουσιν. "εἶπε δὲ," φησὶ, "πρὸς "αὐτὸν, εἰ Μωσέως καὶ τῶν προφητῶν οὐκ ἀκούουσιν, οὐδὲ ἐάν τις "ἐκ νεκρῶν ἀναστῇ, πεισθήσονται." ὅτι δὲ τοῦτο οὕτως ἐστὶν ἀληθὲς, καὶ ὁ τῶν γραφῶν οὐκ ἀκούων, οὐδὲ νεκρῶν ἀνισταμένων ἀκούσεται, ἔδειξαν οἱ Ἰουδαῖοι. οἳ ἐπειδὴ Μωσέως οὐκ ἤκουσαν καὶ τῶν προφητῶν, οὐδὲ νεκροὺς ἰδόντες ἀναστάντας ἐπίστευσαν, ἀλλὰ νῦν μὲν ἀνελεῖν τὸν Λάζαρον ἐπεχείρουν, νῦν δὲ τοῖς Ἀποστόλοις ἐπεπήδων, καίτοι πολλῶν ἀναστάντων ἐν τῷ καιρῷ τοῦ σταυροῦ.

Κόλπους δὲ τοῦ Ἀβραὰμ καὶ τοῦ Ἰσαὰκ, καὶ τοῦ Ἰακὼβ τούτους εἶναι ὁ ἅγιος Διονύσιος ὁ Ἀρεωπαγίτης τὰς θειοτάτας καὶ μακαριωτάτας λήξεις, τὰς ὑποδεχομένας πάντας τοὺς δικαίους, εἰς τὴν ἐν αὐταῖς ἀγήρω καὶ μακαριωτάτην τελείωσιν.

1 Περὶ τῶν σκανδάλων λαλῶν ἕως "ἀφήσεις αὐτῷ," προεγράφη εἰς τὸ κατὰ Ματθαῖον.

5 Περὶ τῶν ἀρχαιοτέρων ἁγίων φησὶν ὁ Ἀπόστολος, ὅτι ἐν τῇ πίστει ἐμαρτυρήθησαν οἱ πρεσβύτεροι, τούτων οὖν ζηλωταὶ γενέσθαι βουλόμενοι οἱ ἅγιοι Ἀπόστολοι, "πρόσθες ἡμῖν πίστιν" ἔλεγον τῷ δεσπότῃ Χριστῷ, οὐκ αἰτοῦσι δὲ πίστιν ἁπλῶς, ἵνα μὴ ἀπίστους αὐτοὺς νομίσῃ τις, ἀλλὰ προσθήκην πίστεως, τουτέστι τὴν εἰς τοῦτο βεβαίωσιν. παρασκευάσαι δὲ αὐτοὺς βουλόμενος δεκτικοὺς γενέσθαι τῆς τοιαύτης χάριτος, φησὶν, "εἰ ἔχετε πίστιν "ὡς κόκκον σινάπεως, ἐλέγετε ἂν τῇ συκαμίνῳ ταύτῃ, ἐκριζώθητι" καὶ τὰ ἑξῆς. Εἰ γὰρ τὸ πεπηγὸς οὕτω καὶ κατὰ γῆς ἐρριζωμένον μετακινήσειεν ἂν ἡ τῆς πίστεως δύναμις, καθόλου φαίη τις

ἂν, μηδὲν οὕτως ἀκίνητον εἶναι ὃ μὴ σαλεύσειεν ἡ πίστις· ἐκεῖνο μέντοι προσεκτέον ἀσφαλῶς, ὥστε μή τινα λόγον λογίζεσθαι κατὰ κενὴν ἔκπληξιν εἰπεῖν τοῦτο τῷ δεσπότῃ Χριστῷ, πρὸς ὠφέλειαν δὲ μᾶλλον καὶ σωτηρίαν ἡμῶν, καὶ γὰρ πάντα ἰσχύει ἡ τῆς θείας δυνάμεως ἐξουσία. Περὶ γὰρ κόκκου σινάπεως προεγράφη εἰς τὸ κατὰ τὸν Ματθαῖον.

7 Ἐπειδὴ πέφυκέ πως ἀεὶ ὁ ἀνθρώπινος νοῦς καταφέρεσθαι εἰς φιλοδοξίαν, ἀφορμὴ δὲ τοῦ πάθους γίνεται πολλάκις, τὸ ἐπί τισι τῶν ἀρίστων ἀνδραγαθημάτων εὐδοκιμῆσαι παρὰ Θεῷ, παγχάλεπον δὲ τοῦτο καὶ Θεῷ κατεστυγημένον, καταφέρει εἰς τοῦτο γνώμης ὁ ἀρχέκακος δράκων, ὡς οἴεσθαι τάχα που καὶ ὀφέλειν τὸν Θεὸν τὰς ἀνωτάτω τιμὰς, ὅταν εὐκλεᾶ καὶ εὐδόκιμον ἔχωσι τὴν ζωήν. Διὰ τοῦτο τῶν προκειμένων ἀναγνωσμάτων τὴν δύναμιν ὁ δεσπότης ποιεῖται Χριστὸς, λέγων, "τίς ἐξ ὑμῶν δοῦλον ἔχων ἀροτριῶντα "ἢ ποιμαίνοντα," καὶ τὰ ἑξῆς. Διδάσκει γὰρ διὰ τούτων ὅτι τῆς δεσποτικῆς ἐξουσίας ἡ δύναμις, ὡς ὄφλημα πανταχοῦ παρὰ τῶν οἰκετῶν ζητεῖ τὴν ὑποταγήν. οὐ γὰρ χάριν, ἔφη, ὁμολογήσει τῷ οἰκέτῃ, κἂν εἰ γένοιτο παρ' αὐτοῦ πᾶν ὅπερ ἔδει γενέσθαι κατά γε τὸ τῆς δουλείας πρέπον, ἀλλὰ μὴ πληροῦντος μὲν τὸ ὀφειλόμενον κίνδυνος ἕπεται, πληροῦντος δὲ χάρις οὐδὲ μία, κἂν εἰ ὁ δεσπότης Χριστὸς ὑπάρχων ἀγαθὸς καὶ φιλότιμος καὶ φιλάνθρωπος οὐ μόνον ἰσοδύναμα γέρα τοῖς κάμνουσιν ἐπαγγέλλεται, ἀλλὰ καὶ πολλῷ πλέον τοὺς πόνους ὑπερβαίνοντα, καθώς φησιν ὁ πάνσοφος Παῦλος, "ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ, "πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς."

ΚΕΦ. ΝΘ.

Περὶ τῶν ι' λεπρῶν.

11 Τὴν ἑαυτοῦ δόξαν διὰ τῆς μεγαλοπρεποῦς θαυματουργίας ἐμφανῆ καθίστησιν ὁ Σωτήρ. ἔρχεται σαγηνεύων εἰς πίστιν τὸν ἀκάρδιον Ἰσραὴλ, ἀλλ' ἦν καὶ οὕτω σκληρός τε καὶ ἀπειθής. ἦν δὲ ἡ ἀπόδειξις σαφὴς, ὧν ἔφην ἀρτίως, ἡ τῶν λεπρῶν διακάθαρσις· οὗτοι γὰρ πόλεών τε καὶ κωμῶν ἀπελαυνόμενοι ὡς ἀκάθαρτοι κατὰ τὸν Μωϋσέως νόμον, ὑπαντήσαντες τῷ Σωτῆρι, ἐλιπάρουν

ἀπαλλάττεσθαι τοῦ κακοῦ, καὶ ἐπιστάτην ὠνόμαζον, τουτέστι διδάσκαλον. ὁ δὲ φιλάνθρωπος ὢν, ἔφη, "ὑπάγετε, δείξατε ἑαυτοὺς "τοῖς ἱερεῦσι."

Διὰ τί μὴ μᾶλλον ἔφη, θέλω, καθαρίσθητι, καθὰ καὶ ἐφ' ἑτέρου λεπροῦ, προστέταχε δὲ μᾶλλον, ἑαυτοὺς ἐπιδείξατε τοῖς ἱερεῦσι; νόμος ἐκάλει πρὸς τοῦτο πάλιν τοὺς τῆς λέπρας ἀπηλλαγμένους. Ἐκέλευε γὰρ ὡς ἤδη τεθεραπευμένους βαδίζειν, καὶ τοὺς τῶν Ἰουδαίων καθηγητὰς, δηλονότι τοὺς ἱερεῖς, διαμαρτυρασθαι, ὅτι παρ' ἐλπίδα καὶ παραδόξως ἀπηλλάγησαν τοῦ κακοῦ, τοῦ Χριστοῦ τοῦτο κατανεύσαντος. καὶ δὴ ἐν τῷ αὐτοὺς ὑπάγειν καθαροὶ γίνονται, καὶ οἱ μὲν ἐννέα ἅτε Ἰουδαῖοι ὄντες, εἰς ἀχώριστον λήθην ἐμπεσόντες, οὐχ ὑπέστρεψαν δοῦναι δόξαν τῷ Θεῷ, ὅθεν σκληροκάρδιον καὶ ἀμνήμονα παντελῶς δεικνύει τὸν Ἰσραὴλ, ὁ δὲ ἀλλογενὴς, τουτέστιν ὁ Σαμαρείτης, διὰ τὸ ἐξ Ἀσσυρίων κατάγειν τὸ γένος ἀλλογενής· οὐ γὰρ μάτην λέγει, ἐν μέσῳ τῆς Σαμαρείας καὶ Γαλιλαίας καὶ Ἰουδαίας, "ὑπέστρεψε μετὰ φωνῆς "μεγάλης δοξάζων τὸν Θεόν." Δεικνύει οὖν ὅτι οἱ Σαμαρεῖται εὐγνώμονες, Ἰουδαῖοι δὲ εὐεργετούμενοι ἀχαριστοῦσιν.

20 Ἐπειδὴ γὰρ ὁ τῶν ὄχλων Σωτὴρ ἐν τοῖς πρὸς ἅπαντας λόγοις διεμέμνητο πανταχοῦ τῆς βασιλείας τοῦ Θεοῦ, διὰ τοῦτο καταμειδιῶντες οἱ τάλανες, ἢ τάχα που εἰς νοῦν ἔχοντες ὅτι τὸν ἐπὶ ξύλου θάνατον ὑπομενεῖ ταῖς αὐτῶν δυστροπίαις σεσαγηνευομένος, εἰς τοῦτο κατειρωνεύοντες, καί φασι, "πότε ἔρχεται ἡ βασιλεία "τοῦ Θεοῦ," ἀντὶ τοῦ, πρὸ τῆς παρὰ σοῦ λαλουμένης βασιλείας, σταυρός σε καὶ θάνατος λήψεται. Τί οὖν πρὸς ταῦτα Χριστός; "ἡ βασιλεία τοῦ Θεοῦ ἐντὸς ὑμῶν ἐστι," τουτέστιν ἐν ταῖς ὑμετέραις προαιρέσεσι, καὶ ἐν ἐξουσίᾳ κεῖται τοῦ λαβεῖν αὐτήν. Ἔξεστι γὰρ ἀνθρώπῳ παντὶ τὴν εἰς Χριστὸν δικαίωσιν, τὴν διὰ τῆς πίστεως δὲ δηλονότι καταπλουτήσαντι, καὶ διὰ πάσης ἀρετῆς ἐκλελαμπρυσμένῳ, τῆς τῶν οὐρανῶν βασιλείας ἐπιτυχεῖν.

22 Ἑτοίμους δὲ εἶναι βουλόμενος τοὺς ἁγίους αὐτοῦ μαθητὰς πρὸς πᾶν ὁτιοῦν τῶν ἀνιᾶν πεφυκότων, καὶ προευτρεπίζεσθαι πρὸς ὑπομονὴν, ἵνα εὐδόκιμοι γενόμενοι δυνηθῶσιν εἰσελθεῖν εἰς τὴν τοῦ Θεοῦ βασιλείαν, φησὶ πρὸς αὐτούς· "ἐλεύσονται ἡμέραι ὅτε "ἐπιθυμήσετε μίαν τῶν ἡμερῶν τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἰδεῖν, καὶ

"οὐκ ὄψεσθε," τουτέστιν ἐπὶ γῆς συνδιαγωγῆς αὐτοῦ, καίτοι καὶ τότε σὺν αὐτῷ ὄντες, θλίψιν ὑπομένοντες, ἀλλὰ πρὸς ἀντιπαράθεσιν τῶν ὑπερκειμένων κακῶν αἱρετά πως ἦσαν τὰ ἐλάττονα. Μειζόνων γὰρ μετὰ τὴν αὐτοῦ ἀνάληψιν θλίψεων ἐπειράθησαν.

Περὶ τῆς δευτέρας αὐτοῦ παρουσίας, καὶ ὅτι "ὡς ἀστραπὴ "οὕτως ἔσται," ἕως "μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω," προεγράφη εἰς τὸ κατὰ Ματθαῖον.

Κυρίλλου Ἀλεξανδρείας. Διαμεμήνυκε λέγων, ὡς ἀστραπὴν ἔσεσθαι τὴν ἑαυτοῦ παρουσίαν. ἐγενήθη μὲν κατὰ σάρκα καὶ ἐκ γυναικὸς, τὴν ἐφ' ἡμῖν πληρώσων οἰκονομίαν· κεκένωται διὰ τοῦτο καὶ τεταπείνωκεν ἑαυτὸν, καὶ οὐκ ἐν δόξῃ θεότητος ἐμφανῶς· ἐκάλει γὰρ ὁ καιρὸς εἰς τοῦτο, καὶ τῆς οἰκονομίας ἡ χρεία· μετὰ δὲ τὴν ἐκ νεκρῶν ἀνάστασιν ἀναπτὰς εἰς οὐρανὸν, καὶ συνεδρεύσας τῷ Θεῷ καὶ Πατρὶ, καταβήσεται πάλιν, οὐκ ἐν ὑφέσει δόξης, οὔτε μὴν ἐν ἀνθρωπίνῃ σμικροπρεπείᾳ, ἀλλ' ἐν τῇ τοῦ Πατρὸς ὑπεροχῇ, πληθύος Ἀγγέλων δορυφορούσης αὐτὸν, καὶ παρισταμένης ὡς Θεῷ καὶ Κυρίῳ τῶν ὅλων. Ἥξει τοίνυν ὡς ἀστραπὴ καὶ λεληθότως, καὶ οὐδενὶ πιστευτέον λέγοντι, "ἰδοὺ ὧδε ἢ ἐκεῖ."

33 Φέρει δὲ εἰς ὑπόδειγμα τὴν γυναῖκα τοῦ Λὼτ, τὴν μετὰ τὸ ἐξελθεῖν ἀπὸ Σοδόμων στραφεῖσαν εἰς τὰ ὀπίσω, καὶ διὰ τοῦτο γενομένην στήλην ἁλὸς, τουτέστιν, ἀπολιθωθεῖσαν, ὅπως ἕκαστος τῆς πνευματικῆς ἐργασίας, ἀνδρείως ἀντέχηται. Διὸ καὶ τοῦ Λὼτ ἐμνημόνευσε καὶ τῶν ἐν Σοδόμοις, θείου πυρὸς ἔργον καὶ τροφὴ γενομένοις.

Πῶς ἀπόλλυσί τις τὴν ἑαυτοῦ ψυχὴν, ἵνα αὐτὴν διασώσῃ; ἢ καὶ τίνα τρόπον ὁ διασῶσαι νομίσας ἀπόλλυσιν αὐτήν; ὁ θεῖος Ἀπόστολος περὶ τούτων φησὶν, "οἱ δὲ τοῦ Χριστοῦ Ἰησοῦ σάρκα "ἐσταύρωσαν, σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις," πόνοις δηλονότι καὶ τοῖς εἰς εὐσέβειαν ἀγῶσι, κατανεκροῦντες τὸ τῆς σαρκὸς φρόνημα, καθώς φησιν, "νεκρώσατε τὰ μέλη τὰ ἐπὶ τῆς "γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν καὶ τὴν "πλεονεξίαν·" ὅσοι οὖν τούτων ἕνεκα νεκροῦνται, οὗτοι σεσώκασι τὴν ἑαυτῶν ψυχὴν, οἵ γε μὴν φιλήδονον αἱρούμενοι βίον καὶ οἴονται[b] τὴν ἑαυτῶν ψυχὴν κτᾶσθαι, ἀπολλύουσι πάντως αὐτήν·

[b] οἴοντε Cod.

“ ὁ γὰρ σπείρων,” φησὶν, “ εἰς τὴν σάρκα θερίσει φθοράν.” ἔστι δὲ καὶ ἑτέρως ἀπολέσαντά τινα τὴν ἑαυτοῦ ψυχὴν διασῶσαι, ὃ καὶ οἱ μακάριοι πεπράχασι μάρτυρες, τοὺς μέχρι ψυχῆς καὶ αἵματος διενεγκόντες ἀγῶνας, τῆς εἰς Χριστὸν ἀγάπης ἕνεκα, καὶ στέφανον ταῖς ἑαυτῶν κεφαλαῖς ἀνῆψαν. οἱ ἐξ ἀνάνδρου δὲ ψυχῆς καὶ γνώμης τὸν παραύτικα τῆς σαρκὸς διαφυγόντες θάνατον, οὗτοι φονευταὶ τῆς ἑαυτῶν γεγόνασι ψυχῆς· κατοικήσονται γὰρ εἰς ᾅδου τῆς κακοανδρείας ὑφέξοντες δίκας.

Ἔοικε διὰ τούτων τοὺς ἐν πτωχείᾳ καὶ πόνοις ὄντας ὑποδηλοῦν· οἱ μὲν γὰρ τὸ τῆς πτωχείας φορτικὸν γενναίως φέροντες, σωφρόνως τε καὶ ἐπιεικῶς βιοῦντες, οὗτοι παραλειφθήσονται, δίκαιοι δηλονότι τυγχάνοντες· οἱ δὲ μὴ τοιοῦτοι, ἀλλὰ κακοῦργοι καὶ πάσης φαυλότητος ἐπιτηδευταὶ, ἀφεθήσονται τῇ διὰ πυρὸς ὑποκεισόμενοι δίκῃ. ἀποστελεῖ γὰρ, φησὶ, τοὺς Ἀγγέλους αὐτοῦ καὶ ἐκλέξωσιν ἐκ τῶν ἁμαρτωλῶν τοὺς δικαίους, καὶ προσοίσουσιν αὐτῷ.

36 Τὸ δὲ “ ὅπου τὸ σῶμα,” καὶ τὰ ἑξῆς, τοῦτο δηλοῖ, ὥσπερ οὖν σώματος κειμένου νεκροῦ τὰ σαρκοβόρα τῶν πτηνῶν ἐπ᾽ αὐτὰ συντρέχει, οὕτως ὅταν ὁ υἱὸς τοῦ ἀνθρώπου παραγένηται, τότε δὴ πάντες οἱ ἀετοὶ, τουτέστιν οἱ ὑψηλὰ πετόμενοι καὶ ἄνω τῶν ἐπιγείων κοσμικῶν ἀνενηγμένοι πραγμάτων, ἐπ᾽ αὐτὸν ἀναδραμοῦνται[c].

Νύκτα ὀνομάζει τὸν τῆς κρίσεως καιρὸν διὰ τὸ ἀφανὲς καὶ ἀπροσδόκητον τῆς παρουσίας αὐτοῦ, κλίνην δὲ τὴν ἀνάπαυσιν.

ΚΕΦ. Ξ.

Περὶ τοῦ κριτοῦ τῆς ἀδικίας.

1 Διὰ τῆς προκειμένης παραβολῆς τῆς λεγούσης “ κριτής τις “ ἦν,” καὶ τὰ ἑξῆς, ἀδιαλείπτως ἡμᾶς προσεύχεσθαι προτρέπεται Χριστὸς ὁ Θεὸς ἡμῶν, καὶ μὴ ἐκκακεῖν ἐν ταῖς δεήσεσιν. Εἰ γὰρ τὸν ἄδικον κριτὴν, τὸν μήτε Θεὸν φοβούμενον μήτε μὴν ἀνθρώπους ἐντρεπόμενον, δεδυσώπηκε τῆς χήρας ἡ συνεχὴς πρόσοδος, ὥστε καὶ ἄκοντα ποιῆσαι τὴν ἐκδίκησιν αὐτῆς, πῶς ὁ φιλοικτίρμων καὶ μισοπόνηρος, ὁ τοῖς ἀγαπῶσιν αὐτὸν χεῖρα νέμων ἀεὶ τὴν

[c] Hoc Scholium Cyrillo tribuit Cod. Meerman. Vid. Suppl. ad Cat. in S. Matth.

σώζουσαν, οὐ προσδέξεται μὲν τοὺς προσιόντας αὐτῷ καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ, ποιήσει δὲ τὴν ἐκδίκησιν αὐτῶν, ὡς ἐκλεκτῶν αὐτοῦ; καὶ ταῦτα μὲν ὁ ἅγιος Κύριλλος. ὁ δὲ Χρυσόστομος καὶ αὐτὸς εἰς διαφόρους λόγους αὐτοῦ περὶ τοῦ κριτοῦ τῆς ἀδικίας λέγει, ὅτι πονηρός τις ἦν καὶ παράνομος, καὶ αὐτὸ δὲ τὸ ἅγιον Εὐαγγέλιον τοῦτο δείκνυσιν ἐν τῷ λέγειν τὸν Κύριον, "ἀκούσατε τί "ὁ κριτὴς τῆς ἀδικίας λέγει· ὁ δὲ Θεὸς οὐ μὴ ποιήσῃ τὴν "ἐκδίκησιν τῶν ἐκλεκτῶν αὐτοῦ·" παρέστησε γὰρ διὰ τούτων, ἄλλον εἶναι τὸν κριτὴν τῆς ἀδικίας, καὶ ἄλλον τὸν Θεόν. Πῶς οὖν μετὰ τοιαύτας ἐμφανεῖς ἀποδείξεις, οὐ φρίττουσί τινες ὅλως, κἂν εἰς ἔννοιαν λαμβάνειν, μή τι γε καὶ παρρησίᾳ λαλεῖν, αὐτὸν τὸν Θεὸν εἶναι κριτὴν τῆς ἀδικίας, ἐκπλήττεσθαι χρή.

8 Οὐκ ἀγνοῶν ὁ δεσπότης Χριστὸς, πῶς γὰρ ὁ πάντα εἰδώς; φησι, "πλὴν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐλθὼν ἄρα εὑρήσει τὴν πίστιν "ἐπὶ τῆς γῆς;" ἀλλ' ὑπεκφαίνων ὅτι ἀποδραμοῦνταί τινες ἐν ἐσχάτοις καιροῖς τῆς ὀρθῆς πίστεως καὶ ἀδιαβλήτου, προσέχοντες πνεύμασι πλάνης καὶ ψευδηγορίαις διεστραμμένων ἀνθρώπων.

ΚΕΦ. ΞΑ.

Περὶ τοῦ Φαρισαίου καὶ τοῦ τελώνου.

10 Διὰ τῆς τοῦ Φαρισαίου καὶ τοῦ τελώνου παραβολῆς διδάσκει ἡμᾶς ὁ φιλάνθρωπος Κύριος καὶ Θεὸς Ἰησοῦς ὁ Χριστὸς, τίνα χρὴ τρόπον τὰς πρὸς αὐτὸν ποιεῖσθαι δεήσεις, ἵνα μὴ ἄμισθον εὑρεθῇ τοῖς χρωμένοις τὸ πρᾶγμα, μηδὲ δι' ὧν ὠφελεῖσθαί τις νομίζοι, διὰ τούτων αὐτὸν παροτρύνει καθ' ἑαυτοῦ τὸν τῶν ἄνωθεν χαρισμάτων δοτῆρα Θεόν. Γέγραπται γὰρ, ὅτι "ἔστι δίκαιος "ἀπολλύμενος ἐν δικαίῳ[d] αὐτοῦ·" ὅθεν καὶ ὁ Φαρισαῖος ἐνταῦθα διὰ τοῦτο κατακέκριται, ὅτι μὴ ἐπιστημόνως ἐποιεῖτο τὴν προσευχήν. Πολλὰ γὰρ κατ' αὐτοῦ τὰ ἐγκλήματα· καὶ γὰρ ὡς ἄνους οὐ μόνον τεθαύμακεν αὐτὸς ἑαυτὸν, ἀλλὰ καὶ πολλοὺς ἑτέρους σὺν τῷ τελώνῃ κατέκρινεν· ὁ δὲ κατακριθεὶς ὑπ' αὐτοῦ τελώνης οὐδ' ὅσον εἰπεῖν ἀνατεῖναι τολμῶν εἰς ὕψος τοὺς ὀφθαλμοὺς, ἀλλὰ περιστείλας τὴν παρρησίαν ὡς οὐκ ἔχων αὐτὴν, τοῖς ἀπὸ τοῦ

[d] ἐνιδικαίως Cod.

συνειδότος ἐλέγχοις πληττόμενος ἐφοβεῖτο καὶ μόνον ὀφθῆναι Θεῷ, ὡς ὀλίγα φροντίσας τῶν αὐτοῦ νόμων. Τύπτων οὖν τὸ στῆθος ὡμολόγει τὰ ἐγκλήματα, καὶ δεικνὺς ὡς ἰατρῷ τὴν νόσον, ἐλεηθῆναι παρεκάλει, διὸ καὶ "κατέβη," φησὶν ὁ δίκαιος κριτὴς, "οὗτος δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ" παρ᾽ ἐκεῖνον. Ταῦτα τοιγαροῦν ἀκούοντες ἐμφρόνως τὰς ἀρετὰς κατορθώσωμεν, καὶ μηδεὶς τούτου χάριν ὑπεροψίαν νοσείτω, μεμνήσθω δὲ μᾶλλον τοῦ Κυρίου εἰπόντος τοῖς ἁγίοις Ἀποστόλοις, "ὅταν ταῦτα πάντα ποιήσητε·" δῆλον δὲ ὅτι τὰ διατεταγμένα αὐτοῖς, "λέγετε ὅτι δοῦλοι ἀχρεῖοι "ἐσμὲν, καὶ ὃ ὠφείλομεν ποιῆσαι πεποιήκαμεν." "πᾶς γάρ," φησι, "ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, ὁ δὲ ταπεινῶν ἑαυτὸν "ὑψωθήσεται."

Ἰσιδώρου Πηλουσιώτου ἐπιστολή. *Θαυμάζειν ἔφης καὶ ἐκπλήττεσθαι, πῶς ὁ μὲν Φαρισαῖος μεγαλορρημονήσας προέκρουσεν. ὁ δὲ Ἰὼβ πλείονα καὶ μείζονα εἰρηκὼς εὐδοκίμησεν. Ἄκουε τοίνυν συντόμως. ὁ μὲν μηδενὸς παρακινοῦντος μηδὲ ἐρεθίζοντος μεγαληγορῶν, καὶ τῆς οἰκουμένης ἁπάσης φρονῶν μειζόνως ὁ Φαρισαῖος, εἰκότως προσκρούει· ὑπερηφανίαν γὰρ νοσεῖ. ὁ δὲ ἐν μὲν τῷ εὐδοκιμεῖν κρύπτων τὰ οἰκεῖα πλεονεκτήματα, ἐν δὲ τῷ κακηγορεῖσθαι φράζων πρὸς τὸ ἀποδύσασθαι τὰ ἐπιφερόμενα ἐγκλήματα, ὥσπερ ὁ ἀοίδιμος πεποίηκεν Ἰὼβ, πάσης αἰτίας ἔξω καθέστηκεν εἰς τοὺς οὐ δεόντως κακηγορίας τῆς αἰτίας ἀπηλλαγμένους.*

Περὶ τῶν βρεφῶν καὶ περὶ τοῦ εἰπόντος διδασκάλου ἕως "καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται" προεγράφη εἰς τὸ κατὰ Ματθαῖον.

12 Σευήρου ἐκ τῆς πρὸς Μάγναν. *Ἑστὼς ἐν μέσῳ τοῦ ἱεροῦ μεγαλοφώνως ᾔτει τε καὶ προσηύχετο, καὶ ὡς ἄξιος ὢν ὧν ᾔτει τυχεῖν, τὰς οἰκείας πράξεις ἀπηριθμεῖτο καὶ ἔλεγε, "νηστεύω δὶς "τοῦ σαββάτου" καὶ τὰ ἑξῆς, καὶ ὅσῳ πολλὰ κατέλεγε, τοσοῦτον πλέον τὴν θείαν ἀπέβυεν ἀκοὴν, καὶ ὁ τῶν ῥημάτων ὄγκος κενὸς περὶ τὰ χείλη κατέρρει, καὶ εἰς ἀφρὸν διελύετο, καθάπερ παφλάζοντα κύματα. τελώνης δέ τις μακρὰν ἑστὼς καὶ τοῦ νεῶ τὴν ἐσχάτην ὑποδὺς γωνίαν, τὸ στῆθος ἔπαιε, τὴν ψυχὴν ὥσπερ ὑπομιμνήσκων διὰ τούτου τῶν αὐτῇ πεπλημμελημένων καὶ εἰς*

αἴσθησιν διεγείρων καθεύδουσαν, καὶ μηδὲ τῆς ἐν τῇ προσευχῇ στάσεως αὐτὸν ἡγούμενος ἄξιον· τοῦτο μόνον ἐτόλμα λέγειν, ὁ Θεὸς, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ· καὶ τὸ μόλις ἐξιὸν τοῦ στόματος ῥῆμα, πτέρυξιν ὑψηλαῖς ἐπήρετο, πρὸς οὐρανὸν ἀνεφέρετο, καὶ κρούων τὴν θύραν, εἴσω τῆς θείας ἀκοῆς παρεπέμπετο, καὶ ἐδικαίου τὸν προσευξάμενον. ὁ γὰρ οἰόμενος ἑαυτὸν ἄξιον εἶναι τοῦ εἰς τὰ ἄδυτα παρακύπτειν τοῦ ἱεροῦ, καὶ πλησίον εἶναι τοῦ Θεοῦ, πόρρω μετὰ τῶν βεβήλων ἀπορριφήσεται· ὁ δὲ καὶ τὰς θύρας ψαῦσαι φρίττων, καὶ αὐτῶν τῶν ταμιείων τοῦ βασιλέως κατατρυφήσει, κατὰ τὴν ἐν τῷ ᾄσματι νυμφὴν τὴν λέγουσαν, "εἰσήνεγκέ με "ὁ βασιλεὺς εἰς τὸ ταμιεῖον αὐτοῦ."

17 Τοῦ Χρυσοστόμου. Διδάσκων τοὺς μαθητὰς ὁ Χριστὸς μετριάζειν καὶ τῦφον καταπατεῖν κοσμικὸν, τοῖς τοιούτοις τὴν βασιλείαν ἐπαγγέλλεται φάσκων, "ἀμὴν, λέγω ὑμῖν, ὃς ἐὰν μὴ δέξηται "τὴν βασιλείαν τοῦ Θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν." Οὗτος γὰρ φιλοσοφίας ὅρος, τὸ μετὰ συνέσεως ἄπλαστον εἶναι.

ΚΕΦ. ΞΒ.

Περὶ τοῦ ἐπερωτήσαντος τὸν Ἰησοῦν πλουσίου.

18 Τοῦ αὐτοῦ. [e]Τινὲς διαβάλλουσι τὸν νεανίσκον τοῦτον ὡς ὕπουλον τινὰ καὶ πονηρὸν, καὶ μετὰ πείρας τῷ Ἰησοῦ προσελθόντα, ἐγὼ δὲ φιλάργυρον αὐτὸν καὶ χρημάτων ἥττονα, οὐκ ἂν παραιτησαίμην εἰπεῖν. Ἐπειδὴ δὲ ὁ Χριστὸς τοιοῦτον αὐτὸν ἤλεγξεν, ὕπουλον δὲ οὐδαμῶς, διὰ τὸ μὴ ἀσφαλῶς τῶν ἀδήλων κατατολμᾷν, καὶ μάλιστα ἐν ἐγκλήμασι, καὶ τὸν Μάρκον ταύτην ἀνῃρηκέναι τὴν ὑποψίαν· καὶ γάρ φησιν, "ὅτι προσδραμὼν καὶ γονυπετῶν παρε- "κάλει αὐτὸν, καὶ ὅτι ἐμβλέψας αὐτῷ ὁ Ἰησοῦς ἠγάπησεν αὐτὸν," διὰ τί οὖν οὕτως ὁ Χριστὸς πρὸς αὐτὸν ἀπεκρίνατο λέγων, "οὐδεὶς "ἀγαθός;" ἐπειδὴ ὡς ἀνθρώπῳ προσῆλθε ψιλῷ, καὶ ἑνὶ τῶν πολλῶν, καὶ διδασκάλῳ Ἰουδαϊκῷ· διὰ τοῦτο ὡς ἄνθρωπος αὐτῷ διαλέγεται. καὶ γὰρ πολλαχοῦ πρὸς τὰς ὑπονοίας τῶν προσερχομένων ἀποκρίνεται. ὅταν οὖν εἴπῃ, "οὐδεὶς ἀγαθὸς," οὐχ ἑαυτὸν ἐκβάλλων τοῦ ἀγαθὸς εἶναι τοῦτο λέγει, ἄπαγε. οὐ γὰρ λέγει, τί με λέγεις

[e] Cf. Cat. ad S. Matth. p. 154 et seq. et Cat. in S. Marc. p. 376 et seq.

ἀγαθόν; οὐκ εἰμὶ ἀγαθὸς, ἀλλ' οὐδεὶς ἀγαθὸς, τουτέστιν, οὐδεὶς ἀνθρώπων, καὶ αὐτὸς δὲ ὅταν λέγῃ, οὐδὲ τοὺς ἀνθρώπους ἀποστερῶν ἀγαθότητος τοῦτο λέγει, ἀλλὰ πρὸς ἀντιδιαστολὴν τῆς τοῦ Θεοῦ ἀγαθότητος. Διὸ καὶ εἰσήγαγεν, "εἰ μὴ εἷς ὁ Θεός." καὶ οὐκ εἶπεν, εἰ μὴ ὁ Πατήρ μου, ἵνα μάθῃς ὅτι οὐκ ἐξεκάλυψεν ἑαυτὸν τῷ νεανίσκῳ, καὶ ὅταν λέγῃ, "μὴ καλέσητε διδάσκαλον ἐπὶ τῆς γῆς" πρὸς ἀντιδιαστολὴν αὐτοῦ τοῦτό φησι, καὶ ἵνα μάθωσι τίς ἡ πρώτη τούτων ἀρχή. Καὶ μετ' ὀλίγα—Λιπαρὰ ἦν ἡ γῆ, ἀλλὰ τῶν ἀκανθῶν τὸ πλῆθος τὸν σπόρον συνέπνιγεν. Εἰ δὲ πειράζων προσῆλθεν, ἐδήλωσεν ἂν ἡμῖν ὁ Εὐαγγελιστὴς, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων ποιεῖ, καὶ εἰ πειράζων προσῆλθεν, οὐκ ἂν ἀπῆλθε λυπούμενος ἐφ' οἷς ἤκουσε. Τοῦτο γοῦν οὐδεὶς ἔπαθέ ποτε τῶν Φαρισαίων, ἀλλ' ἠγρίαινον ἐπιστομιζόμενοι, οὗτος δὲ ἄπεισι κατηφὴς, ὅπερ οὐ μικρὸν σημεῖον τοῦ μὴ μετὰ πονηρᾶς γνώμης αὐτὸν προσελθεῖν, ἀλλ' ἀσθενεστέρας, καὶ ἐπιθυμεῖν μὲν τῆς ζωῆς, κατέχεσθαι δὲ ἑτέρῳ πάθει χαλεπωτάτῳ.

Τοῦ ἉΓΊΟΥ ΤΊΤΟΥ ΒΟΣΤΡΩ͂Ν. *Ὥστε Θεοῦ ἔργον τὸ σωθῆναι ἡμᾶς, ἀλλ' ἡμῶν τὸ θελῆσαι, Θεοῦ δὲ τὸ δωρήσασθαι.*

ΚΥΡΊΛΛΟΥ ἈΛΕΞΑΝΔΡΕΊΑΣ. *Ἔξεστι γὰρ αὐτοῖς, εἰ μὴ εἰς ἅπαν ἕλοιντο τῶν ὄντων ἀπολισθεῖν, ἑτέρως εὐδοκιμεῖν, "ποιῆσαι "φίλους ἐκ τοῦ ἀδίκου μαμμωνᾶ, ἵν' ὅταν ἐκλείπωσι, δέξωνται "αὐτοὺς εἰς τὰς αἰωνίους σκηνάς."*

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂. *Προσεπάγει δὲ τοῦτο ὁ Ματθαῖος τὸ "τί ἄρα "ἔσται ἡμῖν;" πρὸς τοῦτο ἐρεῖ τις, τί γὰρ ὅλως ἀφῆκαν οἱ μαθηταὶ, ἢ τίνων ἀντέκτισιν αἰτοῦσι παρὰ Χριστοῦ; Τί οὖν πρὸς ταῦτα φαμέν; μάλιστα μὲν ταύτης ἕνεκα τῆς αἰτίας ἀναγκαιοτάτην ἐποιοῦντο τὴν πεῦσιν. ὡς γὰρ οὐδὲν κεκτημένοι πλὴν ὅτι μικρὰ καὶ εὐτελῆ, βούλονται μαθεῖν τίνα τρόπον ἀμείψεται Θεὸς καὶ τοὺς ὀλιγοστὰ καταλελοιπότας διά γε τὴν βασιλείαν τοῦ Θεοῦ, τουτέστι διὰ τὸ ἐφίεσθαι τυχεῖν τῆς τῶν οὐρανῶν βασιλείας, διὰ τῆς εἰς αὐτὸν ἀγάπης. ἀραρότως μὲν γὰρ ὁ πλούσιος καταφρονήσας πολλῶν, προσδοκήσει τὰς ἀμοιβάς. ὁ δέ γε μικρὰ κεκτημένος, εἶτα τούτων ἀποστὰς, ἐν ποίαις ἐλπίσιν ἔσται, πῶς οὐκ ἔδει μαθεῖν; εἶτα πρὸς τούτοις κἀκεῖνο εἰπεῖν ἀναγκαῖον, τὸ γάρ τοι πολλῶν ἢ ὀλίγων ἀπολισθεῖν ἴσον τοῖς πάθεσιν εἴη ἄν,*

κατά γε τὸν τῆς ὀρθότητος λόγον· οὐκοῦν τό γε ἧκον εἰς ὑπακοὴν καὶ πρόθεσιν ἐν ἴσῃ τάξει καταλογισθεῖεν ἂν τοῖς πολλὰ κεκτημένοις, οἱ μὴ κατ᾽ αὐτοὺς μένοντες· εἶτα ταῖς ἴσαις προθυμίαις χρώμενοι, καὶ τῶν ἐνόντων τὴν ἀπεμβολὴν ἑκούσιον ὑπομένοντες.

Διὰ τοῦτο δὲ οἱ Ἀπόστολοι "οὐδὲν τούτων συνῆκαν, ἀλλ᾽ ἦν τὸ "ῥῆμα τοῦτο κεκρυμμένον ἀπ᾽ αὐτῶν, καὶ οὐκ ἐγίνωσκον τὰ λεγό"μενα," ἐπειδὴ οὐδέπω ᾔδεισαν ἀκριβῶς τὰ παρὰ τῶν ἁγίων προφητῶν προκεκηρυγμένα.

ΚΕΦ. ΞΓ.

Περὶ τοῦ τυφλοῦ.

35 Προσῆλθε μὲν ὁ τυφλὸς ὡς Θεῷ τῷ πάντα ἰσχύοντι, ὀνομάζει δὲ αὐτὸν υἱὸν Δαβὶδ, ἐπειδὴ τεθραμμένος ἐν Ἰουδαισμῷ οὐκ ἠγνόησε τὰ διὰ τοῦ νόμου καὶ τῶν προφητῶν περὶ αὐτοῦ προηγορευμένα, ὅτι ἐκ γένους ὑπῆρχε τοῦ Δαβὶδ τὸ κατὰ σάρκα· οὐκοῦν ὡς ἤδη πεπιστευκὼς ὅτι Θεὸς ὢν ὁ Λόγος ὑπέμεινε τὴν κατὰ σάρκα γέννησιν, τὴν ἀπό γε τῆς παναγίας παρθένου φημὶ, πρόσεισιν ὡς Θεῷ λέγων, "ἐλέησόν με, υἱὲ Δαβίδ." ὅτι γὰρ οὕτω διατιθεὶς προσεκόμισε τὴν ἱκετηρίαν, ἐπιμαρτυρήσει λέγων αὐτῷ ὁ Χριστὸς, "ἡ πίστις σου σέσωκέ σε." θαυμάσωμεν δὲ αὐτοῦ καὶ τὴν ἔνστασιν τῆς ὁμολογίας, ὅτι τινῶν ἐπιτιμώντων αὐτῷ, αὐτὸς οὐκ ἀνίει· διὸ καὶ τετίμηται εἰκότως παρὰ Χριστοῦ τοῦ Θεοῦ· κέκληται γὰρ παρ᾽ αὐτοῦ, καὶ ἐγγὺς γενέσθαι προστέτακται.

41 Οὐκ ἀγνοῶν δὲ ἠρώτησεν αὐτὸν ὁ πάντα εἰδὼς, "τί θέλεις "ποιήσω σοι;" ἀλλ᾽ ἵνα μάθοιεν οἱ παρεστηκότες, ἤγουν οἱ συμβαδίζοντες, ὡς οὐ χρήματα αἰτεῖν αὐτὸν, ἀλλ᾽ ἐνέργειαν θεϊκὴν, ὡς παρὰ Θεοῦ. Ἐπειδὴ δὲ τὸν τῆς αἰτήσεως ἐνεφάνισε τρόπον, τότε δὴ τότε τῆς Ἰουδαίων ἀπιστίας ἔλεγχος ἦν τὸ εἰρημένον παρὰ Χριστοῦ· ἔφη γὰρ μετ᾽ ἐξουσίας τῆς ἀνωτάτω, "ἀνάβλεψον·" τίς γὰρ τῶν ἁγίων προφητῶν εἶπέ τι τοιοῦτον, ἤγουν ἐν τοσαύτῃ λελάληκεν ἐξουσίᾳ; ὅθεν καὶ φῶς τῷ κάμνοντι γέγονεν ἡ φωνή· φωτὸς γὰρ ἦν λόγος τοῦ ἀληθινοῦ· ἀπαλλαγεὶς δὲ τῆς νόσου, οὐ κατημέλησε τοῦ εἶναι φιλόχριστος, ἠκολούθει γὰρ, φησὶν, αὐτῷ, τὴν δόξαν ἀναπέμπων ὡς Θεῷ· γέγονε δὲ καὶ ἑτέροις πρόφασις

τοῦ δοξάζειν αὐτὸν, ἅπας γὰρ, φησὶν, ὁ λαὸς ἔδωκεν αἶνον τῷ Θεῷ.

ΚΕΦ. ΞΔ.

Περὶ τοῦ Ζακχαίου.

2 Ἀρχιτελώνης ἦν ὁ Ζακχαῖος, ἐπ' ἐπιτάσει δὲ πολλῇ παρ' αὐτῷ τὸ φιλάργυρον, καὶ τῆς πλεονεξίας ὁ σκοπὸς, τοῦτο γὰρ τοῖς τελώναις τὸ ἐπιτήδευμα· ἀλλ' οὐ μεμένηκεν ἐν τούτοις ὁ Ζακχαῖος· ἠξιώθη δὲ φειδοῦς τῆς παρὰ τοῦ Χριστοῦ· αὐτὸς γάρ ἐστιν ὁ καλῶν ἐγγὺς τοὺς μακρὰν, καὶ φωτίζων τοὺς ἐσκοτισμένους. ἐπιθυμήσαντος γὰρ ἐκείνου τὸν Κύριον Ἰησοῦν θεάσασθαι, καὶ διὰ τοῦτο ἐπὶ συκομορέαν ἀνελθόντος, ἐβλάστησεν ἐν ἑαυτῷ σπέρμα σωτηρίας· ὅνπερ ἰδὼν ὁ Χριστὸς τοῖς τῆς θεότητος ὀφθαλμοῖς, ὁ πάντας ἀνθρώπους θέλων σωθῆναι· προτείνει τὴν ἡμερότητα λέγων, "Ζακχαῖε, σπεύσας κατάβηθι" καὶ τὰ ἑξῆς· ἐγίνωσκε γὰρ ὡς προγνώστης Θεὸς τὸ ἐσόμενον. εἶδεν ἀνθρώπου ψυχὴν ἑτοιμότατα διανεύουσαν εἴς γε τὸ ἑλέσθαι βιοῦν ἁγίως, καὶ μετέθεικεν εἰς εὐσέβειαν· καὶ γὰρ ὑπεδέξατο τὸν Ἰησοῦν χαίρων, ὅθεν καὶ γέγονεν εὐθὺς ἐλεήμων καὶ φιλοπτωχείας ἐραστὴς, καὶ τοῖς ἠδικημένοις ὑπέσχετο τετραπλοῦν ἅπερ ἠδίκησεν ἀποδοῦναι, κατὰ τὸν νόμον τὰ τέσσαρα πρόβατα ἀντὶ ἑνὸς ἐκτίσειν κελεύοντα. Διό φησι Χριστὸς ὁ Θεὸς ἡμῶν, "σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ "γέγονε, καθότι καὶ αὐτὸς υἱός ἐστιν Ἀβραάμ." ἔνθα γὰρ εἰσβάλλῃ Χριστὸς, ἐκεῖ πάντως ἐστὶ καὶ σωτηρία. Ἔδει δὲ καὶ τοὺς Ἰουδαίους χαίρειν ἐπὶ Ζακχαίῳ σεσωσμένῳ παραδόξως, ὅτι καὶ αὐτὸς εἰς υἱοὺς ἐτέλει τοῦ Ἀβραὰμ, οἷς τὴν διὰ Χριστοῦ λύτρωσιν διὰ προφητῶν ἁγίων ἐπηγγείλατο Θεός.

5 Τοῦ ἁγίου Τίτου Βοστρῶν. Παραθαρρύνας αὐτὸν λέγει, "σπεύσας κατάβηθι," σοῦ χρείαν ἔχω, μέγα σου τὸ ἕλκος, μεγάλην ἐπιδείκνυμι τὴν θεραπείαν, ἐν τῷ οἴκῳ σου δεῖ με μεῖναι, οὐ τοσοῦτον ἐν τῷ ἔξω, ὅσον ἐν τῷ τῆς διανοίας. καὶ ὑπεδέξατο αὐτὸν χαίρων· ἔτυχε γὰρ ὧν μὴ προσεδόκα. Ἐπαγγέλλεται δὲ τῷ Σωτῆρι τὰ ἡμίση τῶν ὑπαρχόντων, οὐχ ἵνα ἑαυτῷ τὰ λοιπὰ παρακατάσχῃ, ἀλλ' ἵνα τετραπλασίονα ἀποτίσῃ τοῖς πλεονεκτηθεῖσιν. ἐπὶ τούτοις Ἰησοῦς εὐφραίνεται καί φησι, "σήμερον σωτηρία

“γέγονε τῷ οἴκῳ τούτῳ.” ἠπίστατο γὰρ τὸ ὁλόκληρον τοῦ μετανοήσαντος, τετραπλασίονα δὲ ἀποδίδωσι τοῖς ἀδικηθεῖσι, νόμιμον ποιούμενος τὴν ἔκτισιν.

ΚΕΦ. ΞΕ.

Περὶ τοῦ πορευθέντος λαβεῖν ἑαυτῷ βασιλείαν.

12 Ὁ σκοπὸς τῆς προκειμένης παραβολῆς ὅλην ὡς ἐν βραχέσι παριστᾷ τῆς ἐφ᾽ ἡμῖν γενομένης οἰκονομίας τοῦ Θεοῦ Λόγου τὴν δύναμιν, καὶ τοῦ κατ᾽ αὐτὸν μυστηρίου τὰ ἀπαρχῆς μέχρι τέλους. γέγονε μὲν γὰρ ἄνθρωπος Θεὸς ὢν ὁ Λόγος, κεχρημάτικε δὲ διὰ τοῦτο καὶ δοῦλος, ἀλλ᾽ ἦν καὶ ἔστιν εὐγενὴς, κατά γε τὴν ἐκ Πατρὸς ἄρρητον γέννησιν. ἀποπεράνας δὲ τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ μυστήριον, εἰς τὴν ἐνοῦσαν αὐτῷ κατὰ φύσιν ἀναπεφοίτηκε δόξαν, καὶ οἷον ἀποδεδήμηκεν εἰς χώραν μακράν· χώρα γὰρ ἑτέρα παρὰ τὴν γῆν ὁ οὐρανός. Ἀνέβη δὲ λαβεῖν ἑαυτῷ βασιλείαν. πῶς δὲ ὁ τῶν ὅλων βασιλεύων μετὰ τοῦ Πατρὸς ἄνεισι πρὸς αὐτὸν, ληψόμενος βασιλείαν; δηλονότι ἐνανθρωπήσαντι τῷ Υἱῷ καὶ τοῦτο δίδωσιν ὁ Πατήρ. Ἀναφοιτήσας γὰρ εἰς οὐρανὸν, κεκάθικεν ἐν δεξιᾷ τῆς μεγαλοσύνης ἐν ὑψηλοῖς, τὸ λοιπὸν ἐκδεχόμενος ἕως οὗ τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ.

14 Τίνες δέ εἰσιν οἱ πολῖται αὐτοῦ οἱ μισοῦντες αὐτόν; οἱ Ἰουδαῖοι, περὶ ὧν φησὶν, “ὅτι καὶ ἑωράκασι καὶ μεμισήκασι καὶ ἐμὲ “καὶ τὸν Πατέρα μου,” καὶ οὐκ ἠθέλησαν αὐτὸν ἐπ᾽ αὐτοὺς βασιλεῦσαι. διὸ καὶ ἔλεγον πρὸς Πιλάτον ἀρνούμενοι τὴν βασιλείαν αὐτοῦ, “οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα,” καίτοι Ζαχαρίου τοῦ προφήτου βοῶντος, “χαῖρε σφόδρα, θύγατερ Σιὼν, ὅτι ἰδοὺ “ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σώζων·” ὁμοίως καὶ Ἡσαΐου, “ἰδοὺ δὴ βασιλεὺς δίκαιος βασιλεύσει, καὶ ἄρχοντες “μετὰ κρίσεως ἄρξουσιν·” ἔτι δὲ καὶ τοῦ προφήτου Δαβὶδ περὶ αὐτοῦ τοῦ Χριστοῦ λέγοντος· “ἐγὼ δὲ κατεστάθην βασιλεὺς “ὑπ᾽ αὐτῶν.”

ΚΕΦ. ΞϚ.

Περὶ τῶν λαβόντων τὰς μνᾶς.

13 *Ποίους δὲ δούλους καλέσας τούτοις διένειμε τὰς δέκα μνᾶς; τοὺς τελείους τὴν ἕξιν, οἷς ἂν πρέπῃ καὶ ἡ στερεὰ τροφὴ, τοὺς μυσταγωγεῖν εἰδότας ὀρθῶς, καὶ πρὸς πᾶσαν ἀρετὴν ἑαυτούς τε καὶ ἑτέρους ἀπευθύνοντας. οὗτοι γὰρ νουθετοῦντας τοὺς ὑπὸ χεῖρα λαοὺς προσεργάζονται τοῖς δοθεῖσι, καὶ τὸν τοῖς ἁγίοις πρέποντα κερδαίνουσι κλῆρον. ὑποστρέψαντος γὰρ μετὰ τὸ λαβεῖν τὴν βασιλείαν τοῦ ἀνθρώπου τοῦ εὐγενοῦς, δῆλον δὲ ὅτι Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· ἐν δευτέρᾳ αὐτοῦ παρουσίᾳ τεύξονται καὶ ἐπαίνων, καὶ ταῖς ἀνωτάτω τιμαῖς ἐντρυφήσωσι. δεκαπλασιάσαντες γὰρ καὶ παντaπλασιάσαντες τὰ δοθέντα διὰ τοῦ κερδᾶναι πολλοὺς, ἐπάνω δέκα πόλεων ἢ πέντε γενήσονται, τουτέστιν ἄρξουσι πάλιν, οὐχ ὧν ἦρξαν πρὸ τούτου μόνων, ἀλλὰ γὰρ καὶ ἑτέρων ἔτι πολλῶν. Ἀτιμία δὲ ἔσται τοῖς ὄκνῳ νενικημένοις· ὁ γάρ τοι κατακρύψας σουδαρίῳ τὴν μνᾶν, ὑπενήνεκται τῇ τοιᾷδε δίκῃ.*

Ταύτην δὲ τὴν παραβολὴν εἶπεν, ἐπειδὴ ἔλεγεν, ἤγγικεν ἡ βασιλεία τοῦ Θεοῦ, καὶ θεασάμενοι αὐτὸν εἰς Ἱερουσαλὴμ ἀνιόντα ᾠήθησαν διὰ τοῦτο ἀνιέναι, ἵνα δὴ ἀρχὴν δῷ τῇ βασιλείᾳ τοῦ Θεοῦ. ταῦτα μὲν οὖν ἐκεῖνοι ἐνόμιζον, οὐ μὴν ἔλεγον, ἀλλ' ἐν ταῖς διανοίαις αὐτῶν ἐκύλιον τὴν προσδοκίαν. Ὁ δὲ πλάσας τὴν καρδίαν καὶ τοὺς λόγους ἐπιστάμενος, ᾔδει ταύτην αὐτῶν τὴν προσδοκίαν, καὶ διορθοῦται τὸ σφάλμα διὰ παραβολῆς· εὐκαταφρόνητος γὰρ πᾶσα γυμνότης λόγου.

22 *Εἰ γὰρ "αὐστηρός εἰμι," φησὶ, "θερίζων ὅπου οὐκ ἔσπειρα," διὰ τί μὴ τὴν δοθεῖσάν σοι χάριν, τοῦτο γάρ ἐστιν ἡ μνᾶ, δέδωκας τοῖς τραπεζίταις, τουτέστι, προὔθηκας εἰς ἀπόλαυσιν τοῖς εὖ εἰδόσι δοκιμάζειν τὰ παρὰ σοῦ. Ἐγὼ γὰρ ἐλθὼν ἔπραξα ἄν· τουτέστιν, ἀπῄτησα τὸ ἐμὸν σὺν τόκῳ· τῶν μὲν γὰρ διδασκάλων ἐστὶ τὸ κατασπείρειν τοῖς ἀκροωμένοις τὸν ἐπωφελῆ καὶ σωτήριον λόγον, τοῖς ἀκροωμένοις δὲ οὐ μόνον τὰ καταβληθέντα τηρεῖν ἀμείωτα, ἀλλὰ καὶ πᾶσαν ἀρετὴν προσεργάσασθαι. Διόπερ ὁ μὲν ὀκνηρὸς*

οἰκέτης γυμνὸς καὶ τοῦ δοθέντος ἔσται χαρίσματος, οἱ δὲ τὴν ἀμείνω βαδίζοντες ὁδὸν, ἐν προσθήκῃ θείων χαρισμάτων γενήσονται· ἔτι δὲ καὶ τῶν αἰωνίων ἀγαθῶν ἀπολαύσωσιν· οἱ δὲ μὴ θελήσαντες Ἰουδαῖοι ἐπ' αὐτοὺς βασιλεῦσαι τὸν ἄνθρωπον τὸν εὐγενῆ, κατεσφάγησαν ἔμπροσθεν αὐτοῦ, φησί. Καὶ γὰρ ἔπαθον καὶ νῦν τοῦτό τινες ἐξ αὐτῶν ἐπὶ τῇ τῶν Ἱεροσολύμων ἁλώσει· ἐν δὲ τῇ δευτέρᾳ παρρουσίᾳ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, πάντες οὗτοι ὥσπερ ἐν σφαγῇ τῇ ἀτελευτήτῳ κολάσει δοθήσονται.

Τοῖς γὰρ κατακούσασι προθύμως τῶν αὐτοῦ λόγων τοῖς μαθηταῖς λέγω καὶ τοῖς ἐξ ἐθνῶν πεπιστευκόσι, καὶ κατέχουσιν ἐν τῇ διανοίᾳ τὸν τῆς διδασκαλίας θεμέλων, καὶ ἐδόθη καὶ ἐπερισσεύθη τὰ τῆς θείας γνώμης κατὰ τὴν τοῦ Πνεύματος δωρεάν. Ἰουδαίων δὲ μὴ κατασχόντων τὸν αὐτοῦ λόγον, καὶ ὃ ἐδόκουν ἔχειν ἀφῃρέθη· τοῦτο δέ ἐστιν ἡ κατὰ τὸν Μωϋσέως νόμον λατρεία, καὶ τὰ προφητικὰ καὶ θεόπνευστα γράμματα, τὰ προαγορεύοντα τὴν παρουσίαν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος Χριστοῦ, καὶ αὐτὸ τὸ τοῦ Ἰσραὴλ διαβόητον ὄνομα.

ΚΕΦ. ΞΖ.

Περὶ τοῦ πώλου.

29 Καὶ ἐγένετο ὡς ἤγγισεν εἰς Βηφθαγὴ καὶ Βηθανίαν πρὸς τὸ ὄρος τὸ καλούμενον Ἐλαιῶν.

Ὠριγένους. Ἡ μὲν Βηθανία ἑρμηνεύεται οἶκος ὑπακοῆς, ἡ δὲ Βηθφαγῆ σιαγόνες, ἱερατικός τις ὢν τόπος· καὶ γὰρ σιαγόνες τοῖς ἱερεῦσι ἐδίδοντο, ὡς ἐν τῷ νόμῳ ἀναγέγραπται· ὅπου οὖν ὑπακοὴ, καὶ ἱερὸς τόπος, ἐκεῖ ἀποστέλλει ὁ Κύριος τοὺς Ἀποστόλους λύσοντας "πῶλον δεδεμένον, ἐν ᾧ οὐδεὶς πώποτε ἀνθρώπων "ἐκάθισεν," ἀντὶ τοῦ οὐδέποτε ἄνθρωπος λογικὸς ἐπεκάθισεν, ἢ Μωϋσέως λόγος, ἢ Ἡσαΐου, οὐδὲ ἄλλου τινὸς τῶν προφητῶν. ὅτε δὲ ἦλθεν ὁ Χριστὸς, εἶπε τοῖς μαθηταῖς, ἵνα ἀπελθόντες λύσωσι τὸν πῶλον. Εἶπε δὲ αὐτοῖς, "ἐάν τις ὑμᾶς ἐρωτᾷ, τί λύετε τὸν πῶλον, "ἐρεῖτε, ὅτι ὁ Κύριος αὐτοῦ χρείαν ἔχει." πολλοὶ γὰρ ἦσαν οἱ κύριοι τοῦ ὄνου πρὸ τοῦ κυριευθῆναι ὑπὸ τοῦ Σωτῆρος· ἴσμεν δὲ

ὅτι ὁ τοῦ Κυρίου ἅπαξ γενόμενος, οὐ δύναται πολλοὺς κυρίους ἔχειν· ὅταν τῇ κακίᾳ δουλεύῃ τις, πολλῶν παθῶν δοῦλός ἐστιν ὁ ἄνθρωπος.

35 ΚΥΡΙΛΛΟΥ ἈΛΕΞΑΝΔΡΕΙΑΣ. Ἄγεται ὁ πῶλος, δύο μαθητῶν ἀπεσταλμένων παρὰ Χριστοῦ· ὑπηρετοῦσι γὰρ πρὸς τοῦτο αὐτὸ δύο τάγματα, προφῆται δὲ οὗτοι καὶ Ἀπόστολοι, δι' ὧν σαγηνεύονται εἰς πίστιν τὰ ἔθνη. Ἄγεται τοίνυν ἀπό τινος κώμης, ἵνα δι' αὐτοῦ τὴν ἄγροικον τῶν ἐθνῶν δείξῃ φρένα· οὐκ ἐν νόμῳ τεθραμμένων, ζησάντων δὲ μᾶλλον ἀτημελῶς καὶ ἀρτίως καὶ ἀγρίως, πλὴν μετέστη ἐπὶ τὸ ἥμερον· γέγονε γὰρ ὑπὸ Χριστῷ τῷ πάντα διδάσκοντι. ἕτερός γε μὴν τῶν ἁγίων Εὐαγγελιστῶν καὶ παῖδας ἔφη βαΐα φοινίκων ἀνατείνοντας προτρέχειν αὐτοῦ, καὶ ὁμοῦ τοῖς μαθηταῖς συντιθέναι τὴν δοξολογίαν, ἵνα καὶ δι' αὐτῶν τὸν νέον καὶ ἐξ ἐθνῶν, ὥσπερ ἐν πίνακι γεγραμμένον, ἴδωμεν λαόν. Γέγραπται γάρ, "καὶ ὁ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον."

ΤΟΥ ἉΓΙΟΥ ΤΙΤΟΥ. Ὁ Κύριος τίς, ἀπολελυμένον τὸ ὄνομα, ἐξουσιαστικὴ δὲ ἡ προσηγορία, βασιλεύων ἤθελε φαίνεσθαι τῷ πλήθει· ἰσοκέφαλος δὲ ἦν ἡ θέα· μεταστέλλεται πολλῶν, ἵνα καθισθέντα ἴδωσιν οἱ πολλοί· προέλαβε τὸ πλῆθος καὶ βοᾷ "εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου," "δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία." Δία τι; ἄνθρωποι γὰρ μετ' Ἀγγέλων· ὁ γὰρ ἄνω βασιλεὺς κατέβη κάτω, καὶ πεποίηκε μίαν ὑπακοήν. Σημεῖον τὸ γινόμενον. οὐ γὰρ ἀπὸ τοῦ ὄρους τῶν Ἐλαιῶν εἰς Ἱερουσαλὴμ εἰσιόντι τῷ Κυρίῳ χρεία τις ἐπ' ὄνου καθέζεσθαι, ὃς εἰς τὴν Ἰουδαίαν καὶ Γαλιλαίαν ἅπασαν διήει πεζὸς, ἀλλὰ τὸ ἔποχον αὐτὸν ἐπὶ τοῦ πώλου θεωρεῖσθαι, δηλοῖ τὸ ἐπὶ τοῦ νέου λαοῦ καθέζεσθαι τὸν οὐράνιον ἡγεμόνα καὶ βασιλέα τῆς Ἱερουσαλήμ. Τὸ γὰρ νέον τῆς κλήσεως ἐδήλωσεν ὁ πῶλος, ἀλλὰ καὶ τὸ πάλαι μὴ καθάρον τῶν νῦν καλουμένων. ἀκριβέστατα δὲ ὁ Ματθαῖος τὴν ὑποτύπωσιν τῶν πραγμάτων γεγενημένην ἔδειξεν, οὐ μόνον τοῦ πώλου μνημονεύων, ἀλλὰ καὶ τῆς ὄνου, ὅτι καὶ ὁ Ἰσραὴλ ὕστερον ἀκολουθήσει τῷ νέῳ λαῷ, καθά ποτε ἡ μήτηρ τῷ πώλῳ· ὅτι γὰρ ἐπὶ τῷ πώλῳ ἐκαθέσθη δηλοῦσιν οἱ λοιποὶ, οἳ καὶ μόνου τοῦ πώλου μνημονεύοντες ἀγομένου πρὸς τὸν Ἰησοῦν. ὁ δὲ

Ματθαῖος εἰπὼν καὶ τὴν ὄνον ἀχθεῖσαν καὶ ἐπάνω αὐτῷ καθεσθέντα τὸν Κύριον, οὐ δήπου συνωρίδα γενομένην τοῦ τε πώλου καὶ τῆς μητρὸς λέγει, πῶς γάρ; ἀλλ' ἑπομένην τὴν ὄνον. Δεδεμένος δὲ ὁ πῶλος καὶ ἡ ὄνος τοὺς προσδεδεμένους τοῖς ἀνθρωπίνοις πράγμασιν ἔδειξε λαοὺς, καὶ μὴ ἀνέτους ὄντας εἰς τὸ δέξασθαι τὴν ἐπίβασιν τοῦ Κυρίου, ἀνιεμένους δὲ διὰ τὸ θεῖον ἐπίταγμα τοῦ Κυρίου μηδενὸς ἀποκωλῦσαι δυνηθέντος, καὶ εἰ βούλονται κωλύειν τινὲς, ὡς αὐτοὶ δεσπόται, ἀλλ' ἐάν τις ὑμῖν εἴπῃ, τί φησιν; "ἐρεῖτε ὅτι "ὁ Κύριος αὐτοῦ χρείαν ἔχει." θεία δὲ κλῆσις ἐν τούτῳ δεδήλωται.

42 Ἐδάκρυσε δὲ ἐπὶ τὴν Ἱερουσαλὴμ ὁ Κύριος, φιλάνθρωπος ὢν, ἵνα διὰ τούτου μάθωμεν ὅτι λελύπηται περὶ αὐτῆς, εἴπερ ὅλως χρή τι τοιοῦτο εἰπεῖν περὶ τοῦ πάντων ἐπέκεινα Θεοῦ. Πῶς γὰρ ἄλλως ἔγνωμεν ἂν ἡμεῖς ὅτι κακοὺς ὄντας ἠλέει, εἰ μὴ διὰ πράγματος ἀνθρωπίνου, τοῦτο κατέστησεν ἐνεργὲς, ὅθεν καὶ μετὰ τριάκοντα πέντε ἔτη τῆς ἀναλήψεως ἡ ἅλωσις αὐτῆς γέγονεν, ἀναβολὴν ποιουμένου τοῦ φιλανθρώπου Θεοῦ τῆς τιμωρίας ἐν τοσούτοις ἔτεσι, καὶ μακροθυμοῦντος πρὸς τὸ ἐπιστρέψαι τοὺς πεπλανημένους διὰ τῆς τῶν ἁγίων Ἀποστόλων διδασκαλίας, εἰς τὴν τῆς πίστεως ἀληθινὴν ἐπίγνωσιν, καὶ ἀπολλαγῆναι τῆς μελλούσης ὀργῆς ἔρχεσθαι ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας· διὸ καὶ οἱ πεισθέντες μὲν ἐρρύσθησαν, οἱ δὲ ἀπειθήσαντες ἀπώλοντο. τὸ γὰρ, "εἰ "ἔγνως καὶ σὺ τὰ πρὸς εἰρήνην," τοῦτό ἐστιν, ὅτι τὰ χρήσιμα καὶ ἀναγκαῖα πρὸς τὸ εἰρηνεῦσαι Θεῷ εἰ ἐπέγνως ἅτινά ἐστιν, ἡ πίστις, καὶ ἡ εἰς Κύριον ὑπακοὴ, καὶ τὸ ἀπέχεσθαι τῶν τύπων καὶ τῆς ἐν νόμῳ λατρείας, οὐκ ἂν τοιαῦταί σε θλίψεις περιέμενον, ἀλλ' ἐκρύβη, φησὶν, ἀπὸ ὀφθαλμῶν σου· ἑκουσίως γὰρ οὐκ ἠθέλησεν εἰδέναι, ἤγουν συνιέναι τὰς θεοπνεύστους γραφὰς τὰς δηλούσας τὸ περὶ ἐμοῦ μυστήριον.

Καιρὸν δὲ λέγει τῆς ἐπισκοπῆς σου, ἣν αὐτὸς ἐποιήσατο, κατελθὼν ἐπισκεψάμενος αὐτὴν, καὶ θεῖα διδάγματα διδάξας ἐν αὐτῇ, καὶ πλείστας θαυματουργίας ἐργασάμενος.

ΚΕΦ. ΞΗ.

Περὶ τῶν ἐπερωτησάντων τὸν Κύριον ἀρχιερέων.

2 ἸΩΆΝΝΟΥ ΤΟΥ͂ ΧΡΥΣΟΣΤΌΜΟΥ. Ἰστέον δὲ, ὅτι καὶ Ἰωάννης τοῦτό φησιν, ἀλλ' ἐκεῖνος μὲν ἐν ἀρχῇ τοῦ Εὐαγγελίου, οὗτος δὲ πρὸς τῷ τέλει, ὅθεν εἰκὸς δεύτερον γεγενῆσθαι καὶ κατὰ διαφόρους καιρούς. κακεῖ μὲν λέγουσιν, τί σημεῖον ἐπιδεικνύεις ἡμῖν; ἐνταῦθα βοῶσι, καίτοιγε ἐπιτιμηθέντες διὰ τὸ ἤδη θαυμάζεσθαι αὐτὸν παρὰ πᾶσι. τοῦτο δὲ κατηγορία μείζων Ἰουδαίων, ὅτι καὶ ἅπαξ καὶ δὶς τὸ αὐτὸ τοῦτο ποιήσαντος, ἔμενον ἐπὶ τῇ καπηλείᾳ, καὶ ἀντίθεον αὐτὸν εἶναι ἔλεγον· δέον κἀντεῦθεν αὐτοῦ μαθεῖν τὴν πρὸς τὸν Πατέρα τιμὴν καὶ τὴν οἰκείαν ἰσχύν. καὶ γὰρ ἐθαυματούργησε, καὶ ἑώρων τοῖς λόγοις τὰ ἔργα συμβαίνοντα, ἀλλ' οὐδὲ οὕτως ἐπείθοντο, ἀλλ' ἠγανάκτουν· διόπερ καὶ αὐτὸς τὸν Ἡσαΐαν αὐτοῖς ἐπιτειχίζει κατήγορον λέγων, "ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται."

ΤΟΥ͂ ἉΓΊΟΥ ΚΥΡΊΛΛΟΥ ἈΛΕΞΑΝΔΡΕΊΑΣ. Ὁ νόμος φησὶν ὁ διὰ Μωϋσέως, μόνους ἐκέλευσε τῶν ἱερῶν ἅπτεσθαι σπουδασμάτων τοὺς ἐξ αἵματος Λευΐ· αὐτοὶ διατάττουσι τὰ ἐν τῷ θείῳ νόμῳ, αὐτοῖς δέδοται τὸ μυσταγωγεῖν, καὶ ἡ τῶν ἱερῶν περιβόλων ἐξουσία· σὺ δὲ πῶς ἐξ ἑτέρας ὑπάρχων φυλῆς, γέγονας γὰρ ἐξ Ἰούδα, τὰς ἐν ἡμῖν ἐκνεμηθείσας ἐξαρπάζεις τιμάς; "Τίς σοι δέδωκε τὴν ἐξουσίαν ταύτην;" ἀλλ' εἰ τὰς θεοπνεύστους ᾔδεις γραφὰς, ὦ ἀσύνετε Φαρισαῖε, καὶ τὰς τῶν ἁγίων προφητῶν φωνὰς, ἐμνήσθης ἂν λέγοντος τοῦ μακαρίου προφήτου Δαβὶδ, πρὸς τὸν τῶν ὅλων σωτῆρα Χριστὸν, "Ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται, σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ." φράζε δὴ οὖν, τίς ἐκ τῶν γραμματέων ἢ Φαρισαίων λελειτούργηκε τῷ Θεῷ κατὰ τὴν τάξιν Μελχισεδὲκ, ὃς εὐλόγησέ τε καὶ δεδεκάτωκε τὸν Ἀβραάμ· ὡς δὲ ὁ πάνσοφος γράφει Παῦλος, "χωρὶς πάσης ἀντιλογίας τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται," οὐκοῦν ἡ ῥίζα δὲ ἡ ἀπαρχὴ τῆς γενέσεως τῶν ἐξ Ἰσραὴλ, τουτέστιν, ὁ προπάτωρ Ἀβραὰμ ὑπὸ τῆς τοῦ Μελχισεδὲκ ἱερωσύνης ηὐλόγηται. Τύπος δὲ ἦν ὁ Μελχισεδὲκ καὶ ἡ κατ' αὐτὸν

ἱερωσύνη τοῦ πάντων Σωτῆρος Χριστοῦ, ὃς γέγονεν ἡμῶν ἀρχιερεὺς καὶ Ἀπόστολος, προσάγων τῷ Θεῷ καὶ Πατρὶ τοὺς πεπιστευκότας εἰς αὐτὸν, διὰ τῆς ὑπὲρ νόμου λατρείας τελειῶν εἰς ἁγιασμόν. Τί τοίνυν ἀσχάλλεις, Φαρισαῖε, τῶν ἱερῶν περιβόλων ἐκπεμπομένων, οἷα ταῖς κατὰ νόμον θυσίαις ἦν χρήσιμα, καλοῦντος εἰς τὴν ἐπέκεινα τύπων ζωὴν, καὶ εἰς ἀληθῆ δικαίωσιν τῆς διὰ πίστεως, δηλονότι τῆς εἰς Χριστὸν, καὶ παρατιθέντος τῆς εὐαγγελικῆς πολιτείας τὴν ὁδὸν, ἐγκαλεῖς, εἰπέ μοι, τῷ νομοθέτῃ τοῦ νόμου τὴν λύσιν, καὶ ὅτι μὴ ταῖς ἰδίαις ἠκολούθησεν ἐντολαῖς, ἀλλὰ νόμου παντὸς ἐπέκεινα Θεοῦ; οὐ γὰρ τοὺς νόμους οὐχ ἑαυτῷ μᾶλλον, ἀλλ' ἡμῖν ὁρισάμενος μεθίστησι κατὰ καιροὺς, ἐφ' ὅπερ ἂν ἕλοιτο τὰ διατεταγμένα, καὶ ἀναφέρων εἰς βελτίονα; Ἦν οὖν καιρὸς τοῦ παύσασθαι τὰ ἐν τύποις, ἀναδειχθῆναι δὲ τὰ κρείττονα. Καὶ γοῦν ἔφη που ὁ Θεὸς διὰ φωνῆς Ἡσαΐου, "καὶ "ἀφανισθήσεται νόμιμα λαοῦ μου·" ἤργησαν γὰρ τῆς νέας ἐντολῆς ἀναδεδειγμένης, ἣν δι' ἑαυτοῦ λελάληκεν ἡμῖν ὁ Υἱός.

ΚΕΦ. ΞΘ.

Περὶ τοῦ ἀμπελῶνος.

9 Τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου. Ἀπὸ τῆς παραβολῆς ταύτης πολλὰ αἰνίττεται· τοῦ Θεοῦ τὴν πρόνοιαν, τὴν εἰς αὐτοὺς γεγενημένην ἄνωθεν, τὸ ἐξ ἀρχῆς αὐτῶν φονικὸν, τὸ μηδὲν παραλειφθῆναι τῶν ἡκόντων εἰς ἐπιμέλειαν, τὸ καὶ τῶν προφητῶν σφαγέντων, μὴ ἀπολειφθῆναι αὐτοὺς, ἀλλὰ καὶ τὸν υἱὸν πέμψαι, καὶ τῆς παλαιᾶς καὶ νέας ἕνα καὶ τὸν αὐτὸν εἶναι Θεὸν, τὸ μεγάλα αὐτοῦ τὸν θάνατον κατορθώσειν, τὸ τὴν ἐσχάτην δίκην τοῦ σταυροῦ καὶ τοῦ τιμήματος αὐτοῦ ὑπομένειν, τῶν ἐθνῶν τὴν κλῆσιν, τῶν Ἰουδαίων τὴν ἔκπτωσιν· τὴν δὲ ἀποδημίαν, τὴν πολλὴν αὐτοῦ μακροθυμίαν φησίν.

Τοῦ ἁγίου Κυρίλλου Ἀλεξανδρείας. Ὅλην εὑρήσει τις τὴν ἐπί γε τοῖς υἱοῖς Ἰσραὴλ ἱστορίαν ἐν τούτοις, ὡς ἐν βραχεῖ συνενηνεγμένην. Ἀμπελὼν γὰρ ὁ Ἰσραὴλ, φησὶν ὁ ψαλμῳδός· "ἄμπελον ἐξ Αἰγύπτου μετῆρας," καὶ τὰ ἑξῆς. Καὶ ὁ Ἡσαΐας "ἀμπελὼν ἐγενήθη," φησὶ, "τῷ ἠγαπημένῳ." Ἔστι τοίνυν ὁ τοῦτον

φυτεύσας Θεός· οὗτος ἀπεδήμησε χρόνους ἱκανοὺς, καίτοι πληροῖ τὰ πάντα, ἀπολιμπάνεται δὲ τῶν ὄντων οὐδενός. Πῶς οὖν ἀπεδήμησε; μετὰ τὸ ἀναληφθῆναι ἐν εἴδει πυρὸς καταβεβηκὼς ἐπὶ τὸ ὄρος τὸ Σινᾶ, καὶ τὴν ἄρρητον μορφὴν ἐμφανῆ δεδήλωκεν αὐτοῖς· ἀλλ' ὡς κατά γε τὸν τύπον τῶν ἀνθρωπίνων πραγμάτων ἔοικέ πως ἀποδημία μακρὰ τὸ γεγενημένον, πλὴν ὁρᾶται πεφροντικὼς τοῦ χωρίου, καὶ εἰς νοῦν ἔχων αὐτό. Οὐδεὶς γὰρ γέγονε διὰ μέσου καιρὸς, καθ' ὃν οὐκ ἀπεστέλλοντο παρὰ τοῦ Θεοῦ προφῆταί τε καὶ δίκαιοι νουθετοῦντες, οἱ δὲ γεγόνασιν ἀπειθεῖς, καὶ ἀτιμάσαντες τοὺς ἀπεσταλμένους ἐξαπέστειλαν κενούς· τουτέστιν, οὐδὲν ἔχοντας εἰπεῖν ὑπὲρ αὐτῶν ἀγαθὸν τῷ πεπομφότι Θεῷ, καὶ φησὶν Ἱερεμίας, "ἰδοὺ τὸ ῥῆμα τοῦ Κυρίου ἐγενήθη αὐτοῖς εἰς ὀνειδισμὸν, "οὐ μὴν βουληθῶσιν αὐτοῦ[d] ἀκοῦσαι."

13 Τοῦ Ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου. Τί ἐστι τὸ "ἴσως "ἐντραπήσονται;" οὐχ ὡς ἀγνοοῦντος, ἀλλὰ θέλοντος δεῖξαι τὸ ἁμάρτημα μέγα καὶ ἀπολογίας πάσης ἐστερημένον, ἐπεὶ αὐτὸς εἰδὼς, ὅτι ἀναιρήσουσιν ἔπεμψε, λέγει δὲ "ἐντραπήσονται" τὸ γενέσθαι ὀφεῖλον ἀπαγγέλλων, ὅτι δεῖ αὐτοὺς ἐντραπῆναι, ἐπεὶ καὶ ἀλλαχοῦ φησιν, "ἐὰν ἄρα ἀκούσωσιν," οὐδὲ ἐκεῖ ἀγνοῶν, ἀλλ' ἵνα μὴ λέγωσί τινες τῶν ἀγνωμόνων, ὅτι ἡ πρόγνωσις αὐτοῦ γέγονεν ἀναγκαστικὴ τῆς παρακοῆς, διὰ τοῦτο οὕτω σχηματίζει τὰς λέξεις. Εἰ γὰρ καὶ περὶ τοὺς δούλους ἀγνώμονες ἐγένοντο, τοῦ υἱοῦ τὸ ἀξίωμα αἰδεσθῆναι ἐχρῆν. καὶ ὁ μὲν Λουκᾶς φησιν, ὅτι αὐτὸς ἀπεφήνατο, ὅτι παθεῖν ἔδει τούτους, κἀκεῖνοι εἶπαν, "μὴ "γένοιτο," καὶ τὴν μαρτυρίαν ἐπήγαγεν, ὁ δὲ Ματθαῖος ὅτι αὐτοὶ τὴν ψῆφον ἐξήνεγκαν.

16 Μετὰ δὲ τὸ ἀκοῦσαι αὐτοὺς τὴν τοῦ ἀμπελῶνος παραβολὴν, διὰ τοῦτο εἶπον, "μὴ γένοιτο," ἐπειδὴ συνιέντες τῶν αἰνιγμάτων τὸ βάθος, ἀποσείονται τὸ παθεῖν, δεδοικότες τὸ ἐσόμενον. Ἀλλ' οὐκ ἔστι τοῦτο ἐναντιολογίας· καὶ γὰρ ἀμφότερα γέγονε, καὶ τὴν ψῆφον αὐτοὶ ἐξήνεγκαν καθ' ἑαυτῶν, καὶ πάλιν αἰσθόμενοι τῶν εἰρημένων, εἶπαν "μὴ γένοιτο," καίτοι καὶ τὸν προφήτην ἐπετείχισεν αὐτοῖς, πείθων αὐτοὺς ὅτι πάντως ἔσται τοῦτο, ἀλλ' ὅμως οὐδ'

[d] αἰτῷ Cod.

οὕτως τὰ ἔθνη σαφῶς ἀπεκάλυψεν, ὥστε μηδεμίαν αὐτοῖς παρασχεῖν λαβὴν, ἀλλ' ἠνίξατο εἰπὼν, "δώσει τὸν ἀμπελῶνα ἄλλοις."

17 Λίθον ἑαυτὸν καλεῖ, καὶ οἰκοδόμους τοὺς διδασκάλους τῶν Ἰουδαίων, ὃ καὶ Ἰεζεκιὴλ φησιν, "οἱ οἰκοδομοῦντες τὸν τοῖχον καὶ "ἀλείφοντες ἀναρτύτως." Πῶς δὲ ἀπεδοκίμασαν; ἢ λέγοντες, οὗτος οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, οὗτος πλανᾷ τοὺς ὄχλους, καὶ ὅσα τοιαῦτα· δύο δέ φησιν ἀπωλείας ἐνταῦθα τῶν Ἰουδαίων, μίαν μὲν, τὴν ἀπὸ τοῦ προσκόψαι καὶ σκανδαλισθῆναι, τοῦτο γὰρ ἐπὶ τὸν λίθον τοῦτον, ἑτέραν δὲ τὴν ἀπὸ τῆς ἁλώσεως αὐτῶν καὶ τῆς συμφορᾶς καὶ πανολεθρίας, ἣν σαφῶς ἐδήλωσεν εἰπὼν, "λικμήσει "αὐτόν." Διὰ τούτων καὶ τὴν ἀνάστασιν ἠνίξατο τὴν ἑαυτοῦ.

Κυρίλλου. Σκανδαλισθέντες γὰρ ἐπὶ Χριστῷ καὶ προσπταίσαντες αὐτῷ, τῶν Ἰουδαίων οἱ δῆμοι συνετρίβησαν. Οὐ γὰρ ἤθελον ἀκοῦσαι τῆς Ἡσαΐου φωνῆς λεγούσης, "Κύριον αὐτὸν ἁγιάσατε, "καὶ αὐτὸς ἔσται σοι φόβος, καὶ οὐχ ὡς λίθου προσκόμματι "συναντήσεσε αὐτῷ, οὐδὲ πέτρας πτώματε."

Τοῦ αὐτοῦ. Ἐξεκαύθη πάλιν εἰς ἀχαλινοὺς ὀργὰς τὸ τῶν Φαρισαίων ἐργαστήριον, καὶ ἀποκτεῖναι βουλεύονται τὸν ἐπὶ λύσει θανάτου γενόμενον ἄνθρωπον, ἀλλὰ διέκοψεν αὐτῶν τὸ ἀνόσιον ἐγχείρημα ὁ λαοῦ φόβος. Οὐ γὰρ τῆς εἰς Θεὸν εὐσεβείας ἦν αὐτοῖς λόγος, οὐδὲ γέγονεν αὐτοῖς χαλινὸς ἡ διὰ Μωϋσέως ἐντολὴ λέγουσα, "ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς·" προτιμῶσι δὲ μᾶλλον τῆς εἰς Θεὸν αἰδοῦς τὸν ἀνθρώπινον φόβον.

Τοῦ αὐτοῦ. Καίτοι πῶς οὐ μᾶλλον ἐχρῆν μεμαθηκότας τὸ ἐσόμενον ἔξω φέρεσθαι τοῦ κακοῦ, καὶ τιμῆσαι τῇ πίστει τὸν καίουντα τὸν ἀσεβῆ, καὶ ἀμνησικάκῳ χάριτι διασώζοντα τοὺς ταῖς ἁμαρτίαις ἐνισχημένους; ἀλλ' οὐδὲν τῶν τοιούτων ὑπολελογισμένοι, συκοφαντίας τῆς κατ' αὐτοῦ συλλέγουσιν ἀφορμάς.

ΚΕΦ. Ο.

Περὶ τῶν ἐγκαθέτων διὰ τὸν κῆνσον.

20 Ὡς ἀνθρώπῳ προσίενται κοινῷ τῷ πάντων Σωτῆρι Χριστῷ, ἀλλ' ἦν ἄμεινον ἐννοεῖν, ὅτι γέγονε μὲν ἐν ὁμοιώσει τῇ πρὸς ἡμᾶς Θεὸς ὢν ὁ Λόγος. Ἀπὸ δέ γε τῆς ὑπὲρ λόγον θεοσημείας

καὶ ἀποδείξεως τῆς θεοπρεποῦς οὐκ ἄνθρωπος ὢν μόνον διεδείκνυτο, ἀλλὰ καὶ Θεός. Ἤθελε μὲν γὰρ ὁ τῶν ὅλων Θεὸς ἀνθρωπίνης δυναστείας ἐλεύθερον εἶναι τὸν Ἰσραήλ. Ἐπειδὴ δὲ τοὺς θείους πεπατήκασι νόμους, γεγόνασιν ὑπὸ χεῖρα τῶν τηνίκαδε κεκρατηκότων, καὶ δεσμοὺς ἐπέθηκαν αὐτοῖς. ἐζήτουν τοίνυν, φησὶ, παραδοῦναι αὐτὸν τῇ ἀρχῇ τοῦ ἡγεμόνος. Προσεδόκησαν γὰρ ὅτι πάντῃ τε καὶ πάντως ἀκούσονται λέγοντος, οὐκ ἔξεστι δοῦναι φόρους Καίσαρι· ἀλλ' "ἐπιδείξατέ μοι," φησὶ, "δηνάριον." Ἐπιδειχθέντος δὲ, πάλιν εἴρετο, "τίνος ἔχει εἰκόνα καὶ ἐπιγραφήν;" οἱ δὲ Καίσαρος, φασὶν, καὶ τί πρὸς ταῦτα Χριστός; "ἀπόδοτε τὰ "Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ," χρημάτων μὲν γὰρ δεσμοὺς ἐπιρρίπτουσι τοῖς ὑπεζευγμένοις, οἱ τὴν κατ' αὐτῶν λαχόντες ἀρχὴν, ζητεῖ δὲ παρ' ἡμῶν καὶ ἀγάπην, καὶ τὴν ἐξ ἔργων ἀγαθῶν εὐκοσμίαν. Οὐκοῦν τεθαύμακα μὲν τὴν ἀπολογίαν αὐτοῦ, καὶ τοῦτο ἐπὶ παντὸς τοῦ λαοῦ, οἱ δὲ καὶ τούτων εἰς λήθην ἐνηνεγμένοι, Πιλάτῳ προσῆγον τὸν Ἰησοῦν φάσκοντες, "τοῦτον "εὕραμεν διαστρέφοντα τὸν λαὸν καὶ κωλύοντα φόρους διδόναι "Καίσαρι." καὶ ὅμως θαυμάσαντες τὴν ἀπολογίαν ἀπῆλθον κατῃσχυμμένοι.

Ὠριγένους. Ἐγένετο ἐν ἀρχῇ ἄνθρωπος, ὡς ἐν τῇ Γενέσει γέγραπται, κατ' εἰκόνα Θεοῦ, ὕστερον δὲ παρὰ τὴν αὐτοῦ παρακοὴν ἀνέλαβε καὶ χοϊκήν· ὥσπερ γὰρ τὸ νόμισμα εἰκόνα ἔχει τοῦ βασιλεύοντος τῶν ἐθνῶν, οὕτως [d] ὁ ποιῶν τὰ ἔργα τοῦ κοσμοκράτορος τὴν εἰκόνα αὐτοῦ φορεῖ, ἣν παραινεῖ ὁ Σωτὴρ ἀποδιδόναι καὶ ἀποτίθεσθαι καὶ φορεῖν τὴν ἐξ ἀρχῆς γενομένην εἰκόνα καθ' ὁμοίωσιν τῷ Θεῷ. Ἀκολούθως τούτοις καὶ ὁ Παῦλός φησιν, "ὡς "ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, οὕτω φορέσωμεν καὶ τὴν "εἰκόνα τοῦ ἐπουρανίου." Τοῦτο οὖν δηλοῖ "ἀπόδοτε τὰ Καίσα"ρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ."

ΚΕΦ. ΟΑ.

Περὶ τῶν Σαδδουκαίων.

27 Κυρίλλου Ἀλεξανδρείας. Προσίασι Σαδδουκαῖοι τῷ πάντων ἡμῶν Σωτῆρι Χριστῷ, ὅς ἐστι ζωὴ καὶ ἀνάστασις, καὶ ἀναιρεῖν

d οὗτος Cod.

πειρῶνται τὴν ἀνάστασιν. Ὑβρισταὶ δὲ ὄντες καὶ ἄπιστοι πλάττουσί τι μεστὸν ἀμαθίας. Ἴδωμεν δὲ ἅπερ ἔφη αὐτοῖς Χριστὸς, "Οἱ μὲν γὰρ υἱοὶ," φησὶ, "τοῦ αἰῶνος τούτου γαμοῦσι καὶ γαμί-"ζονται," καὶ τὰ ἑξῆς.

Τοῦ αὐτοῦ. Οἱ υἱοὶ τοῦ νυμφῶνος, τουτέστιν, οἱ τὸν κοσμι-
κὸν καὶ ἐνσώματον καὶ φιλοσοφίας γέμοντα διαζῶντες βίον, τεκνο-
γονίας ἕνεκα γαμοῦσι καὶ γαμίζονται· οἵ γε μὴν τὴν εὐκλεᾶ καὶ
ἀγαθοῦ μεστὴν κατορθώσαντες ζωὴν, εἶτα καταξιωθέντες τυχεῖν
τῆς ἐντίμου ἀναστάσεως, ἄνω που πάντως ἔσονται τῆς ἐν τῷδε τῷ
κόσμῳ ζωῆς. Διαβιώσονται γὰρ ὡς ἂν ἁγίοις πρέπῃ καὶ ἐγγὺς
ἤδη γεγόνασι Θεοῦ· ἰσάγγελοι γὰρ εἰσὶ καὶ υἱοὶ Θεοῦ, τὴν ἁγίοις
πρέπουσαν τελοῦντες λατρείαν. Παρήγαγε δὲ αὐτοῖς καὶ Μωϋσέα
εὖ εἰδότα σαφῶς τῶν νεκρῶν τὴν ἀνάστασιν. Ἐν γὰρ τῇ βάτῳ,
37 φησὶν, εἰσκεκόμικε λέγοντα Θεόν· "ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ
"καὶ Ἰσαὰκ καὶ ὁ Θεὸς Ἰακώβ·" τίνων δὲ Θεὸς, εἰ μὴ ζήσον-
ται κατ' ἐκείνους; ἀλλ' ἔστι ζώντων Θεός. Οὐκοῦν πάντῃ τε καὶ
πάντως ἀναβιώσονται, τῆς πανσθενεστάτης δεξιᾶς ἀποφερούσης εἰς
τοῦτο ἅπαντας τοὺς ἐκ τῆς γῆς.

Οὐχὶ τῶν οὐκ ὄντων καθάπαξ ἀφανισθέντων, καὶ οὐκέτι ἀναβησομένων εἶναί φησι Θεὸν τὸν Θεὸν, οὐ γὰρ ἤμην, ἀλλ' εἰμὶ τῶν ὄντων καὶ ζώντων. Ὥσπερ γὰρ ὁ Ἀδὰμ, εἰ καὶ ἔζη τῇ ἡμέρᾳ ᾗ ἔφαγεν ἀπὸ τοῦ ξύλου, ἀπέθανε τῇ ἀποφάσει, οὕτω καὶ οὗτοι, εἰ καὶ ἐτεθνήκεσαν, ἔζων τῇ ὑποσχέσει τῆς ἀναστάσεως. Πῶς οὖν φησιν ἀλλαχοῦ, "ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ;" ἀλλ' οὐκ ἔστι τοῦτο ἴσον, ἐκ νεκρῶν γὰρ ἐνταῦθα φησὶ τῶν καὶ αὐτῶν ζήσεσθαι μελλόντων.

Ὠριγένης δέ φησιν, Ἀναγινώσκοντές τινες τὰ προφητικὰ πλανῶνται περὶ τὸν νοῦν τῆς γραφῆς, φέρε εἰπεῖν ἐκ τοῦ Ἡσαΐου, "ἔκλεκτοι μου οὐ τεκνοποιήσουσιν εἰς κατάραν," καὶ ἐν τῷ Δευτερονομίῳ "ἐν ταῖς εὐλογίαις εὐλογημένα τὰ ἔκγονα τῆς κοιλίας "σου," ὑπολαμβάνοντες ἐν τῇ ἀναστάσει τῶν νεκρῶν ἔσεσθαι ταῦτα, μὴ νοοῦντες τὰς πνευματικὰς εὐλογίας. Διὰ τοῦτο, σωματικῶς ἐκδεχομένοις τοῖς ἐκ τῶν Ἰουδαίων Σαδδουκαίοις, ἔλεγεν ὁ Σωτὴρ, "πλανᾶσθε μὴ εἰδότες τὰς γραφάς."

ΚΕΦ. ΟΒ.

Περὶ τῆς τοῦ Κυρίου ἐπερωτήσεως πρὸς τοὺς Φαρισαίους.

46 Τοῦ Ἁγίου Τίτου Βοστρῶν. Ταῦτα τοῖς μαθηταῖς ἔλεγε, χρείαν ἔχουσι τῆς τοιαύτης παραινέσεως. Ἐπειδὴ γὰρ διδάσκαλοι τῆς οἰκουμένης προεχειρίζοντο, διδάσκει αὐτοὺς, μὴ μιμεῖσθαι τοὺς παρὰ Ἰουδαίοις διδασκάλους. Ἐκεῖνοι γὰρ κατεσθίουσι τὰς οἰκίας τῶν χηρῶν, διδάσκοντες νηστεύειν καὶ δεικνύοντες γαστριμαργίαν, οὐ προϊστάμενοι χηρῶν, ἀλλὰ τὰ τούτων ἀναλίσκοντες· "οὗτοι λήψονται, φησὶ, περισσότερον κρίμα," ὅτι δὴ διδασκαλικὸν ἔχοντες σχῆμα, προαγωγοὶ τυγχάνουσιν εἰς κακίαν.

ΚΕΦ. ΟΓ.

Περὶ τῆς τὰ β΄ λεπτά.

1 Κυρίλλου Ἀλεξανδρείας. Ἔφη που ὁ Σωτήρ, "μακάριοι οἱ "ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται," τούτους ἐποπτεύει προσφέροντας τὰ δῶρα αὐτῶν εἰς τὸ γαζοφυλάκιον, ἀλλ᾽ ὡς ἐκ πλούτου πολλοῦ πολλὰ μὲν ἦσαν εἰκὸς τὰ παρ᾽ ἑκάστου καρποφορούμενα· ὀλίγα δὲ πάλιν καὶ τῆς τῶν προσκομιζόντων ἀναξία χειρός· εἶτα μετ᾽ ἐκείνους γύναιον πτωχείᾳ δεινῇ κατισχημένον εἰσέθη [e] ἐξ ἐράνου μόλις καὶ σὺν ἱδρῶτι συλλέγον εὐτελεστάτην καὶ ἀποχρῶσαν ἡμέρᾳ διατροφήν [f]· εἶτα δύο προσῆγεν ὀβολοὺς, ὥσπερ ἀποκτωμένη τὸν βίον. Ὢ παραδόξου πράγματος· ἡ τὸν παρ᾽ ἑτέρου ἔλεον ζητοῦσα διηνεκῶς, αὕτη δανείζει Θεῷ, καρποφόρον αὐτῷ καὶ αὐτὴν ἀποφαίνουσα τὴν πτωχήν· νικᾷ τοιγαροῦν τοὺς ἄλλους, καὶ δικαίᾳ ψήφῳ στεφανοῦται παρὰ Θεῷ.

Τίνος ἕνεκεν ἡ πενιχρὰ χήρα τοὺς πλουσίους ἐνίκησε, τοὺς τὰ δῶρα αὐτῶν εἰς τὸ γαζοφυλάκιον προσφέροντας, καὶ δικαίᾳ ψήφῳ στεφανοῦται παρὰ τοῦ Θεοῦ; διὰ τὸ τοὺς μὲν ἐκ πλούτου πολλοῦ ὀλίγα προσκομίζειν καὶ ἀνάξια τῆς ἑαυτῶν χειρὸς, εἰ καὶ πολλὰ ἦν εἰκὸς αὐτοὺς ὡς πλουσίους προσφέρειν καὶ καρποφορεῖν, τὴν δὲ ὅπερ ἐξ ἐράνου μόλις καὶ ἱδρῶτος εὐτελὲς συνήγαγε,

[e] εἰς ἔθει Cod. [f] διὰ τροφήν Cod.

τούτεστι δύο ὀβολοὺς, τοῦτο προσαγάγῃ· καὶ γὰρ ὥσπερ ἀποκτωμένη τὸν βίον ὅλον ἑαυτῆς, μεγαλοψύχως πάντα προσήγαγε.

ΚΕΦ. ΟΔ.

Περὶ τῆς συντελείας.

5 Ἐπεδείκνυόν τινες τῷ Χριστῷ τὰς ἐν τῷ ναῷ μεγαλουργίας καὶ τὸν τῶν ἀναθημάτων κόσμον· ᾠήθησαν γὰρ, ὅτι θαυμάσει σὺν αὐτοῖς τὰ ὁρώμενα, καίτοι Θεὸς ὢν καὶ θρόνον ἔχων τὸν οὐρανόν. Ὁ δὲ ἀφίησι μὲν τὸν περὶ αὐτῶν λόγον, προμεμήνυκε δὲ ὅτι ἐκ βάθρων πεσεῖται κατὰ καιροὺς, κατακομιζούσης εἰς τοῦτο αὐτὸ τῆς Ῥωμαίων στρατείας, καὶ ἅπασαν τὴν Ἱερουσαλὴμ τὴν τῆς κυριοκτονίας δίκας ἐξαιτούσης τὸν Ἰσραὴλ, μετὰ γάρτοι τὸν τοῦ Σωτῆρος σταυρὸν ταῦτα συνέβη παθεῖν αὐτούς· οἱ δὲ οὐ συνίσταντο τῶν ὁρωμένων τὴν δύναμιν, ᾠήθησαν μᾶλλον τοὺς περὶ τῆς συετελείας τοῦ αἰῶνος λόγους ἐξυφαίνειν αὐτον. Εἴροντο δὴ οὖν πότε ταῦτα ἔσονται, καὶ τί τὸ σημεῖον ὅταν μέλλῃ γίνεσθαι. Τί οὖν ὁ Χριστός; ἕπεται τῷ σκοπῷ τῶν προσαγόντων τὴν πεῦσιν, καὶ φησὶ μὲν τέως τοὺς περὶ τῆς ἁλώσεως τῶν Ἱεροσολύμων λόγους, διατρανοῖ δὲ τοὺς περὶ τῆς συντελείας τοῦ παρόντος αἰῶνος. Πρὶν γὰρ τὴν ἐξ οὐρανοῦ γενέσθαι κάθοδον τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, πρόδρομοί τινες ἀναφαίνονται ψευδόχριστοι καὶ ψευδοπροφῆται, τὸ αὐτοῦ πρόσωπον ἑαυτοῖς περιπλάττοντες, ἀλλὰ μὴ ἀκολουθήσητε, φησὶν, αὐτοῖς.

Τοῦ Ἁγίου Τίτου Βοστρῶν. "Ὅταν δὲ ἀκούσητε," ὡς γάρ φησι Ἰώσηππος, προέλαβον πολέμιοι, ἀντάραντος τοῦ ἔθνους, καὶ μὴ διδόντος τοὺς συνήθεις φόρους Ῥωμαίοις, καὶ μετρίως σωφρονισθέντες, καὶ ἀνέσεως τυχόντες, πάλιν ἐνεωτέριζον, καὶ πάλιν ἐγίγνετο πόλεμος, καὶ οὐδέποτε ἡσυχίαν ἠσπάσαντο· τελευταῖον θεασάμενοι Ῥωμαῖοι τὴν τούτων ἀπόνοιαν, κατέλυσαν τὴν πόλιν.

Τοῦ αὐτοῦ. Γέγραπται ἐν ταῖς Πράξεσιν, ὅτι μετὰ τὴν ἀνάστασιν ἐγένετο λιμὸς μέγας ἐπὶ Κλαυδίου Καίσαρος, καὶ σεισμοὶ πολλοὶ ἐγένοντο.

9 Κυρίλλου Ἀλεξανδρείας. Δίδωσι σημεῖα σαφῆ τε καὶ ἐναργῆ τῆς συντελείας τοῦ κόσμου· πόλεμοι γὰρ ἔσονται, ἔφη,

καὶ ἀκαταστασίαι, καὶ τὰ ἑξῆς. Καὶ ἕτερός φησιν Εὐαγγελιστὴς, πάντα τὰ ἄστρα πεσεῖται, εἰλιχθήσεται ὁ οὐρανὸς ὡς βιβλίον καὶ τὰ ἑξῆς. Διὰ μέσου δὲ τίθησι καὶ περὶ τῆς τῶν Ἱεροσολύμων ἁλώσεως. Ἐκέρασε γὰρ τὸν λόγον τοῦτον κἀκείνῳ τοῖς διηγήμασι. Πρὸ γὰρ τούτων πάντων φησὶν "ἐπιβαλοῦσι ἐφ' ὑμᾶς "τὰς χεῖρας αὐτῶν, καὶ διώξουσι" καὶ τὰ ἑξῆς· πρὸ γὰρ τῶν τῆς συντελείας καιρῶν ἥλω μὲν ἡ τῶν Ἰουδαίων χώρα, καταδραμούσης αὐτὴν τῆς Ῥωμαίων στρατείας, ἐμπέπρησται δὲ ὁ νεὼς, κατεσείσθη τὰ παρ' αὐτοῖς βασίλεια, πέπαυται τῆς κατὰ νόμον λατρείας ἡ δύναμις· πρὶν δὲ ταῦτα συμβῆναι ἐδιώχθησαν παρ' αὐτῶν οἱ μακάριοι μαθηταὶ, δεσμῶται γεγόνασι, ἤχθησαν ἐπ' ἄρχοντας, ἐπέμφθησαν ἐπὶ βασιλέας· ἀπεστάλη γοῦν ὁ Παῦλος εἰς Ῥώμην πρὸς Καίσαρα· πλὴν γέγονεν αὐτοῖς εἰς μαρτύριον, τουτέστιν εἰς μαρτυρίου δόξαν τὰ ἐπενηνεγμένα· παρεγγυᾷ δὲ ὅτι "μὴ προμελετᾶτε μέλλοντες ἀπολογεῖσθαι, λήψεσθε γὰρ παρ' ἐμοῦ "σοφίαν ἢ γλῶσσαν, ᾗ οὐ δυνήσονται ἀντιστῆναι ἢ ἀντειπεῖν, ἅπαντες "οἱ ἀντικείμενοι ὑμῖν," ἀποκείρων δὲ τῆς ἀνθρωπίνης μικροψυχίας τὰς ἀφορμὰς, παραδοθήσεσθαι, φησὶν, αὐτοὺς ὑπὸ ἀδελφῶν καὶ φίλων καὶ τῶν ἐκ γένους, πλὴν ὅτι πάντη τε καὶ πάντως σωθήσονται παρ' αὐτοῦ· θρὶξ γὰρ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐκ ἀπολεῖται, φησί· σαφεστέραν δὲ τὴν προαγόρευσιν ποιῶν, "ὅταν, ἴδητε, φησὶ, "κυκλουμένην ὑπὸ στρατοπέδων τὴν Ἱερουσαλήμ· τότε γνῶτε ὅτι "ἤγγικεν ἡ ἐρήμωσις αὐτῆς." Εἶτα μεθίστησι πάλιν τοὺς λόγους ἐπὶ τὸν τῆς συντελείας καιρόν.

Τοῦ αὐτοῦ. Ἃ γὰρ ἑωράκατε ἐπ' ἐμοὶ γινόμενα, προσδοκήσατε καὶ ἐφ' ὑμῖν ἔσεσθαι.

Τίτου. Ποῖον δὲ μαρτύριον; ὅτι τὸ ἴδιον ᾐνίξατο κατόρθωμα τοῦ κηρύγματος· ὅταν γάρ τις διαμαρτύρηται τὸ βέλτιον, καὶ τὸ καθ' ἑαυτὸν ποιήσῃ παρρησιασάμενος, ἀποβήσηται ὑμῖν εἰς μαρτύριον, ὅτι τὴν εὐσέβειαν ἀπηγγείλατε.

Τὰ δὲ ἕτερα τούτων περί τε τοῦ ἱεροῦ καὶ περὶ τῆς συντελείας, ἕως "οἱ δὲ λόγοι οὐ μὴ παρέλθωσι," προεγράφη εἰς τὸ κατὰ Ματθαῖον, καὶ ἐκεῖ ζήτει.

Κυρίλλου Ἀλεξανδρείας. Ἀρχομένης γὰρ ὥσπερ τῆς κρίσεως ἐναλάττεσθαι, συνοχή τις ἔσται δεινὴ, καὶ ἀπόψυξις εἰς

θάνατον. Τὸ γὰρ τῶν ἐπερχομένων ἀφόρητον δεῖγμα πολλοῖς ἀρκέσει πρὸς ὄλεθρον· οὐ λεληθότως, ἀλλ' ὡς Θεὸς καὶ Κύριος ἐν δόξῃ θεοπρεπεῖ, καὶ πάντα μεταστήσει πρὸς τὸ ἄμεινον.

Ἀναβιώσονται γὰρ οἱ νεκροὶ καὶ ἀποδύσονται τὴν φθορὰν, τὸ ἐκ γῆς τοῦτο καὶ εὐάλωτον σῶμα, ἐνδύσονται [g] δὲ τὴν ἀφθαρσίαν, Χριστοῦ νέμοντος αὐτὴν, καὶ συμμόρφους τοῦ σώματος τῆς δόξης αὐτοῦ τοὺς εἰς αὐτὸν πιστεύσαντας ἀποφαίνοντος.

Εἰπὼν δὲ τῆς συκῆς τὴν παραβολὴν, ἐπήγαγεν ὅτι ἐγγύς ἐστιν
29 ἡ βασιλεία τοῦ Θεοῦ, ὅπερ ὁ Ματθαῖός φησι, "γινώσκετε ὅτι "ἐγγύς ἐστιν ἐπὶ θύραις." Τὸ δὲ τοιοῦτο διδάσκει, ὅτι οὔπω πρὸς τὸ ἔσχατον τέλος ἥκει τὰ πράγματα τούτων γινομένων, ἀλλ' ὁδεύει πρὸς τὸ τέλος ἤδη, καθάπερ ἐπὶ τῶν καρπῶν, ὁδεύει ἡ συκῆ τοὺς κλάδους, ἀπαλυνομένη καὶ ἐκφύουσα τὰ φύλλα. Οὕτω γὰρ δὴ καὶ ἡ τοῦ Κυρίου παρουσία, καταργοῦσα πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν, παρασκευάζει τῇ βασιλείᾳ τοῦ Θεοῦ.

Γενεὰς, φησὶν οὐ τοὺς τότε ἀνθρώπους, ἀλλὰ τοὺς ὁμοίους τῷ τρόπῳ. Οἶδε γὰρ καὶ οὕτως καλεῖν γενεὰν, ὡς τὸ "αὕτη γενεὰ "ζητούντων τὸν Κύριον."

Τοῦτο καὶ τὴν τῶν στοιχείων συντέλειαν ἤδη προαγορεύει ἅμα ἐν τῷ λέγειν, ὅτι ἀδύνατον τοὺς λόγους μου παρελθεῖν, καίτοι καὶ τῶν στοιχείων παρερχομένων.

Εἰπὼν περὶ τῆς συντελείας, καὶ ὅτι πάντως ἥξει ἡ ἡμέρα, καὶ ὅτι ταῦτα γενήσεται, καὶ οὐκ ἐγχωρεῖ μὴ γενέσθαι ἅπερ εἶπε, προσθεὶς ἔφη, "προσέχετε ἑαυτοῖς μή ποτε βαρηθῶσιν ὑμῶν οἱ "ὀφθαλμοὶ," οὐχ οἱ σωματικοὶ, ἀλλ' οἱ τῆς διανοίας. Μέριμνα γὰρ βιωτικῶν καὶ κραιπάλη καὶ μέθη ἐξορίζει μὲν τὴν σύνεσιν· ἀφορίζει δὲ καὶ τὴν πίστιν, ἐμβάλλει δὲ εἰς λήθην τῶν συμφερόντων. Διὸ πολλῆς ἀγρυπνίας χρεία, μνήμης τε καὶ εὐλαβείας καὶ συνέσεως, ἵνα προσευχόμενοι διὰ παντὸς, τὰς πρεπούσας νηστείας προσφέρωμεν τῷ Θεῷ.

Τί δὲ ἦν ἅπερ ἐδίδασκεν ἐν τῷ ἱερῷ; πάντως που τὰ ὑπὲρ
37 νομικὴν λατρείαν μεθιστῶν μετ' ἐξουσίας τὰ ἐν τύπῳ κεχρησμωδημένα πρὸς τὴν ἀλήθειαν. Διόπερ καὶ θαυμάζων ὁ λαὸς, ὅτι ἐν ἐξουσίᾳ ἦν ὁ λόγος αὐτοῦ, ἥδιστα τοῦτον ἠκροᾶτο. Εἰς τὸ ὄρος δὲ

[g] ἐνδύσηται Cod.

τῶν ἐλαιῶν ηὐλίζετο τοὺς ἐν τῇ πόλει θορύβους παραιτούμενος, ἵνα καὶ ἐν τούτῳ τύπος ἡμῖν γένηται.

Περὶ τῆς ἑορτῆς τῶν ἀζύμων ὅτι ἤγγιζε, καὶ ὅτι ἐζήτουν οἱ ἀρχιερεῖς ἀνελεῖν αὐτὸν, καὶ ὅτι εἰσῆλθεν ὁ Σατανᾶς εἰς τὸν Ἰούδαν, καὶ ὅτι συνεφώνησε τοῦ παραδοῦναι αὐτὸν, καὶ ὅτι ἐζήτει ἐπὶ τοῦτο εὐκαιρίαν, ἕως "καὶ οἱ δώδεκα Ἀπόστολοι σὺν αὐτῷ," προεγράφη εἰς τὸ κατὰ Ματθαῖον.

ΚΕΦ. ΟΕ.

Περὶ τοῦ Πάσχα.

7 Τίτου Βοστρῶν. Εἰσῆλθε τοίνυν ὁ Σατανᾶς εἰς αὐτὸν, ὄντα οὐκ ἐκ τῶν ιβʹ ἀλλ' ἐκ τοῦ ἀριθμοῦ, ἀριθμὸν ἀνεπλήρου, οὐκ ἀποστολικὸν ἀξίωμα ἐκέκτητο. Ἦλθε δὲ ἡ ἡμέρα τῶν ἀζύμων, ᾗ ἔδει θύεσθαι τὸ Πάσχα, φάσκα ὁ τῆς ἑορτῆς καιρὸς ὠνομάζετο· δηλοῖ δὲ διάβασις. Ὥσπερ γὰρ τῆς Αἰγυπτίων δουλείας ὁ Ἰσραὴλ ἀπηλλάττετο εἰς τὴν τῆς ἐπαγγελίας ἐρχόμενος γῆν, διὰ θαλάσσης μέσης βαδίζων ἀβρόχῳ ποδὶ, οὕτω καὶ ἡμᾶς δεῖ καθάπερ τὴν θάλατταν διαπεραιοῦσθαι νεανικῶς τὸν εἰκαῖον τοῦ παρόντος βίου περισπασμόν· διαβαίνομέν γε μὲν ἐκ φιλοσαρκίας εἰς ἐγκράτειαν, ἐξ ἀγνωσίας τῆς πάλαι εἰς θεογνωσίαν τὴν πάλαι ἀληθῆ, ἐκ θανάτου εἰς ἀφθαρσίαν. Ἔχομεν τοίνυν τιμῶσαν ἐπὶ τοὺς τύπους τὴν ἀλήθειαν. ἐλθούσης γὰρ φησὶ, τῆς ἡμέρας, καθ' ἣν ἔδει θύεσθαι τὸ Πάσχα, δύο τινὰς ἀπολέγδην τῶν ἁγίων Ἀποστόλων, ἦσαν δὲ Πέτρος καὶ Ἰωάννης, πέπομφεν ἐν τῇ πόλει, εἰπὼν αὐτοῖς τὰ γεγραμμένα· καίτοι τί δήποτε οὐ τὸν ἄνθρωπον ἐναργῶς καταμεμήνυκε τοῖς ἀπεσταλμένοις; Οὐ γὰρ ἔφη πρὸς τὸν δεῖνα τυχὸν, ἀλλὰ σημεῖον δέδωκεν ἄνθρωπον ἁπλῶς κεράμῳ ὕδατος πεφορτισμένον. Τί οὖν πρὸς τοῦτο φαμέν; ἤδη τοῖς Ἰουδαίοις ὑποσχόμενος ἦν ὁ προδότης παραδώσειν αὐτόν. Ἵνα τοίνυν μὴ μάθῃ τὸν ἄνθρωπον, καὶ δραμὼν ἀπαγγείλῃ τοῖς μισθωσαμένοις, δίδωσι σημεῖον. Ἔτι γὰρ ὑπεπλάττετο τὴν μαθηταῖς εὔνοιαν ἔχειν, μιαιφονίαν ὠδίνων. "ὑπαντήσει γὰρ ὑμῖν," φησὶ, "ἄνθρωπος κεράμιον "ὕδατος βαστάζων." ἢ τάχα που καὶ μυστικόν τι καὶ ἀναγκαῖον διὰ τούτου δηλῶν· ἔνθα γὰρ ἂν εἰσέλθῃ τὸ ὕδωρ, δῆλον δὲ ὅτι τὸ τοῦ

ἁγίου βαπτίσματος, ἐκεῖ καταλύει Χριστός. Παντὸς γὰρ ἡμᾶς ἀπαλλάττει ῥύπου, καὶ ναὸν ἡμᾶς ἅγιον γενέσθαι Θεοῦ, καὶ τῆς θείας αὐτοῦ φύσεως κοινωνοὺς, διὰ μετοχῆς τοῦ Ἁγίου Πνεύματος· οὐκ ἂν δὲ ἁμάρτοι τις τἀληθοῦς, καὶ ἀναγκαῖον εἶναι λέγων τὴν παντὸς ἁγίου ψυχήν. καυχάσθω γὰρ, φησὶ, ὁ ἀδελφὸς ὁ ταπεινὸς ἐν τῷ ὕψει αὐτοῦ. ἑτοιμάσασι δὲ τὸ Πάσχα τοῖς μαθηταῖς
14 συνειστιᾶτο Χριστὸς, ἀνεξικακῶς τῷ προδότῃ φάσκων, "ἐπιθυμίᾳ
"ἐπεθύμασα τοῦτο τὸ Πάσχα φαγεῖν μεθ' ὑμῶν." Τί δὴ ἄρα φησὶν ὁ Σωτήρ; οὐκοῦν ὡς ἤδη προεῖπον, καιρὸν ἐζήτει τῆς προδοσίας ὁ φιλάργυρος μαθητής· ἵνα δὲ μὴ πρὸ τῆς τοῦ ἁγίου Πάσχα τοῖς φονοῦσιν αὐτὸν παραδῷ, οὐ διαμεμήνυκεν ὁ Σωτὴρ, ἢ τὸν οἶκον ἢ τὸν ἄνθρωπον, παρ' ᾧ τὸ Πάσχα πεπλήρωκεν. Ἀποδιδοὺς τοιγαροῦν τὴν αἰτίαν τοῦ μὴ θελῆσαι σαφῶς εἰπεῖν τὸν παρ' ᾧ κατέλυσεν, "ἐπιθυμίᾳ," φησὶν, "ἐπεθύμησα τοῦτο τὸ Πάσχα φαγεῖν "μεθ' ὑμῶν·" ὅμοιον ὡσεὶ λέγοι, πᾶσαν ἐθέμην σπουδὴν, ὅπως ἂν ἰσχύσω λαθεῖν τὴν τοῦ προλαβόντος ἀνοσιότητα, ἵνα μὴ πρόωρον ὑπομείνω τὸ πάθος. πλὴν οὐ μὴ φάγω τὸ Πάσχα τοῦτο, ἕως οὗ πληρωθῇ ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ. Ἔθος δὲ αὐτῷ βασιλείαν οὐρανῶν ὀνομάζειν τὴν ἐν πίστει δικαίωσιν, τὴν διὰ τοῦ ἁγίου βαπτίσματος κλῆσιν, καὶ τὴν τοῦ ἁγίου βαπτίσματος μέθεξιν, καὶ τῆς ἐν πνεύματι λατρείας τὴν δύναμιν· οὐκοῦν οὐκ ὄψομαι, φησὶν τοιούτου Πάσχα, τοῦ διὰ Μωσέως δηλονότι δηλουμένου τυπικῶς, ἕως οὗ πληρωθῇ ἐν τῇ Βασιλείᾳ τοῦ Θεοῦ· τουτέστιν, ἀναδειχθέντος τοῦ καιροῦ, καθ' ὃν ἡ Βασιλεία τῶν οὐρανῶν ἐμφανίζεται· πληροῦται γὰρ ἐν ἡμῖν τοῖς τὴν ὑπὲρ νόμον τιμῶσι διάβασιν Πάσχα τὸ ἀληθινόν· καὶ οὐκ ἐξ ἀγέλης ἀμνὸς ἁγιάζει τοὺς ἐν Χριστῷ· αὐτὸς δὲ μᾶλλον ἁγίως ἱερουργούμενος διὰ τῆς μυστικῆς εὐλογίας, καθ' ἣν εὐλογούμεθα καὶ ζωοποιούμεθα. Γέγονε γὰρ ἡμῖν ἄρτος ζῶν ὁ ἐξ οὐρανοῦ καταβὰς, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ.

Τοῦ Χρυσοστόμου. Κἀντεῦθεν δῆλον, ὅτι οὐκ ἦν αὐτῷ οἰκία. Ἐγὼ δὲ οἶμαι, μηδὲ τοὺς μαθητὰς αὐτοῦ ἔχειν· ἢ γὰρ αὐτὸν ἐκεῖ παρεκάλεσαν ἐλθεῖν. Τίνος δὲ ἕνεκα τὸ Πάσχα ἐτέλει; διὰ πάντων δεικνὺς μέχρι τῆς ἐσχάτης ἡμέρας, ὅτι οὐκ ἔστιν ἐναντίος τῷ νόμῳ. Καὶ τί δῆτα πρὸς ἀγνῶτα πέμπει ἄνθρωπον; Δεικνὺς

κἀντεῦθεν ὅτι ἠδύνατο μὴ παθεῖν. Ὁ γὰρ τὴν διάνοιαν τούτου πείσας, ὥστε αὐτοὺς ὑποδέξασθαι, τί οὐκ ἂν εἰργάσατο ἐν τοῖς σταυροῦσιν αὐτὸν, εἴ γε ἐβούλετο μὴ παθεῖν; Εἶτ' ἐπειδὴ ἠγνόει, καὶ σημεῖον αὐτοῖς δίδωσιν, οἷον ἐπὶ τοῦ Σαῦλ ὁ προφήτης λέγει· "εὑρήσεις τινὰ ἀναβαίνοντα καὶ ἀσκὸν ἔχοντα," καὶ ἐνταῦθα κεραμίον βαστάζοντα· προστίθησι δὲ "μετὰ τῶν μαθητῶν μου," μετὰ τὸ ἀρκοῦσαν γενέσθαι τὴν παρασκευὴν, καὶ ἐκεῖνον μὴ νομίσαι κρύπτεσθαι αὐτόν. Πῶς δὲ εἰ τὸ Πάσχα ἤσθιον, παρανόμως ἤσθιον; οὐ γὰρ ἀνακειμένους δεῖ φαγεῖν. Τί οὖν ἔστιν εἰπεῖν; ὅτι μετὰ τὸ φαγεῖν ἀνέκειντο λοιπὸν ἑστιώμενοι.

15 Εἰπὼν ὅτι "ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ Πάσχα φαγεῖν "μεθ' ὑμῶν πρὸ τοῦ με παθεῖν," ἐσήμανε διὰ τούτου, ὅτι οὐκ ἄκων παραγέγονεν ἐπὶ τὸ πάθος, ἀλλὰ μετὰ πολλῆς ἐπιθυμίας ὥστε παθεῖν ὑπὸ τοῦ κόσμου· οὐκ ἐσθίει δὲ αὐτὸ μετὰ τῶν Ἰουδαίων, ἀλλὰ μετὰ τῶν μαθητῶν αὐτοῦ μόνων, ἐπειδήπερ ἐκεῖνοι ἀνάξιοι ἦσαν τούτου διὰ τὴν ἐπίμονον ἀπιστίαν. Περὶ τοῦ εἰπεῖν αὐτὸν ὅτι "οὐκέτι οὐ μὴ φάγω ἐξ αὐτοῦ," ἕως "οὐαὶ τῷ ἀνθρώπῳ "ἐκείνῳ δι' οὗ παραδίδοται," καὶ ὅτι φιλονεικία ἐγένετο ἐν αὐτοῖς τὸ τίς αὐτῶν δοκεῖ εἶναι μείζων ἕως "διάκονος," προεγράφη.

Ἰωάννου τοῦ Χρυσοστόμου. Εἰς τὸ ἐπιθυμίᾳ ἐπεθύμησα, τουτέστι παραδοῦναι ὑμῖν τὰ καινὰ πράγματα, καὶ Πάσχα δοῦναι καθ' ὃ μέλλω πνευματικοὺς ποιεῖν.

16 Κυρίλλου Ἀλεξανδρείας. Ἐν τῷ εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον οὕτω κεῖται, "οὐ μὴ πίω ἀπάρτι ἐκ τούτου τοῦ "γενήματος τῆς ἀμπέλου ἕως τῆς ἡμέρας ἐκείνης, ὅταν αὐτὸ πίω "μεθ' ὑμῶν καινὸν ἐν τῇ βασιλείᾳ τοῦ Πατρός μου."

Πρὸς ταῦτα ἀποκρίνεται Σευῆρος ὁ ἐπίσκοπος Ἀντιοχείας πρὸς Λεόντιον πρεσβύτερον γράφων οὕτω. "Τοῦτο διπλὴν τὴν ἀποδοσιν "ἔχει καὶ τὴν ἐξήγησιν. Ὁ μὲν γὰρ ἁγιώτατος τῆς Κωνσταντινου"πόλεως ἐπίσκοπος Ἰωάννης ἐκείνην καινὴν πόσιν τοῦ ποτηρίου "φησὶν, ἣν μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν ἔπιεν μετὰ τῶν μαθητῶν "αὐτοῦ, τὸν ναὸν τοῦ σώματος τοῦ ἀναστάντος πιστούμενος, καὶ τὸ "τῆς φιλοδοξίας ἀνόσιον ἐξοστρακίζων δοξάριον. Ἱστόρηται γὰρ ὁ "θεοπέσιος Πέτρος ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων πρὸς Κορνή"λιον εἰπὼν, "οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ μετὰ τὸ

"ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν." ὁ μέντοι γε θεολόγος Γρηγόριος "ἐν τῷ εἰς τὸ Πάσχα λόγῳ φησί· καινοῦ ποτηρίου δόσιν εἶναι τὴν ἐν τῇ μελλούσῃ καὶ προσδοκωμένῃ βασιλείᾳ τῶν οὐρανῶν τῶν θείων νοημάτων ἐπηγγελμένων ἡμῖν ἀποκάλυψιν· ὅτε λύεται μὲν τὰ ἔσοπτρα καὶ τὰ αἰνίγματα, φανεροῦται δὲ ἡ προσώπου πρὸς πρόσωπον θέα, καθά φησιν ὁ θεῖος Ἀπόστολος.

Σευήρου ἐκ τοῦ πρὸς Ἰουλιανὸν συντάγματος κεφαλαίου. Ἕνα γὰρ ἄρτον ὁ ἐνανθρωπήσας τοῦ Θεοῦ Λόγος ἐν τῷ μυστικῷ δείπνῳ τῆς ἱερουργίας τοῦ μεγάλου μυστηρίου, πρῶτος αὐτὸς ἀπαρχόμενος καὶ τοῖς Ἀποστόλοις τοῦτο παραδοὺς, λαβὼν ηὐλόγησε, καὶ δέδωκεν εἰς ὄνομα τοῦ ἰδίου θανάτου καὶ τῆς ἀναστάσεως, εἰπὼν, "τοῦτό μού ἐστι τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν διδόμενον "εἰς ἄφεσιν ἁμαρτιῶν," ὃ καὶ ἐσθίομεν καὶ ἀπαθὲς καὶ ἀθάνατον, καὶ ἀφθαρσίας πλῆρες, καὶ ἀναπιμπλᾷ ἡμᾶς τῆς αὐτῆς εὐλογίας καὶ ἀθανασίας, ὥσπερ τινὸς τῆς μελλούσης ἡμῖν ἐγγίγνεσθαι θείας χάριτος καὶ δυνάμεως τῆς ἀναστάσεως.

Τοῦ Χρυσοστόμου. Ταῦτα πάλιν καὶ ἀνακτώμενος τοὺς μαθητὰς ἔλεγεν, ἵνα μὴ νομίσωσιν ἀσθενείας εἶναι τὸ πρᾶγμα, καὶ τὸν προδότην διορθούμενος.

ΚΕΦ. ΟϚ.

Περὶ τῶν φιλονεικησάντων τίς μείζων.

27 Τοῦ δεσπότου Χριστοῦ εἰπόντος ὅτι "ἐγὼ δέ εἰμι ἐν μέσῳ ὑμῶν "ὡς ὁ διακονῶν," τίς οὕτως ἐστὶν ἀπηνὴς, ὡς μὴ πᾶσαν ἀποπτύσαι φιλοδοξίαν; Ὁ γὰρ ὑπὸ πάσης λογικῆς κτίσεως καὶ ἁγίας διακονούμενος, ὁ σύνθρονος καὶ συμβασιλεύων τῷ Θεῷ καὶ Πατρὶ, διακόνου τάξιν ἐπέχων, ἔνιψε τοὺς πόδας τῶν μαθητῶν· καὶ καθ' ἕτερον δὲ τρόπον διακονίας ἔχει τάξιν, τουτέστι κατὰ τὸν τῆς μετὰ σαρκὸς οἰκονομίας λόγον.

30 Τὸ δὲ "ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου ἐν τῇ "βασιλείᾳ μου" φησὶν, ὅτι οὐκ ἐν ἐδεσμάτων χρείᾳ ἐσόμεθα καὶ τραπέζης, ἀλλ' ἐκ τῶν καθ' ἡμᾶς πραγμάτων ὑποδεῖξαι τὰ πνευματικὰ βούλομαι, ὅτι ὥσπερ οἱ παρὰ τῶν ἐπὶ γῆς βασιλέων τὰς πρώτας ἔχοντες τιμὰς, συνέστιοι τέ εἰσιν αὐτοῖς καὶ ὁμότιμοι,

οὕτως ἐν ταῖς πρωτευούσαις τιμαῖς ἔσονται παρὰ τῷ ἀθανάτῳ βασιλεῖ, οἱ ἅγιοι καὶ πανεύφημοι Ἀπόστολοι, ὡς διαμεμενηκότες μετ' αὐτοῦ ἐν τοῖς πειρασμοῖς. Τὸ δὲ "καθίσεσθε ἐπὶ ιβ' θρόνους" καὶ τὰ ἑξῆς, προεγράφη.

Κυρίλλου Ἀλεξανδρείας. Ὤιετο μὲν ἴσως διαβολικῆς ἀπονοίας ἐπίμεστος ὢν ὁ Ἰούδας, δύνασθαι λαθεῖν τὸν ὄντα Χριστὸν, ἀλλ' ἠλέγχετο πάνυ πονηρὸς ὢν, καίτοι τραπέζης ἀξιούμενος, καὶ τῆς θείας ἡμερότητος μέχρι παντὸς ἀπολαύσας, ὃ δὴ μάλιστα φορτικώτερον αὐτῷ τὴν κόλασιν ἀπειργάζετο. Οὐαὶ τοίνυν αὐτῷ κατὰ τὴν τοῦ Σωτῆρος φωνήν. Ὁ μὲν γὰρ κατ' εὐδοκίαν τοῦ Θεοῦ καὶ Πατρὸς δέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα παντὸς ἡμᾶς ἐξέληται κακοῦ· ὁ δὲ τὸν τῶν ὅλων Σωτῆρα καὶ λυτρωτὴν ταῖς τῶν φονευόντων χερσὶ παραδοὺς, τὴν διαβόλῳ πρεπωδεστάτην ἐκληρονόμησε δίκην.

ΚΕΦ. ΟΖ.

Περὶ τῆς ἐξαιτήσεως τοῦ Σατανᾶ.

Διὰ τί τοὺς ἄλλους ἀφεὶς πρὸς τὸν Πέτρον μόνον εἴρηκε, "Σίμων, Σίμων, ἰδοὺ ὁ Σατανᾶς ἐξῃτήσατο ὑμᾶς σινιᾶσαι ὡς "τὸν σῖτον;" ἵνα παιδεύσῃ αὐτὸν, μὴ ἑαυτῷ θαρρεῖν, ἀλλὰ τοῖς παρ' αὐτοῦ χαρίσμασι σεμνύνεσθαι. Τί δέ ἐστι "σινιᾶσαι;" θορυβῆσαι, ταράξαι, πειράσαι· ἔθος γὰρ τῷ Σατανᾷ, τοῖς εὐδοκιμοῦσιν ἐπιπηδᾶν, ὥσπερ καὶ τῷ Ἰώβ.

32 Ἐν τῷ εἰπεῖν, ὅτι "ἐγὼ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλίπῃ ἡ "πίστις σου," ἔδειξεν ὅτι ὡς ἄνθρωπος πάλιν διαλέγεται, καίτοι Θεὸς ὢν τῇ φύσει, εἰ καὶ γέγονε σὰρξ, δεηθῆναι γὰρ κατὰ τὸ ἀνθρώπινον, φησίν· ὑπεμφαίνει δὲ διὰ τούτων ὡς εἴπερ ἐκδοθείη πρὸς πεῖραν τῷ Σατανᾷ, ἄπιστος γενήσεται παντελῶς, ὅπως γε καὶ μὴ ἐκδοθεὶς ἠσθένησε τῇ πίστει ἀρνησάμενος.

33 Ἐπάγει δὲ τὸ "ἐπιστρέψας στήριξον τοὺς ἀδελφούς σου," ἵνα μὴ εἰς ἀπόγνωσιν ἐμπέσῃ, μᾶλλον δὲ ἀγαθὴν ἐλπίδα κτήσεται. Τὸ γὰρ "ἐπιστρέψας στήριξον τοὺς ἀδελφούς σου," τοῦτό ἐστι· γενοῦ στήριγμα καὶ διδάσκαλος τῶν διὰ πίστεως προσιόντων ἐμοί. οὐ γὰρ δὴ ἀποστερηθήσῃ, φησὶν, ἀρνησάμενος τοῦ ἀποστολικοῦ χαρίσματος, ὅπερ τῆς θείας ἐστὶ γαληνότητος καὶ τῆς ἀφάτου

φιλανθρωπίας ὑπάρχει τεκμήριον. Περὶ ὧν γὰρ εἶπεν ὁ Πέτρος, ὅτι ἕτοιμός εἰμι ὑπὲρ σοῦ ἀποθανεῖν, καὶ ὧν ἤκουσε διὰ τοῦ τοπάρχου, προεγράφη.

Τοῦ Χρυσοστόμου. Ἐντεῦθεν μανθάνομεν δόγμα μέγα, ὡς οὐκ ἀρκεῖ προθυμία ἀνθρώπου, ἂν μὴ τῆς ἄνω ἀπολαύῃ ῥοπῆς, καὶ πάλιν οὐδὲν κερδανοῦμεν ἀπὸ τῆς ἄνωθεν ῥοπῆς, προθυμίας οὐκ οὔσης· καὶ ταῦτα ἀμφότερα δείκνυσι Ἰούδας καὶ Πέτρος. οὐκ ἐναντία ἑαυτῷ νομοθετῶν ὁ Χριστός φησι· πρότερον μὲν ἔλεγε, "μὴ κτήσησθε πήραν," καὶ τὰ ἑξῆς. Νῦν δέ φησιν "ὁ ἔχων "βαλλάντιον, ἀράτω ὁμοίως καὶ πήραν, καὶ ὁ μὴ ἔχων πωλησάτω "τὸ ἱμάτιον αὐτοῦ καὶ ἀγορασάτω μάχαιραν·" κατ' ἀρχὰς μὲν γὰρ ἐκεῖνα προσέτασσε, ὅπως πεῖραν καὶ ἀπόδειξιν τῆς αὐτῶν δυνάμεως λαβόντες, ἐν τῷ μηδενὸς αὐτοὺς ὑστερεῖσθαι μετὰ θάρσους καὶ προθυμίας εἰς τὴν οἰκουμένην ἐξέλθωσιν ἅπασαν· πρὸς δὲ τὴν συμπλήρωσιν τῆς οἰκονομίας ἐρχόμενος, ταῦτα παρεκελεύετο ἵνα μὴ διὰ τέλους ἀργοὶ μένωσι, πενίας δὲ καὶ πείνας καὶ γυμνότητος πεῖραν λαβόντες, ἐν τούτοις τὴν οἰκείαν φιλοσοφίαν ἐνδείξονται, καὶ μὴ ὥσπερ δι' ἀψύχων ὀργάνων ἐνεργεῖσθαι τὰ κατ' αὐτοὺς νομίζωσιν· ἔτι δὲ καὶ ἵνα μὴ μετὰ ταῦτά τινες ἔχωσι λέγειν, ὅτι οὐδὲν παρ' αὐτοῖς εἰσήνεγκαν ἐκεῖνοι, ἀλλὰ τὸ πᾶν τῆς τοῦ Θεοῦ ῥοπῆς ἐγένετο, πρὸς δὲ τούτοις ἵνα καὶ μετριάζειν μάθωσι, τοῦτο ποιεῖ, καὶ ὅπως μὴ μείζονα ἢ κατὰ ἄνθρωπον λάβωσι δόξαν. Διὰ δὴ ταῦτα καὶ πολλῷ πλείονα τούτων, ἀφεὶς αὐτοὺς πολλοῖς τῶν ἀδοκήτων περιπίπτειν, οὐκ ἠβουλήθη ὑπὸ τὴν ἀκρίβειαν τῆς νομοθεσίας τῆς προτέρας αὐτοὺς ἀφεῖναι, ἀλλ' ἐχάλασε καὶ ἀνῆκε τῆς φιλοσοφίας τὸν τόνον ἐκείνοις, ὥστε μὴ βαρύν τινα καὶ ἀφόρητον αὐτοῖς γενέσθαι τὸν βίον, πολλαχοῦ ἐγκαταλιμπανομένοις καὶ τὸν ἀκριβῆ νόμον ἐκεῖνον ἀναγκαζομένοις τηρεῖν.

37 Ἀγοράσαι δὲ μάχαιραν, φησὶ, τὴν ἔφοδον τῶν Ἰουδαίων τὴν κατ' αὐτοῦ γνωρίσαι αὐτοῖς βουλόμενος, καὶ ὅτι μέλλουσιν αὐτὸν συλλαμβάνειν, καὶ τοῦτο φανερῶς μὲν οὐκ ἠθέλησεν εἰπεῖν, ὥστε μὴ θορυβῆσαι πάλιν αὐτούς· δι' αἰνίγματος μέντοι τῆς μαχαίρας τὴν ἐνεστῶσαν αἰνίττεται ἐπιβουλὴν, καὶ ὅτι μέλλει πάσχειν παρὰ τῶν Ἰουδαίων ἅπερ ἔπαθε, καὶ τοῦτο ἐκ τῶν ἑξῆς δῆλον. Εἰπὼν γὰρ "ἀγορασάτω μάχαιραν," ἐπήγαγεν, "ὅτι δεῖ τὰ γε-

"γραμμένα περὶ ἐμοῦ τελεσθῆναι, ὅτι μετὰ ἀνόμων ἐλογίσθη·" οὔτε οὖν τελείως παρεσιώπησεν, ἵνα μὴ τῇ ἀθρόᾳ ἐφόδῳ ταραχθῶσιν, οὔτε πάλιν τελείως ἐγνώρισεν, ἵνα μὴ δειλίᾳ τινὶ κατασχεθῶσιν.

38 Εἰπόντων δὲ τῶν Ἀποστόλων, "Κύριε, ἰδοὺ μάχαιραι ὧδε δύο," καὶ τὸ λεχθὲν μὴ συνιέντων, αὐτός φησιν, "ἱκανόν ἐστι," καίτοι γε οὐκ ἦν ἱκανόν. Εἰ μὲν γὰρ ἀνθρωπίνης βοηθείας κεχρῆσθαι αὐτοὺς ἐβούλετο, οὐδὲ εἰ ἑκατὸν ἦσαν μάχαιραι, ἱκαναὶ ἦσαν· εἰ δὲ μὴ τοῦτο, καὶ δύο περιτταί· καὶ ὅμως οὐκ ἀπεκάλυψε τὸ αἴνιγμα. καὶ γὰρ πολλαχοῦ φαίνεται τοῦτο ποιῶν, ἐπειδὰν μὴ νοήσωσι τὸ λεχθὲν, παρατρέχει τοῦτο καὶ ἀφίησι, τῇ τῶν πραγμάτων ἐκβάσει τῶν μετὰ ταῦτα τὴν κατανόησιν τῶν εἰρημένων ἐπιτρέπων λοιπὸν, ὥσπερ καὶ ὅτε εἶπε, "λύσατε τὸν ναὸν τοῦτον," καὶ τὰ ἑξῆς. Περὶ τοῦ προσεύξασθαι αὐτὸν πρὸ τοῦ πάθους προεγράφη εἰς τὸ κατὰ Ματθαῖον.

Ἵνα δὲ δείξῃ, ὅτι ἀληθινὸς ἦν ἄνθρωπος, καὶ οὐκ ἀπὸ τῆς θεότητος ἡ ἀγωνία γέγονεν, ἵδρωσε, καὶ ἐγένετο αὐτοῦ ὁ ἱδρὼς ὥσει θρόμβοι αἵματος, ὅπερ μυστηρίου τινὸς ἐστὶ τεκμήριον. Οὐδὲ γὰρ εἰ σφόδρα δειλότατός ἐστι καὶ ἀγεννὴς, αἵματος ἔμελλε νοτίσιν ἐξ ἀγωνίας μόνης ὥσπερ ἰκμάσι ἱδρῶτος παρὰ φύσιν ὑγραίνεσθαι, ἀλλ' εὐδόκησε τοῦτο γενέσθαι ἐν ἑαυτῷ, ὅπως τῆς ἡμετέρας φύσεως ὥσπερ ἀναξηράνῃ καὶ ἐξοικίσῃ τὴν τῆς δειλίας πηγήν.

43 Ὤφθη δὲ αὐτῷ Ἄγγελος ἐξ οὐρανοῦ ἐνισχύων αὐτὸν, οὐχ ὅτι τῆς ἰσχύος τοῦ Ἀγγέλου ἐπεδέετο, ὁ ὑπὸ πάσης ὑπουρανίου δυνάμεως φόβῳ καὶ τρόμῳ προσκυνούμενος καὶ δοξαζόμενος, ἀλλ' ἵνα πληρωθῇ τὸ ἐν τῇ μεγάλῃ ᾠδῇ ὑπὸ τοῦ Μωϋσέως εἰρημένον, "καὶ "ἐνισχυσάτωσαν αὐτὸν πάντες υἱοὶ Θεοῦ," τουτέστι διὰ τὴν ὑπερβολὴν τῆς θαυμασιότητος δοξολογῶν αὐτὸν ὁ Ἄγγελος ἔλεγε πρὸς Κύριον· Σή ἐστιν ἡ ἰσχὺς, δέσποτα, σὺ γὰρ ἴσχυσας κατὰ θανάτου καὶ κατὰ τοῦ ᾅδου καὶ κατὰ τοῦ διαβόλου, ἐλευθερώσας τὸ γένος τῶν ἀνθρώπων ἐξ αὐτῶν.

44 Φωνῇ παροιμίας λέγεται ἐπὶ τῶν σφόδρα λυπουμένων καὶ ἀγωνιώντων, "αἵματι ἵδρω," ὥσπερ καὶ ἐπὶ τῶν πικρῶς ὀδυρομένων, "αἵματι κλαίει." εἰ μὲν οὖν κατὰ τοῦτόν τις πεπαρῳδῆσθαι νομίσει τὸν τρόπον, οὐδὲ γὰρ τῶν τοιούτων μαθημάτων ὁ ἀνὴρ ἀνήκοος, οὐ

γὰρ θρόμβους ἱδρὼς ἀπεφήνατο αἵματος· οὐ γὰρ καθ᾽ ὁμοιότητα τούτων εἴρηκε γενέσθαι τοὺς ἱδρῶτας· τοῦτο γὰρ σαφῶς δηλονότι "ὡσεὶ θρόμβοι" παρίστησι. θέλων δὲ μᾶλλον δηλῶσαι, ὡς οὐχὶ λεπταῖς τισὶ νοτίσι καὶ οἷον ἐνδείξεως χάριν ἐπιφαινομέναις, ἀλλ᾽ ὡς ἀληθῶς ἁδρῶν σιαγόνων δίκην ὅλον τοῖς ἱδρῶσι περιεστάζετο.[a] * * τοὺς τῶν αἱμάτων θρόμβους ὡσεὶ κόρον τοῦ γεγενημένου παρειληφέναι· ἐδήλου δὲ ἄρα ὥσπερ καὶ διὰ τῆς ἐντεταμένης προσευχῆς, καὶ τῆς πολλῆς ἀγωνίας καὶ τῆς τῶν ἱδρώτων παχύτητος, ὡς φύσει καὶ ἀληθῶς, ἀλλ᾽ οὐκ ἐπιδείξει καὶ φαντασίᾳ ἄνθρωπός τε ἐχρημάτισεν ὁ Σωτὴρ, καὶ τοῖς φυσικοῖς καὶ ἀδιαβλήτοις ὑπηρετήσατο πάθεσι. Περὶ τοῦ ἀναστῆναι αὐτὸν ἐκ τῆς προσευχῆς, καὶ ὅτι ἐφίλησεν αὐτὸν ὁ Ἰούδας, καὶ τὰ ἑξῆς, ἕως ἤγαγον αὐτὸν πρὸς Πιλάτον, προεγράφη εἰς τὸ κατὰ Ματθαῖον.

Τίτου Βοστρῶν. Τὸ "μὴ εἰσελθεῖν εἰς πειρασμὸν" οὐ τὸ μὴ πειρασθῆναι, ἀλλὰ τὸ μὴ ἔσω γενέσθαι τῶν πειρασμῶν καὶ κυριευθῆναι.

Ἀπολιναρίου. Σημεῖον τὸ φίλημα δέδωκεν ὁ προδιδοὺς, διὰ τὸ καὶ μᾶλλον πλησιᾶσαι δύνασθαι κατὰ τὴν συνήθειαν, καὶ ὁ Κύριος φιλοῦντα μὲν αὐτὸν οὐκ ἀπεστράφη, τῇ τε συνήθει πραότητι καὶ προσελέγχων. Ἔδειξε δὲ αὐτῷ, ἵνα μὴ νομίζῃ λανθάνειν, ὅτι οὐκ ἐπὶ τούτῳ αὐτὸν δέχεται, ὅπερ σχηματίζεται διὰ τοῦ φιλήματος, ἀλλ᾽ ἐπ᾽ ἐκεῖνο, ἐφ᾽ ὅπερ ἥκει καὶ βούλεται τοῦ ἐπιτελέσαι.

50 Τοῦ Χρυσοστόμου. Ἄξιον ζητῆσαι τίνος ἕνεκεν μαχαίρας ἐβάστασαν, καὶ πόθεν ἦσαν ἐκεῖ μάχαιραι; ἀπὸ δείπνου ἦσαν καὶ τραπέζης ἐξεληλυθότες· εἰκὸς οὖν καὶ μαχαίρας εἶναι ἐκεῖ διὰ τὸ ἀρνίον· τούτους δὲ ἀκούσαντας ὅτι ἥξουσι τινὲς ἐπ᾽ αὐτὸν λαβεῖν εἰς βοήθειαν ὡς πολεμήσοντας ὑπὲρ τοῦ διδασκάλου, ὃ τῆς ἐκείνης γνώσεως ἦν μόνον. Διὸ καὶ ἐπιτιμᾶται Πέτρος αὐτῇ χρησάμενος μετὰ σφοδρᾶς τῆς ἀπειλῆς· καὶ οὐκ ἀφῆκέν τινα βλάβην γενέσθαι Χριστός· ἰάσατο γὰρ αὐτὸν, καὶ θαῦμα ἐπεδείξατο, ἱκανὸν καὶ τὴν ἐπιείκειαν αὐτοῦ καὶ τὴν δύναμιν ἐμφῆναι, καὶ τὴν τοῦ μαθητοῦ φιλοστοργίαν τε καὶ πραότητα. Καὶ γὰρ ἐκεῖνο φιλοστόργως καὶ τοῦτο πειθηνίως. Ἀκούσας γὰρ "βάλε

[a] Quædam excidisse videntur.

τὴν μάχαιραν εἰς τὴν θήκην αὐτῆς, εὐθέως ἐπείσθη, καὶ μετὰ ταῦτα οὐδαμοῦ τοῦτο ποιεῖ.

Ἀπολιναρίου. Τοῦτό ἐστιν ὅτι συγχωρήσεως καιρὸς καὶ ἡ ἐξουσία τοῦ σκότους.

Τίτου Βοστρῶν. Ὅτε θέλω κρατοῦμαι, φησὶν, ἐγὼ γὰρ νῦν θέλω, αὕτη ἐστὶν ὑμῶν ἡ ὥρα, καὶ ἡ ἐξουσία τῆς ἁμαρτίας ὑμῶν.

61 Τοῦ Χρυσοστόμου. Ἰστέον ὅτι οὔτε ᾔσθετο τοῦ πτώματος ὁ Πέτρος, καὶ τοῦτο δηλῶν ὁ Λουκᾶς φησιν, ὅτι ἐνέβλεψεν εἰς αὐτὸν ὁ Χριστὸς, δεικνὺς ὅτι οὐ μόνον ἠρνήσατο, ἀλλ' οὐδὲ ἐπεμνήσθη οἴκοθεν, καὶ ταῦτα τοῦ ἀλεκτρυόνος φωνήσαντος· ἀλλ' ἐδεήθη πάλιν τῆς τοῦ διδασκάλου ὑπομνήσεως, καὶ τὸ βλέμμα αὐτῷ γέγονε ἀντὶ φωνῆς, οὕπω περιδεὴς ἦν. ὁ δὲ Μάρκος φησὶν, ὅτε μὲν ἅπαξ ἠρνήσατο, τότε πρῶτον ἐφώνησεν ὁ ἀλεκτρύων, ὅτε δὲ τρίτον καὶ τελευταῖον, ἀκριβέστερον ἐξηγούμενος τοῦ μαθητοῦ τὴν ἀσθένειαν, καὶ τὸ σφοδρα αὐτὸν ἀποτεθνηκέναι τῷ δέει, καὶ ταῦτα παρ' αὐτοῦ τοῦ διδασκάλου μαθὼν ἔγραψε· καὶ γὰρ φοιτητὴς ἦν Πέτρου. σύμφωνα δὲ τὰ παρὰ τοῦ Ματθαίου καὶ Μάρκου, εἰ καὶ δοκεῖ ἐναντία εἶναι. Ἐπειδὴ γὰρ καθ' ἑκάστην ἀγωγὴν καὶ τρίτον καὶ τέταρτον φωνεῖν εἴωθεν ὁ ἀλεκτρύων, δηλῶν ὁ Μάρκος ὅτι οὐδὲ ἡ φωνὴ αὐτὸν ἐπέσχε καὶ εἰς μνήμην ἤγαγε, τοῦτό φησιν· ὥστε ἀμφότερα ἀληθῆ. πρὶν ἢ γὰρ τὴν τρίτην ἀγωγὴν ἀπαρτίσαι τὸν ἀλέκτορα, τρίτον ἠρνήσατο, μόνου δὲ ὑπὸ τοῦ Χριστοῦ τῆς ἁμαρτίας ἀναμνησθεὶς, οὐδὲ κλαῦσαι ἐτόλμα φανερῶς, ἀλλ' ἐξελθὼν ἔξω, ἔκλαυσε πικρῶς.

Κυρίλλου Ἀλεξανδρείας. Ἠσθένησε κατὰ τὴν πρόρρησιν τοῦ Χριστοῦ μακάριος Πέτρος, καὶ ἠρνήσατο τὸν τῶν ὅλων Σωτῆρα Χριστὸν, καὶ οὐχ ἅπαξ, ἀλλὰ τρὶς, καὶ ἐνώμοτον ἐποιεῖτο τὴν ἄρνησιν. Ἔφη γὰρ ὁ Ματθαῖος, "ὅτι ἤρξατο καταναθεματίζειν "καὶ ὀμνύειν, ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον." Πειρῶνται μὲν οὖν τινὲς, ὀμωμοκέναι κατὰ τὸν Ματθαῖον, οὐκ οἶδεν ἄνθρωπον γεγονότα τὸν Ἰησοῦν, τοῦτο δὲ ἄπιστον. Πῶς γὰρ αὐτὸν οὐκ ἠρνήσατο τῆς μετὰ σαρκὸς οἰκονομίας ἀνατρέπων τὸ μυστήριον· ᾔδει γὰρ καθ' ἡμᾶς γεγονότα, τουτέστιν ἄνθρωπον τὸν μονογενῆ τοῦ Θεοῦ Λόγον· καὶ γοῦν ὡμολόγησεν ἐναργῶς, "ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ "τοῦ ζῶντος," καὶ οὐχ ὡς ἕνα τῶν καθ' ἡμᾶς Υἱὸν αὐτὸν εἶναι Θεοῦ

διαβεβαιούμενος τὰ τοιάδε φησίν· ἀλλὰ καὶ τοῖς τῆς ἀνθρωπότητος μέτροις συμβεβηκότα θεωρῶν, τὸν ἐπέκεινα παντὸς γεννητοῦ, καὶ ἐκ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίαν ἀναλάμψαντα Λόγον, οὐκ ἀπέστη τοῦ εἶναι καὶ ὁμολογεῖν, ὡς ἔστιν αὐτὸς Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. καὶ οὐδήπω φαμὲν, ὅτι γέγονεν ἄρνησις, ἵνα μὴ ψαύσηται Χριστὸς, ἀλλ' ὅτι τὸ ἐσόμενον οὐκ ἠγνοηκὼς, προαπήγγειλε τῷ μαθητῇ· ὅτι γὰρ ἀνθρωπίνης μικροψυχίας, ὡς ἔφην, γέγονε τὸ κακὸν, καὶ τοῖς τοῦ συνειδότος ἐλέγχοις ὁ μαθητὴς κατεκρίνετο, διδάξειεν ἂν εὐθὺς καὶ αὐτὸς ὁ θρῆνος, καὶ τὸ ἐπὶ τῇ μεταγνώσει δάκρυον· ἐξελθὼν γὰρ ἔξω, φησὶν, "ἔκλαυσε πικρῶς," προσεσχηκότος αὐτῷ τοῦ Χριστοῦ, καὶ τοῦ πρὸς αὐτὸν γεγονότος λόγου καλέσαντος εἰς ἀνάμνησιν. Ἐπιστρέψας δὲ οὐ διήμαρτε τοῦ σκοποῦ, μεμένηκε γὰρ ὅπερ ἦν, γνήσιος μαθητὴς, πεπλούτηκε γὰρ τῆς ἀφέσεως τοῦ πλημμελήματος.

66 Τοῦ αὐτοῦ. Πρέποι ἂν εἰπεῖν ὅπερ ἔφη τις τῶν ἁγίων προφητῶν, "ἐξέστη ὁ οὐρανὸς ἐπὶ τοῦτο, καὶ ἔφριξεν ἐπὶ πλεῖον σφόδρα "λέγει Κύριος." ὁ γῆς τε καὶ οὐρανοῦ Κύριος, ὁ τῶν ὅλων γενεσιουργὸς καὶ τεχνίτης, ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων, ὡς εἷς ἐξ ἡμῶν ἀτιμάζεται, καὶ διακαρτερεῖ τυπτόμενος, καὶ τὸν ἐκ τῶν ἀσεβῶν ὑπομένει γέλωτα, τύπον ἡμῖν τῆς εἰς ἄκρον ἀνεξικακίας ἑαυτὸν παρατιθείς. Ὁ γὰρ ἐτάζων καρδίας καὶ νεφροὺς, ὁ προφητείας πάσης δοτὴρ, πῶς ἂν ἠγνόησε, τίς ἐστιν ὁ παίσας αὐτόν; Ἀνισχούσης ἡμέρας τὸ δυσσεβὲς καὶ πάσης ἀνομίας μεστὸν συνήγερται βουλευτήριον, καὶ εἰς μέσον ὁ Μωϋσέως καὶ προφητῶν δεσπότης ἀθέσμως ἐξυβριζόμενος παρεκομίζετο· ἐπυνθάνοντο δὲ εἰ αὐτὸς ἔστιν ὁ Χριστός· ἀλλ' εἴποι τις ἂν πρὸς αὐτοὺς, εἰ μὲν ἀγνοῶν ἐρωτᾷς, οὐκ ἔδει σε πρὶν τὸ ἀληθὲς μαθεῖν, τύπτειν καὶ ὑβρίζειν αὐτὸν, μήπως Θεῷ προσκρούσῃς· εἰ δὲ ὑποπλάττεις τὴν ἄγνοιαν, εὖ εἰδὼς αὐτὸν ὄντα Χριστὸν, ἀκούσεις οὖν τοῦ ἱεροῦ γράμματος, "Θεὸς οὐ μυκτηρίζεται," διὸ καὶ Χριστὸς πρὸς αὐτούς· "ἐὰν ὑμῖν εἴπω" καὶ τὰ ἑξῆς· ποῦ γὰρ ἀκούσαντες ἐπιστεύσατε; ποῦ δὲ ἐρωτώμενοι ἐσιγήσατε;

Ἐλέγχοντος ἦν αὐτοὺς τὸ εἰρημένον, ὅτι οὐ παντελῶς διαλέληθεν αὐτοὺς τὸ πρᾶγμα διὰ τὴν ἐκ τῶν σημείων ἐπίγνωσιν. Πόθεν γὰρ τὸ λέγειν τοῦτον μόνον Χριστὸν, ὅπερ ἐφ' ἑτέρῳ οὐκ εἰρη-

κασιν; Ἐπιφέρει δὲ τὸ τῆς κρίσεως, ἀπειλῶν ὅτι ὄψονται αὐτὸν ἐν τῇ οὐρανίῳ δόξῃ φαινόμενον, ἀλλ᾽ ὅμως ἀκούσαντες οὐκ ἔπληξαν, οὐδὲ ἐφυλάξαντο, ἀλλὰ βλασφημίας εἶπαν εἶναι τὸν λόγον. Οὕτως οὐκ εἰς ὠφέλειαν τοῖς ἀνηκόοις αἱ τῶν μυστηρίων ἀποκαλύψεις, ἀλλ᾽ εἰς κατάκρισιν.

ΚΥΡΙΛΛΟΥ ἈΛΕΞΑΝΔΡΕΙΑΣ. Ἀπήγαγον Πιλάτῳ τὸν Ἰησοῦν· παρεδέθησαν καὶ αὐτοὶ ταῖς τῶν Ῥωμαίων στρατιαῖς, καὶ πεπλήρωται τὰ διὰ τῶν ἁγίων προφητῶν ἐπ᾽ αὐτοῖς προεπηγγελμένα, "οὐαὶ τῷ ἀνόμῳ, πονηρὰ κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ συμβήσεται αὐτῷ·" ὁ δὲ, "καθὼς ἐποίησας, οὕτως ἔσται σοὶ τὸ ἀνταπόδομά σου, ἀνταποδοθήσεταί σοι εἰς κεφαλήν σου." Τί δὲ δὴ καὶ Πιλάτῳ, φασὶ, τὰς κατὰ τοῦ πάντων Σωτῆρος ἡμῶν Χριστοῦ, συντιθέντες συκοφαντίας; "τοῦτον εὕρομεν διαστρέφοντα τὸ ἔθνος ἡμῶν, καὶ κωλύοντα φόρους διδόναι Καίσαρι." Ποῦ κεκώλυκε φόρους διδόναι Καίσαρι; καίτοι πεπόμφατε πρὸς αὐτὸν ἐξ ἑαυτῶν τινας μετὰ τῶν καλουμένων Ἡρωδιανῶν πειράζοντάς τε καὶ λέγοντας, "διδάσκαλε, ἔξεστι φόρους διδόναι Καίσαρι, ἢ οὔ;" εἶτα πρὸς ταῦτα Χριστός· ἐπιδείξατέ μοι, φησὶ, νόμισμα τοῦ κένσου, εἴρετό τε, τίνος ἔχει εἰκόνος ἐπιγραφὴν τὸ προσοισθὲν δηνάριον; ὡς δὲ Καίσαρος ἔφασκον, ἀπόδοτε, φησὶ, "τὰ Καίσαρος Καίσαρι καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ." Ποῦ τοιγαροῦν κεκώλυκε φόρους διδόναι Καίσαρι; ἀλλ᾽ εἰσῆν αὐτοῖς ὁ σκοπὸς τὸ καταγαγεῖν εἰς θάνατον τὸν ἀναφέροντα πρὸς ζωὴν, πλὴν ἠλέγχοντο καὶ ἀνδρὸς εἰδωλολάτρου γεγονότες δυσσεβέστεροι. Ὁ μὲν γὰρ Πιλάτος παντὸς αἰτιάματος ἀπήλλαττε τὸν Ἰησοῦν, καὶ τοῦτο οὐχ ἅπαξ, ἀλλὰ τρίς· οἱ δὲ ἐπίσχυον λέγοντες, ἀνασείει τὸν λαὸν, συκοφαντιῶν ἑτέρας συλλέγοντες ἀφορμάς· καὶ ὅτι μὲν ἐδίδασκε, φασὶν, σεσιγήκασι δὲ τῆς διδασκαλίας τὸν τρόπον, δεδιότες ποῦ μὴ ἄρα πῶς καὶ αὐτὸς ὁ Πιλάτος εὑρεθῇ τοῖς πιστεύουσιν ἐναρίθμιον, πλὴν καὶ ταῦτα ἃ λέγουσιν, ἐπετίμα Πιλάτος, ἀπολογούμενός τε καὶ λέγων, "οὐδεμίαν αἰτίαν εὕρηκα ἐν αὐτῷ," καὶ τὰ ἑξῆς.

Κατηγορεῖτο μὲν ὑπὸ τῶν Ἰουδαίων ὁ Χριστός· ἦν δὲ ἄπιστος ἡ κατηγορία, τοῦ πράγματος φωνὴν ἐναντίαν τοῖς κατηγόροις ἀφιέντος· οὔτε γὰρ φόρον ἐκώλυσε Καίσαρι διδόναι ποτὲ, μᾶλλον μὲν οὖν καὶ ἐπέτρεψε λέγων, "ἀπόδοτε τὰ Καίσαρος Καίσαρι,

“καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ.” οὔτε βασιλείας ἐγχείρησις ἦν ἐν αὐτῷ· ἀλλὰ γὰρ ἐπιόντων αὐτῷ τῶν ὄχλων ὥστε βασιλέα ποιῆσαι, καταλιπὼν αὐτοὺς εἰς τὸ ὄρος ἀνεχώρησε. Ποίαν δὲ στρατιωτῶν παρασκευὴν ὁρῶν ἐν αὐτῷ οἱ ἄνομοι, εἰς τοῦτο κατηγόρουν αὐτῷ; τί δὲ ἀλαζονικόν; οὐχὶ κώμας καὶ πόλεις ὁδοιπορῶν τοῖς ποσὶν, ἐπὶ θεραπείαις ἀνθρώπων ἐφαίνετο; Διόπερ καὶ αὐτῷ τῷ Πιλάτῳ ἀπίθανος παντελῶς ἡ κατηγορία καὶ ἕωλος ὤφθη, ὅθεν καὶ ἐπηρώτα, οἱονεὶ διαχλευάζων τοὺς κατηγοροῦντας, λέγων, “σὺ εἶ ὁ “βασιλεὺς τῶν Ἰουδαίων;” εἰ καὶ ὁ Κύριος τὸ ὄντως εἶναι βασιλεὺς οὐκ ἀρνεῖται.

ΚΕΦ. ΟΗ.

Ἐξουθένησις Ἡρώδου.

7 Ἐκπεμφθεὶς δὲ πρὸς Ἡρώδην ὑπὸ Πιλάτου, οὐκ ἀπεκρίθη τῷ Ἡρώδῃ ἐρωτώμενος ὑπ' αὐτοῦ, ἐπειδὴ οὐκ ἔδει πρὸς ἄνθρωπον ἀποκρίνεσθαι μηδὲν ἄξιον ἀποκρίσεως ἔχοντα· ἄλλως τε δὲ οὐδὲ διδασκαλίας ἦν ὁ καιρὸς, οὐδὲ ἐπιδείκνυσθαι σημείων δύναμιν πρέπον ἦν τῷ πρὸς τεραστίων ὄψιν φιλοθεάμονι μᾶλλον ἢ σημεῖα δυνάμεως θεῖα ἰδεῖν βουλομένῳ· ὅθεν σιωπῆς ἰδὼν τὸν καιρὸν ἐσιώπα.

Χλευάζει μέντοι τὸν σεμνὸν καὶ τίμιον ὁ ἀναίσθητος, μαρτυρεῖ δὲ δι' ὧν χλευάζει ὅτι μηδὲν ἄδικον ἔπραξεν ὁ Χριστός· οὐ γὰρ ἐσθῆτος[a] ἔδει λαμπρᾶς ἐπὶ τοῦ κακόν τι δεδρακότος ἢ εἰρηκότος, ὅθεν Ἰουδαῖοι καὶ οὕτω καταισχύνονται ἐκ τοῦ δικαστηρίου καὶ τῆς κατηγορίας αὐτῶν. ἀπιόντος τοῦ κατηγορουμένου μετὰ λαμπρᾶς ἐσθῆτος[a], εἰ καὶ διαπαίζων Ἡρώδης ἐποίει τοῦτο, οὐκ ἂν δὲ τοῦτο διεπράξαντο, εἴπερ ἦν ὀργῆς ὁ καιρός. Μαρτυρεῖ δὲ καὶ ὁ Πιλάτος, ὅτι ψῆφος ἦν αὕτη τοῦ Ἡρώδου μὴ ἠδικηκέναι τὸν Κύριον, ἐξ ὧν φησι πρὸς τοὺς ἀρχιερεῖς καὶ τοὺς ἄρχοντας, ὅτι “προσηνέγκατέ μοι τὸν ἄνθρωπον τοῦτον ὡς ἀποστρέφοντα τὸν “λαὸν, καὶ ἰδοὺ, ἐγὼ ἐνώπιον ὑμῶν ἀνακρίνω, οὐδὲν εὗρον ἐν τῷ “ἀνθρώπῳ τούτῳ αἴτιον ὧν κατηγορεῖτε αὐτοῦ, ἀλλ' οὐδὲ Ἡρώδης” καὶ τὰ ἑξῆς.

Ἐξ ἀνεπιγράφου. Κατηγορεῖτο ὑπὸ γραμματέων, καὶ ἦν ἄπιστος ἡ κατηγορία, τοῦ πράγματος φωνὴν ἐναντίαν τοῖς κατη-

[a] αἰσθῆτος Cod.

γόροις ἀφιέντος. τίς γὰρ ἡ τῆς βασιλείας ἐγχείρησις παρὰ Χριστοῦ, ὃς καὶ ἐπιόντων αὐτῷ τῶν ὄχλων ὥστε βασιλέα καθιστάναι, καταλιπὼν αὐτοὺς εἰς ὄρος ἀνεχώρησε; ἔνθα μὴ δεῖ λέγειν μηδὲ ἀποκρίνεσθαι, σιωπὴν ἄγει Χριστός. Τί γὰρ ἔδει πρὸς ἄνθρωπον ἀποκρίνεσθαι, μηδὲν ἄξιον ἀποκρίσεως ἔχοντα;

Διὰ τί δὲ εἶχον ἀνάγκην ἀπολύσαι ἕνα κακοῦργον κατὰ τὴν ἑορτήν; εἰκὸς ἄρτι ὑποσπονδῶν γενομένων Ῥωμαίων καὶ Ἰουδαίων, ὅπερ πάτριον ἦν αὐτοῖς παρέχειν τινὰ τῷ λαῷ, διετήρουν οἱ Ῥωμαῖοι τοῦτο, καθὼς καὶ ὅσα ὁ Σαοὺλ συνεχώρησε διὰ τὸν λαὸν τὸν Ἰωνάθαν. Περὶ τοῦ Βαραββᾶ, καὶ ὅτι ἠγγάρευσαν Σίμωνα τὸν Κυρηναῖον, προεγράφη εἰς τὸ κατὰ Ματθαῖον.

Κυρίλλου Ἀλεξανδρείας. Τοῦ κρίνειν λαχόντος ἐλευθεροῦντος αὐτὸν, θανάτου ψῆφον ὑποστῆναι παρακαλοῦσι τὸν πάσης εὐσεβείας καθηγητὴν καὶ διδάσκαλον, ἵνα ἔτι φορτικωτέραν ὑπομείνωσι κόλασιν· ἀνέκραγον γὰρ παμπληθεὶ λέγοντες "αἶρε τοῦ- "τον, ἀπόλυε δὲ ἡμῖν τὸν Βαραββᾶν," ἰδοὺ δὴ σαφῶς "τὸν "ἅγιον καὶ δίκαιον ἠρνήσαντο, καὶ ᾐτήσαντο ἄνδρα φονέα χαρι- "σθῆναι αὐτοῖς, ἵνα τῆς ἐκείνου μερίδος ἔσονται κοινωνοὶ," ὃ δὴ καὶ συνέβη παθεῖν αὐτούς· δέδονται γὰρ εἰς ὄλεθρον καὶ σφαγήν. ἐπεφώνησαν γὰρ, φησὶν, λέγοντες, "αἶρε, αἶρε, σταύρωσον αὐτὸν," ταύτην αὐτῶν τὴν ἀνοσίαν καταβοὴν ᾐτιᾶτο λέγων ὁ Κύριος διὰ φωνῆς Ἱερεμίου· "ἐγκαταλέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν "κληρονομίαν μου, δέδωκα τὴν ἠγαπημένην ψυχήν μου εἰς χεῖρας "ἐχθρῶν αὐτῆς· ἐγενήθη ἡ κληρονομία μου ἐμοὶ ὡς λέων ἐν δρυμῷ, "ἔδωκεν ἐπ' ἐμὲ τὴν φωνὴν αὐτῆς· διὰ τοῦτο ἐμίσησε."

Τοῦ αὐτοῦ. Ἔφη που περὶ τῆς τῶν Ἰουδαίων ἀνοσιότητος ὁ προφήτης Ἡσαΐας, "οὐαὶ αὐτοῖς ὅτι ἀπεπήδησαν ἀπ' ἐμοῦ· "δείλαιοί εἰσιν ὅτι ἠσέβησαν εἰς ἐμὲ, ἐγὼ δὲ ἐλυτρωσάμην "αὐτοὺς, αὐτοὶ δὲ κατελάλησαν κατ' ἐμοῦ ψευδῆ"—καὶ πάλιν, "πεσοῦνται ἐν ῥομφαίᾳ οἱ ἄρχοντες αὐτῶν δι' ἀπαιδευσίαν γλώσ- "σης αὐτῶν." "ἐπέκρινε τοίνυν," φησὶν, "ὁ Πιλάτος γενέσθαι "τὸ αἴτημα αὐτῶν," καὶ νίκην νενικήκασι ὀλέθρου μητέρα· καὶ ἄγεται μὲν ὁ Σωτὴρ ἐπὶ τὸ σωτήριον πάθος· Σίμωνι δὲ, φησὶ, Κυρηναίῳ ἐπέθηκαν τὸν σταυρὸν αὐτοῦ. ἕτερος δὲ τῶν ἁγίων Εὐαγγελιστῶν καὶ αὐτὸν ἔφη τὸν Ἰησοῦν βαστάσαι τὸ ξύλον.

Ἀληθὲς δὲ πάντως τοῦτο κἀκεῖνο· ἤνεγκε μὲν γὰρ τὸν σταυρὸν ὁ Σωτήρ· κατὰ μέσην δὲ ἴσως τὴν ὁδὸν ὑπαντήσαντα τὸν Κυρηναῖον κατεσχήκασι καὶ μετέθηκαν ἐπ' αὐτῷ τὸ ξύλον. Ἀναγκαῖον δέ πως ἔχει λόγον τὸ καὶ αὐτὸν τὸν ὅλων Σωτῆρα Χριστὸν ἐπικομίσασθαι τὸν σταυρόν· εἴρηται γὰρ περὶ αὐτοῦ διὰ φωνῆς Ἡσαΐου "ὅτι παιδίον ἐγενήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ "ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ·" ἀρχὴ γὰρ γέγονεν αὐτοῦ ὁ σταυρὸς, δι' οὗ βεβασίλευκε τοῖς ὑπ' οὐρανὸν, εἴπερ ἐστὶν ἀληθὲς "ὅτι "γέγονεν ὑπήκοος μέχρι τοῦ θανάτου, θανάτου δὲ σταυροῦ. Διὸ "καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ "ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ "κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα "γλῶσσα ἐξομολογήσεται ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν "Θεοῦ Πατρὸς, ἀμήν."

ΚΕΦ. ΟΘ.

Περὶ τῶν κοπτομένων γυναικῶν.

27 Δι' ἣν αἰτίαν θρηνούσας τὰς γυναῖκας ὅτε ἐπὶ τὸν σταυρὸν ὡς τροπαιοῦχος ἀπήει Χριστὸς, οὐ μόνον οὐκ ἀπεδέξατο, ἀλλὰ καὶ ἐπετίμησε; διὰ τὸ ἑκουσίως πάσχειν αὐτόν· τῷ μὲν γὰρ ἄκοντι πάσχοντι ἡ συμπάθεια παράκλησιν φέρει, τῷ δὲ ἑκόντι ὕβριν. Ἐπεὶ οὖν ἐκεῖναι, τὸν εὐφημεῖσθαι καὶ κροτεῖσθαι δίκαιον ὄντα, ὡς τὸν θάνατον σβέσαντα καὶ τὸν διάβολον ἐκνευρίσαντα, ἐθρήνουν κοπτόμεναι, διὰ τοῦτο ἐπετίμησέ τε αὐταῖς, καὶ τὰ μέλλοντα συμβήσεσθαι προεμήνυεν, ἅπερ κατασκήψαντος τοῦ πολέμου τῶν Ῥωμαίων τῇ χώρᾳ τῶν Ἰουδαίων πέρας ἔλαβε.

31 Ξύλον ὑγρὸν ἑαυτὸν λέγει, διὰ τὴν ἐν τῷ σώματι αὐτοῦ θεῖαν ζωὴν τὴν ἀμάραντον καὶ ἀκατάλυτον, καὶ διὰ τὸ ἔγκαρπον καὶ εὐθαλές· καρποὶ γὰρ ἦσαν αὐτοῦ αἱ ζωοποιοὶ μυσταγωγίαι καὶ παραινέσεις. ὃ τοίνυν λέγει, τοιοῦτόν ἐστιν, εἰ οὖν ἐμὲ, φησὶ, τὸν τοιοῦτον δειναῖς περιβεβλήκασιν ἀτιμίαις οἱ Ῥωμαίων στρατιῶται, καὶ ὁ τούτων στρατηγὸς Πιλάτος, τί δράσουσι ὑμῖν τῷ ξηρῷ καὶ ἀκάρπῳ ξύλῳ, τῷ λαῷ τῶν Ἰουδαίων, προσπολεμοῦντα τὰ τῶν Ῥωμαίων στρατεύματα, μηδὲν ἐπ' αὐτῷ τῷ λαῷ τῶν Ἰουδαίων δηλονότι τὸν τεθαυμασμένον καὶ καρπὸν δικαιοσύνης

ἐχόντων βλέποντες, ἐφ' οἷς ἦν εἰκὸς φειδοῦς καὶ τιμῆς ἀξιωθῆναι τῆς παρ' αὐτῶν· μᾶλλον δὲ κατακαύσουσιν ὑμᾶς ὥσπερ ξύλον ξηρὸν, ἤγουν πολιορκήσουσι καὶ αἰχμαλώτους λήψονται καὶ ἀποκτενοῦσι, δηλονότι τῆς εἰς αὐτὸν τὸν Σωτῆρα δυσσεβείας ἕνεκα.

Περὶ τοῦ σταυρωθῆναι τὸν δεσπότην Χριστὸν ἕως "ἦν δὲ "καὶ ἡ ἐπιγραφὴ ἐπ' αὐτῷ, ὁ βασιλεὺς τῶν Ἰουδαίων," προεγράφη εἰς τὸ κατὰ Ματθαῖον.

ΚΕΦ. Π.

Περὶ τοῦ μετανοήσαντος λῃστοῦ.

33 Ὁ μὲν οὖν Ματθαῖος καὶ Μάρκος ἐπειγόμενοι πρὸς ἕτερα, εἰπόντες ἕως οὗ ὠνείδιζον αὐτὸν οἱ λῃσταὶ, τὰ λοιπὰ τῆς ἱστορίας τὰ περὶ τὸν σταυρὸν παρέλιπον. Λουκᾶς δὲ ἀφέμενος τῶν προτέρων, ὡς παρὰ τοῖς ἄλλοις εἰρημένων, τὰ παραλειφθέντα ἐκείνοις, τουτέστι τοῦ ἑνὸς λῃστοῦ τὴν ἐπίγνωσιν ἱστορεῖ, ἀπὸ τῆς φωνῆς ἀρξάμενος ἣν ὁ Κύριος εἶπε· "Πάτερ, ἄφες αὐτοῖς, οὐκ οἴδασι τί "ποιοῦσιν," ἀφ' ἧς εἰκὸς ἦν, καθάπερ εἴρηται, τὸν ἕτερον τῶν λῃστῶν ἐλθεῖν εἰς κατάνυξιν.

Πῶς Ματθαῖος μὲν καὶ Μάρκος τοὺς δύο λέγουσι λῃστὰς ὀνειδίσαι τὸν Κύριον, Λουκᾶς δὲ τὸν ἕνα; ἐν ἀρχῇ μὲν οἱ δύο λῃσταὶ παραπλήσια τοῖς Ἰουδαίοις ἐφθέγγοντο, χάριτι τῇ πρὸς αὐτούς· ἴσως τινὰ παρ' αὐτῶν βοήθειαν ἐντεῦθεν προσδοκῶντες εἰς ἄφεσιν. Ἐπειδὴ δὲ ἅπερ προσεδόκων παρὰ τῶν Ἰουδαίων ἤργησαν, θάτερος τῶν λῃστῶν, αὐτός τε ἀνένηψε, καὶ τὸν ἄλλον εἰς τοῦτο προετρέπετο.

Πόθεν δὲ ἐκεῖνος ἀνένηψεν, οὔπω γὰρ ἦν τὰ κατὰ τὸν σταυρὸν θεασάμενος θαύματα; ἐκ τῶν λόγων ἴσως ὧν περ ὁ Κύριος Ἰησοῦς παρρησίᾳ πρὸς τὸν Θεὸν, ὡς πρὸς Πατέρα, ἐφθέγξατο λέγων, "Πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσιν·" ὡς γὰρ ἴσος ἴσῳ διαλεγόμενος καὶ πατέρα ἐκάλει, καὶ, "ἄφες," σὺν πολλῇ παρρησίᾳ ἔλεγεν. Οὐ γὰρ εἶπε, Κύριε, παρακαλῶ σε, συγχώρησον αὐτοῖς, δεικνὺς ὅτι τὰ εἰς αὐτὸν ἐφ' ὕβρει λεγόμενα, εἰς βλασφημίαν τοῦ Πατρὸς ἀνατρέχουσι, διὰ τὸ τῆς θεότητος ὁμοούσιον.

43 Πῶς δὲ ἡ δεσπότου ἡμῶν Θεοῦ πεπλήρωται ὑπόσχεσις, ἡ

πρὸς τὸν λῃστὴν, εἰρηκότος πρὸς αὐτὸν, "σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ;" πληρῶν τὰ πάντα τῇ θεότητι, καὶ ἐν τῷ σταυρῷ ἦν διὰ τὴν σάρκα, καὶ ἐν τῷ οὐρανῷ διὰ τὴν θειότητα, καὶ πάλιν καταβὰς ἀπὸ τοῦ σταυροῦ, καὶ ἐν τῷ ᾅδῃ ὑπῆρχεν, καὶ τὸν λῃστὴν εἰς τὸν παράδεισον εἰσήγαγε τῇ παρουσίᾳ τῆς θεότητος· τάχα δὲ πρῶτον τὸν λῃστὴν τὸν εἰς αὐτὸν πιστεύσαντα.

Τοῦ ἁγίου Τίτου Βοστρῶν. Σήμερον πολλάκις ἐν τῇ γραφῇ, καὶ ἐπὶ ὅλον παρατείνει τὸν ἑστηκότα αἰῶνα, ὥσπερ καὶ ἐν τῷ "ἐφημίσθη ὁ λόγος οὗτος παρὰ Ἰουδαίοις μέχρι τῆς σήμερον ἡμέρας," καὶ "οὗτος πατὴρ Μωαβιτῶν ἕως τῆς σήμερον ἡμέρας." παρηγγέλλετο οὖν τῷ ἀξιώσαντι μνησθῆναι αὐτοῦ ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ, τὸ ἐν τῷ ἐνεστηκότι αἰῶνι πρὸ τοῦ μέλλοντος ποιῆσαι αὐτὸν γενέσθαι ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ.

Σευήρου ἀπολογ.[b] Τινές φασι, πῶς ἂν εἴποιμεν εἰσεληλυθέναι τὸν λῃστὴν εἰς τὸν παράδεισον, τοῦ Ἀποστόλου Παύλου τοὺς ἀπ' αἰῶνος ἀπαριθμησάμενος δικαίους ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ, δικαιωθέντας διὰ τῆς πίστεως, καὶ ἐπαγαγόντος, "καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως, οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν, τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι;" καὶ τινὲς λέγουσι ὡς ὁ Ἀπόστολος οὐκ ἐν οἷς ἀπηριθμήσατο καὶ τὸν λῃστὴν συνηρίθμησεν, ἀλλ' ἐσιώπησεν αὐτὸν, ὡς τῶν ἐπηγγελμένων ἤδη τυχόντα, καὶ διὰ τοῦτο οὐκ εἶπεν ἁπλῶς καὶ ἀπροσδιορίστως, "πάντες οἱ μαρτυρηθέντες διὰ τῆς πίστεως οὐκ ἐκομίσαντο τὰς ἐπαγγελίας," ἀλλ' εἶπε, "καὶ οὗτοι πάντες" πρὸς τοὺς ἀπηριθμημένους δεικτικῶς ἀναφέρων τὸν λόγον, οἷς ὁ λῃστὴς οὐ συνηρίθμητο. ἕτεροι δὲ ἔφασαν, μηδέ πως τὸν λῃστὴν τετυχηκέναι τῆς ἐν τῷ παραδείσῳ. Αὐτὸς γὰρ εἶπεν, "ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν·" ἔστι γὰρ καὶ τοιοῦτον εἶδος, φησὶν, ἐν τοῖς τοῦ Κυρίου ῥήμασιν, ἐν οἷς περὶ τῶν ἔσεσθαι μελλόντων ὡς ἤδη γεγενημένων διέξεισιν, ὡς ὅταν λέγῃ, "ὁ δὲ μὴ πιστεύων, ἤδη κέκριται·" καὶ πάλιν, "ἀμὴν, λέγω ὑμῖν, ὅτι ὁ τὸν λόγον μου ἀκούων καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν, καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου

[b] Leg., credo, 'ΑΠΟ ΛΟΓ. Numerus Sermonis excidit.

"εἰς τὴν ζωήν." ἄλλοι δὲ πρὸς τούτοις τὴν ἔννοιαν καὶ τὸ ῥητὸν ἐκμάζονται[c]· λέγουσι γὰρ δεῖν ὑποστίζοντας ἀναγινώσκειν, "ἀμὴν "λέγω σοι σήμερον," εἶθ' οὕτως ἐπιφέρειν τὸ "μετ' ἐμοῦ ἔσῃ "ἐν τῷ παραδείσῳ," ὡς εἰς τὸν μέλλοντα χρόνον δοκεῖν ἀφορᾶν τὴν ὑπόσχεσιν. ἀλλὰ ταῦτα μὲν οὗτοι.

Τὸ δὲ ἀληθὲς τῆς ἐξηγήσεως, τοῦτό ἐστι. τὰ ἐπηγγελμένα ἡμῖν ἀγαθὰ βασιλεία ἐστὶν οὐρανῶν, οὐχὶ ἡ εἰς τὸν παράδεισον εἴσοδος ἢ ἡ ἐπάνοδος· ὅθεν καὶ προσεύχεσθαι καὶ λέγειν προσέταξεν ὁ Κύριος, "ἐλθέτω ἡ βασιλεία σου," οὐχ ἡ τοῦ παραδείσου διατριβή. ἀλλ' ἴσως ἐρεῖ τις ὡς ταὐτόν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν καὶ ὁ παράδεισος, δύο προσηγοριῶν οὐσῶν περὶ ἓν πρᾶγμα τὸ ὑποκείμενον. ἀλλ' ἡ τῶν ἱερῶν γραμμάτων διδασκαλία δείκνυσιν, ὡς οὐ ταὐτόν ἐστιν, ἀλλ' ἑκατέρου πολὺ τὸ διάφορον. Τὰ μὲν γὰρ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ἡτοιμασμένα τοῖς ἀγαπῶσι τὸν Κύριον ἀγαθὰ, "οὔτε ὀφθαλμὸς εἶδε, οὔτε οὖς ἤκουε, οὐδὲ ἐπὶ "καρδίαν ἀνθρώπου ἀνέβη," καθὰ καὶ ὁ θεσπέσιος γράφει Παῦλος. Τὸν δὲ παράδεισον καὶ ὀφθαλμὸς εἶδε τοῦ Ἀδὰμ, καὶ οὖς ἤκουεν· ἤκουσε γὰρ "ἀπὸ παντὸς ξύλου ἐν τῷ παραδείσῳ βρώσει φάγῃ," εἰ καὶ τοῦ ἑνὸς ξύλου τὴν μὲν θέαν εἶχε, τὴν δὲ βρῶσιν οὐκ ἐπετέτραπτο. καὶ ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, προσετάττετο γὰρ ἐργάζεσθαι τὸν παράδεισον· ἡ δὲ ἐργασία τοῦ παραδείσου βάναυσός τις οὐκ ἦν, ἀλλ' εἶχε λογικὴν εὐφροσύνην ἀναμεμιγμένην καὶ ἐννοιῶν θείων ἀπόλαυσιν· σιωπῶν γὰρ τὴν ἁρπαγὴν ᾗ ἡρπάγη Παῦλος ἐκεῖσεν, ἐπείπερ αὐτὸς εἶπεν, "εἴτε ἐν σώματι, εἴτε "ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα."

Ὥστε ὁ λῃστὴς τοῦ μὲν παραδείσου τετύχηκεν· ἀψευδὴς γὰρ ὁ εἰπὼν, "σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ·" τὰ δὲ ἐν ἐλπίσι τῆς βασιλείας τῶν οὐρανῶν ἀγαθὰ μετὰ τῶν ἀπ' αἰῶνος δικαίων οὐκ ἐκομίσατο, τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι· ὅτι γὰρ τὰ ἀγαθὰ τὰ ἐν ἐπαγγελίαις ἡμῶν ἀποκείμενα οὐδὲν ἕτερόν ἐστιν ἢ βασιλεία τῶν οὐρανῶν, πολλαχόθεν μὲν ἐστὶν συνιδεῖν, μάλιστα δὲ ἐκ τῶν ῥημάτων ἐκείνων, ὧνπερ ὁ Κύριος ἐν τῷ κατὰ Λουκᾶν Εὐαγγελίῳ ἀναγέγραπται λέγων τοῖς ἑαυτοῦ μαθηταῖς, "ὑμεῖς δέ

[c] Leg. ἐκβιάζονται.

" ἐστε οἱ διαμεμενηκότες ἐν τοῖς πειρασμοῖς μετ' ἐμοῦ, κἀγὼ " διατίθημι ὑμῖν, καθὼς διέθετό μοι ὁ Πατήρ μου βασιλείαν, ἵνα " ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου ἐν τῇ βασιλείᾳ μου."

Ἔχομεν δὲ πρὸς τῇ ἐπηγγελμένῃ βασιλείᾳ καὶ τὸν παράδεισον, ὅστις χωρὶς[d] ἐστὶ πνευματικῆς ἀναπαύσεως· θαυμάσαι οὖν ἐστὶ τοῦ Κυρίου τὰς πανσόφους οἰκονομίας, ὧν μετρίως τινὰς ἐμφάσεις δεδείγμεθα, τὸν ἐπ' αὐταῖς εἰπεῖν τελείως λόγον οὐκ ἔχοντες· τοῦ γὰρ λῃστοῦ τοιαύτην πίστιν ἐπιδειξαμένου, καὶ τοῦ μὲν ἄλλους τῶν ἥλων καταφρονήσαντος, προσπεπερόνητο γὰρ τῷ ξύλῳ χεῖρας καὶ πόδας, καὶ τὰ ἐν ποσὶν ἅπαντα ὑπερβάντος, πρὸς δὲ τὰς μελλούσας ἀναπτερωθέντος ἐλπίδας, καὶ κράξαντος τὴν ἐξαίσιον καὶ ὑπὲρ ἄνθρωπον ἐκείνην φωνὴν " μνήσθητί μου, Κύριε, ὅταν " ἔλθῃς ἐν τῇ βασιλείᾳ σου," ὁ τῶν ἡμετέρων διανοιῶν ἐξεταστὴς ἀκριβὴς, τῆς πίστεως αὐτοῦ θαυμάσας τὸ μεγαλοπρεπές τε καὶ ὑψηλὸν, ἐκ τῶν αὐτίκα μάλα ἐσομένων πρὸς τὴν ἐλπίδα τῶν μελλόντων αὐτὸν ἐβεβαίωσεν εἰπὼν, " σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ " παραδείσῳ." Οἱ μὲν γὰρ ἄλλοι, φησὶν, οἱ πιστεύσαντες εἰς ἐμὲ, σημείων καὶ διδασκαλίας ἀπήλαυσαν, καὶ διὰ τούτων τὸν περὶ βασιλείας λόγον ἐδέξαντο· οὗτος δὲ μηδὲν ἀκούσας τῶν ἐμῶν ἢ θεασάμενος, εἰ μὴ τὸν ἀτιμιώτατον θάνατον τοῦ σταυροῦ, τὸ γενναῖον ἐκεῖνο ῥῆμα ἐφθέγξατο, " μνήσθητι μου, Κύριε, ὅταν " ἔλθῃς ἐν τῇ βασιλείᾳ σου." Τί οὖν; ἐχέτω τέως τὴν ἐν τῷ παραδείσῳ τρυφὴν τῆς οἰκείας ἐνέχυρον πίστεως· τεύξεται γὰρ καὶ τῆς βασιλείας εἰς ὕστερον, ἐν ᾗ γενέσθαι αὐτοῦ μνήμης ἠξίωσε· καὶ ὥσπερ νικήφορον εἰσελαύνων εἰς πόλιν τὰ λαμπρὰ τῶν λαφύρων ἐπικομίζεται, περιφανεστέραν διὰ τούτων τὴν νίκην ποιῶν, καὶ ἀνακηρύττων τὸ τρόπαιον· οὕτω καὶ ὁ Κύριος εἰσελαύνων εἰς τὴν ἀρχαιὰν τοῦ ἀνθρώπου παστάδα, τὸν παράδεισον λέγω, τὸν λῃστὴν ἐπεφέρετο, πανοπλίας ἁπάσης σεμνότερον λάφυρον, καὶ τῶν τοῦ διαβόλου σκύλων, τὸ κράτιστον ἔργῳ δηλῶν, ὥσπερ ἔλεγεν, " ὡς δήσας τὸν ἰσχυρὸν τὰ σκεύη αὐτοῦ τῆς οἰκίας διήρπασεν." Ὅτι δὲ ἦν ὥρα ἕκτη καὶ σκότος ἐγένετο, ἕως ἐξέπνευσε, προεγράφη εἰς τὸ κατὰ Ματθαῖον.

Ὅπερ εἶπεν ὁ δεσπότης Χριστὸς, ὅτι " ὅταν ὑψωθῶ, πάντας

[d] Leg. χωρίον.

"ἑλκύσω πρὸς ἐμαυτὸν," ἔργοις τοῦτο πεπλήρωται. Ἤρξατο γὰρ σαγηνεύειν πολλοὺς εἰς ἐπίγνωσιν ἀληθείας ἐν τῷ σταυρῷ ὑπάρχων, ὅθεν καὶ ὁ ἑκατόνταρχος ἰδὼν τὰ γενόμενα, ἐδόξαζε τὸν Θεόν· ἔτυπτον δὲ καὶ τὰ στήθη τῶν Ἰουδαίων τινὲς κατανυττόμενοι πάντως καὶ τοῖς τῆς διανοίας ὄμμασιν ἀναβλέποντες πρὸς ἐπίγνωσιν τὴν εἰς Χριστὸν, τάχα που τῆς κατ' αὐτὸν τὸν δεσπότην δυσσεβείας ἀπαλλαττόμενοι, τῆς τῶν σταυρωσάντων τόλμης καταβοῶντες, εἰ καὶ μὴ ἐμφανῶς διὰ τὴν τῶν ἡγουμένων ἀνοσιότητα.

ΚΕΦ. ΠΑ.

Περὶ τῆς αἰτήσεως τοῦ σώματος τοῦ Κυρίου.

50 Περὶ τοῦ Ἰωσὴφ, πῶς ἔθαψε τὸ σῶμα τοῦ Κυρίου ἡμῶν καὶ Θεοῦ καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ, καὶ περὶ τῶν μυροφόρων γυναικῶν, καὶ περὶ τῆς ἀναστάσεως τοῦ δεσπότου, προεγράφη εἰς τὸ κατὰ Ματθαῖον.

ΚΕΦ. ΠΒ.

Περὶ τοῦ Κλεόπα.

13 Ἐπειδήπερ οἱ εἰς τὴν κώμην Ἐμμαοῦς μαθηταὶ πορευόμενοι, ὡς οὐκέτι ζῇν τὸν Χριστὸν προσδοκῶντες, περὶ αὐτοῦ πρὸς ἀλλήλους ἀνιώμενοι διελέγοντο· τοῦτο γὰρ δηλοῖ, ὅπερ εἶπον, ὅτι "ἡμεῖς δὲ "ἠλπίζομεν," διὰ τοῦτο αὐτὸς ἐπιστὰς αὐτοῖς, ἀνοήτους καὶ βραδεῖς τῇ καρδίᾳ καλεῖ, ἐξεγείρων αὐτοὺς διὰ τούτου κατὰ βραχὺ πρὸς τὴν τῆς ἀναστάσεως πίστιν. Εἰ γὰρ καὶ τὴν φήμην τῆς ἀναστάσεως εἶπον ἐκεῖνοι τὴν διὰ τοῦ Πέτρου καὶ Ἰωάννου, ἀλλ' οὐχ ὡς πιστεύοντες τοῦτο ἔλεγον. Διὸ καί φησιν, ὅτι "ἐξέστησαν "ἡμᾶς αἱ γυναῖκες," οὐκ εὐαγγελισμὸν ἀληθείας καὶ φωτισμὸν τοῦτο νομίζοντες, ἀλλ' ὡς ἐκ ταραχῆς τινος καὶ φαντασίας εἰπουσῶν αὐτῶν τὰ περὶ τῆς ἀναστάσεως, καὶ τὴν αὐτοῦ γε τοῦ Πέτρου μαρτυρίαν καὶ τοῦ Ἰωάννου, τὰ ὀθόνια μόνα ἐπὶ τοῦ μνήματος ἑωρακότων, οὐκ ἀληθοῦς ἀναστάσεως τεκμήριον ὑπελάμβανον τοῦτο, ὅτι μὴ αὐτὸν ἰδεῖν ἔλεγον· "καὶ" γάρ φησιν, "ἀπῆλθόν τινες "τῶν σὺν ἡμῖν ἐπὶ τὸ μνημεῖον, καὶ εὗρον οὕτω, καθὼς καὶ αἱ "γυναῖκες εἶπον, αὐτὸν δὲ οὐκ εἶδον." αὐτὸς δὲ τῆς τοιαύτης ἀπιστίας τελείως αὐτοὺς ἐλευθερῶσαι βουλόμενος, ἀνεμίμνησκε τῶν παλαιῶν προρρήσεων, παράγων εἰς μαρτυρίαν Μωσέα τε καὶ

τοὺς προφήτας, ἑρμηνεύων τὰ ἐπικεκρυμμένα, καὶ τὰ πρὸς τοὺς ἀναξίους ἀσαφῆ τοῖς ἀξίοις σαφηνίζων. Ἐπειδὴ δὲ τέως "οἱ "ὀφθαλμοὶ αὐτῶν ἐκρατοῦντο τοῦ μὴ ἐπιγνῶναι αὐτὸν," ὥς φησιν ὁ Εὐαγγελιστὴς, ἕως οὗ ὁ λόγος τῆς τοῦ Σωτῆρος διδασκαλίας εἰσελθὼν εἰς τὰς καρδίας αὐτῶν, εὐπαράδεκτον τὴν πίστιν εἰργάσατο, ὅτε λοιπὸν ἐπίστευσαν τοῖς λόγοις αὐτοῦ, τότε καὶ τὴν ὄψιν ἐμφανῆ καθίστησιν αὐτοῖς· οὐ μὴν συμπαραμένει· "καὶ "αὐτὸς" γάρ φησιν, "ἄφαντος ἐγένετο ἀπ' αὐτῶν·" οὐκέτι γὰρ μετὰ τὴν ἀνάστασιν τὰ τοῦ Κυρίου πρὸς τοὺς μαθητὰς τοιαῦτα οἷα τὰ πρότερον, ὅπως ἐκ τούτου πλειόνως τὸν πόθον ἐπαυξήσωσιν. "Ἀναστάντες δὲ αὐτῇ τῇ ὥρᾳ ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ," καὶ τὰ ἑξῆς· τουτέστιν, ἐν αὐτῇ μὲν τῇ ὥρᾳ ἐν ᾗ ἄφαντος ἀπ' αὐτῶν ἐγένετο ὁ δεσπότης Χριστὸς, ὑπέστρεψαν μὴ βλέψαντες. οὐκ αὐτῇ δὲ τῇ ὥρᾳ εὗρον συνηθροισμένους τοὺς ἕνδεκα, καὶ ἀπήγγειλαν τὰ κατὰ τὸν Κύριον Ἰησοῦν, ἀλλὰ μετά τινας ὥρας, ὅσας εἰκὸς ἦν αὐτοὺς ποιῆσαι τὸ διάστημα τῶν ἑξήκοντα[a] σταδίων βαδίζοντας, ἐν αἷς πάντως καὶ ὁ δεσπότης ὤφθη τῷ Σίμωνι, "αὐτοὶ δὲ ἐξηγοῦντο τὰ ἐν τῇ ὁδῷ, καὶ ὡς ἐγνώσθη αὐτοῖς ἐν τῇ "κλάσει τοῦ ἄρτου."

36 "Ταῦτα δὲ," *φησὶ,* "*λαλούντων αὐτῶν, αὐτὸς ἔστη ἐν μέσῳ "αὐτῶν," καὶ τὰ ἑξῆς, οὐκέτι κρατουμένων τῶν ὀφθαλμῶν αὐτῶν ἐπεφαίνετο αὐτοῖς, οὐδὲ ὡς περὶ ἑτέρου διαλέγεται, ἀλλ' ἑαυτὸν ἐμφανῆ δίδωσι, καὶ θαρρεῖν παρακελεύεται. οἱ δὲ οὕτως ἦσαν ἀμφίβολοι καὶ δεδιότες, ὡς νομίζειν οὐκ αὐτὸν βλέπειν, φάντασμα δέ τι καὶ σκιάν. Αὐτὸς δὲ καὶ ἐκ τῶν τοιούτων λογισμῶν κατευνάζων αὐτοὺς τὸ ἐντριβὲς αὐτοῖς καὶ οὐκ ἄηθες ἀπεφθέγγετο ῥῆμα, εἰπὼν, "εἰρήνη ὑμῖν·" ἵνα δὲ βεβαίως καὶ ἐνδοιασμοῦ δίχα πιστεύσωσιν, αὐτὸν ἐκεῖνον εἶναι τὸν πεπονθότα, διαδείκνυσιν εὐθὺς, ὅτι Θεὸς ὢν φύσει, γινώσκει τὰ κρυπτὰ τῆς καρδίας, τὸν ἐν αὐτοῖς τῶν ἐννοιῶν οὐκ ἠγνόει θόρυβον. Φησὶ γὰρ "τί τεταραγμένοι "ἐστὲ," καὶ τὰ ἑξῆς.*

39 *Δείκνυσι δὲ τὰς χεῖρας καὶ τοὺς πόδας καὶ τὰς διατρήσεις τῶν ἥλων, καὶ ψηλαφᾷν ἐπιτρέπει, καὶ πληροφορεῖσθαι διὰ τρόπου τινὸς," ὅτι τὸ πεπονθὸς ἐγήγερτο σῶμα. Διὸ μηδεὶς συκοφαν-*

[a] ἑκατὸν ἑξήκοντα Cod.

τείτω τὴν κοινὴν ἡμῶν ἀνάστασιν, ἀλλὰ περὶ τοῦ ἀνθρωπίνου σώματος ἀκούων, "ὅτι σπείρεται σῶμα ψυχικὸν, ἐγείρεται σῶμα "πνευματικὸν," μὴ ἀπαρνήσηται τῶν ἀνθρωπίνων σωμάτων τὴν εἰς ἀφθαρσίαν ἀναδρομήν· ὥσπερ γὰρ ψυχικὸν ἐστὶ τὸ ταῖς ψυχικαῖς, ἤγουν σαρκικαῖς ἐπιθυμίαις ἀκολουθοῦν, οὕτω καὶ πνευματικὸν τὸ τοῖς τοῦ Ἁγίου Πνεύματος θελήμασιν ὑποκείμενον. Μετὰ γὰρ τὴν ἐκ νεκρῶν ἀνάστασιν οὐκ ἔστιν ἔτι φιλοσαρκίας καιρὸς, ἀλλὰ παντελῶς ἀπρακτήσει τῆς ἁμαρτίας τὸ κέντρον. Αὐτὸ μέντοι τὸ κατενεχθὲν εἰς τὴν γῆν τῆς ἀφθαρσίας ἐνδύσεται.

42 Χρὴ δὲ σκοπῆσαι διὰ πόσων τοὺς ἰδίους μαθητὰς περὶ τῆς αὐτοῦ ἀναστάσεως ὁ δεσπότης Χριστὸς ἐπιστώσατο· πρῶτον μὲν διὰ τοῦ εἰπεῖν, "ψηλαφήσατέ με, καὶ ἴδετε ὅτι πνεῦμα σάρκα "καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα·" δεύτερον διὰ τὸ ὑποδεῖξαι αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας, τρίτον, διὰ τὸ ἐπιζητῆσαι βρώσιμόν τι καὶ φαγεῖν ἐνώπιον αὐτῶν, ἢ καὶ δι' οὐδὲν ἕτερόν τι τοῦτο πεποίηκεν, ἢ ἵνα δείξῃ σαφῶς, ὡς αὐτός ἐστι ὁ ἀναστὰς ἐκ νεκρῶν, ὃς πρὸ τοῦ σταυροῦ καὶ παρὰ πάντα τὸν καιρὸν τῆς οἰκονομίας συνεσθίων καὶ συμπίνων αὐτοῖς, καὶ συναναστρεφόμενος ἀνθρωπίνως· οὐδὲ γὰρ, ὡς δεομένης ἔτι τροφῆς τῆς σαρκὸς αὐτοῦ, ἔφαγε μετὰ τὴν ἀνάστασιν.

45 Εἶτα διανοίξας αὐτῶν τὸν νοῦν τοῦ συνιέναι τὰς περὶ αὐτοῦ λεγούσας γραφὰς, ὅτι δεῖ[b] πάντα πληρωθῆναι καὶ κηρυχθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ μετάνοιαν καὶ ἄφεσιν ἁμαρτιῶν, "καθίσατε," προστάξας αὐτοῖς, "ἐν τῇ πόλει Ἱερουσαλὴμ, ἕως οὗ ἐνδύσησθε "δύναμιν ἐξ ὕψους," ἐξαγαγὼν αὐτοὺς ἕως πρὸς Βηθανίαν, ἐπάρας τὰς χεῖρας, εὐλόγησεν αὐτούς. τοῦτο δὲ χρὴ νοεῖν ἡμᾶς ἐν τῇ μ' ἡμέρᾳ τῇ μετὰ τὴν ἀνάστασιν γεγονέναι, κατὰ τὸ ἐν ταῖς Πράξεσιν ἱστορημένον. Ἃ γὰρ ἐπιτεμόντες οἱ Εὐαγγελισταὶ εἰρήκασι, ταῦτα τῷ πλάτει τῆς ἱστορίας ἐξαπλοῦται καὶ σαφηνίζεται.

51 Εὐλογήσας δὲ αὐτοὺς, καὶ βραχὺ προελθὼν, ἀνεφέρετο εἰς τὸν οὐρανὸν, ἵνα σύνεδρος εἴη τῷ Πατρὶ, καὶ μετὰ τῆς ἑνωθείσης αὐτῷ σαρκὸς καὶ ταύτην ἡμῖν ἐνεκαίνισε τὴν ὁδὸν ἐν ἀνθρωπείᾳ μορφῇ γεγονὼς ὁ Λόγος. Ἥξει δὲ, ἥξει κατὰ καιροὺς ἐν τῇ δόξῃ τοῦ

[b] δὴ Cod.

Πατρὸς μετὰ τῶν ἁγίων Ἀγγέλων, καὶ παραλήψεται ἡμᾶς μεθ' ἑαυτοῦ.

Δοξολογήσωμεν τοίνυν αὐτὸν τὸν ἐνανθρωπήσαντα δι' ἡμᾶς Θεὸν Λόγον, τὸν ἑκουσίως παθόντα σαρκὶ, καὶ ἀναστάντα ἐκ νεκρῶν, καὶ λύσαντα τὴν φθοράν· τὸν ἀναληφθέντα, καὶ μετὰ τοῦτο ἥξοντα μετὰ δόξης πολλῆς ἐπὶ τὸ κρῖναι ζῶντας καὶ νεκροὺς, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· δι' οὗ καὶ μεθ' οὗ, τῷ Θεῷ καὶ Πατρὶ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ Παναγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐπληρώθη ἡ ἑρμηνεία τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου· ὁμοῦ κεφάλαια ΣΝ.

CATENA

IN

EVANGELIUM S. JOANNIS,

E CODD. PARIS. ET BODL.

ΤΟΥ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΥ ΤΑ ΚΕΦΑΛΑΙΑ[a].

α'. Περὶ τοῦ ἐν Κανᾶ γάμου.
β'. Περὶ τῶν ἐκβληθέντων ἐκ τοῦ ἱεροῦ.
γ'. Περὶ Νικοδήμου.
δ'. Ζήτησις περὶ καθαρισμοῦ.
ε'. Περὶ τῆς Σαμαρειτίδος.
ς'. Περὶ τοῦ βασιλικοῦ.
ζ'. Περὶ τοῦ λη' ἔτη ἔχοντος ἐν τῇ ἀσθενείᾳ.
η'. Περὶ τῶν ε' ἄρτων καὶ τῶν β' ἰχθύων.
θ'. Περὶ τοῦ ἐν θαλασσῇ περιπάτου.
ι'. Περὶ τοῦ ἐκ γενετῆς τυφλοῦ.
ια'. Περὶ Λαζάρου.
ιβ'. Περὶ τῆς ἀλειψάσης τὸν Κύριον μύρῳ.
ιγ'. Περὶ ὧν εἶπεν Ἰούδας.
ιδ'. Περὶ τοῦ ὄνου.
ιε'. Περὶ τῶν προσελθόντων Ἑλλήνων.
ις'. Περὶ τοῦ νιπτῆρος.
ιζ'. Περὶ τοῦ παρακλήτου.
ιη'. Περὶ αἰτήσεως τοῦ Κυριακοῦ σώματος.
ιθ'. Περὶ τῆς ἀναστάσεως.

[a] Hæc e Cod. L. sumpta sunt.

ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ.

Τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου ἑρμηνεία εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον. Εἰ μὲν Ἰωάννης ἡμῖν ἔμελλε διαλέγεσθαι καὶ τὰ αὐτοῦ ἐρεῖν, ἀναγκαῖον ἦν καὶ γένος αὐτοῦ καὶ πατρίδα εἰπεῖν καὶ ἀνατροφήν. ἐπειδὴ δὲ οὐχ οὗτος, ἀλλ' ὁ Θεὸς δι' αὐτοῦ φθέγγεται, περιττόν ἐστι ταῦτα ἀναζητεῖν. ἔστι δὲ πατρίδος μὲν ἤτοι κώμης εὐτελοῦς· ἀπὸ Βηθσαϊδὰ τῆς Γαλιλαίας· πατρὸς δὲ ἁλιέως καὶ πένητος· παιδείας δὲ τῆς ἔξωθεν οὐδ' ὁτιοῦν αὐτῷ μετῆν· καὶ γοῦν μαρτυρεῖ Λουκᾶς ὅτι οὐ μόνον ἰδιώτης ἦν, ἀλλὰ καὶ ἀγράμματος. Οὗτος ὁ ἁλιεὺς ὁ ἀπὸ Βηθσαϊδὰ τῆς Γαλιλαίας, ὁ πατρὸς ἁλιέως, ὁ ἰδιώτης ἰδιωτίαν τὴν ἐσχάτην, ὁ γράμματα μὴ μαθὼν, μήτε πρότερον μήθ' ὕστερον, μετὰ τὸ συγγενέσθαι Χριστῷ, ταύτην φθέγγεται τὴν συγγραφήν. Ἐπειδὴ γὰρ μετὰ τὸν τοῦ Σωτῆρος ἡμῶν σταυρὸν καὶ τὴν εἰς οὐρανοὺς ἄνοδον, ψευδοδιδάσκαλοί τινες ἔφασαν τὸν ἀΐδιον τοῦ Θεοῦ Λόγον τότε πρῶτον κεκλῆσθαι πατρὸς ὕπαρξιν, ὅτε καὶ ἄνθρωπος διὰ τῆς ἁγίας ἐτέχθη παρθένου· συναχθέντες τῶν πιστευσάντων οἱ νουνεχέστεροι, πρὸς τὸν τοῦ Σωτῆρος ἀφίκοντο μαθητὴν Ἰωάννην τὸν τοῦ Ζεβεδαίου, καὶ τὴν τοιαύτην ἀπήγγελλον νόσον· ὃς τοῦτο ἀκούσας, εὐθέως ἐπὶ τὴν τοῦ παρόντος ἔδραμε συγγραφὴν, ἀνατρέπων τὴν τῶν ψευδοδιδασκάλων ψευδοδοξίαν.

Ἐρώτησις. Τίνος ἕνεκα τῶν ἄλλων Εὐαγγελιστῶν ἀπὸ τῆς οἰκονομίας ἀρξαμένων, τοῦτο μὲν ἐν βραχεῖ μετὰ ταῦτα ἠνίξατο εἰπὼν, "καὶ ὁ Λόγος σὰρξ ἐγένετο," τὰ δὲ ἄλλα πάντα παραδραμὼν, τὴν σύλληψιν, τὸν τόκον, τὴν ἀνατροφὴν, τὴν αὔξησιν, εὐθέως περὶ τῆς ἀϊδίου γεννήσεως ἡμῖν διαλέγεται;

Ἀπόκρισις. Ἐπειδὴ οἱ ἄλλοι Εὐαγγελισταὶ τὸ πλεῖον ἐν τοῖς κατὰ σάρκα διατρίψαντες λόγοις, δέος ἦν πολλοὺς χαμαιπετεῖς

ὄντας, μηδὲν ὑψηλότερον τῶν ἀνθρώποις προσόντων ἐννοῆσαι περὶ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ· διὰ τοῦτο ἐκεῖνα παραδραμὼν ἀπὸ τῆς ὑπάρξεως τῆς ἀϊδίου ποιεῖται τὴν διήγησιν. Χρὴ δὲ καὶ τοῦτο γινώσκειν· ὅτι οὔτε οὗτος πρὸς τὸν ὑψηλότερον ἑαυτὸν λόγον ἀφεὶς τῆς οἰκονομίας ἠμέλησε, οὔτε ἐκεῖνοι περὶ τὴν ταύτης ἐσπουδακότες διήγησιν, τὴν πρὸ αἰώνων ἐσίγησαν ὕπαρξιν· καὶ μάλα εἰκότως· ἓν γὰρ ἦν Πνεῦμα τὸ κινοῦν τὰς ἁπάντων ψυχάς.

1 Ἐν ἀρχῇ ἦν ὁ Λόγος.

Ἰωάννης τὸν γενεαλογούμενον σιωπῶν, ἀπὸ τοῦ ἀγενεαλογήτου ἄρχεται. πρέπει γὰρ τὸν θεολογούμενον Υἱὸν τοῦ Θεοῦ μήτε γενεαλογεῖσθαι, "τὴν γὰρ γενεὰν αὐτοῦ τίς διηγήσεται;" μήτε πειράζεσθαι· Θεὸν γὰρ διάβολος πειράζειν οὐ δύναται. τοῦτο δέ φαμεν οὐ λύοντες τὸν Ἰησοῦν ἀπὸ τοῦ Χριστοῦ, δεικνύντες δὲ τὰ ἐπινοούμενα πράγματα ἐπὶ Ἰησοῦ Χριστοῦ. τὸν δὲ νοῦν τοῦ προκειμένου Εὐαγγελίου οὐδεὶς δύναται λαβεῖν, μὴ ἀναπεσὼν ἐπὶ τὸ τοῦ Ἰησοῦ στῆθος καὶ λαβὼν τὴν Ἰησοῦ μητέρα Μαρίαν ἀπὸ τοῦ Ἰησοῦ μητέρα, καθὼς Ἰωάννης. Τί δήποτε δὲ τὸν Πατέρα ἀφεὶς περὶ τοῦ Υἱοῦ διαλέγεται; ἐπειδὴ ἐκεῖνος μὲν δῆλος ἦν ἅπασιν, εἰ καὶ μὴ ὡς Πατὴρ, ἀλλ' ὡς Θεός. ὁ δὲ μονογενὴς ἠγνοεῖτο· εἰκότως τοίνυν τὴν περὶ τούτου γνῶσιν εὐθέως ἐκ προοιμίων ἔσπευσε θεῖναι τοῖς οὐκ εἰδόσιν αὐτὸν, ἀλλ. ὥστε οἶδε τοὺς ἀνθρώπους τὸ πρεσβύτερον καὶ πρῶτον μάλιστα τιμῶντας καὶ τιθεμένους Θεὸν, καὶ διὰ τοῦτο ἐντεῦθεν ἄρχεται· ὅμως οὐδὲ τὸν Πατέρα ἐν τούτοις ἀπεσιώπησεν· "ἐν ἀρχῇ ἦν ὁ "Λόγος."

Ἴσον δύναται τοῦ ἐν ἀρχῇ τὸ ἦν· εἰ γὰρ ἐν ἀρχῇ ἦν, ποτὲ οὐκ ἦν, καὶ διὰ τοῦτο δὲ φησὶν ὁ Λόγος καὶ οὐχ ὁ Υἱὸς, ἵνα μὴ τῇ προσηγορίᾳ τοῦ Υἱοῦ εἰσέλθῃ σοὶ ἡ τοῦ πάθους ἔννοια, ἐπειδὴ τὰ παρ' ἡμῖν γεννῶντα χρόνῳ γεννᾷ καὶ ἐμπαθῶς, προδιορθούμενος τὰς ἀπρεπεῖς ὑπολήψεις οὕτω φησί. Λόγος δὲ ἐκλήθη, ἵνα δειχθῇ ὅτι ἐκ τοῦ νοῦ προήχθη, καὶ ὅτι ἀπαθῶς ἐγεννήθη.

"Ἐν ἀρχῇ ἦν ὁ Λόγος" εἶδες παρρησίαν καὶ ἐξουσίαν πολλήν; πῶς οὐδὲν ἀμφιβάλλων οὐδὲ εἰκάζων, ἀλλὰ πάντα ἀποφαινόμενος φθέγγεται. Τὸ "ἐν ἀρχῇ ἦν" ἐπισυνημμένον προσκειμένου τὲ οὐδενὸς ἑτέρου, ἀπόλυτόν τινα καὶ ἀπεριόριστον δείκνυσι τὴν ἀρχήν.

Τὸ δὲ "ἦν" οὐδὲν ἕτερον ἔστιν ἀλλ' ἢ τοῦ εἶναι ἀεὶ δηλωτικὸν καὶ ἀπείρως εἶναι. Λόγον δὲ αὐτὸν ἐκάλεσεν, ἵνα μὴ παθητὴν αὐτοῦ τὴν γένεσιν ὑπολάβωμεν· ἔτι δὲ καὶ διὰ τὸ ἀπαγγεῖλαι ἡμῖν τὰ τοῦ Πνεύματος. οὐχ ἁπλῶς δὲ αὐτὸν Λόγον ἐκάλεσεν, ἀλλὰ μετὰ τῆς τοῦ ἄρθρου προσθήκης, ὅπως τῶν λοιπῶν αὐτὸν λόγων καὶ ἐν τούτῳ χωρίσῃ. πολλοὶ γὰρ οἱ τοῦ Θεοῦ λόγοι, ἀλλ' οὐδεὶς ἐκείνων τῶν λόγων Θεός· ἀλλ' ἐκεῖνοι μὲν ἅπαντες προφητεῖαι καὶ προστάγματα, οὗτος δὲ ὁ Λόγος οὐσία τις ἐνυπόστατος ἐξ αὐτοῦ προελθοῦσα ἀπαθῶς τοῦ Πατρός. εἰπὼν οὖν ὅτι καὶ "Θεὸς ἦν ὁ "Λόγος," οὐκ ἐμφαίνει τί μέσον τῆς θεότητος ταύτης, ἐπειδὴ οὐχ ἧττον Θεὸς ὁ Υἱός· εἶπεν οὖν τὸ γνωριστικὸν τῆς γνησίας αὐτοῦ θεότητος καὶ τὸ ἀΐδιον, διὰ τοῦ "ἐν ἀρχῇ ἦν·" τὸ δὲ συναΐδιον ἐνέφηνεν ἡμῖν διὰ τοῦ "οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν." τουτέστι μὴ νομίσῃς πρεσβυτέραν εἶναι, φησὶ, τὴν ὕπαρξιν τοῦ Πατρός· οὐ γὰρ ἦν ἔρημός ποτε τοῦ Λόγου· εἰ δὲ λέγοι τις, καὶ πῶς ἔστιν Υἱὸν ὄντα μὴ νεώτερον εἶναι τοῦ Πατρός· τὸ γὰρ ἔκ τινος ὂν ἀνάγκη πᾶν ὕστερον εἶναι τοῦ ἐξ οὗ ἔστιν; ἐκεῖνο ἐροῦμεν, ἆρα τὸ ἀπαύγασμα τοῦ ἡλίου ἐξ αὐτῆς ἐκπηδῶν τῆς τοῦ ἡλίου φύσεως, μὴ ὕστερον εἶναι φαίημεν τῆς ἡλιακῆς ἀκτῖνος; οὐδαμῶς· ἀνάγκη γὰρ ὁμολογῆσαι τοῦτο καὶ τὸν τὰς αἰσθήσεις πεπηρωμένον· οὐδὲ γὰρ χωρὶς ἀπαυγάσματος ἥλιος ἐφάνη ποτέ· ἰδοὺ καὶ ἐξ αὐτοῦ καὶ οὐχ ὕστερον αὐτοῦ· οὕτω καὶ ἐπὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ νοήσωμεν, μᾶλλον δὲ καὶ μειζόνως καὶ θεοπρεπῶς· διὰ γὰρ τοῦτο καὶ ὁ Παῦλος αὐτὸν οὕτως ἐκάλεσεν.

Ἐπειδὴ ὁ Μωϋσῆς ἐλάχιστον μέρος τὴν κτίσεως ἀπολαβὼν, οὐδὲν ἡμῖν περὶ τῶν ἀοράτων διελέχθη δυνάμεων, εἰκότως ὁ Εὐαγγελιστὴς ἑνὶ βραχεῖ ῥήματι ὅλα περιλαβὼν φησί· "πάντα δι' "αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν, ὃ γέγονε," τουτέστι, τῶν γενητῶν, κἂν ὁρατὸν ᾖ, κἂν νοητὸν, οὐδὲν χωρὶς τῆς τοῦ Χριστοῦ δυνάμεως εἰς τὸ εἶναι παρήχθη· οὐ γὰρ δὴ τὴν τελείαν στιγμὴν εἰς τὸ "οὐδὲ ἓν" ἐπιθήσωμεν κατὰ τοὺς αἱρετικούς· ἐκεῖνοι γὰρ οὕτω φασὶν, "ὃ γέγονεν ἐν αὐτῷ ζωὴ ἦν," βουλόμενοι τὸ Πνεῦμα τὸ Ἅγιον κτίσμα λέγειν.

4 Ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων.

Εἰπὼν περὶ τῆς δημιουργίας, ἐπάγει καὶ τὸν περὶ τῆς προνοίας λόγον. ἵνα γὰρ μηδεὶς ἀπιστῇ, πῶς τὰ τοσαῦτα καὶ τηλικαῦτα δι' αὐτοῦ γέγονεν, ἐπήγαγεν, “ ὅτι ἐν αὐτῷ ζωὴ ἦν,” τουτέστιν, ὅτι ἐν αὐτῷ ζῇ τὰ πάντα, καὶ ἐν αὐτῷ προνοεῖται, καὶ ὅπερ περὶ τοῦ Πατρὸς εἴρηται, καὶ περὶ αὐτοῦ κυρίως ἂν λέγοιτο, “ ὅτι ἐν αὐτῷ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν.”

Τὸ δὲ ἐπαγόμενον, “ καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων,” οὐ τοιοῦτον αἰσθητὸν φῶς ἦν, ἀλλὰ νοητὸν, τὴν ψυχὴν φωτίζων αὐτήν. καὶ οὐκ εἶπε, τὸ φῶς τῶν Ἰουδαίων, ἀλλὰ καθόλου “ τῶν ἀνθρώπων·” οὐδὲ γὰρ Ἰουδαῖοι μόνον, ἀλλὰ καὶ Ἕλληνες πρὸς ταύτην ἦλθον τὴν γνῶσιν.

5 Καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει.

Φαίνει δὲ τὸ φῶς τὸ νοητὸν τοῦτο ἐν τῇ σκοτίᾳ· σκοτίαν λέγει ἢ τὸν θάνατον ἢ τὴν πλάνην· τὸ γὰρ κήρυγμα μεταξὺ τῆς πλάνης ἔλαμψε, καὶ ἐν τῷ θανάτῳ δὲ γενόμενος αὐτὸς, οὕτως αὐτοῦ περιεγένετο, ὡς καὶ τοὺς ἤδη προκατεχομένους ἀναγαγεῖν.

Καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν.

Ἡ σκοτία δὲ αὐτὸ οὐ κατέλαβεν, ἐπειδὴ οὔτε ὁ θάνατος αὐτοῦ περιεγένετο, οὔτε ἡ πλάνη· ἔστι γὰρ ἀκαταγώνιστον. οὐκ ἐμφιλοχωρεῖ δὲ ταῖς μὴ βουλομέναις φωτισθῆναι ψυχαῖς· οὐδὲ γὰρ ἀνάγκῃ καὶ βίᾳ, ἀλλὰ βουλήσει καὶ γνώμῃ προσάγεται ἡμῖν ὁ Θεός.

6 Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ.

Διαλεχθεὶς ἡμῖν συμμέτρως περὶ τοῦ Θεοῦ Λόγου, ὁδῷ καὶ τάξει προβαίνων ἐπὶ τὸν τοῦ Λόγου κήρυκα τὸν Ἰωάννην ἔρχεται. Ἀκούοντες δὲ ὅτι παρὰ Θεοῦ ἀπεστάλη, μηδὲν λοιπὸν ἀνθρώπινον νομίσωμεν εἶναι τῶν λεγομένων· οὐ γὰρ τὰ αὐτοῦ, ἀλλὰ τοῦ πέμψαντος ἅπαντα φθέγγεται, διὸ καὶ ἄγγελος προσηγόρευται· ἀγγέλου δὲ ἀρετὴ τὸ μηδὲν ἴδιον εἰπεῖν· τὸ δὲ “ ἐγένετο” ἐνταῦθα οὐ τῆς εἰς τὸ εἶναι παρόδου δηλωτικὸν, ἀλλὰ τῆς ἀποστολῆς ἐστιν αὐτῆς· τὸ γὰρ “ ἐγένετο ἀπεσταλμένος” ἀντὶ τοῦ ἀπεστάλη εἴρηται.

Ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός.

Τὸ δὲ “ ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτὸς,” οὐχ ὡς ἀξιόπιστον

τοῦ Υἱοῦ τοῦ Θεοῦ τὴν φύσιν ποιήσων, ἢ ἵνα τῷ δεσπότῃ προσθῇ εἰς ἀξίας λόγον, ἀλλὰ διὰ τὸ ἐπαγόμενον, ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ, τουτέστι οἱ ὁμόφυλοι, αὐτὸς γὰρ Θεὸς ὢν καὶ Θεοῦ γνήσιος Υἱὸς, καὶ τῆς οὐσίας τῆς ἀκηράτου καὶ μακαρίας, οὐ δεῖται[b] τοῦ μαρτυρήσοντος· ἐπειδὴ δὲ τῆς σωτηρίας αὐτῷ μέλει τῆς τῶν πολλῶν, τούτου χάριν εἰς τοῦτο κατέβη ταπεινότητος, ὡς καὶ ἀνθρώπῳ τὴν μαρτυρίαν ἐπιτρέψαι τὴν ἑαυτοῦ.

Διὰ τί εἶπεν "οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρτυρήσῃ "περὶ τοῦ φωτός;" ὡς τὰ πολλὰ τὰ ῥήματα, μείζων ὁ μαρτυρῶν τοῦ μαρτυρουμένου, ἵνα μή τις καὶ ἐπὶ τοῦ Ἰωάννου τοῦτο νομίσῃ, τὴν πονηρὰν ταύτην ὑποψίαν ἀναιρῶν τοῦτό φησι.

Κυρίλλου. Οὗτος ὁ ἐκ Θεοῦ ἀπεσταλμένος ὁ πᾶσαν εἰκότως καταπλήξας τὴν Ἰουδαίαν, τῇ τε τοῦ βίου σεμνότητι καὶ ταῖς εἰς ἄσκησιν ὑπερβολαῖς, ὁ διὰ φωνῆς ἁγίας προφητῶν προκηρυττόμενος.

Ἀμμωνίου πρεσβυτέρου. Διὰ τοῦτο μείζων τῶν ἄλλων προφητῶν ὁ Ἰωάννης, ὅτι ἐκεῖνοι μὲν ἐκήρυξαν τὸν προσδοκώμενον, οὗτος δὲ ἑωρακὼς αὐτὸν, καὶ πεισθεὶς διὰ σημείων ὅτι οὗτος δὴ ἦλθε, μαρτυρῶν ἐξ ὧν ἤκουσε καὶ εἶδεν.

Ὠριγένους. Ὅσον ἐφ' ἑαυτῷ δηλονότι, εἰ καὶ μὴ πάντες ἐπίστευσαν· οὐδὲ γὰρ εἰ μὴ πάντες τὸν παρὰ τοῦ ἡλίου δέχοιντο φωτισμὸν, ἤδη καὶ τὸν ἥλιον φαίη τις ἂν μὴ ἐπὶ τοῦτο ἀνατέλλειν, ἐφ' ᾧτε πάντας φωτίζεσθαι· ἡ γὰρ πρόθεσις τοῦ πέμψαντος αὐτὸν ἦν πιστεῦσαι πάντας.

Κυρίλλου Ἀλεξανδρείας. Ἀπεστάλθαι φησὶ παρὰ Θεοῦ· ἔδει γὰρ οὐκ αὐτόμολον πρὸς τὴν ὑπὲρ τοῦ Σωτῆρος ἡμῶν μαρτυρίας ἰόντα δεικνύειν τὸν ἅγιον βαπτιστὴν, ἀλλὰ τοῖς τοῦ Πατρὸς ὑπηρετοῦντα θελήμασι· δοκεῖ δέ μοι λίαν ἠσφαλισμένος ἐν τούτοις ὁ Εὐαγγελιστὴς, οὐχ ἁπλῶς, ὅτι γέγονεν, εἰπεῖν, ἀλλὰ καὶ διὰ τοῦ προσθεῖναι, καὶ "ἄνθρωπος," ἀβουλοτάτων τινῶν ἀνατρέπων ὑπόνοιαν τῶν λεγόντων, μὴ ἄνθρωπον ὄντως ὑπάρχειν τὸν βαπτιστὴν, ἀλλὰ τῶν τοῦ Πατρὸς καὶ Υἱοῦ ὑπηρετοῦντα θελήμασιν, ὡς ἐκ τῶν οὐρανῶν ἕνα τινὰ τῶν ἁγίων ἀγγέλων παραγενόμενον ἀνθρωπίνῳ χρήσιμον σώματι, καὶ πρὸς τὸ κηρύττειν

[b] οὐδέ τις Cod.

ἀπεσταλμένον παρὰ Θεοῦ· ἀποσφάλλοντες δὲ τῆς ἀληθείας οἱ ἄφρονες· τὸ γὰρ ἄγγελος ὄνομα λειτουργίας μᾶλλον ἐστὶν ἢ περιουσίας σημαντικόν· ὥσπερ καὶ οἱ ἐπὶ τοῦ Ἰὼβ ἄγγελοι, ἄλλος ἐπ' ἄλλῳ τρέχουσι, τὰ πολύτροπα κηρύττοντες πάθη. Οὐκοῦν ἄγγελος ὁ μακάριος βαπτιστὴς διὰ τῆς τοῦ δεσπότου κατωνόμασται φωνῆς, οὐκ αὐτὸς κατὰ φύσιν Ἄγγελος ὢν, ἀλλ' ὡς εἰς τὸ ἀγγέλλειν ἀπεσταλμένος, καὶ "τὴν ὁδὸν ἑτοιμάσατε Κυρίου" βοῶν.

9 *Ἦν τὸ φῶς τὸ ἀληθινόν.*

Ἀνάγων δὲ πάλιν τὴν ἔννοιαν ἡμῶν πρὸς τὴν ἐπέκεινα πάσης ἀρχῆς ὕπαρξιν, τὴν οὐδαμοῦ λήγουσαν οὐδὲ ἱσταμένην, ἔφη· "ἦν "τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς "τὸν κόσμον·" καὶ εἰ πάντα ἄνθρωπον φωτίζει, πῶς ἀφώτιστοι μεμενήκασι τοσοῦτοι· τὸ μὲν εἰς αὐτὸν ἧκον πάντας ἦλθε φωτίσαι, εἰ δέ τινες ἥκοντες τοὺς ὀφθαλμοὺς τῆς διανοίας μύσαντες, οὐκ ἠθέλησαν παραδέξασθαι τοῦ φωτὸς τὰς ἀκτῖνας, οὐ παρὰ τὴν τοῦ φωτὸς φύσις ἡ σκότησις ἐκείνη, ἀλλὰ παρὰ τὴν κακουργίαν τῶν ἑκοντὶ ἀποστερούντων ἑαυτοὺς τῆς σωτηρίας.

Κυρίλλου. *Ὑπείληπτο γὰρ παρά τισι διὰ τὰ προσόντα αὐτῶν πλεονεκτήματα, ὡς αὐτὸς εἴη ὁ Χριστὸς, διὰ τοῦτό φησιν, ἵν' ὁλόρριζον ἀνέλῃ τὴν τοιαύτην πλάνην, δηλονότι φῶς δὲ καὶ αὐτὸς κατὰ μετοχὴν, ὡς καὶ πάντες οἱ ἅγιοι.*

Ἀμμωνίου. *Εἰ καὶ φῶς ὁ Ἰωάννης καὶ οἱ ἅγιοι, ἀλλ' οὐκ ἐκεῖνοι τὸ θεολογούμενον, ὅς ἐστι Χριστὸς, ὁ φύσει φῶς· οἱ γὰρ ἅγιοι χάριτι ἔσχον τὸν φωτισμόν· διὸ περὶ τοῦ Χριστοῦ φησιν, "ἦν τὸ φῶς τὸ ἀληθινόν."*

Κυρίλλου. *Ἑκάστων τῶν εἰς τοῦτο εἶναι καλουμένων σοφίας ἤτοι θεογνωσίας ἐντίθησι καὶ ῥίζαν ἐμφυτεύει συνέσεως· λογικόν τε οὗτος ἀποτελεῖ τὸ ζῶον τῆς οἰκείας φύσεως μέτοχον ἀποδεικνύων, καὶ τῆς ἀφράστου λαμπρότητος ὥσπερ τινὰς ἀτμοὺς φωτοειδεῖς ἐνιεὶς τῷ νῷ, καθ' ὃν αὐτὸς οἶδε τρόπον τε καὶ λόγον· φωτίζει τοιγαροῦν δημιουργικῶς μὲν Υἱὸς, ἅτε δὴ τὸ φῶς ὑπάρχων αὐτὸς τὸ ἀληθινὸν, κατὰ μετοχὴν δὲ ἡ κτίσις· καὶ καλεῖται διὰ τοῦτο καὶ γίνεται φῶς, εἰς τὰ ὑπὲρ φύσιν ἀνακαίουσα διὰ τὴν τοῦ δοξάσαντος χάριν· οὕτως οἱ Ἄγγελοι φῶτα, καὶ πάντες οἱ ἅγιοι, κατὰ μετοχὴν δηλονότι.*

Ἀμμωνίου πρεσβυτέρου. Ὁ Κύριος τὰ λογικὰ αὐτοῦ κτίσματα ἀπὸ φυσικῶν ἐννοιῶν φωτίζει εἰς τὸ πεισθῆναι ὅτι ἔστι Θεός· στοχαζομένους ἐκ τῆς τῶν κτισμάτων αὐτοῦ καλλονῆς καὶ εὐταξίας τὸ ὑπερανέχον τῆς αὐτοῦ δυνάμεως.

Θεοδώρου. Εἰπὼν "τὸν ἐρχόμενον εἰς τὸν κόσμον" περὶ τοῦ δεσπότου Χριστοῦ, καλῶς ἐπήγαγε τὸ "ἐν τῷ κόσμῳ ἦν," ὥστε δεῖξαι ὅτι τὸ "ἐρχόμενον" πρὸς τὴν διὰ σαρκὸς εἶπε φανέρωσιν· τῇ γὰρ ὑποστάσει φησὶ καὶ τῇ φύσει ἦν ἐν τῷ κόσμῳ καὶ πρὸ τούτου, καὶ ὡς καὶ τούτου μικροῦ τινὸς ὄντος ἐπήγαγε, "καὶ ὁ "κόσμος δι' αὐτοῦ ἐγένετο," τουτέστι, καὶ τί θαυμαστὸν εἰ ἦν ἐν τῷ κόσμῳ, ὃς οὐκ ἂν ἦν, εἰ μὴ ἐκεῖνος ἐβουλήθη;

"Ἐν τῷ κόσμῳ ἦν," οὐχ ὡς τοῦ κόσμου σύγχρονος· διὰ γὰρ τοῦτο ἐπήγαγε, "καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο·" πάντως γὰρ ἑκὼν καὶ ἄκων ἀναγκασθήσεται πᾶς ἄνθρωπος, κἂν πολέμιος τῆς δόξης τοῦ Θεοῦ ἐστι, πρὸ τῶν ἔργων ὁμολογῆσαι τὸν ποιητήν.

Ἀμμωνίου. Ὡς Θεὸς ἦν ἐν τῷ κόσμῳ, οὐ κατ' οὐσίαν, ἀλλὰ κατὰ τὸ προνοητικόν.

Τοῦ αὐτοῦ. Πάλιν ἀνασειράζει τὴν αἵρεσιν τῶν λεγόντων, μὴ εἶναι κτίσματα τοῦ Θεοῦ τοὺς ἀνθρώπους καὶ τὰ λοιπά.

10 Τὸ δὲ "ὁ κόσμος αὐτὸν οὐκ ἔγνω," κόσμος ἐνταῦθα τὸ δημῶδες πλῆθός φησι, τὸν χυδαῖον καὶ ταραχώδη λαὸν, τὸν τῷ κόσμῳ προσηλωμένον καὶ τὰ τοῦ κόσμου φρονοῦντα. οἱ γὰρ τοῦ Θεοῦ φίλοι πάντες αὐτὸν ἔγνωσαν, οὐ μετὰ τὴν ἐν σαρκὶ αὐτοῦ μόνην παρουσίαν, ἀλλὰ καὶ πρὸ ταύτης, ὡς ὁ Ἀβραὰμ καὶ ὁ Μωϋσῆς καὶ ὁ Δαβὶδ, καὶ πάντες οἱ ἀπὸ τοῦ Σαμουὴλ προφῆται, ὡς ὁ Πέτρος φησί.

Ἰωάννου τοῦ Χρυσοστόμου. Ἀντὶ τοῦ τὸν ἐκεῖνον δεσπότην, διὰ τοῦτό σε πάλιν ἀνάγων ἐπὶ τὴν προαιώνιον ὕπαρξιν μονογενοῦς· ὁ γὰρ ἀκούσας ὅτι ἔργον αὐτοῦ τόδε τὸ πᾶν, οἷος ἂν εἴη; πάντως γὰρ ἑκὼν καὶ ἄκων ἀναγκασθήσεται πρὸ τῶν ἔργων ὁμολογῆσαι τὸν ποιητήν· ὅθεν μοὶ καὶ θαυμάζειν ἔπεισιν ἀεὶ τὴν Παύλου τοῦ Σαμοσατέως μανίαν, πῶς πρὸς τὴν οὕτω φανερὰν ἀλήθειαν ἀντιβλέψαι ἐτόλμησε.

Ἀμμωνίου. Ὧδε κόσμον μόνους τοὺς ἀνθρώπους λέγει, ἀπὸ μέρους ὀνομάζων τὸν κόσμον, ἤτοι τοὺς τὰ τοῦ κόσμου φρονοῦντας

καὶ αὐτῷ προσηλωμένους, ὅτι τινὲς διὰ τὴν πρὸς τὰ γήϊνα προσπάθειαν οὔτε ὅλως ἔγνωσαν αὐτόν· οἷοι ἦσαν οἱ εἰδωλολάτραι καὶ τῶν παθῶν δοῦλοι. Τὸ δὲ, "εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν "οὐ παρέλαβον," ἢ περὶ τῶν Ἰουδαίων λέγει ὡς λαὸν ὄντα περιούσιον, ἢ καὶ περὶ τῶν ἀνθρώπων τῶν ὑπ' αὐτοῦ γεγενημένων· φιλάνθρωπος γὰρ ἂν ὁ Θεὸς, βίᾳ μὲν οὐδένα, πειθοῖ δὲ πάντας ἕλκει πρὸς αὐτόν· διὸ καὶ ἐλθόντα αὐτὸν, οἱ μὲν ἔλαβον, οἱ δὲ οὐκ ἔλαβον. εἰς τὰ ἴδια ἦλθεν οὐ τῆς αὐτοῦ χρείας ἕνεκεν, ἀνενδέες γὰρ τὸ θεῖον, ἀλλὰ τῆς τῶν ἰδίων εὐεργεσίας χάριν. Πόθεν δὲ ἦλθεν ὁ τὰ πάντα πληρῶν καὶ πανταχοῦ παρών; ποῖον κενώσας τόπον ὁ πάντα συνέχων; τόπον μὲν οὐδένα ἤμειψε, πῶς γάρ; τῇ δὲ πρὸς ἡμᾶς συγκαταβάσει τοῦτο εἰργάσατο, καὶ ἑαυτὸν ἐφανέρωσεν ἡμῖν, τὴν ἡμετέραν ὑποδὺς σάρκα. Τὴν φανέρωσιν οὖν ταύτην καὶ κατάβασιν ἔλευσιν καλεῖ, εἰ καὶ Ἰουδαῖοι αὐτὸν παραλαβεῖν πάντες οὐκ ἐθέλησαν.

Ἀμμωνίου πρεσβυτέρου. Λέγεται εἰς τὰ ἴδια ἐληλυθέναι, καθὸ σαρκωθεὶς ἐγνωρίσθη τοῖς αὐτὸν θεασαμένοις ὀφθαλμοφανῶς· ἢ ὅτι πρὸς τοὺς ἰδίους ἦλθεν, οἳ ἐδόκουν αὐτοῦ ἴδιοι εἶναι, κατὰ τὸ "ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα." Τὸ δὲ "ὅσοι ἔλαβον αὐτὸν," τουτέστι, κἂν δοῦλοι, κἂν ἐλεύθεροι, κἂν Ἕλληνες, κἂν βάρβαροι, κἂν ἄσοφοι, κἂν σοφοὶ, κἂν γυναῖκες, κἂν ἄνδρες, κἂν παῖδες, κἂν πρεσβύται, κἂν πλούσιοι, κἂν πένητες, κἂν ἄρχοντες, κἂν ἰδιῶται, πάντες τῆς αὐτῆς ἀξιοῦνται τιμῆς· ἡ γὰρ πίστις καὶ ἡ τοῦ Πνεύματος χάρις τὴν κοσμικὴν ἀνωμαλίαν περιελοῦσα, εἰς μίαν ἅπαντας ἔπλασε μορφὴν, καὶ εἰς ἕνα ἀπετύπωσε χαρακτῆρα, τὸν βασιλικόν.

Ὠριγένους. Ἐπεὶ μὴ πάντες ἀπεστράφησαν αὐτὸν, πολλοὶ γὰρ ἐξ αὐτῶν προσήκαντο αὐτὸν, καὶ μάλιστα οἱ Ἀπόστολοι, ἐπιφέρει ὁ Εὐαγγελιστὴς, "ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔσχον ἐξου-"σίαν τέκνα Θεοῦ γενέσθαι." τότε γενησόμενοι τοῦτο, οὐ τέως τὴν ἐξουσίαν εἰλήφασιν, ὅτ' ἂν τελειθῶσιν ἐν τῇ ἀρετῇ καὶ τῇ πίστει. Τίς δὲ ἡ αἰτία, δι' ἣν ἔσχον τὴν ἐξουσίαν, δηλοῖ γράψας δεδόσθαι αὐτὴν "τοῖς πιστεύσασιν εἰς τὸ ὄνομα αὐτοῦ," τοῦ φωτὸς δηλονότι.

Οὐκ εἶπε δὲ, ὅτι ἐποίησεν αὐτοὺς τέκνα Θεοῦ, ἀλλ', "ἔδωκεν

αὐτοῖς ἐξουσίαν," δεικνὺς ὅτι πολλῆς δεῖ τῆς σπουδῆς ὥστε τὴν ἐν τῷ βαπτίσματι τῆς υἱοθεσίας ἡμῖν ἐντυπωθεῖσαν εἰκόνα ὁλόκληρον ἡμῖν διατηρῆσαι καὶ ἀνέπαφον.

Κυρίλλου. Οἱ διὰ πίστεως, φησὶ, τῆς εἰς Χριστὸν υἱοθεσίας κεκλημένοι Θεοῦ, τῆς μὲν οἰκείας φύσεως τὴν εὐτέλειαν ἀπεδύσαντο, κατηγλαϊσμένοι δὲ ὥσπερ ἀμφίῳ λαμπρῷ τῇ τοῦ τιμῶντος χάριτι πρὸς τὸ ὑπὲρ φύσιν ἀνακαίουσιν ἀξίωμα· οὐ γὰρ ἔτι χρηματίζουσι τέκνα σαρκὸς, Θεοῦ δὲ μᾶλλον γεννήματα. Τί οὖν ἄρα τὸ πλεῖον ἐρεῖ τις τυχὼν, ἢ τί τὸ ἐξαίρετον ἐν τοῖς πιστεύουσιν εἰς Χριστὸν παρὰ τὸν Ἰσραὴλ, ἐπεὶ καὶ αὐτὸς γεγενῆσθαι λέγεται παρὰ Θεοῦ κατὰ τὸ "υἱοὺς ἐγέννησα καὶ ὕψωσα· αὐτοὶ δέ "με ἠθέτησαν;" πρὸς τοῦτο ἐροῦμεν, ὅτι σκιὰν ἔχων ὀνόματος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων, οὐδὲ τοῦτο κατὰ ἀλήθειαν ἔχειν ἐδίδου τοῖς ἐξ Ἰσραὴλ, ἀλλ' ὡς ἐν τύπῳ καὶ σχήματι γραφόμενον ἐν αὐτοῖς, ἄχρι καιροῦ διορθώσεως, καθὰ γέγραπται, καθ' ὃν ἔμελλον ἀναδειχθήσεσθαι λοιπὸν, οἱ πρεπωδέστερόν γε καὶ ἀληθέστερον ἀποκαλοῦντες Πατέρα τὸν Θεὸν διὰ τὸ ἐνοικῆσαι αὐτοῖς Πνεῦμα τοῦ μονογενοῦς. οἱ μὲν γὰρ εἶχον "πνεῦμα δουλείας εἰς φόβον," οἱ δὲ "πνεῦμα υἱοθε-"σίας εἰς ἐλευθερίαν, ἐν ᾧ κράζουσιν, ἀββᾶ ὁ πατήρ." οὐκοῦν ὁ διὰ πίστεως τῆς εἰς Χριστὸν ἀναβήσεσθαι μέλλων εἰς υἱοθεσίαν, καθάπερ ἐν σκιαῖς, ἐν ἐκείνῳ προκατεγράφετο· ὥσπερ οὖν ἀμέλει καὶ τῇ ἐν πνεύματι νοουμένῃ περιτομῇ, ἐν τῇ ἐκείνων πάλαι προετυποῦτο σαρκὶ, καὶ συλλήβδην εἰπεῖν, πάντα ἦν ἐν ἐκείνοις τὰ ἡμέτερα τυπικῶς.

Ἀνέμνησε δὲ τῶν σαρκικῶν ὠδίνων, εἰπὼν, "οἱ οὐκ ἐξ αἱμάτων," καὶ τὰ ἑξῆς, ἵνα συγκρίναντες τὸ εὐτελὲς καὶ ταπεινὸν τοῦ προτέρου, ἤγουν τὸ σαρκικοῦ τόκου, πρὸς τὸ ὑψηλὸν καὶ εὐγενὲς τοῦ δευτέρου τοῦ διὰ τῆς χάριτος, ὅπερ ἐστὶν ἐκ Θεοῦ γεννηθῆναι, μεγάλην τινὰ ἔννοιαν περὶ αὐτοῦ λάβωμεν, καὶ τῆς τοῦ γεγεννηκότος δωρεᾶς ἀξίαν· διὸ καὶ τὴν αἰτίαν τῆς ἀφράστου ταύτης τιμῆς τίθησι λέγων, "καὶ ὁ λόγος σὰρξ ἐγένετο," τουτέστι, διὰ ταύτην τὴν ὑπόθεσιν τοῦ γενέσθαι σάρκα τὸν λόγον, καὶ τὴν τοῦ δούλου μορφὴν λαβεῖν τὸν δεσπότην, τέκνα Θεοῦ γεγόναμεν.

"Γέγονε δὲ ὁ Λόγος σὰρξ," οὐ τῆς οὐσίας αὐτοῦ μεταπτώ-

σεως εἰς σάρκα, τὸ γὰρ ἐννοεῖν τοῦτο τῆς ἐσχάτης ἀσεβείας ἐστὶν, ἀλλὰ μένουσα ὅπερ ἐστίν. Οὕτω τὴν τοῦ δούλου μορφὴν ἔλαβεν· "ἐγένετο" δὲ, εἶπε, τὰ τῶν αἱρετικῶν ἐμφράττων στόματα, τῶν λεγόντων ὅτι φαντασία τις ἦν ἡ οἰκονομία, οὐ σαρκὸς ἀληθινῆς ἀνάληψις.

Τί ἐστι τὸ, "ἐσκήνωσεν ἐν ἡμῖν;" τὸ σκηνοῦν οὐ ταυτὸν ἂν εἴη τῇ σκηνῇ, ἀλλ' ἕτερον ἐν ἑτέρῳ σκηνοῖ, τουτέστιν, ὁ Θεὸς Λόγος ἐσαρκώθη καὶ ἡνώθη σαρκί· ἕτερον δὲ κατ' οὐσίαν φαμέν· τῇ γὰρ ἑνώσει καὶ τῇ συναφείᾳ εἷς ἐστιν ὁ Θεὸς Λόγος καὶ ἡ σάρξ· οὐ συγχύσεως γενομένης, οὐδὲ ἀφανισμοῦ τῶν οὐσιῶν, ἀλλ' ἑνώσεώς τινος ἀρρήτου καὶ ἀφράστου, καὶ ἣν μόνος οἶδεν αὐτός.

14 Καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ.

Διὰ τοῦ συντρόφου σώματος ἡμῖν δηλονότι. Εἰ γὰρ τὸ πρόσωπον Μωϋσέως οὐχ ὑπέμειναν οἱ κατ' ἐκεῖνον τὸν καιρὸν δοξασθὲν ἰδεῖν, πῶς θεότητα γυμνὴν καὶ φῶς ἀπρόσιτον καὶ αὐταῖς ταῖς ἄνω δυνάμεσιν, ἡμεῖς οἱ πήλινοι καὶ γηγενεῖς ἠδυνήθημεν ἂν ἐνεγκεῖν.

Καὶ ἐπειδὴ πολλοὶ τῶν προφητῶν ἐδοξάσθησαν, ὧν εἷς οὗτος αὐτός ἐστι Μωϋσῆς· ἐθαυμάσθησαν δὲ καὶ Ἄγγελοι παρὰ ἀνθρώποις φανέντες, καὶ τὰ Χερουβεὶμ δὲ καὶ τὰ Σεραφεὶμ μετὰ πολλῆς δόξης ὤφθη τῷ προφήτῃ· πάντων τούτων ἀπάγων ἡμᾶς ὁ Εὐαγγελιστὴς, πρὸς αὐτὴν τῶν ἀγαθῶν ἡμᾶς ἵστησι κορυφὴν, λέγων, "δόξαν ὡς μονογενοῦς παρὰ Πατρὸς πλήρης χάριτος καὶ "ἀληθείας." αὐτήν φησι τοῦ βασιλέως, τοῦ γνησίου μονογενοῦς Παιδὸς τοῦ Πατρὸς, αὐτοῦ τοῦ πάντων Κυρίου τὴν δόξαν ἐθεασάμεθα.

Τὸ δὲ "ὡς" ἐνταῦθα οὐχ ὁμοιώσεώς ἐστιν, οὐδὲ παραβολῆς, ἀλλὰ βεβαιώσεως, καὶ ἀναμφισβήτου διορισμοῦ, ὡσανεὶ ἔλεγεν, ἐθεασάμεθα δόξαν, οἵαν ἔπρεπε καὶ εἰκὸς ἦν ἔχειν μονογενῆ καὶ γνήσιον ὄντα Υἱὸν τοῦ παμβασιλέως Θεοῦ. Τίς δὲ ἦν αὕτη ἡ δόξα; ὅτι μετ' ἐξουσίας βασιλεῖ καὶ δεσπότῃ πρεπούσης πάντα ἐποίει, καὶ οὐχ ὡς Ἄγγελοι καὶ προφῆται προσταττόμενοι, αὐτοχάρις καὶ ἀλήθεια ὑπάρχων πεπληρωμένη, καὶ ἄλλοις ταύτην χορηγῶν.

15 Τίνος ἕνεκεν πολλάκις ὁ Εὐαγγελιστὴς τὴν Ἰωάννου περιφέρει μαρτυρίαν, ὥσπερ καὶ ἐνταῦθά φησιν, "Ἰωάννης μαρτυρεῖ περὶ "αὐτοῦ;" οὐχ ἁπλῶς, ἀλλὰ καὶ σφόδρα συνετῶς· ἐπειδὴ γὰρ πολλοὶ τὸ θαῦμα εἶχον τοῦ ἀνδρὸς τούτου πάντες οἱ Ἰουδαῖοι, ὥστε καὶ τὸν Ἰώσηπον διὰ τὴν τούτου τελευτὴν τὴν τῶν Ἰουδαίων πόλιν ἀφανισθῆναι πολέμῳ λογίζεσθαι, καὶ μακροὺς περὶ αὐτοῦ λόγους ἐγκωμίων ποιεῖσθαι· τούτου χάριν ἀπ᾽ αὐτοῦ τοὺς Ἰουδαίους ἐντρέψαι βουλόμενος, συνεχῶς αὐτοὺς ἀναμιμνήσκει τῆς τοῦ προδρόμου μαρτυρίας· οὐ τὸν δεσπότην ἀπὸ τοῦ δούλου ποιῆσαι ἀξιόπιστον σπεύδων, ἀλλὰ τῆς τῶν νηπιαζόντων Ἰουδαίων ἀσθενείας συγκαταβαίνων.

Τὸ δὲ, "κέκραγε," λέγει, τὴν παρρησίαν αὐτοῦ δηλοῖ, καὶ ὅτι χωρὶς ὑποστολῆς ἁπάσης τὴν παρουσίαν τοῦ Υἱοῦ τοῦ Θεοῦ ἐκήρυττε.

Διὰ δὲ τοῦ εἰπεῖν, ὅτι "οὗτός ἐστιν ὃν εἶπον," δείκνυσιν, ὅτι καὶ πρὶν φανῆναι τὸν Χριστὸν, ἀνεκήρυξεν αὐτόν· τοῦτο δὲ ἐποίει ἵνα εὐπαράδεκτον ἡμῖν γένηται.

Τὸ δὲ "ὁ ὀπίσω μου ἐρχόμενος" σημαίνει, ὁ μετ᾽ ἐμὲ κηρύττων, οὐχ ὁ μετ᾽ ἐμὲ γενόμενος. Τὸ "ἔμπροσθέν μου γέγονε," τουτέστι, λαμπρότερος, ἐντιμότερος. Τὸ δὲ "πρῶτός μου ἦν," ὅτι οὐκ ἔκ τινος προκοπῆς πρῶτον μὲν ὄντα, ὀπίσω πεποίηκεν εἶναι, ἀλλ᾽ ἀεὶ πρῶτος ἦν, εἰ καὶ ὕστερος παραγίνεται. "Ἐκ τοῦ πλη"ρώματος δὲ αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν," ὅτι οὐ μεθεκτὴν ἔχει τὴν δωρεὰν, ἀλλ᾽ αὐτοπηγὴ καὶ αὐτορίζα πάντων ἐστὶ τῶν ἀγαθῶν, αὐτοζωὴ καὶ αὐτοφῶς καὶ αὐτοαληθεία· οὐκ ἐν ἑαυτῷ συνέχων τὸν πλοῦτον, ἀλλὰ καὶ εἰς τοὺς ἄλλους ἅπαντας ὑπερκλύζων αὐτὸν, καὶ μετὰ τὸ ὑπερκλύσαι μένων πλήρης.

16 Ἀντὶ ποίας χάριτος ποίαν χάριν ἐλάβομεν; ἀντὶ τῆς πάλαι τὴν καινήν· καὶ γὰρ χάριτι καὶ Ἰουδαῖοι προσεδέχθησαν τότε, ὡς γέγραπται, ὅτι "οὐ διὰ τὸ πολυπληθεῖς ὑμᾶς, ἀλλὰ διὰ τοὺς "πατέρας ὑμῶν ἐξελεξάμην." καὶ ἡμεῖς πάλιν χάριτι ἐσώθημεν, ἀλλ᾽ οὐχ ὁμοίως, ἀλλὰ μειζόνως διὰ τὴν τοῦ Πνεύματος δωρεὰν, καὶ διὰ τὴν ἀπὸ τῆς καταλλαγῆς γενομένην παρρησίαν. Καὶ τὸ λαβεῖν δὲ τὸν νόμον, χάριτος ἦν, καθὼς ἐπάγει, ὅτι "ὁ νόμος διὰ "Μωϋσέως ἐδόθη." εἰ γὰρ καὶ τύπος ἦν ὁ νόμος ἐκεῖνος, ἀλλ᾽

οὖν ἐλεημοσύνην ἐμφαίνει Θεοῦ καὶ οἰκτιρμοὺς, ὅτι "ἐγνώρισε "τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσεῖ," καθώς φησιν ὁ Δαβίδ. Ὅτι δὲ "ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο," καὶ ὅτι τοῦτο μείζονα ἡμῖν ἐκόμισεν ἀγαθὰ, δῆλον· ἐκεῖνος μὲν γὰρ ὑπηρέτης ὢν ταπεινοτέρων γέγονε πραγμάτων διάκονος· οὗτος δὲ δεσπότης καὶ βασιλεὺς καὶ βασιλέως Υἱὸς, τὰ πολλῷ κρείττονα ἤγαγεν ἡμῖν, συνὼν ἀεὶ τῷ Πατρί.

18 "Θεὸν οὐδεὶς ἑώρακε πώποτε" εἰπὼν ὁ Εὐαγγελιστὴς, ἐδήλωσεν ἡμῖν, ὅτι πάντα ὅσα εἶπον οἱ προφῆται, οἷον Ἡσαΐας, ὅτι εἶδε τὸν Κύριον καθήμενον ἐπὶ θρόνου, καὶ Ἰεζεκιὴλ ἐπὶ τῶν Χερουβεὶμ, καὶ Δανιὴλ ἐπὶ θρόνου, καὶ ἕτεροί τινες ἐξ αὐτῶν περὶ τῆς θεωρίας αὐτοῦ, πάντα ἐκεῖνα συγκαταβάσεως ἦν, οὐκ αὐτῆς τῆς οὐσίας γυμνῆς ὁραθείσης. Εἰ γὰρ αὐτὴν ἑώρων τὴν φύσιν, οὐκ ἂν διαφόρως αὐτὴν ἐθεάσαντο· ἁπλῆ γάρ τίς ἐστι καὶ ἀσχημάτιστος καὶ ἀσύνθετος καὶ ἀπερίγραφος, καὶ οὐδὲ κάθηται οὐδὲ ἕστηκε. Ταῦτα γὰρ πάντα σωμάτων ἐστὶ, καὶ οὐδὲ τῶν Ἀγγέλων τις αὐτὸν ὁρᾷ, οὐδὲ τῶν ἀρχαγγέλων, μή τι γε ἀνθρώπων. Τὸ γὰρ εἰρημένον "ὅτι οἱ Ἄγγελοι αὐτῶν διὰ παντὸς βλέ"πουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς," τοῦτο δηλοῖ, ὅτι διὰ τὴν καθαρὰν αὐτῶν καὶ ἄγρυπνον φύσιν, οὐδὲν ἕτερον ἀλλ' ἢ ἀεὶ τὸν Θεὸν φαντάζονται, ὥσπερ καὶ οἱ καθαροὶ τῇ καρδίᾳ, τῇ κατὰ διάνοιαν ὄψει τῇ ἀνθρώποις δυνατῇ, καὶ τῇ ἐννοίᾳ τῇ περὶ Θεοῦ· οὔτε γὰρ πρόσωπον ἔχει Θεὸς, ἀλλ' οὔτε ἐν οὐρανοῖς περιγέγραπται. Τοῦτο δὲ αὐτὸ, "ὅτι Θεὸν οὐδεὶς ἑώρακε πώποτε," ἀξιόπιστον τὸν λόγον ποιῆσαι βουλόμενός, φησι, "ὁ μονογενὴς "Υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρὸς, ἐκεῖνος ἐξηγήσατο." Ἀκούων δὲ κόλπον, μηδὲν ὑποπιστεύσῃς ταπεινόν· ταύτην γὰρ τὴν ἀνθρωπίνην ῥῆσιν εἶπε, τὸ ἀχώριστον καὶ συναΐδιον αὐτοῦ τὸ πρὸς τὸν Πατέρα δεῖξαι βουλόμενος, καὶ ὅτι πάντα τὰ τοῦ Πατρὸς ἀνελλειπῶς ἐπίσταται, οὐκ Ἰουδαιοῖς δὲ μόνον, ἀλλὰ καὶ πάσῃ τῇ οἰκουμένῃ ἐξηγήσατο.

Τίνος ἕνεκεν τοὺς ἐξ Ἱεροσολύμων ἱερεῖς καὶ Λευΐτας πρὸς Ἰωάννην ἐξαπέστειλε; ὡς ἐντιμοτέρους τῶν λοιπῶν, ἐπειδὴ καὶ αὐτὸν τὸν Ἰωάννην ἔντιμον καὶ μέγαν εἶχον· ὅθεν αὐτὸν καὶ διδάσκαλον ἑλεῖν ἐβούλοντο· διὸ καὶ κολακευτικῶς αὐτὸν ἐρω-

τῶσιν, ὥστε αὐτὸν ἐκ τούτου ἐπισπάσασθαι εἰς τὸ ἑαυτὸν ὁμολογῆσαι εἶναι τὸν Χριστόν. Ὅτι γὰρ οὐκ ἠγνόουν, δῆλον ἦν ἐκ τῆς γενέσεως αὐτοῦ· καὶ γὰρ ἔλεγον τότε πολλοί, "τί ἄρα τὸ "παιδίον ἔσται τοῦτο;" διὰ τοῦτο οὖν καὶ αὐτὸς πρὸς οὐδεμίαν ἐρώτησιν αὐτῶν πρώτην τε καὶ δευτέραν εἶπεν εὐθέως, ὅπερ ἐξ εὐθείας ἦν εἰπεν· "ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ," ἀλλ' ὅπερ ὑπόπτευον ἐκεῖνοι, "ὅτι οὐκ εἰμὶ ὁ Χριστός."

Περὶ δὲ τοῦ Ἠλία ἐρωτῶσι, μή τι αὐτός ἐστιν, ἐπειδὴ προσεδόκων αὐτὸν ἥξειν, καὶ λέγει, οὐκ εἰμί. Διὰ τί οὐκ εἶπον, ὅτι προφήτης εἶ σύ, χωρὶς τοῦ ἄρθρου, ἀλλὰ μετὰ τῆς τὸ "ὁ" ἄρθρου προσθήκης, "ὁ προφήτης εἶ σύ;" καὶ τοῦτο πανούργως. Ἐπειδὴ γὰρ ἤκουσαν τοῦ Μωϋσέως εἰπόντος, "ὅτι προφήτην ὑμῖν ἀνα-"στήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ," οὗτος δὲ ἦν ὁ Χριστός· διὰ τοῦτο οὕτως αὐτὸν ἐρωτῶσιν, ἵνα κἂν τοῦτο πείσωσιν αὐτὸν συνθέσθαι. αὐτὸς δὲ γνοὺς τὴν πανουργίαν αὐτῶν εἶπεν, οὐκ εἰμί. Ἐπιμενόντων δὲ αὐτῶν τῇ ἐρωτήσει, τότε φησίν, "ὅτι ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ." ἐπὶ τὸν προφήτην κατέφυγεν ἀξιόπιστον τὸν λόγον ποιῶν· καὶ γὰρ ὁ Ἡσαΐας τοῦτό φησι. Τὸ δὲ εἰπεῖν αὐτῷ πάλιν· "τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ "εἶ ὁ Χριστός;" ἀναγκαζόντων ἦν ὁμολογῆσαι ἑαυτὸν εἶναι τὸν Χριστόν· μέσον δὲ ὁ βαπτιστὴς εἰρηκέναι αὐτῶν τὸν Χριστόν φησιν, ἐπειδὴ εἰκὸς ἦν αὐτὸν καὶ ἀναμεμίχθαι τῷ λαῷ, ὡς ἕνα τῶν πολλῶν ὄντα, πανταχοῦ τὸ ἄτυφον καὶ ἀκόμπαστον ἐπιδεικνύμενον.

Διὰ τοῦτο δὲ εἶπεν, "ὃν ὑμεῖς οὐκ οἴδατε," διὰ τὸ τὴν ἀληθῆ εἴδησιν περὶ αὐτοῦ μὴ γινώσκειν αὐτούς, οἷόν τίς ἐστι καὶ πόθεν.

27 Τὸ δὲ "ὁ ὀπίσω μου ἐρχόμενος" συνεχῶς τίθησι, δηλῶν ὅτι οὐχὶ τέλειόν ἐστι τὸ αὐτοῦ βάπτισμα, ἀλλὰ σκιὰ καὶ εἰκὼν καὶ προοδοποίησις, ὡς ἄλλου μετ' αὐτὸν τὴν ἀλήθειαν ἐπιθήσοντος. Τὸ δὲ "ἔμπροσθέν μου γέγονε," τουτέστι, τιμιώτερος, ὥστ' ἐμὲ μηδὲ ἐν τοῖς ἐσχάτοις τῶν τούτου διακόνων ἀριθμηθῆναι ἄξιον· τὸ γὰρ τὸ ὑπόδημα λῦσαι τῆς ἐσχάτης διακονίας ἐστί. Τίνος ἕνεκε φησίν, ὅτι "ταῦτα ἐν Βηθανίᾳ ἐγένετο," καὶ τὰ ἑξῆς; ἵνα τὴν παρρησίαν δείξῃ τοῦ μεγαλοφώνου κήρυκος, ὅτι οὐκ ἐν οἰκίᾳ, οὐδὲ ἐν γωνίᾳ, οὐδὲ ἐν ἐρημίᾳ, ἀλλὰ τὸν Ἰορδάνην καταλαβών, ἐν μέσῳ πλήθους τοσούτου τὰ περὶ Χριστοῦ πᾶσιν ἀνεκήρυττε. Χρὴ

δὲ γινώσκειν, ὅτι τὰ ἀκριβῆ τῶν ἀντιγράφων ἐν Βηθαβαρὰ περιέχει· ἡ γὰρ Βηθανία οὐχὶ πέραν τοῦ Ἰορδάνου, ἀλλ' ἐγγύς που τῶν Ἱεροσολύμων. Καὶ τοῦτο δὴ χρὴ μὴ ἀγνοεῖν, ὅτι τὰ μὲν περὶ τοῦ βαπτίσματος ὁ Ματθαῖος διηγεῖται, καὶ τοὺς πρινὶ δειχθῆναι τὸν Ἰωάννην χρόνους ἐπιτεμὼν, ἐπείγεται πρὸς τοὺς ἑξῆς. Ὁ δὲ Ἰωάννης τούτοις μάλιστα ἐνδιατρίβει, καὶ τὰ μετὰ τὴν κάθοδον τὴν ἀπὸ τοῦ ὄρους γενομένην διηγεῖται.

29 Ὁ δὲ βαπτιστὴς τὸ "ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ" λέγει, διὰ τὸ πολλοὺς πολλάκις ἐπιζητεῖν αὐτόν. ἀμνὸν δὲ καλεῖ αὐτὸν, τῆς τε προφητείας ἀναμιμνήσκων τοῦ Ἡσαΐου, καὶ τῆς σκιᾶς τῆς κατὰ τὸν Μωϋσέα, ἵνα ἀπὸ τοῦ τύπου μᾶλλον αὐτοὺς προσαγάγηται τῇ ἀληθείᾳ. αἴροντα δὲ τὴν ἁμαρτίαν τοῦ κόσμου, φησὶν, ὅτι ἐκεῖνος μὲν ὁ ἀμνὸς οὐδενὸς καθ' ἅπαξ ἁμαρτίαν ἔλαβεν, οὗτος δὲ ἁπάσας τῆς οἰκουμένης ἁπάσης· κινδυνεύουσαν γὰρ αὐτὴν ἀπολέσθαι ταχέως διέσωσεν.

30 Τὸ δὲ "ἔμπροσθέν μου γέγονεν," ἐνταῦθά φησι διὰ τὸ βαπτίσαι ἐν Πνεύματι Ἁγίῳ, διὰ τὸ τὰς ἁμαρτίας λαβεῖν τοῦ κόσμου. ἡ μὲν γὰρ ἐμὴ παρουσία, φησὶ, πλέον οὐδὲν ἔχει ἢ τοῦ κηρύξαι τὸν κοινὸν τῆς οἰκουμένης εὐεργέτην· ἡ δὲ τοῦ Κυρίου τοῦ καθᾶραι πάντας ἀνθρώπους, καὶ χαρίσασθαι τοῦ παρακλήτου τὴν ἐνέργειαν.

Ἀμμωνίου Πρεσβυτέρου. Ἀνὴρ δὲ καλεῖται ὡς ἐκ γυναικὸς τεχθεὶς τὸ κατὰ σάρκα, ἢ ὅτι τέλειος ἦν ἐν ἡλικίᾳ, τριακονταέτης που ὑπάρχων· ἢ ὅτι τέλειος ἦν ἐν πάσῃ ἀρετῇ πρακτικῇ τε καὶ θεωρητικῇ· ἢ ὅτι πάσης τῆς λογικῆς φύσεως, ὅ ἐστι τῆς Ἐκκλησίας, νυμφίος ἐστίν. ὡς τῆς Ἐκκλησίας γυναικὸς ἐχούσης πρόσωπον, ὁ Χριστὸς ἀνὴρ καλεῖται, ὡς νυμφευόμενος τὰς τῶν πιστῶν ψυχάς.

Διὰ τί τὸ "κἀγὼ οὐκ ᾔδειν αὐτὸν," λέγει; ἀνύποπτον τὴν μαρτυρίαν ἐργάσασθαι βουλόμενος, ὡς οὐκ ἀπ' ἀνθρωπίνης φιλίας ἦν αὕτη, ἀλλ' ἐξ ἀποκαλύψεως· δείκνυσι δὲ καὶ ἣν εἶχεν αἰτίαν τὸ ἴδιον αὐτοῦ βάπτισμα. "Ἀλλ' ἵνα φανερωθῇ τῷ "Ἰσραὴλ," τοῦτ' ἔστι διὰ τὸ προοδοποιῆσαι τῇ τοῦ Χριστοῦ πίστει τοῖς λοιποῖς ἅπασι· "διὰ τοῦτο ἦλθον κἀγὼ βαπτίζων ἐν "ὕδατι." Βουλόμενος δὲ ἀξιοπιστοτέραν τὴν ἑαυτοῦ μαρτυρίαν ποιῆσαι, ἀνάγει αὐτὴν ἐπὶ τὸν πατέρα, καὶ ἐπὶ τὸ Πνεῦμα τὸ

Ἅγιον, οὕτως εἰπὼν, "ὅτι τεθέαμαι τὸ πνεῦμα καταβαῖνον ὡσεὶ "περιστερὰν," καὶ τὰ ἑξῆς.

Συνεχῶς δὲ λέγει τὸ "κἀγὼ οὐκ ᾔδειν αὐτὸν," διότι συγγενὴς αὐτοῦ ἦν κατὰ σάρκα. "Ἰδοὺ," φησὶν, ὁ Ἄγγελος, φησὶ, πρὸς τὴν Μαρίαν, "Ἐλισάβετ ἡ συγγενής σου·" ἵνα οὖν μὴ δόξῃ χαρίζεσθαι διὰ τὴν συγγένειαν, τοῦτό φησιν· ὅθεν καὶ τὸν ἅπαντα χρόνον κατ' οἰκονομίαν Θεοῦ ἐν τῇ ἐρήμῳ διέτριβε.

Κατῆλθε δὲ τὸ Πνεῦμα τὸ Ἅγιον ἐπὶ τὸν Κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστὸν, οὐχ ὅτι χρείαν αὐτοῦ εἶχε, καθὼς καὶ ἡμεῖς, ἀλλ' ὑπὲρ τοῦ κηρύξαι αὐτὸν μόνον, ὡς καὶ περὶ τούτου φησὶν ὁ βαπτιστὴς, ὅτι "ὁ πέμψας με βαπτίζει ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν, "ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτὸν, οὗτός "ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι Ἁγίῳ."

Χρὴ δὲ γινώσκειν ὅτι οὐχὶ μόνος ὁ Ἰωάννης εἶδε τὸ Πνεῦμα τὸ Ἅγιον ἐν εἴδει περιστερᾶς, ἀλλὰ καὶ πάντες οἱ τότε παρόντες ἐκεῖσε, εἰ καὶ μὴ πάντες ἐπίστευσαν· τὰ γὰρ τοιαῦτα οὐ μόνον τῶν σωματικῶν ὀφθαλμῶν δεῖται, ἀλλὰ πρὸ τούτων τῆς κατὰ διάνοιαν ὄψεως, ὥστε μὴ φαντασίαν περιττὴν τὸ πρᾶγμα νομίσαι.

Ἰωάννου τοῦ Χρυσοστόμου. Εἰ γνώριμος ἦν, οὐκ ἂν εἶπεν, "ἵνα φανῇ τῷ Ἰσραὴλ, διὰ τοῦτο ἦλθον βαπτίζων." ἐντεῦθεν δηλονότι, ἅ φασι παιδικὰ τοῦ Σωτῆρος, ψεῦδος καὶ πλάσματα ἐστίν. Εἰ γὰρ ἐκ πρώτης ἀρξάμενος ἡλικίας ἐθαυματούργει, οὐκ ἂν αὐτὸν Ἰωάννης ἠγνόησεν, οὔτ' ἂν τὸ λοιπὸν πλῆθος ἐδεήθη διδασκάλου τοῦ φανερώσαντος αὐτόν.

35 Τίνος ἕνεκεν ἐμβλέψας τῷ Ἰησοῦ περιπατοῦντι εἶπεν ὁ Ἰωάννης, "ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ;" ἵνα δίττως καὶ διὰ τῶν ὀφθαλμῶν καὶ διὰ τῆς φωνῆς, τοὺς μὴ ἕως τότε προσεσχηκότας διὰ τὸ πολὺ τοῦ ὕπνου τῆς πωρώσεως, ἀφυπνίσῃ λοιπὸν πρὸς τὴν τοῦ Σωτῆρος ἐπίγνωσιν. Ἠκολούθησαν δὲ τῷ Ἰησοῦ οἱ δύο μαθηταὶ τοῦ Ἰωάννου, οὐ τοῦ διδασκάλου καταφρονήσαντες, ἀλλὰ τῇ μαρτυρίᾳ αὐτοῦ μᾶλλον πεισθέντες. Οὐκ εὐθέως δὲ προσελθόντες ἠρώτησαν τὸν Ἰησοῦν, ἀλλ' ἠκολούθησαν ὅτι περ οὐ δημοσίᾳ παρόντων ἁπάντων ἁπλῶς καὶ ὡς ἔτυχεν ὑπὲρ ἀναγκαίων καὶ μεγίστων πραγμάτων, ἀλλ' ἰδίᾳ διαλεχθῆναι ἐσπούδαζον.

Ἐρωτᾷ δὲ αὐτοὺς, τί θέλετε; οὐχ ἵνα μάθῃ, πῶς γὰρ ὁ εἰδὼς

τὰς καρδίας τῶν ἀνθρώπων; ἀλλ' ἵνα διὰ τῆς ἐρωτήσεως μᾶλλον αὐτοὺς οἰκειώσηται καὶ πλείονος μεταδῷ τῆς παρρησίας· εἰκὸς γὰρ ἦν αὐτοὺς ἐρυθριᾷν καὶ δεδοικέναι ἀγνῶτάς τε ὄντας αὐτῷ, καὶ τοιαῦτα παρὰ τοῦ διδασκάλου περὶ αὐτοῦ μαρτυροῦντος ἀκηκοότας. αὐτοὶ δὲ οὐ διὰ τῆς ἀκολουθήσεως μόνον τὸν πόθον ἐνέφηναν, ἀλλὰ καὶ διὰ τοῦ διδασκάλου αὐτὸν ὀνομάσαι, τοῦτο γὰρ ἑρμηνεύεται "ῥαββί·" καίπερ οὐδὲν οὐδέ πως μαθόντες περὶ αὐτοῦ, οὐδὲ ἀκούσαντες.

40 Τὸ δὲ "ποῦ μένεις;" εἶπον ἐκ πολλῆς συνέσεως, μετὰ γὰρ ἡσυχίας εἰπεῖν τι πρὸς αὐτὸν, καὶ ἀκοῦσαι παρ' αὐτοῦ πάντα ἤθελον. Οὐ λέγει δὲ τὸν τόπον, οὐδὲ τὰ σημεῖα τῆς οἰκίας, ἀλλ', ἔρχεσθε καὶ ὄψεσθε, ὅπως πλέον αὐτοὺς ἐπισπάσηται πρὸς τὴν ἀκολούθησιν. Διὰ τί ὁ Εὐαγγελιστὴς ἐσήμανε τὸν καιρὸν, εἰπὼν τὸ "ὥρα ἦν ὡς δεκάτη;" ὅπως τὴν σπουδὴν, ἣν εἶχον περὶ τὴν ἀκρόασιν, ἐπιδείξηται, ὅτι οὐδὲ ὑπὸ τῆς ὥρας περιετράπησαν· καὶ γὰρ ἔτυχε πρὸς δυσμὸν ὁ ἥλιος ὤν· ἔτι δὲ καὶ αὐτοῦ τοῦ δεσπότου φιλανθρωπίαν, ὅτι οὐδὲ αὐτὸς εἶπεν, ἄκαιρόν ἐστι νῦν, ἀκούσεσθε αὔριον εἴ τι βούλεσθε, ἀλλ' ὡς πρὸς φίλους καὶ πολὺν αὐτῷ συγγεγονότας χρόνον, οὕτω διαλέγεται. εἰ δὲ καὶ ἀλλαχοῦ ὥραν μέν φησιν, "ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν "κλῖναι" τοῦ μηδὲν ἴδιον καταγώγιον κεκτῆσθαι δηλωτικόν ἐστιν, οὐ τοῦ μὴ μένειν ἐν οἰκίᾳ· καὶ γὰρ καὶ ἡ παραβολὴ τῶν ἀλωπέκων καὶ τῶν πετηνῶν τοῦτο βούλεται.

Σεήρου ἀπολ. Ἐξ ὧν, φησὶν, ἐθεασάμην μεῖναν τὸ Πνεῦμα θεϊκῶς ἐν Υἱῷ, κατέλαβον μιᾶς εἶναι τὸν Πατέρα καὶ τὸν Υἱὸν οὐσίας τε καὶ θεότητος, καὶ μεμαρτύρηται ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ ὁ βαπτίζων ἐν Πνεύματι Ἁγίῳ· οὐκ ἂν τοῦτο φιλοτιμεῖσθαι δυνάμενος, εἰ μὴ ἴδιον καὶ τῆς αὐτῆς οὐσίας ἦν αὐτὸ τὸ Πνεῦμα τὸ Ἅγιον· ὃ γὰρ ἐκ δωρεᾶς τις λαμβάνει, τοῦτο ἑτέροις ὡς ἐξ οἰκείου προσώπου δωρήσασθαι οὐ δύναται· αὐτὸς δὲ τοῖς μαθηταῖς ἐνεφύσε λέγων, "λάβετε Πνεῦμα Ἅγιον." διὸ καὶ ὁ Παῦλος Ῥωμαίοις ἐπιστέλλων φησὶν, "εἰ δέ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ."

Ἀμμωνίου. Τρίτη αὕτη εὑρίσκεται ἡμέρα, ἀφ' οὗ ἐποιήσαντο

οἱ Φαρισαῖοι τὴν πρὸς Ἰωάννην συντυχίαν, ἐν ᾗ ἐπυνθάνοντο αὐτοῦ τίς ἐστιν.

Τοῦ Χρυσοστόμου. Ὅταν ἀκούσῃς τοῦ βαπτιστοῦ τὰ αὐτὰ φθεγγομένου, μὴ φλυαρίαν καταγνῷς, μηδὲ περιττόν τινα εἶναι νομίσῃς καὶ φορτικόν. Ἐβούλετο μὲν γὰρ καθάπαξ εἰπὼν ἀκουσθῆναι· ἐπεὶ δὲ οἱ πολλοὶ τοῖς λεγομένοις οὐ προσεῖχον ἐξ ἀρχῆς διὰ τὸν πολὺν ὕπνον, καὶ δευτέρα πάλιν αὐτοὺς ἀφυπνίζει φωνή.

38 Στραφεὶς δὲ ὁ Ἰησοῦς καὶ θεασάμενος αὐτοὺς ἀκολουθοῦντας.

Ἀμμωνίου. Ἐπειδὴ οἱ ἀκολουθοῦντες Χριστῷ οὐ δύνανται αὐτὸν φθάσαι, συγκαταβατικῶς στρέφεται πρὸς αὐτοὺς, δεικνὺς αὐτοῖς τὸ ἑαυτοῦ πρόσωπον, ἵνα γνῶσιν, ὅτι αὐτός ἐστιν ὁ πληρῶν τὸν νόμον, καὶ διδάσκων τὰ ἐν αὐτῷ.

Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ.

Τοῦ αὐτοῦ. Διὰ τὸ ῥάθυμον τῶν ἀκροατῶν, τοῖς αὐτοῖς κέχρηται λόγοις· ἀρετὴ διδασκάλου τοῖς αὐτοῖς κέχρησθαι πρὸς τὸ ἐμπαγῆναι τοὺς λόγους ἐν ταῖς τῶν ἀκροατῶν ψυχαῖς.

41 Ἦν Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου.

Τὸ δὲ τοῦ ἑτέρου οὐκ ἐγνώρισεν ὄνομα, ἀλλὰ τὸ τοῦ Ἀνδρέα μόνον, διότι, ὥς τινές φασιν, αὐτὸν ὑπάρχειν τὸν τοιαῦτα γράψαντα τὸν ἠκολουθηκότα. τινὲς δὲ πάλιν οὐ διὰ τοῦτο, ἀλλ᾽ ὅτι ἐκεῖνος οὐ τῶν ἐπισήμων ἦν, καὶ οὐκ ἦν τι κέρδος ἀπὸ τοῦ μαθεῖν αὐτοῦ τὸ ὄνομα· τοῦ δὲ Ἀνδρέα μέμνηται καὶ διὰ τὸ εἶναι αὐτὸν ἐπίσημον, καὶ διὰ τὸ τὴν ἀρχὴν τῆς πίστεως προκαταβαλέσθαι Σίμωνι τῷ ἑαυτοῦ ἀδελφῷ· ὅθεν καὶ διὰ τοῦτο εὐθέως ἀκούσας "ὅτι ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων," οὐκ ἠπόρησε πρὸς τὴν παράδοξον ὑπόσχεσιν, ἀλλὰ πεισθεὶς ἠκολούθησεν ὁ Σίμων. δῆλον δὲ ὅτι τοῦτο εἰς τὸν Σίμωνα ὁ Ἀνδρέας εἰργάσατο, ἐκ τοῦ μὴ κατασχεῖν παρ᾽ ἑαυτῷ τὸν τῆς διδασκαλίας τοῦ Σωτῆρος θησαυρὸν, ἀλλὰ ταχέως δραμεῖν καὶ τοῦτον μεταδοῦναι τῷ ἀδελφῷ.

42 Τί δηλοῖ τὸ εἰπεῖν αὐτὸν, "εὑρήκαμεν τὸν Μεσσίαν, ὅς ἑρμηνεύεται Χριστός;" τὴν ὠδίνουσαν τὴν ψυχὴν αὐτοῦ περὶ τοῦ Χριστοῦ παρουσίαν, καὶ ὅτι περὶ τὴν ἄφιξιν αὐτοῦ προσεδόκα διὰ

παντὸς, ὅθεν καὶ περιχαρὴς γέγονε διὰ τὸ συμβῆναι τὸ προσδοκώμενον· διὸ καὶ ἐπείγεται καὶ ἑτέροις μεταδοῦναι τῶν εὐαγγελίων. Οὐχ ἁπλῶς δὲ Μεσσίαν λέγει, ἀλλὰ μετὰ τῆς τοῦ ἄρθρου προσθήκης "τὸν Μεσσίαν," ὡς ἕνα Χριστὸν προσδοκῶντες, οὐδὲν κοινὸν πρὸς τοὺς ἄλλους χριστοὺς ἔχοντα. Ἤγαγε δὲ αὐτὸν πρὸς τὸν Ἰησοῦν εὐθέως ὡς εὐπειθῆ καὶ εὐήνιον, καὶ διὰ τὸ θερμὸν αὐτοῦ καὶ εὐζήλωτον, ὅπερ ἐξ ἀρχῆς οὗτος αὐτὸς ὁ Πέτρος ἐκέκτητο· οὐκ ἐξ εὐκολίας δὲ οὐδὲ ἁπλῶς καὶ ὡς ἔτυχεν ἐπέδραμεν, μὴ τοῦτό τις ὑποπνεύσῃ περὶ αὐτοῦ, ἀλλὰ πολλὰ ζητήσας καὶ τὸν ἀδελφὸν ἀνακρίνας, οὕτω τὸν λόγον παρεδέξατο· ἀλλ' οἱ Εὐαγγελισταὶ τοῦτο ἐπιτέμνουσι, βραχυλογίας ἐπιμελούμενοι.

43 Ἐπειδὴ δὲ τῶν σημείων οὐχ ἧττον αἱ προφητεῖαι προσάγονται, ἄρχεται λοιπὸν ἐντεῦθεν ἀποκαλύπτειν τὰ τῆς θεότητος, καὶ κατὰ μικρὸν αὐτὴν παρανοίγειν ἀπὸ τῶν προρρήσεων. Ἐμβλέψας γὰρ αὐτῷ φησι· "σὺ εἶ Σίμων ὁ υἱὸς Ἰωνᾶ," ἀπὸ τοῦ παρόντος καὶ τὸ μέλλον πιστοῦται· ὁ γὰρ τὸ ὄνομα εἰπὼν, δηλονότι καὶ τὸ μέλλον προῄδει, καὶ μετ' ἐγκωμίου ἡ πρόρρησις· τοῦτο δὲ οὐ κολακεύοντος ἦν, ἀλλὰ τὸ μέλλον προλέγοντος, "σὺ κληθήσῃ "Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος." οὐκ εἶπε δὲ, ὅτι ἐγώ σε μετονομάσας, ὅπερ μείζονος ἦν ἐξουσίας, διὰ τὸ μὴ βούλεσθαι ἐξ ἀρχῆς τὰ τῆς αὐθεντείας ἐπιδείκνυσθαι ἅπαντα, ἀλλὰ τέως ταπεινότερον φθέγγεται.

Τίνος δὲ ἕνεκεν τοῦτον μὲν Πέτρον ὠνόμασε, τοὺς δὲ περὶ Ἰάκωβον υἱοὺς βροντῆς; ἵνα δείξῃ ὅτι καὶ τὴν παλαιὰν αὐτός ἐστιν ὁ δεδωκὼς, ὁ[a] τὰ ὀνόματα ὥσπερ καὶ τότε καὶ νῦν μεταρυθμίζων· τὸν γὰρ Ἀβρὰμ Ἀβραὰμ ἐκάλεσε, καὶ τὴν Σάραν Σάρραν. Ὁ μὲν Ἀνδρέας ἀκούσας παρὰ τοῦ προδρόμου ἠκολούθησε τῷ Χριστῷ, καὶ ὁ Πέτρος παρὰ τοῦ Ἀνδρέα· ὁ δὲ Φίλιππος ὅθεν; παρ' οὐδενὸς μαθὼν οὐδὲν, ἀλλὰ τοῦτο μὲν εἰπόντος τοῦ Χριστοῦ πρὸς αὐτὸν, "ἀκολούθει μοι," ἐπείσθη τε εὐθέως, καὶ οὐκ ἀνε-
46 χώρησεν, ἀλλὰ κήρυξ ἑτέροις γίγνεται. Δραμὼν γὰρ ἐπὶ τὸν Ναθαναὴλ, "ὃν ἔγραψε," φησὶ "Μωϋσῆς καὶ οἱ προφῆται, εὑρή-"καμεν." Πρῶτον μὲν διὰ τὸ τὴν φωνὴν τοῦ Κυρίου ἐργάσασθαί τι ἐν αὐτῷ· ἔπειτα δὲ καὶ διὰ τὸ μεμεριμνημένην διάνοιαν ἔχειν,

[a] ὃς Cod.

καὶ συνεχῶς μελετᾷν τὰ Μωυσέως, καὶ προσδοκᾷν τὴν παρουσίαν αὐτοῦ. καὶ γὰρ τὸ "εὑρήκαμεν" ζητούντων ἐστὶν ἀεί.

Λέγει δὲ καὶ τὴν κώμην τοῦ Φιλίππου ὁ Εὐαγγελιστὴς, ἵνα μάθωμεν κἀντεῦθεν τὴν τοῦ Χριστοῦ δύναμιν· ὅτι ἀπὸ τῆς οὐδένα φερούσης καρπὸν τοὺς τῶν μαθητῶν ἐγκρίτους ἐξελέξατο. Ἐπὶ δὲ τὸν Μωϋσέα καὶ τοὺς προφήτας τὸν Ναθαναὴλ ὁ Φίλιππος παρέπεμψεν, ἵνα ἀξιόπιστον ποιήσῃ τὸ κήρυγμα· καὶ γὰρ ἦν ἀκριβὴς καὶ πάντα διεσκεμμένος ὁ Ναθαναὴλ μετὰ ἀληθείαν, ὡς καὶ ὁ Χριστὸς ἐμαρτύρησεν αὐτῷ, καὶ τὸ ἔργον ἔδειξεν. Υἱὸν" δὲ "τοῦ Ἰωσὴφ" εἶπεν, ἐπειδὴ τούτου τέως εἶναι παῖς ἐνομίζετο. Λέγει δὲ "ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι;" διὰ τὸ ἀκοῦσαι αὐτὸν ἐκ τῶν γραφῶν ὅτι ἐκ Βηθλεὲμ δεῖ ἐλθεῖν τὸν Χριστόν. Τὸ δὲ "ἔρχου καὶ ἴδε" φησὶν ὁ Φίλιππος, εἰδὼς οὐκ ἀποστησόμενον λοιπὸν, ἂν τῶν ῥημάτων γεύσηται καὶ τῆς διδασκαλίας Χριστοῦ. Ἐπαινεῖται δὲ παρὰ τοῦ Χριστοῦ, καὶ θαυμάζεται ὡς ἀληθῶς Ἰσραηλίτης δόλον οὐκ ἔχων, ἐπειδὴ οὐδὲν πρὸς χάριν οὐδὲ πρὸς ἀπέχθειαν ἐφθέγξατο· οὐ γὰρ ἀπιστοῦντος ἦν τὰ ῥήματα, ἀλλὰ ἀδεκάστου κρίσεως, ὅθεν καὶ ἣν ἐξ ἀρχῆς περὶ αὐτοῦ γνώμην εἶχεν, ὅτι οὐκ ἐστιν ἐκ Ναζαρὲτ, ταύτην ἔμεινε διατηρῶν. Πῶς αὐτὸν Ναζωραῖον οἱ προφῆται καλοῦσιν; ἀπὸ τῆς ἀνατροφῆς καὶ τῆς ἐκεῖ διαγωγῆς. Τὸ δὲ εἰπεῖν, "πόθεν με γινώσκεις," δείκνυσιν αὐτὸν ἄνθρωπον εὐσταθῆ καὶ βεβηκότα, ὅτι περ οὐκ ἐχαυνώθη τοῖς ἐπαίνοις, οὐδὲ τοῖς ἐγκωμίοις ἐπέδραμεν, ἀλλ' ἐπιμένει ζητῶν καὶ ἀκριβέστερον διερευνώμενος, βουλόμενός τι μαθεῖν σαφέστερον.

49 Τί σημαίνει τὸ "πρὸ τοῦ σε Φίλιππον φωνῆσαι, ὄντα ὑπὸ τὴν "συκῆν εἶδόν σε;" τὸ κατ' αὐτὴν τὴν ὥραν, ὅτε ἐν τῇ συκῇ, οὐδενὸς παρόντος, μόνος ὁ Φίλιππος τῷ Ναθαναὴλ κατ' ἰδίαν περὶ τοῦ Χριστοῦ διελέγετο. Πρὸ τοῦ πλησιάσαι δὲ εἶπεν, "ἴδε ἀνὴρ "Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστι·" ὥστε μὴ ὕποπτον γενέσθαι τὴν μαρτυρίαν, ὡς τοῦ Φιλίππου προδιαλεχθέντος τῷ Χριστῷ περί τε τῆς συκῆς, περὶ ὧν τε ἐλάλησεν· ὅθεν ἐκεῖνος ἀπό τε τοῦ καιροῦ, ἀπό τε τοῦ τόπου, ἀπό τε τοῦ δένδρου, ἀπό τε τοῦ τὴν γνώμην αὐτοῦ ἐξετάσαι μετὰ ἀκριβείας, συνιδὼν τίς ἐστιν, ἀποκριθεὶς εἶπε· "ῥαββὶ, σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ, σὺ εἶ ὁ βασιλεὺς

"τοῦ Ἰσραήλ." Ταῦτα δὲ ἀπὸ πολλῆς χαρᾶς ἐφθέγξατο· τοῦτ' ἔστι, σὺ εἶ, φησὶν, ἐκεῖνος ὁ προσδοκώμενος, ὁ ζητούμενος, καὶ πρὸ τῆς διδασκαλίας.

Ἄξιον δὲ καὶ ζητῆσαι, τίνος ἕνεκεν Υἱὸν Θεοῦ εἰπὼν ὁ Ναθαναὴλ, καὶ πρὸ τῶν σημείων, οὐκ ἐμακαρίσθη, καθάπερ καὶ ὁ Πέτρος; ὅτι οὐ μετὰ τῆς αὐτῆς διανοίας ἑκάτερος τὰ αὐτὰ ἐφθέγξατο ῥήματα. Ὁ μὲν γὰρ Πέτρος ὡμολόγησεν Υἱὸν τοῦ Θεοῦ, ὡς Θεὸν ἀληθῆ, ὁ δὲ Ναθαναὴλ ὡς ἄνθρωπον ψιλόν· καὶ τοῦτο δῆλον ἐκ τοῦ εἰπεῖν αὐτὸν, "σὺ εἶ ὁ βασιλεὺς τοῦ Ἰσραήλ." ὁ δὲ τοῦ Θεοῦ Υἱὸς, οὐ τοῦ Ἰσραὴλ ἐστι μόνον βασιλεὺς, ἀλλὰ καὶ τῆς οἰκουμένης ἁπάσης. Διὰ δὲ τοῦ εἰπεῖν τὸν Χριστὸν, "ἀπάρτι ὄψεσθε τὸν οὐρανὸν ἀνεωγότα," καὶ τὰ ἑξῆς, ἀπὸ[b] αὐτὸν κατὰ μικρὸν ἀνάγει, καὶ ποιεῖ μηκέτι φαντάζεσθαι αὐτὸν ἄνθρωπον ἁπλῶς, ἀλλὰ καὶ τῶν Ἀγγέλων δεσπότην αὐτὸν ὁμολογῆσαι. ᾧ[c] γὰρ Ἄγγελοι διακονοῦσι, καὶ ἐφ' ὃν Ἄγγελοι ἀναβαίνουσι καὶ καταβαίνουσι, πῶς ἄνθρωπος οὗτος ἂν εἴη ψιλός;

Ταῦτα δὲ τὰ περὶ τῶν Ἀγγέλων, ἐκβήσεσθαι ἔμελλεν ἐπὶ τοῦ σταυροῦ καὶ τῆς ἀναλήψεως.

ΚΕΦ. Α.

Περὶ τοῦ ἐν Κανᾶ γάμου.

1 Καλοῦσιν εἰς τὸν γάμον τὸν Κύριον, οὐχ ὡς θαύματα ἰδόντες, οὐδὲ ὡς μέγαν[d] τινὰ, ἀλλ' ἁπλῶς ὡς γνώριμον· ὅθεν τοῦτο σημαίνων ὁ Εὐαγγελιστὴς φησί· "ἦν δὲ ἡ μήτηρ τοῦ Ἰησοῦ καὶ οἱ "ἀδελφοὶ αὐτοῦ ἐκεῖ·" ὥσπερ οὖν ἐκείνην καὶ τοὺς ἀδελφοὺς, οὕτω καὶ τὸν Ἰησοῦν ἐκάλεσαν· αὐτὸς δὲ παραγίγνεται, ἐπειδὴ οὐκ εἰς τὴν ἀξίαν ἑώρα τὴν ἑαυτοῦ, ἀλλὰ πρὸς τὴν εὐεργεσίαν τὴν ἡμετέραν. Ὁ γὰρ μὴ ἀπαξιώσας γενέσθαι δοῦλος, πολλῷ μᾶλλον οὐκ ἂν ἀπηξίωσε εἰς γάμον ἐλθεῖν. Πόθεν ἐπῆλθε δὲ τῇ μητρὶ αὐτοῦ μεγάλα λογίσασθαι περὶ αὐτοῦ "οἶνον οὐκ ἔχουσι;" πρῶτον μὲν ἡ σύλληψις, καὶ τὰ περὶ τὴν σύλληψιν γενόμενα ἅπαντα· οὐδὲ γὰρ παῖς ὢν ἐθαυματούργησεν, ἢ κἂν ἓν σημεῖον ἐποίησεν, ἐπειδὴ ἔμελλεν ἂν πανταχοῦ ἀπελθεῖν ἡ ἀκοὴ αὐτοῦ. ἔπειτα δὲ καὶ διὰ τὸ ἀκηκοέναι αὐτὴν, ὅτι ὁ Ἰωάννης δι' αὐτὸν

[b] Est lac. in Cod. [c] ὡς Cod. [d] μεγάλα Cod.

ἦλθε, καὶ ὅτι αὐτῶν ἐμαρτύρησε, καὶ ὅτι μαθητὴν ἔσχε, διὰ τοῦτο λοιπὸν θαρροῦσα παρακαλεῖ· ἐβούλετο γὰρ καὶ ἐκείνην καταθέσθαι χάριν, καὶ ἑαυτὴν λαμπροτέραν ποιῆσαι διὰ τοῦ παιδός. Τὸ δὲ "τί ἐμοὶ καὶ σοὶ γύναι;" ταύτης ἕνεκεν τῆς προφάσεως ἔλεγεν, ὥστε μὴ ὑποπτευθῆναι τὸ γινόμενον θαῦμα. καὶ γὰρ οὐ παρὰ τῆς μητρὸς παρακληθῆναι ἐχρῆν, ἀλλὰ παρὰ τῶν δεομένων· ἡ γὰρ παρὰ τῶν οἰκείων γινομένη παράκλησις σκάνδαλον τίκτει τοῖς ὁρῶσι, κἂν μεγάλα ᾖ τὰ γενόμενα, ὅτ' ἂν δὲ οἱ χρείαν ἔχοντες αὐτοὶ δέωνται, ἀνύποπτον τὸ πρᾶγμα γίνεται, καὶ καθαρὸς ὁ ἔπαινος.

5 Τὸ δὲ "οὔπω ἡ ὥρα μου ἥκει," οὐκ ἀνάγκῃ καιρῶν ὑποκείμενος, οὐδὲ ὥρας παρατηρούμενος, πῶς γὰρ ὁ τῶν καιρῶν ποιητὴς καὶ χρόνων καὶ αἰώνων δημιουργός; ἀλλ' ὅτι πάντα μετὰ τοῦ καιροῦ τοῦ προσήκοντος ἐργάζεται, οὐχ ὁ μὲν πάντα ποιῶν, ἐπεὶ σύγχυσίς τις ἔμελλεν εἶναι καὶ ἀταξία. Ἐπεὶ οὖν ἄδηλον ἦν τοῖς πολλοῖς, καὶ οὐδὲ τῶν μαθητῶν τὸν χορὸν πάντα εἶχεν, ἀλλ' οὐδὲ οἱ ἐν τῷ γάμῳ αὐτὸν ᾔδεσαν; ἢ γὰρ ἂν αὐτοὶ προσῆλθον καὶ περὶ τοῦ οἴνου παρεκάλουν ἐν χρείᾳ καταστάντες, διὰ τοῦτό φησιν, "οὔπω ἥκει ἡ ὥρα μου." Τίνος δὲ ἕνεκεν εἰπὼν, "οὔπω ἥκει ἡ "ὥρα μου," καὶ παραιτησάμενος, ἔπραξε; δεικνὺς μὲν τοῦ μὴ ὥρᾳ αὐτὸν ὑποκεῖσθαι, ἔπειτα δὲ καὶ τὴν μητέρα τιμῶν, ἵνα μὴ δόξῃ ἐπιπολὺ ἀντιλέγειν καὶ καταισχύνειν αὐτὴν, καὶ ἵνα μὴ ἀσθενείας λάβῃ ὑπόνοιαν. Τοῖς δὲ διακόνοις εἶπεν ἡ μήτηρ αὐτοῦ, "ὅ τι ἂν λέγῃ ὑμῖν, ποιήσατε," ὥστε πλείονα γενέσθαι τὴν αἴτησιν. Δεῖ γὰρ εἰδέναι ὅτι οὐκ ἀσθενείας ἦν ἡ παραίτησις, ἀλλὰ τοῦ μὴ δόξαι ἐπιρρίπτειν ἑαυτὸν τοῖς θαυματουργοῖς.

6 Οὐχ ἁπλῶς δὲ εἶπε "κατὰ τὸν καθαρισμὸν τῶν Ἰουδαίων," ἀλλ' ἵνα μή τινες τῶν ἀπίστων ὑποπτεύσωσιν ὅτι τρυγία τις ἐναπομείνασα, εἶτα τοῦ ὕδατος ἐπιβληθέντος καὶ κραθέντος, οἶνος λεπτότατος γέγονε, δείκνυσιν ὅτι οὐδέποτε ἐκεῖνα γέγονεν οἴνου δοχεῖα· ἐπειδὴ γὰρ ἄνυδρος ἦν ἡ Παλαιστίνη, καὶ οὐκ ἦν πολλαχοῦ κρήνην εὑρίσκειν, ἐπλήρουν ἀεὶ τὴν ὑδρίαν ὕδατος, ὥστε μὴ τρέχειν εἰς ποταμοὺς, εἴ ποτε ἀκάθαρτοι γένοιντο, ἀλλ' ἐγγύθεν ἔχειν τοῦ καθαρμοῦ τὸν τρόπον. οὐκ ἐποίησε δὲ τὸ τούτου παραδοξότερον πρινὶ γεμισθῆναι τὴν ὑδρίαν ὕδατος, ἐξ οὐκ ὄντος οἶνον δημιουρ-

γήσας, ὅπως εὐπαράδεκτον μᾶλλον τὸ θαῦμα γένηται. Διὰ τοῦτο τοίνυν ἐν ἅπασι τῶν θαυμάτων περικόπτει τὸ μέγεθος ἑκών. Οὐ παρήγαγε δὲ αὐτὸς τὸ ὕδωρ, ἀλλὰ τοῖς διακόνοις συνεχώρησε τοῦτο ποιῆσαι, ἵνα αὐτοὺς μάρτυρας ἔχῃ τοῦ γινομένου.

Ἀμμωνίου. Ὁ μετρητὴς ποιεῖ ξέστας ἑκατὸν πεντήκοντα. Διὰ δὲ τοῦ μὴ εἰπεῖν τινὰς, ὅτι μεθυόντων ἀνθρώπων ὁ σύλλογος ἦν, καὶ ἡ αἴσθησις αὐτῶν διεφθαρμένη καὶ οὐχ ἱκανὴ διακρῖναι πότερον ὕδωρ ἢ οἶνος εἶναι τὸ ποτὸν, διὰ τοῦτο κελεύει τῷ ἀρχιτρικλίνῳ δοθῆναι τῷ νήφοντι· καὶ γὰρ οἱ τοιαύτην διακονίαν, ὡς ἐπίστασθε, πεπιστευμένοι, μάλιστα εἰσὶν οἱ νήφοντες, ὥστε ἐν κόσμῳ καὶ τάξει πάντα διατίθεσθαι αὐτούς.

10 Τίνος ἕνεκεν τὸν νυμφίον ἐφώνησεν ὁ ἀρχιτρικλίνος, οὐ τοὺς διακόνους; οὕτω γὰρ ἂν καὶ τὸ θαῦμα ἐξεκαλύφθη. κατ' οἰκονομίαν τινὰ γέγονε τοῦτο. ἠρέμα γὰρ καὶ κατὰ μικρὸν ὁ Χριστὸς ἐβούλετο γνωσθῆναι τὸ σημεῖον. Εἰ γὰρ τότε ἐλέχθη, οὐκ ἂν οἱ διάκονοι διηγούμενοι ταῦτα ἐπιστεύθησαν, ἀλλ' ἔδοξαν ἂν μαίνεσθαι, ἀνθρώπῳ ψιλῷ εἶναι δοκοῦντι τοιαῦτα μαρτυροῦντες.

Αὐτοὶ μὲν γὰρ οἱ διάκονοι διὰ τῆς πείρας τὸ σαφὲς ἔγνωσαν, ἑτέρους δὲ πιστοῦσθαι, οὐκ ἦσαν ἱκανοὶ τότε· διὰ τοῦτο οὐδὲ αὐτὸς ἐξεκάλυψεν ἅπασι παραχρῆμα, οὔτε ἐκεῖνοι τότε εἶπον· μετὰ γὰρ τὴν τῶν σημείων ἐπίδειξιν, καὶ τοῦτο ἔμελλεν εἶναι πιστόν. ὅθεν καὶ ὁ βασιλικὸς διὰ τοῦτο αὐτὸν πρὸς τὴν τοῦ παιδὸς ὑγιείαν προσεκαλέσατο, διὰ τὸ μαθεῖν τοῦτο αὐτὸν πεποιηκέναι τὸ σημεῖον· ὅπερ καὶ παράδηλον ὁ Εὐαγγελιστὴς ἔλεγεν "ὅπου "ἐποίησε τὸ ὕδωρ οἶνον." οὐχ ἁπλῶς δὲ οἶνον ἐποίησε, ἀλλ' οἶνον κάλλιστον. τοιαῦτα γὰρ τοῦ Χριστοῦ τὰ θαύματα, πολλῶν τῶν διὰ τῆς φύσεως τελουμένων ὡραιότερα γίνεται καὶ βελτίω. Τοῦ μὲν οὖν τὸ ὕδωρ οἶνον ποιῆσαι τοὺς διακόνους μάρτυρας εἶχε, τὸ δὲ καλὸν γενέσθαι, τὸν ἀρχιτρικλίνον καὶ τὸν νυμφίον· ἅπερ σαφέστερα γέγονε τοῦ χρόνου προϊόντος, καθάπερ καὶ ἕτερα πλεῖστα τῶν σημείων ὡς πρότερον ἀμυδροτέρως δειχθέντα. ὅτι δὲ εἶπεν ὁ Εὐαγγελιστὴν, "ταύτην ἐποίησε τὴν ἀρχὴν τῶν σημείων ὁ Ἰησοῦς "ἐν Κανᾷ τῆς Γαλιλαίας," εἶπον καὶ πρώην, ὅτι τινὲς καὶ ἀρχὴν ταύτην εἶναί φασιν, εἰ καὶ πρόσκειται τὸ ἐν Κανᾷ. Ἐγὼ δὲ ὑπὲρ τούτου μὲν οὐδὲν ἀκριβολογησαίμην, ἀλλ' ὅτι μὲν μετὰ τὸ

βάπτισμα τῶν σημείων ἤρξατο, καὶ ἔμπροσθεν ἐδηλώσαμεν· εἴτε δὲ τοῦτο, εἴτε ἕτερον σημεῖον ἐγένετο πρότερον, οὐ σφόδρα διϊσχυρίζεσθαι ἀναγκαῖον εἶναι μοὶ δοκεῖ.

Πῶς δὲ "ἐφανέρωσε τὴν δόξαν αὐτοῦ;" οὐδὲ γὰρ πολλοὶ προσεῖχον τότε τῷ γεγεννημένῳ[a], εἰ μὴ οἱ διάκονοι καὶ ὁ ἀρχιτρίκλινος καὶ ὁ νυμφίος. ἀλλ' εἰ καὶ μὴ τότε, ἀλλ' ὕστερον ἔμελλον τὸ θαῦμα ἀκούσεσθαι ἅπαντες, ὅθεν καὶ μέχρι τοῦ νῦν ᾄδεται καὶ οὐ διέλαθεν.

Πῶς δὲ "καὶ οἱ μαθηταὶ αὐτοῦ ἐπίστευσαν εἰς αὐτὸν" οἱ καὶ πρὸ τούτου θαυμάζοντες αὐτόν; ὅτι περ τότε προσθήκην ἐδέξαντό τινα τῆς εἰς αὐτὸν πίστεως. Διὰ τί κατέβη εἰς Καπερναοὺμ ὁ Χριστὸς μετὰ τῆς μητρὸς αὐτοῦ καὶ τῶν ἀδελφῶν; διὰ τὴν εἰς μητέρα τιμὴν, ὅπως ἀποκαταστήσῃ αὐτὴν καὶ τοὺς ἀδελφοὺς, ἵνα μὴ πανταχοῦ αὐτούς τε καὶ αὐτὴν ἐπισύρηται, καὶ οὕτως πάλιν ἐπιλάβηται τῶν θαυμάτων. καὶ γὰρ διὰ τοῦτό φησιν, ὅτι οὐ μετὰ πολλὰς ἡμέρας ἀνέβη εἰς Ἱεροσόλυμα.

12 Πόθεν δὲ τοῦτο δῆλον, ὅτι διὰ τοῦτο κατέβη εἰς Καπερναούμ; ἐκ τοῦ μηδὲ ἓν θαῦμα ἐργάσασθαι ἐν αὐτῇ, οὐ γὰρ ὑγιῶς πρὸς αὐτὸν εἶχον οἱ τὴν πόλιν ἐκείνην οἰκοῦντες, διὰ τὸ σφόδρα ὑπάρχειν αὐτοὺς διεφθαρμένους· καὶ τοῦτο ἐδήλωσεν ὁ Χριστὸς εἰπὼν, "καὶ σὺ Καπερναοὺμ ἡ ἕως τῶν οὐρανῶν ὑψωθεῖσα," κ. τ. ἑ.

ΚΕΦ. Β.

Περὶ τῶν ἐκβληθέντων ἐκ τοῦ ἱεροῦ.

13 Διὰ δὲ τοῦ εἰπεῖν τὸν Εὐαγγελιστὴν τὸ "ἦν δὲ ἐγγὺς τὸ "Πάσχα τῶν Ἰουδαίων," δείκνυσιν ἡμῖν ὅτι οὐ πρὸ πολλῶν πάνυ ἡμερῶν τοῦ Πάσχα ἐβαπτίσατο. Ἀνελθὼν δὲ εἰς τὰ Ἱεροσόλυμα ποιεῖ πρᾶγμα πολλῆς αὐθεντείας γέμον· φησὶ γὰρ ὁ Εὐαγγελιστὴς, ὅτι "εὗρεν ἐν τῷ ἱερῷ τοὺς πωλοῦντας βοῦς καὶ πρόβατα" καὶ τὰ ἑξῆς. καὶ οὗτος μὲν ὁ Εὐαγγελιστής φησιν, ὅτι ἐκβάλλων τοὺς καπήλους καὶ ἐκείνους καὶ τοὺς ἐκεῖ διατρίβοντας, ἔλεγε πρὸς αὐτοὺς, "μὴ ποιεῖτε τὸν οἶκον τοῦ Πατρός μου οἶκον ἐμπορίου·" ἕτερος δὲ Εὐαγγελιστὴς "σπήλαιον λῃστῶν," ὅθεν ζητητέον εἰ κατὰ τὸν

[a] Sic.

αὐτὸν καιρὸν ἀμφότερα γέγονεν, ἀλλ' οὐκ ἔστιν. ἐκεῖ μὲν γὰρ πρὸς αὐτὸ τὸ πάθος ἐλθὼν τοῦτο ποιεῖ· διὸ καὶ σφοδρότερον τοῖς λόγοις χρώμενος "σπήλαιον λῃστῶν" ἐκάλεσεν· ἐνταῦθα δὲ ἐν προοιμίοις ὢν τῶν σημείων, ὑφειμένως τῇ ἐπιτιμήσει κέχρηται· ὅθεν εἰκὸς δεύτερον τοῦτο γεγενῆσθαι.

Ἐκεῖνο δὲ ἄξιον ζητῆσαι, τίνος ἕνεκεν αὐτὸς τοῦτο πεποίηκεν; ἐπειδὴ ἔμελλεν ἐν σαββάτῳ θεραπεύειν, καὶ πολλὰ ἕτερα ποιεῖν, ἃ ἐδόκει τῶν νόμων παράβασις εἶναι, ἵνα μὴ δόξῃ ὡς ἀντίθεός τις καὶ ἐξ ἐναντίας ἥκων τῷ Πατρὶ, ταῦτα ποιεῖν, ἐντεῦθεν τῆς τοιαύτης ὑπονοίας ποιεῖται τὴν διόρθωσιν· οὐ γὰρ ἂν ὁ τοσοῦτον ζῆλον ἐπιδειξάμενος ὑπὲρ τοῦ οἴκου, τὸν τοῦ οἴκου δεσπότην ἠθέτησε· καὶ οὐδὲ ἁπλῶς ἐξέβαλεν, ἀλλὰ παρακεκινδυνευμένως· καὶ γὰρ τὰς τραπέζας ἀνέτρεψε, καὶ τὸ ἀργύριον ἐξέχυσεν· οὐκ ἂν οὖν ὁ εἰς κινδύνους ῥίπτων ἑαυτὸν ὑπὲρ τῆς εὐκοσμίας τοῦ οἴκου, τοῦ δεσπότου τοῦ οἴκου κατεφρόνησε· καὶ οὐδὲ εἶπεν ἁπλῶς τὸν οἶκον τὸν ἅγιον, ἀλλὰ "τὸν οἶκον τοῦ Πατρός μου."

18 *Τὸ δὲ εἰπεῖν αὐτοὺς, "τί σημεῖον δεικνύεις ἡμῖν, ὅτι ταῦτα "ποιεῖς;" τὴν ἐσχάτην ἄνοιαν αὐτοῖς ἐμφαίνει. ποίου γὰρ σημείου χρεία ἦν, ὥστε τὰ κακῶς γενόμενα παῦσαι, καὶ τὸν οἶκον ἀπαλλάξαι τοσαύτης αἰσχύνης; Αὐτὸ γὰρ τὸ τοσοῦτον λαὸν ἐκβάλλειν ὑπὲρ τοῦ οἴκου τοῦ Θεοῦ, μέγιστον σημεῖον ἦν ἀρετῆς· καὶ εἰ μὲν εὐγνωμόνως διέκειντο, ὡς οἱ μαθηταὶ, εὐθέως ἂν ἐμνήθησαν τὸ "ὁ ζῆλος τοῦ οἴκου σου καταφάγεταί με·" ὡς δὲ τῆς ἀληθείας ἀμέτοχοι, σημεῖον ἐπεζήτουν· ὅθεν φησὶ πρὸς αὐτοὺς, "λύσατε τὸν ναὸν τοῦτον" καὶ τὰ ἑξῆς.*

Κυρίλλου. *Ἐρανίζονται κατὰ βραχὺ τὸ ἐν γνώσει τέλειον οἱ μαθηταὶ, καὶ ταῖς τῶν πραγμάτων ἐκβάσεσι τὰ γεγραμμένα συμβάλλοντες, πολλὴν ἤδη δεικνύουσι τὴν ἐπὶ τὸ μεῖζον ἐπίδοσιν.*

Ἀμμωνίου πρεσβυτέρου. *Ἀντὶ τοῦ, εἰ ὡς Υἱὸς ὢν τοῦ Θεοῦ τὰ σαρκικὰ ἐκβάλλεις, πεῖσον ἡμᾶς διὰ σημείου ὅτι ἐκ Θεοῦ ἐπέμφθης. Διὰ τοῦτο εἶπεν ὅτι "λύσατε τὸν ναὸν τοῦτον," ἵνα δείξῃ ὅτι προγινώσκει τὰ μετὰ ταῦτα ἐσόμενα. Εἰ γὰρ καὶ τότε μὲν ἠπόρουν τὸ τί ἂν εἴη τοῦτο, οἱ δὲ ἀμφέβαλλον, ἀλλ' ὕστερον ἐπέγνωσαν μετὰ τὴν ἀνάστασιν.*

Κυρίλλου. *Οὐ προτρέπει αὐτοὺς εἰς μιαιφονίαν, "λύσατε*

“τὸν ναὸν τοῦτον,” εἰπὼν, ἀλλ᾽ ἐπείπερ ᾔδει δράσοντας ἀνυπερθέτως αὐτὸ, τὸ συμβησόμενον ὑπαινίττεται.

20 Εἰπόντες δὲ ἐκεῖνοι ὅτι “ἐν τεσσαράκοντα καὶ ἓξ ἔτεσιν ᾠκοδομήθη ὁ ναὸς οὗτος” τὴν ὑστέραν οἰκοδομὴν ἐδήλωσαν· ἡ γὰρ πρώτη εἰς εἴκοσι ἐτῶν ἀπηρτίσθη χρόνον. Μετὰ δὲ τὸ ἐγερθῆναι αὐτὸν ἐκ νεκρῶν ἐμνήσθησαν οἱ μαθηταὶ αὐτοῦ, ὅτι περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ ἔλεγεν, ἐπειδὴ τότε δύο ἦν αὐτοῖς τὰ προϊστάμενα τέως, ἓν μὲν τὸ τῆς ἀναστάσεως, ἕτερον δὲ τὸ τούτου μεῖζον, εἰ Θεὸς ἦν ὁ ἐνοικῶν· ἅπερ ἀμφότερα ᾐνίξατο εἰπὼν, “λύσατε καὶ ἐγερῶ.”

Τίνας λέγει τούτους τοὺς πιστεύσαντας εἰς τὸ ὄνομα αὐτοῦ, ὅτε ἐν τοῖς Ἱεροσολύμοις ἐν τῷ Πάσχα ἦν; τοὺς πρὸς ὀλίγον ἀντεχομένους τότε τῇ ἀληθείᾳ, καὶ πάλιν αὐτῆς ἐκπίπτοντας. καὶ γὰρ τῶν ἀνθρώπων τῶν τότε οἱ μὲν τοιοῦτοι ὑπῆρχον, οἱ δὲ τῇ πλάνῃ προσεῖχον· ὅτι γὰρ οὕτω γνησίως πιστευσάντων ἦσαν ἐκεῖνοι δείκνυσιν ἡ ἐπαγωγή· φησὶ γὰρ, “αὐτὸς δὲ ὁ Ἰησοῦς οὐκ “ἐπίστευεν ἑαυτὸν αὐτοῖς,” καὶ τὰ ἑξῆς. Ὡς γὰρ ἐμβατεύων ταῖς καρδίαις, τὴν πρόσκαιρον αὐτῶν θερμότητα εἰδὼς σαφῶς, οὐκ ἐθάρρει αὐτοῖς, οὐδὲ ἐνεχείριζε πάντα τὰ δόγματα ὡς ἤδη πιστοῖς γενομένοις.

ΚΕΦ. Γ.

Περὶ Νικοδήμου.

1 Τίς ἐστιν οὗτος ὁ Νικόδημος; ὁ καὶ ἐν μέσῳ τῷ τοῦ Εὐαγγελίου φαινόμενος ὑπὲρ τοῦ Χριστοῦ λαλῶν οὕτως, “ὁ νόμος ἡμῶν κρίνει “οὐδένα, ἂν μὴ πρότερον ἀκούσῃ.” καὶ μετὰ τὸν σταυρὸν δὲ πολλὴν τὴν ἐπιμέλειαν τῆς τοῦ δεσποτικοῦ σώματος φαίνεται κηδείαν ποιούμενος. διέκειτο μὲν οὖν περὶ τὸν Χριστὸν, ἀλλ᾽ οὐχ ὡς ἐχρῆν. ἔτι γὰρ τῆς Ἰουδαϊκῆς εἴχετο ἀσθενείας· διὰ τοῦτο καὶ νυκτὸς ἦλθε δεδοικὼς ἐν ἡμέρᾳ τοῦτο ποιῆσαι. ἀλλ᾽ ὁ φιλάνθρωπος Χριστὸς οὐδὲ οὕτως αὐτὸν ἀπώσατο, οὐδὲ εἰπόντι ὅτι ἀπὸ Θεοῦ ἐλήλυθε διδάσκαλος, διήλεγξεν αὐτὸν λέγων, τί οὖν νύκτωρ ἔρχῃ πρὸς τὸν τὰ τοῦ Θεοῦ λέγοντα, καὶ ἐκεῖθεν ἥκοντα;

Δείκνυσι δὲ καὶ ἐκ τοῦ εἰπεῖν τὸν Νικόδημον, “ὅτι οὐδεὶς “δύναται τὰ σημεῖα ταῦτα ποιεῖν, ἃ σὺ ποιεῖς, ἐὰν μὴ ὁ Θεὸς

"ἢ μετ' αὐτοῦ," ὅτι ἀνθρωπίνην περὶ αὐτοῦ τὴν διάνοιαν εἶχε, καὶ ὡς περὶ προφήτου διαλέγεται.

3 Τί ἔστιν "ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται ἰδεῖν τὴν "βασιλείαν τοῦ Θεοῦ;" ἐὰν μὴ μετάσχῃ Πνεύματος Ἁγίου τοῦ διὰ λουτροῦ τῆς παλιγγενεσίας, οὐ δύναται περὶ ἐμοῦ, φησὶ, δόξαν τὴν προσήκουσαν λαβεῖν. Ἣν γὰρ νῦν ἔχεις δόξαν περὶ ἐμοῦ, οὐ πνευματική ἐστιν, ἀλλὰ ψυχικὴ, καὶ οὐ μόνος σὺ, ἀλλὰ κἂν ὅστις οὖν ἕτερος ᾖ τοιαῦτα περὶ ἐμοῦ δοξάζων, ἔξω τῆς βασιλείας ἐστί. Τὸ δὲ "ἄνωθεν" ἐκ τοῦ οὐρανοῦ οὐ δηλοῖ. Τίνος ἕνεκεν εἶπε, "πῶς δύναται γεννηθῆναι ἄνθρωπος γέρων ὤν;" ἀπὸ πολλῆς ἐκπλήξεως, ἀκούων μείζονα ἢ παρὰ ἀνθρώπου. Τὸ δὲ πῶς τοῦτο; τῶν μὴ σφόδρα πιστευόντων ἐστίν· ὅθεν καὶ καταγέλαστα τὰ ῥήματα φαίνονται. οὐδὲ γὰρ ἐνενόησε γέννησιν πνευματικὴν, ἀλλ' εἰς τὴν σωματικὴν γαστέρα καθείλκυσε τῆς σαρκὸς τὸ μέγα δόγμα καὶ ὑψηλὸν, εἰπὼν, "μὴ δύναται εἰς τὴν κοιλίαν τῆς μη-"τρὸς," καὶ τὰ ἑξῆς.

Δύο δὲ ἦν τὰ θορυβοῦντα καὶ ἀποροῦντα αὐτὸν, ἥ τε γέννησις ἡ πνευματικὴ, ἥ τε βασιλέως· οὐδὲ γὰρ ὄνομα βασιλεῖ οὐρανῶν ἠκούσθη ποτὲ παρὰ Ἰουδαίοις, ἀλλὰ τίνας περὶ τὸ πρότερον ἵσταται, ὃ μάλιστα αὐτοῦ τὴν διάνοιαν κατέσεισε. Διὸ καὶ ὁ Χριστὸς σαφέστερον ἀποκαλύπτει νῦν τῆς γεννήσεως τρόπον εἰπὼν, "ἐὰν μὴ τὶς γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος," καὶ τὰ ἑξῆς. Ὁ γὰρ μήπω, φησὶ, λαβὼν τὸ δεσποτικὸν σύμβολον, τὸ τοῦ θανάτου φορεῖ ἔνδυμα, τὸ τῆς κατάρας, τὸ τῆς φθορᾶς. Εἰ γὰρ καὶ ὕδωρ ὑπόκειται, ἀλλὰ θεῖα ἐν αὐτῷ τελεῖται σύμβολα τάφου νέκρωσις καὶ ἀνάστασις καὶ ζωή· καὶ ταῦτα ὁμοῦ γίνεται ἅπαντα. ἐπὶ πλεῖον δὲ αὐτὸν ἀπάγων τῶν αἰσθητῶν φησὶ, "τὸ γεγενη-"μένον ἐκ τῆς σαρκὸς σάρξ ἐστι, τὸ δὲ γεγενημένον ἐκ τοῦ "πνεύματος πνεῦμά ἐστι," τοῦτ' ἔστι πνευματικόν ἐστι· γέννησιν γὰρ ἐνταῦθα τὴν κατὰ τιμὴν καὶ χάριν λέγει.

7 Διὰ τί εἶπεν αὐτῷ, "μὴ θαυμάσῃς;" διὰ τὸ ἰδεῖν αὐτὸν ἔτι θορυβούμενον, διὸ καὶ ἐπ' αἰσθητὸν ἄγει παράδειγμα τὸν λόγον μέσον σώματός τε καὶ ἀσωμάτων, λέγω δὴ τοῦ ἀνέμου τὴν φορὰν, εἰπὼν, "τὸ πνεῦμα ὅπου θέλει πνεῖ." τοῦτο δέ φησιν οὐχ ὡς προαίρεσιν τινὰ τοῦ ἀνέμου ἔχοντος, ἀλλὰ τὴν ἀπὸ φύσεως φορὰν,

τὴν ἀκώλυτον καὶ μετ᾽ ἐξουσίας γινομένην. "καὶ τὴν φωνὴν αὐτοῦ "ἀκούεις," τουτέστι τὸν πάταγον. Τὸ δὲ "οὐκ οἶδε, πόθεν ἔρχε-"ται καὶ ποῦ ὑπάγει," τὸ ἀκάθεκτον δηλοῖ τοῦ ἀνέμου, καὶ ὅτι διαχεῖται πανταχοῦ, καὶ ὁ κωλύων οὐδεὶς τῇδε κἀκεῖσε φέρεσθαι.

Διὰ δὲ τοῦ εἰπεῖν, "οὕτως ἐστὶ πᾶς ὁ γεγεννημένος ἐκ τοῦ "πνεύματος," τὸ συμπέρασμα ἅπαν ἐδήλωσεν. Εἰ γὰρ τούτου φησὶ τοῦ πνεύματος, τουτέστι τοῦ ἀνέμου, οὗ τὴν αἴσθησιν δέχῃ τῇ ἀκοῇ, τὴν ὁρμὴν ἑρμηνεῦσαι οὐκ οἶδας, οὐδὲ τὴν ὁδὸν, πῶς τὴν ἀπὸ τοῦ Θείου Πνεύματος ἐνέργειαν περιεργάζῃ; καὶ εἰ ὅπου θέλει οὗτος ὁ ἄνεμος πνεῖ, πόσῳ μᾶλλον ἡ τοῦ Ἁγίου Πνεύματος χάρις οὐ δυνήσεται νόμῳ φύσεως κατασχεθῆναι, οὐδὲ ὅροις σωματικῆς γεννήσεως; εἰ τοίνυν τὸν ἄνεμον οὐκ ἀσχάλλεις, φησὶν, ὅτι μὴ ὁρᾷς, οὐδὲ ἀπιστεῖς διὰ τοῦτο, τί δήποτε περὶ τοῦ Πνεύματος τοῦ Ἁγίου ἀκούων ἰλιγγιᾷς, καὶ τοσαύτας ἀπαιτεῖς εὐθύνας; Διὰ δὲ τοῦ εἰπεῖν τὸν Νικόδημον, "πῶς δύναται ταῦτα γενέσθαι;" μανθάνομεν ἐπὶ τῆς Ἰουδαϊκῆς εὐτελείας αὐτὸν ἔτι ἐμμένοντα ταῦτα λέγειν. Διὰ τοῦ εἰπεῖν τὸν Χριστὸν, "σὺ εἶ ὁ διδάσκαλος τοῦ "Ἰσραὴλ, καὶ ταῦτα οὐ γινώσκεις;" δείκνυσιν αὐτὸν ἀπὸ ἀφελείας ταῦτα φθεγξάμενον. Εἰ γὰρ ἀναμνησθῇς, φησὶ, τὰ ἐν τῇ παλαιᾷ παράδοξα θαύματα γενόμενα, ἀπό τε τοῦ πρώτου ἀνθρώπου πῶς ἐπλάσθη, καὶ ἐκ τῆς πλευρᾶς αὐτοῦ ἡ γυνὴ, τὰ ἐν Αἰγύπτῳ, καὶ ἐν τῇ ἐρυθρᾷ, καὶ ἐν τῇ ἐρήμῳ, καὶ πῶς στεῖραι ἔτεκον, καὶ τὰ τούτοις ὅμοια, ὡς ὢν διδάσκαλος τοῦ Ἰσραὴλ, οὐδ᾽ ἂν καὶ περὶ ὧν λέγω νῦν ἀπιστήσῃς.

11 Τὸ δὲ, "ὃ οἴδαμεν λαλοῦμεν, καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν," οὐκ ὄψιν αἰσθητὴν ἐμφῆναι βουλόμενος τοῦτό φησιν, ἀλλὰ τὴν ἀκριβῆ γέννησιν. τὸ δὲ "οἴδαμεν" ἤτοι περὶ αὐτοῦ καὶ τοῦ Πατρὸς λέγει, ἢ περὶ ἑαυτοῦ μόνον.

Καὶ οὐδὲ οὕτω, φησὶ, "τὴν μαρτυρίαν ἡμῶν λαμβάνετε" τὸ συμβησόμενον, ἤγουν τὴν ἀπιστίαν αὐτῶν προαναφωνῶν, "εἰ τὰ "ἐπίγεια εἶπον ὑμῖν," τουτέστι περὶ τοῦ βαπτίσματος, καὶ τῆς κατὰ χάριν γεννήσεως, "καὶ οὐκ ἐπιστεύσατε, πῶς ἐὰν εἴπω "ὑμῖν τὰ ἐπουράνια," τουτέστι, περὶ τῆς ἀπορρήτου καὶ ἀφάτου γεννήσεως πιστεύσετε;

12 Τὸ δὲ "ἐπίγειον" ἐνταῦθα, τινὲς μὲν φασὶ περὶ τοῦ ἀνέμου

εἰρῆσθαι, τουτέστιν, εἰ ὑπόδειγμα ἀπὸ τῶν ἐπιγείων δέδωκα, καὶ οὐδὲ οὕτως ἐπείσθητε, πῶς δυνήσεσθε τὰ ἀνώτερα μαθεῖν; εἰ δὲ τὸ βάπτισμα ἐπίγειον ἐνταῦθα καλεῖ, διὰ τὸ ἐν τῇ γῇ τελεῖσθαι πρὸς ἁγιασμὸν τῶν ἐπὶ γῆς ὄντων ἀνθρώπων. Ἐπίγειος καλεῖται ἡ τοῦ λουτροῦ γέννησις, πρὸς σύγκρισιν τῆς γεννήσεως τοῦ Ἰησοῦ τῆς ἐκ τῆς οὐσίας τοῦ Πατρὸς γενομένης. "οὐδεὶς ἀναβέβηκεν "εἰς τὸν οὐρανὸν," καὶ τὰ ἑξῆς, ἵνα τὸν Νικόδημον διορθώσηται. Ἐπεὶ γὰρ εἶπεν ἐκεῖνος, ὅτι ἀπὸ Θεοῦ ἐλήλυθε διδάσκαλος, τούτου χάριν τοῦτό φησιν, ὅτι μὴ νομίζετέ με διδάσκαλον ὡς τοὺς πολλοὺς τῶν προφητῶν ἀπὸ γῆς ὄντας, ἐξ οὐρανοῦ γὰρ πάρειμι νῦν.

14 Υἱὸν δὲ ἀνθρώπου ἐνταῦθα οὐ τὴν σάρκα ἐκάλεσεν, ἀλλ' ἀπὸ τῆς ἐλάττονος οὐσίας ἑαυτὸν, ἵν' οὕτως εἴπω, τῆς ἀνθρωπότητος ὠνόμασε νῦν· καὶ γὰρ τοῦτο ἔθος αὐτῷ πολλάκις μὲν ἀπὸ τῆς θεότητος, πολλάκις δὲ ἀπὸ τῆς ἀνθρωπότητος τὸ πᾶν καλεῖν. Οὐκ εἶπε δὲ, ὅτι μέλλω σταυροῦσθαι, ἀλλ' ἐπὶ τὸν παλαιὸν τύπον παρέπεμψε τοὺς ἀκροατὰς εἰπὼν, "καὶ καθὼς Μωϋσῆς ὕψωσε "τὸν ὄφιν ἐν τῇ ἐρήμῳ." πρῶτον μὲν ἵνα μάθωμεν, ὅτι συγγενῆ τὰ παλαιὰ τοῖς καινοῖς, καὶ οὐκ ἀλλότρια τούτων ἐκεῖνα· ἔπειτα ἵνα γνῶμεν, ὅτι οὐκ ἄκων ἐπὶ τὸ πάθος ἔρχεται· πρὸς τούτοις δὲ ἵνα λογιζώμεθα τοῦτο ἅπαντες, ὅτι εἰ πρὸς εἰκόνα χαλκῆν ὄφεως βλέποντες Ἰουδαῖοι διέφευγον θάνατον, πολλῷ μᾶλλον εἰς τὸν σταυρώμενον πιστεύοντες, μείζονος καταξιούμεθα σωτηρίας. Προειπὼν τοίνυν τὴν μεγίστην εἰς ἀνθρώπους γεγενημένην διὰ τοῦ βαπτίσματος εὐεργεσίαν, ἐπήγαγε καὶ τὴν ταύτης αἰτίαν, τὴν διὰ τοῦ σταυροῦ.

Ἀμμωνίου πρεσβυτέρου. Οὐκ ἔστιν οὐράνιον τὸ τοῦ Κυρίου σῶμα, πάθεσι γὰρ ὑπόκειται, ὡς δὲ εἷς ὢν καὶ μετὰ σαρκὸς, λέγεται υἱὸς ἀνθρώπου.

Τοῦ αὐτοῦ. Ἀπὸ τῆς ἐλάττονος οὐσίας ὅλον ἑαυτὸν ὀνομάζει, ὥσπερ καὶ ἀπὸ τῆς θεότητος ὅλον ἑαυτὸν καλεῖ.

Τοῦ αὐτοῦ. Ὥσπερ ὁ χαλκοῦς ὄφις οὐκ ἦν τὸ ἰοβόλον θηρίον, ἀλλ' ὁμοίωμα τοῦ ἰοβόλου, οὕτω καὶ ἡ σὰρξ τοῦ Κυρίου, σὰρξ μὲν ἦν κατὰ ἀλήθειαν, οὐ μὴν σὰρξ ἁμαρτίας, ἀλλ' ὁμοίωμα σαρκὸς ἁμαρτίας.

Τοῦ αὐτοῦ. Τὸ ὑψωθῆναι δηλοῖ τὸ ἐμφανῆναι καὶ ἐπίσημον γενέσθαι τὸν Χριστόν.

16 Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν.

Ἀπολιναρίου. Ὃ λέγει, τοιοῦτόν ἐστι· μὴ θαυμάσῃς εἰ ἐγὼ μέλλω ὑψοῦσθαι, ἵνα σωθῆτε ὑμεῖς· καὶ γὰρ τῷ Πατρὶ τοῦτο δοκεῖ, καὶ οὕτως ὑμᾶς ἠγάπησεν, ὡς ὑπὲρ τῶν δούλων δοῦναι τὸν Υἱὸν, καὶ δούλων ἀγνωμόνων[a], καίτοι οὐκ ἄν τις οὐδὲ ὑπὲρ φίλου τοῦτο ποιήσειεν.

Ὠριγένους. Παρακληθεὶς ὁ Θεὸς, ὑψωθῆναι τὸν ἑαυτοῦ Υἱὸν εὐδόκησεν, ἵνα πάντες οἱ διὰ πίστεως εἰς αὐτὸν ὁρῶντες, ἀπαλλάττωνται τῆς τῶν πνευματικῶν ὄφεων βλάβης, καὶ ζωὴν αἰώνιον ἔχωσι· ζωὴ δὲ αἰώνιος οὐκ ἔστιν ἡ κοινὴ, ἥτις καὶ ἑτέροις ζώοις ὑπάρχει, ἀλλ' ἐκ πίστεως καὶ τῆς λοιπῆς ἀρετῆς ἐγγιγνομένη.

Τὸ δὲ "ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται," καὶ τὰ ἑξῆς, δηλοῖ τὴν ἐκ τοῦ σταυροῦ σωτηρίαν, ὅτι οἱ μὲν πρὸς τὸν τύπον, ἤγουν τὸν χαλκοῦν ὄφιν, τότε βλέποντες Ἰουδαῖοι, τὸν πρόσκαιρον διέφευγον θάνατον, οἱ δὲ πρὸς τὴν ἀλήθειαν, τουτέστι τὸν σταυρὸν νῦν ὁρῶντες πιστοὶ, τὸν αἰώνιον διαφεύγωμεν θάνατον· καὶ τότε μὲν δήγματα ὄφεων ἰᾶτο ὁ κρεμάμενος ὄφις, ἐνταῦθα δὲ νῦν τοῦ νοητοῦ δράκοντος θεραπεύει τὰς πληγὰς ἐκ τῶν πιστῶν σταυρωθεὶς ὁ Χριστός.

Τὸ "οὕτως ἠγάπησεν," εἰπὼν, πολλὴν δείκνυσι τὴν ἐπίτασιν· καὶ τὸ "ὁ Θεὸς τὸν κόσμον," πολὺ τὸ μέσον τῆς διαφορᾶς δημιουργοῦ καὶ ποιήματος.

Ἀμμωνίου. Ὧδε πάλιν κοινοποιεῖ τὸ πᾶν, οὐκ εἰδὼς χωρισμὸν μετὰ τὴν ἕνωσιν· τῆς γὰρ σαρκὸς τεθείσης ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, καὶ δοθείσης εἰς θάνατον, ὁ Υἱὸς λέγεται δεδόσθαι εἰς τὸν θάνατον, καίπερ ἀπαθὴς μείνας ὡς Θεὸς, τῆς αὐτοῦ μόνης πασχούσης τὰ ἴδια σαρκὸς, ὅτε συνεχώρει καὶ ἤθελεν.

Τοῦ αὐτοῦ. Οἱ Ἀρειανοὶ λέγουσιν, ὅτι διὰ τοῦτο καλεῖται ὁ Υἱὸς μονογενὴς, ὅτι μόνος ἐκ Θεοῦ γέγονε· πρὸς οὓς λεκτέον, ὅτι καὶ τὸν ἥλιον τινὲς λέγουσι μονογενῆ, καθὸ ὁ ἥλιος μόνος ἐστίν· ἀλλ' οὐκέτι καὶ Υἱός ἐστιν.

[a] εὐγνωμ. Cod.

Καὶ τὸ προσθεῖναι τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ καὶ οὐ δοῦλον, οὐκ Ἄγγελον, τὴν τῆς ἀγάπης ὑπερβολὴν παρίστησιν. Εἰπὼν δὲ ὅτι "ἔδωκε" συνεσκιασμένως τὸ πάθος ἠνίξατο.

Ὁ δὲ ἀπὸ τοῦ πάθους κέρδος σαφέστερον ποιῶν ἐπήγαγε λέγων, "ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν "αἰώνιον." καὶ ἐπειδὴ δύο εἰσὶν αἱ Χριστοῦ παρουσίαι, ἡ ἤδη γεγενημένη, καὶ ἡ μέλλουσα, περὶ τῆς προτέρας νῦν λέγει, ὅτι "οὐκ ἀπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ, ἵνα κρίνῃ τὸν κόσμον, "ἀλλ' ἵνα σώσῃ τὸν κόσμον." ἐν γὰρ τῇ δευτέρᾳ αὐτοῦ παρουσίᾳ ἐπὶ τὸ κρῖναι παραγίγνεται, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

Κυρίλλου. Οὐκ ἀπέστειλε, φησὶ, κατὰ Μωσέα νόμῳ κατακρίνων τὴν οἰκουμένην, οὐδὲ πρὸς ἔλεγχον τῆς ἁμαρτίας εἰσφέρω τὴν ἐντολήν· οὐδὲ οἰκετικὴν ποιοῦμαι τὴν διακονίαν, ἀλλὰ δεσπότῃ πρέπουσαν τὴν φιλανθρωπίαν εἰσφέρω· ἐλευθερῶ τὸ δοῦλον ὡς Υἱὸς καὶ κληρονόμος τοῦ Πατρὸς, μετασκευάζω τὸν καταδικάζοντα νόμον εἰς δικαιοῦσαν χάριν.

Ἀμμωνίου. Εἰ ἐπὶ τὸ κρῖναι τὸν κόσμον ἐληλύθει ὁ Χριστὸς, πάντας κατέκρινεν· ἀλλὰ προηγουμένως ἦλθεν ἐπὶ τὸ σῶσαι τὸν κόσμον. κρίνει δὲ κατὰ τὸ συμβεβηκὸς τοὺς ἀπιστήσαντας. οὐχ ὡς ὁ Μωϋσέως νόμος ἦλθε κατακρῖναι τὸν κόσμον, ἀλλὰ σῶσαι.

18 Τί ἐστιν, "ὁ πιστεύων εἰς τὸν Υἱὸν οὐ κρίνεται;" τί οὖν, ἐὰν ἀκάθαρτον βίον ἔχῃ ἢ πράξεις οὐκ ἀγαθάς; μάλιστα μὲν τοὺς τοιούτους, οὐδὲ γνησίους εἶναι πιστοὺς ὁ Παῦλός φησι, "Θεὸν γὰρ "ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται·" πλὴν ἐνταῦθα ἐκεῖνο φησὶν, ὅτι κατ' αὐτὸ τοῦτο οὐ κρίνεται, ἀλλὰ τῶν μὲν πονηρῶν ἔργων χαλεπωτέραν δώσει δίκην, ἀπιστίας δὲ ἕνεκεν οὐ κολάζεται διὰ τὸ πιστεῦσαι ἅπαξ.

Κυρίλλου. Προτίθημι τοίνυν τῷ πιστεύοντι γέρας τὸ μὴ καλεῖσθαι πρὸς κρίσιν, τῷ δὲ ἀπειθοῦντι κόλασιν· εἰς τὴν αὐτὴν καὶ μίαν δι' ἀμφοῖν ἀναφέρων ὁδὸν, καὶ τοὺς μὲν ἐφέσει τῇ περὶ τὴν χάριν, τοὺς δὲ φόβῳ τοῦ παθεῖν, ἐπὶ τὸ πιστεύειν εἶναι προθύμως συγκαλῶν.

Ἀμμωνίου. Σημειωτέον ὅτι καθολικῶς πᾶς ὁ μὴ πιστεύων

εἰς τὸν Χριστὸν κατάκριτός ἐστι τῇ κολάσει ἀποδοθησόμενος· οὐκοῦν οὔτε ἄγονται οὗτοι εἰς κρίσιν ὡς ἤδη κατακριθέντες· οὕτω καὶ ἐπὶ τοῦ διαβόλου νοητέον, ὅτι ὁ ἄρχων τοῦ κόσμου τούτου κέκριται, οὐ μόνον ὅτι αὐτὸς οὐκ ἐπίστευσεν, ἀλλὰ καὶ ἐπείρασε τὸν Κύριον, καὶ εἰς τὸν Ἰούδαν εἰσῆλθεν, ἵνα παραδῷ αὐτὸν εἰς θάνατον. "ὁ δὲ μὴ πιστεύων ἤδη κέκριται." πῶς; ὅτι αὐτὸ τὸ ἀπιστεῖν κόλασίς ἐστι· τὸ γὰρ ἐκτὸς εἶναι τοῦ φωτὸς, καὶ κατὰ τοῦτο μεγίστην ἔχει τὴν τιμωρίαν· ἢ τὸ μέλλον προαναφωνεῖ· καθάπερ γὰρ ὁ φονεύσας, κἂν μὴ τῇ ψήφῳ τοῦ κρίνοντος καταδικασθῇ, τῇ τοῦ πράγματος καταδεδίκασται φύσει, οὕτω καὶ ὁ ἄπιστος. καὶ ὁ Ἀδὰμ δὲ ᾗ ἡμέρᾳ ἔφαγεν ἀπὸ τοῦ ξύλου, ἀπέθανε, καὶ τοίγε ἔζη, ἀλλὰ τῇ ἀποφάσει καὶ τῇ τοῦ πράγματος φύσει τεθνηκὼς ἦν. Ἀποστερεῖ δὲ αὐτοὺς καὶ ἀπολογίας πάσης διὰ τοῦ εἰπεῖν, "ὅτι ἦλθε τὸ φῶς εἰς τὸν κόσμον, καὶ ἠγάπησαν οἱ ἄνθρω-"ποι μᾶλλον τὸ σκότος." Τίς οὖν τὸν μὴ βουλόμενον ἀπὸ σκότους φωτὶ προσελθεῖν ἐλεήσειεν ἄν;

19 Εἰ μὴ ἐληλύθει εἰς τὸν κόσμον τὸ φῶς, εἶχον ἄγνοιαν τῶν καλῶν αἰτιάσασθαι, οἱ μὴ πράξαντες αὐτά· ὡς ἂν τὰς κακίας ἐνεργοῦντες, τόπον ἀπολογίας εἶχον, φάσκοντες, μὴ ἐγνωκέναι αὐτὰ ὄντα κακά. ἀλλ' ἐπεὶ τὸ φῶς ἐλήλυθεν εἰς τὸν κόσμον, πάσης πεπλασμένης ἀπολογίας φυγαδευομένοις, κρίσις ἔσται ἐξεταστικὴ τῶν πρακτέων καὶ τοῦ φρονήματος ἐξ ἑκάστου ἀποδεχθῆναι· καὶ βασιλείας Θεοῦ τυχεῖν τοὺς ἀγαπήσαντας τὸ φῶς, ὡς ἐκ τῆς πρὸς αὐτὸ ἀγάπης φῶς καὶ αὐτοὺς γεγενημένους δι' ἔργων ἀγαθῶν καὶ φρονήματος ἀληθοῦς μισῆσαι τὸ σκότος, τοῦτο δέ ἐστιν, ἡ κακία καὶ ἡ εὐσέβεια· τοὺς δὲ ἀποστραφέντας τὴν ἀρετὴν καὶ τὸν ταύτης πάροχον Θεὸν κολάσεων αἰωνίων πειρασθήσεσθαι· ἐπείπερ σπουδάζοντες ἔχειν ἔργα πονηρὰ, ἐμίσησαν τὸ φῶς διὰ φανερώσεως ἐλέγχων αὐτῶν τὰ φαῦλα.

Ἵνα δὲ μή τις εἴπῃ, ὅτι οὐδεὶς ἂν τὸ σκότος προτιμήσειε τοῦ φωτὸς, τίθησι καὶ τὴν αἰτίαν, ἀφ' ἧς τοῦτο ἔπαθον, λέγει "ἦν "γὰρ αὐτῶν," φησὶ, "πονηρὰ τὰ ἔργα" καὶ τὰ ἑξῆς. Ἐπειδὴ γὰρ ὁ Χριστιανισμὸς μετὰ τῆς τῶν δογμάτων ὀρθότητος, καὶ πολιτείαν ὑγιαίνουσαν ἀπαιτεῖ, αὐτοὶ δὲ βούλονται ἀεὶ ἐγκαλινδεῖσθαι τῷ τῆς ἁμαρτίας βορβόρῳ, διὰ τοῦτο οὐκ ἠθέλησαν οἱ τὰ

φαῦλα πράσσοντες μεταθέσθαι πρὸς τὸ σῶφρον[b] τοῦ Χριστιανισμοῦ, καὶ τοῖς νόμοις, φησὶν, ὑποβαλεῖν τοῖς ἐμοῖς. Χρὴ δὲ σκοπῆσαι, πῶς ἀποστερεῖ αὐτοὺς πάσης ἀπολογίας τὸ φῶς, ἐλθὼν πρὸς αὐτοὺς, καὶ οὐδὲ οὕτω προσέδραμον αὐτῷ, ἀλλ' ἐκεῖνος "ὁ ποιῶν τὴν ἀλήθειαν ἔρχεται πρὸς τὸ φῶς" ὁ τῷ Χριστιανισμῷ προστρέχων δηλονότι, "ἵνα φανερωθῇ αὐτοῦ τὰ ἔργα, ὅτι ἐν τῷ "Θεῷ ἐστιν εἰργασμένα." καὶ γὰρ ὁ τοιοῦτος μετὰ τοῦ πιστεύειν ὀρθῶς καὶ πολιτείαν ὀρθὴν κατορθοῖ.

Ἴσως ἐρεῖ τις, τί οὖν; οὐκ εἰσὶ καὶ Χριστιανοὶ φαῦλα πράσσοντες καὶ Ἕλληνες ἐν φιλοσοφίᾳ ζῶντες; Χριστιανοὶ μὲν ὅτι φαῦλα πράσσοντες εἰσὶν, οἶδα κἀγὼ, εἰ δὲ καὶ Ἕλληνες ὀρθῶς βιοῦντες, τοῦτο οὐκ οἶδα σαφῶς. Μὴ γάρ μοι τὰς ἀπὸ φύσεως εἴπῃς ἐπιεικεῖς καὶ κοσμίους, οὐ γάρ ἐστι τοῦτο ἀρετή. ἀλλ' εἰπὲ πολλὴν ὑπομένοντα ἀπὸ τοῦ παθεῖν βίαν καὶ φιλοσοφοῦντα, ἀλλ' οὐκ ἂν ἔχοις. Εἰ γὰρ βασιλείας ἐπαγγελία καὶ γεέννης ἀπειλὴ, καὶ ἄλλη ἐπιμέλεια, μόλις κατέχει τοὺς ἀνθρώπους ἐν ἀρετῇ, σχολῇ γε ἂν οἱ περὶ μηδενὸς τούτων πεπεισμένοι μετῆλθον ἀρετήν· εἴ τινες ὑποκρίνονται δόξης ἕνεκεν τοῦτο ποιοῦσιν· ὁ δὲ δόξης ἕνεκα τοῦτο ποιῶν ὅταν ἐξῇ, οὐ φείσεται τοῦ χαρίσασθαι ταῖς ἐπιθυμίαις ταῖς πονηραῖς.

ΚΕΦ. Δ.

Ζήτησις περὶ καθαρισμοῦ.

22 Διὰ τοῦ εἰπεῖν ὅτι "μετὰ ταῦτα ἐξῆλθεν ὁ Ἰησοῦς εἰς τὴν "Ἰουδαίαν" καὶ τὰ ἑξῆς, δείκνυσιν ὅτι ἐν μὲν ταῖς ἑορταῖς εἰς τὴν πόλιν ἀνίῃ, ὥστε ἐν μέσοις αὐτοῖς προτιθέναι τὰ δόγματα, καὶ τὴν ἀπὸ τῶν θαυμάτων ὠφέλειαν, μετὰ δὲ τὸ λυθῆναι τὰς ἑορτὰς, ἐπὶ τὸν Ἰορδάνην ἤρχετο· ἐπειδὴ δὲ ἐνταῦθα πολλοὶ συνέτρεχον, τοὺς δὲ πολυοχλοῦντας ἀεὶ κατελάμβανε τόπους, οὐκ ἐπιδεικνύμενος οὐδὲ φιλοτιμούμενος, ἀλλὰ πλείοσι τὴν παρ' ἑαυτοῦ παρέχειν ὠφέλειαν σπουδάζων.

Εἰ δὲ καὶ λέγει ὁ Εὐαγγελιστὴς ἐνταῦθα, ὅτι ἐβάπτιζεν, οὐχ ὡς αὐτοῦ βαπτίζοντος τοῦτο φησὶν, ἀλλὰ τὸ τῶν μαθητῶν ἔργον

[b] τοφρῶν Cod.

εἰς τὸν διδάσκαλον ἀνήγαγεν. Καὶ γὰρ προϊὼν φησὶν, ὅτι Ἰησοῦς οὐκ ἐβάπτιζεν, ἀλλ' οἱ μαθηταὶ αὐτοῦ· ὅθεν δηλονότι [τις] ἐνταῦθα τοῦτό φησιν, ὅτι αὐτοὶ ἐβάπτιζον μόνοι. Τίνος δὲ ἕνεκεν αὐτὸς οὐκ ἐβάπτιζε; προλαβὼν ὁ Ἰωάννης εἶπεν, "αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι Ἁγίῳ," Πνεῦμα δὲ οὔπω ἦν δεδωκώς. ἐποίουν δὲ τοῦτο οἱ μαθηταὶ, βουλόμενοι πολλοὺς προσαγαγεῖν τῇ σωτηριώδει διδασκαλίᾳ.

Τίνος δὲ ἕνεκεν τῶν μαθητῶν τοῦ Χριστοῦ βαπτιζόντων, οὐκ ἐπαύσατο ὁ Ἰωάννης τοῦτο ποιῶν, ἀλλὰ διαμεμένηκε καὶ αὐτὸς βαπτίζων· καὶ γάρ φησιν ὁ Εὐαγγελιστὴς, "ἦν δὲ καὶ Ἰωάννης βαπτίζων ἐν Αἰνὼν" κ. τ. ἑ. καὶ μέχρι τῆς εἰς τὸ δεσμωτήριον κατακλείσεως τοῦτο ἐποίει. Τὸ γὰρ εἰπεῖν "οὔπω ἦν βεβλημένος εἰς τὴν φυλακὴν ὁ Ἰωάννης," δηλοῦντός ἐστι[c] ὅτι ἕως τότε οὐκ ἐπαύσατο βαπτίζων. Τίνος οὖν ἕνεκεν ἕως τότε ἐβάπτιζεν; ἵνα τοὺς ἑαυτοῦ μαθητὰς εἰς πλείονα ζῆλον ἀναγάγῃ, καὶ φιλονεικωτέρους ἐργάσηται· μυριάκις βοῶν, καὶ τῶν πρωτείων ἀεὶ τῷ Χριστῷ παραχωρῶν, οὐκ ἔπεισεν αὐτοὺς αὐτῷ προσδραμεῖν, εἰ καὶ μὴ τοῦτο ἐποίει, πολλῷ μᾶλλον ἂν ἐποίησε. Διὰ τοῦτο δὲ καὶ ὁ Χριστὸς τότε μάλιστα ἤρξατο κηρύττειν, ὅτε ἐκ ποδῶν ὁ Ἰωάννης ἐγένετο. οἱ μὲν δὲ ὅτι καὶ διὰ τοῦτο συγχωρηθῆναι τὴν τελευτὴν Ἰωάννου ταχίστην αὐτῶν γενέσθαι, ὥστε πᾶσαν τοῦ πλήθους τὴν διάθεσιν ἐπὶ τὸν Χριστὸν μετελθεῖν, καὶ μηκέτι ταῖς τῶν ἀμφοτέρων αὐτοὺς σχίζεσθαι γνώμαις.

Εἰ δέ τις ἐξετάζοι τί πλέον εἶχε τὸ τῶν μαθητῶν τοῦ Χριστοῦ βάπτισμα τοῦ Ἰωάννου, ἐροῦμεν, ὅτι οὐδέν. ἑκάτερα γὰρ ὁμοίως τῆς ἐκ τοῦ Πνεύματος χάριτος ἄμοιρα ἦν, καὶ αἰτία μία ἀμφοτέρως ἦν τοῦ βαπτίζειν, τὸ τῷ Χριστῷ προσάγειν τοὺς βαπτιζομένους.

25 Τί σημαίνει ἡ γενομένη ζήτησις ἐκ τῶν μαθητῶν Ἰωάννου πρός τινα Ἰουδαῖον περὶ καθαρισμοῦ; τὴν ζηλοτυπίαν αὐτῶν ἐμφαίνει, ἣν εἶχον ἀεὶ πρὸς τοὺς τοῦ Χριστοῦ μαθητὰς πρὸς αὐτόν τε τὸν Χριστὸν, ὡς τοῦ παρ' αὐτῶν βαπτίσματος πλέον τι τῶν τοῦ Χριστοῦ μαθητῶν ἔχοντος· τοῦτο γὰρ πρὸς τὸν Ἰουδαῖον διελέγοντο. ὅτι γὰρ τοῦτό ἐστι, τὰ ἑξῆς δηλοῖ. "Ἦλθον γὰρ," φησὶ, "πρὸς

[c] δηλοῦν ὅτι ἦν Cod.

"τὸν Ἰωάννην καὶ λέγουσι, ῥαββὶ," καὶ τὰ ἑξῆς. "ὃς ἦν μετὰ σοῦ," τουτέστιν, ὃς τάξιν εἶχε μαθητοῦ, ἀποσχίσας βαπτίζει. "ᾧ σὺ "μεμαρτύρηκας," ἀντὶ τοῦ, ὃν σὺ ἐβάπτισας, ὃν σὺ λαμπρὸν ἐποίησας καὶ περίβλεπτον, τὰ αὐτὰ σοὶ τολμᾷ. Οὐ τοῦτο δὲ μόνον ᾤοντο παρακνίζειν τὸν διδάσκαλον, τουτέστι τὸν βαπτιστὴν, ἀλλὰ καὶ τὸ αὐτὸν παρευδοκιμεῖσθαι λοιπόν· "πάντες γὰρ ἔρχον-"ται πρὸς αὐτόν." θέλων δὲ τέως καταπλῆξαι καὶ φοβῆσαι αὐτοὺς, καὶ δεῖξαι ὅτι οὐχ ἑτέρως ἀλλ' ἢ τῷ Θεῷ πολεμοῦσιν, αὐτῷ πολεμοῦντες, ἀποκριθεὶς εἶπεν αὐτοῖς, "οὐ δύναται ἄνθρωπος "λαμβάνειν ἀφ' ἑαυτοῦ οὐδὲν," καὶ τὰ ἑξῆς.

Τὸ δὲ, "ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἄνωθεν," οὐδὲν ἄλλο δηλοῦντός ἐστιν[d], ἢ ὅτι καὶ ἀδυνάτοις ἐπιχειροῦσι, καὶ θεομάχοι πάλιν εὑρίσκονται. ἐντεῦθεν αὐτοὺς καὶ παραμυθεῖται ἠρέμα, δεικνὺς, ὅτι οὐκ ἄνθρωπος ἀλλὰ Θεός ἐστιν ὁ παρευδοκιμῶν ἡμᾶς, καὶ ἡμεῖς δὲ, φησὶν, οὐδὲν οἴκοθεν ἔχομεν, ἀλλὰ πάντα ἐκ τοῦ Θεοῦ. Εἰ δὲ λαμπρότερα τὰ ἐκείνου, καὶ πάντες πρὸς αὐτὸν ἔρχονται, οὐ θαυμάζειν χρὴ, τοιαῦτα γὰρ τὰ θεῖα. Τὸ δὲ, "αὐτοὶ ὑμεῖς μοι "μαρτυρεῖτε," καὶ τὰ ἑξῆς, δηλοῖ ὅτι εἰ ὅλως ἔχεσθέ, φησι, τῆς ἐμῆς μαρτυρίας, καὶ ἀληθῆ ταύτην ἡγεῖσθε, μάθετε ὅτι διὰ ταύτην μάλιστα οὐκ ἐμὲ ἐκείνου, ἀλλ' ἐκεῖνον ἐμοῦ προτιμᾷν χρή. καὶ γὰρ εἰ μὴ προσῆλθεν ἡ νύμφη, τουτέστι ὁ λαὸς, ἤγουν ἡ Ἐκκλησία, τῷ νυμφίῳ Χριστῷ, τότε ἂν ἤλγησα, νῦν δὲ τούτου γενομένου, ὡς φίλος χαρᾷ χαίρων διὰ τὸ ἐκ τῆς φωνῆς τοῦ νυμφίου τὴν νύμφην ἐπιγνῶναι αὐτόν. οὕτω γὰρ ἡ Ἐκκλησία διὰ τῆς διδασκαλίας ἁρμόζεται τῷ Θεῷ.

Καὶ τὸ "ὁ ἑστηκὼς" δὲ, οὐχ ἁπλῶς τέθεικεν, ἀλλὰ δεικνὺς ὅτι τὰ αὐτοῦ πέπαυται, καὶ ὅτι αὐτὸν λοιπὸν ἑστάναι χρή. καὶ γὰρ ἤνυσται, φησὶ, παρ' ἐμοῦ τὸ ἔργον, ὃ γενέσθαι ἔδει· χρὴ τοίνυν τὰ ἡμέτερα ἐλαττοῦσθαι, αὔξειν δὲ τὰ ἐκείνου.

Ἀμμωνίου πρεσβυτέρου. Διὰ τοῦ βαπτίσματος νυμφεύεται ὁ Χριστὸς τὴν Ἐκκλησίαν ἀναγεννηθεῖσαν· ἡ δὲ συζυγία αὕτη ἡ πνευματικὴ διὰ τοῦ διδασκαλικοῦ λόγου συνάπτει Θεῷ· παρθένος ἐστὶ καὶ ἁγνὴ καὶ νύμφη διὰ τὴν τῶν δογμάτων ὀρθότητα, ἡ αὐτὴ καὶ γυνή ἐστι τοῦ Χριστοῦ, ὡς ἀγαθὰς γεννῶσα πράξεις,

[d] δηλοῦν τουτέστιν Cod.

οὐκ ἀφ' ἑαυτῆς, ἀλλὰ διὰ τοῦ ἐνσπείροντος ἐν αὐτῇ Χριστοῦ, ἧς οὐδεὶς τῶν γεννητῶν δύναται εἶναι νυμφίος, ἐπείπερ πρωτοτύπως[e] *οὐδεὶς αὐτῶν ἐστι δοτὴρ ἀγαθῶν. Πᾶσα οὖν λογικὴ φύσις Ἀγγέλων τε καὶ ἀνθρώπων νύμφη εἰσιν.*

Νυμφίος ἐστὶν ὁ Χριστὸς καὶ ἡ Ἐκκλησία νύμφη, καὶ ὁ νυμφὼν ὁ τόπος τοῦ βαπτίσματος, ἔνθα γίνεται ἡ πνευματικὴ συνάφεια, ἐπειδὴ πάντα φαιδρὰ καὶ χαρᾶς ἀνάμεστα καὶ εὐφροσύνης. Τί γὰρ μακαριώτερον τοῦ καθαρισθῆναι ἁμαρτιῶν καὶ κολληθῆναι Θεῷ, καὶ κοινωνὸν γενέσθαι θείας φύσεως διὰ τῆς τοῦ Ἁγίου Πνεύματος μετουσίας; ταῦτα γὰρ ὁ ἀρραβών· τὰ δὲ τελειώτερα ἐν τῷ μέλλοντι, ὅτε πάλιν εἰσελθὼν ὁ νυμφίος εἰσάγει σὺν αὐτῷ τὰς παρθένους ψυχάς.

Πάντων πρὸς τὸν Ἰησοῦν ἀπιόντων, ἐλήλυθα γὰρ μαρτυρῆσαι αὐτῷ, ἵνα πάντες πιστεύσωσιν αὐτῷ δι' ἐμοῦ.

Οὔτε ὁ Χριστὸς αὔξει, οὔτε Ἰωάννης ἐλαττοῦται, ἀλλὰ δίκην ἑωσφόρου ὁ Ἰωάννης ὑπὸ τοῦ νοητοῦ ἡλίου σκέπεται.

31 *Ὁ Χριστὸς ὡς Θεὸς ἐπὶ πλεῖον αὔξει φανερούμενος· ἐμὲ δὲ δεῖ μένειν ἐν οἷς εἰμι. Τί σημαίνει ὅπερ εἶπεν, "ὁ ἄνωθεν ἐρχόμενος ἐπάνω πάντων ἐστί;" τὴν ὑπερβάλλουσαν δόξης αὐτοῦ ὑπεροχὴν, καὶ ὅτι οὐδενὸς δεῖταί ποτε, ἀλλ' ἀρκῶν ἐστιν ἑαυτῷ. Ταῦτα δὲ περὶ τοῦ Χριστοῦ ἔλεγε. Τὸ μηδὲ ἐκ τῆς γῆς ὄντα καὶ λαλοῦντα ἑαυτόν φησιν, οὐχ ὅτι δὲ ἐπίγεια ἐφθέγγετο, διὰ τοῦτο εἶπεν ἑαυτὸν ἐκ τῆς γῆς λαλεῖν, ἀλλὰ πρὸς τὴν τοῦ Χριστοῦ διδασκαλίαν παραβάλλων ἑαυτὸν, εὐτελῆ καὶ ταπεινὰ καὶ μικρὰ ταῦτα ἐλογίζετο.*

"Ὁ ὢν ἐκ τῆς γῆς ἐκ τῆς γῆς ἐστι, καὶ ἐκ τῆς γῆς λαλεῖ." Οὐκ ἰσομέτρως ἐνεργήσει, φησὶν, εἰς τὸ δύνασθαι πείθειν ὁ γηγενὴς τῷ ἐπὶ πάντας ὄντι Θεῷ. Λαλήσει μὲν γὰρ ὡς ἄνθρωπος ἐπὶ τῆς γῆς, καὶ ἐν μόνῃ συμβούλου κείσεται τάξει.

Ἐπάνω πάντων ἐστὶ τῶν πεποιημένων, οὐχ ὡς ἐν πάσῃ καταριθμούμενος, ἀλλ' ὡς πάντων ἐξῃρημένος καὶ τοῖς πᾶσι θεοπρεπῶς ἐποχούμενος ὁ ἄνωθεν ἐρχόμενος, τουτέστιν ὁ τῆς ἄνωθεν ῥίζης ἐκπεφυκὼς, τὴν πατρῴαν ἐφ' ἑαυτῷ φυσικῶς ἀποσώζων εὐφυΐαν, τὸ ἐπάνω πάντων ὑπάρχειν ὁμολογουμένως κεκτήσεται· ἣν γὰρ δὴ

[e] *πρωτοτύπω* Cod.

καὶ ἀμήχανον, μὴ οὐχὶ πάντως τοιοῦτον ὁρᾶσθαι τὸν Υἱὸν, ὁποῖός περ ἂν νοοῖτο, καὶ κατὰ τὴν ἀξίαν ὁ γεννήσας αὐτόν. Ἀνθρωπινώτερον λαλεῖ διὰ τὴν σάρκα· τῇ γὰρ φύσει παντέλειος ὢν, πάντα ἀφ' ἑαυτοῦ οἶδεν.

Ὠριγένους. Ἐπεὶ γὰρ ὁ ἐρευνῶν τὰς γραφὰς εὑρίσκει αὐτὰς μαρτυρούσας περὶ Χριστοῦ, οὐκ ἠρεύνουν δὲ αὐτὰς Ἰουδαῖοι ὡς δεῖ, οὐδεὶς τῶν ἀνεξετάστως ταῖς γραφαῖς ἐντυγχανόντων ἐλάμβανε τὴν περὶ αὐτοῦ μαρτυρίαν, μόνου καὶ παντὸς τοῦ δυναμένου εἰπεῖν, "ὃν ἔγραψε Μωϋσῆς ἐν τῷ νόμῳ καὶ οἱ προφῆται εὑρήκα-"μεν Ἰησοῦν·" λαμβάνοντος τὴν περὶ αὐτοῦ μαρτυρίαν καὶ σφραγίζοντος "ὅτι ὁ Θεὸς ἀληθής ἐστι," προσεπαγγειλάμενος τὸ Εὐαγγέλιον διὰ τῶν προφητῶν ἐν γραφαῖς ἁγίαις περὶ τοῦ Υἱοῦ αὐτοῦ.

Ἀμμωνίου. Ἀντὶ τοῦ ἐπληροφορήθη, καὶ ἔχει ἀπόδειξιν καὶ σφραγίδα.

Ἀπεστάλθαι λέγεται ὁ Υἱὸς ἀπὸ τοῦ Πατρὸς, ἢ διὰ τὴν ἔνσαρκον παρουσίαν, ἢ ὅτι ὁ Πατὴρ ἔχων ἐν ἑαυτῷ τὸν Υἱὸν οὐκ ἔκρυψεν, ἀλλ' ἐξέλαμψεν αὐτὸν ἐκ τῆς ἰδίας φύσεως, ὡς ἐκ φωτὸς ἀπαύγασμα. Ἐξελήλυθε γὰρ ὁ Υἱὸς εἰς ἰδίαν ὕπαρξιν, εἰ καὶ ἐν αὐτῷ κατὰ φύσιν ἐστίν.

Ἀπολιναρίου. Ἐπεὶ οὖν τὰ ἐκείνου φθέγγεται, ὅ τε πιστεύων, ὅ τε ἀπιστῶν, ἐκείνῳ καὶ πιστεύει καὶ ἀπιστεῖ. Τὸ δὲ "ἐσφρά-"γισεν" ἀντὶ τοῦ ἔδειξε.

34 Τί ἐστι τὸ, "οὐ γὰρ ἐκ μέτρου δίδωσιν ὁ Θεὸς τὸ Πνεῦμα;" ἐνταῦθα τὴν ἐνέργειαν λέγει· ἡμεῖς μὲν οὖν, φησὶ, μέτρῳ τὴν ἐνέργειαν τοῦ Πνεύματος ἐλάβομεν, αὐτὸς δὲ οὐχ οὕτως, ἀλλὰ ἀμέτρητον ἔχει καὶ ὁλόκληρον πᾶσαν τὴν ἐνέργειαν.

Ἀμμωνίου. Ὡς πηγὴ ὢν τοῦ Πνεύματος δίδωσιν αὐτὸς τὴν ἐνέργειαν, λέγει τοῦ Πνεύματος, ἣν οἱ ἄνθρωποι μέτρῳ λαμβάνουσιν. Αὐτὸς γὰρ ὁλόκληρον ἔχει πᾶσαν. ὅλον ἔχει τὸ Πνεῦμα ὁ Υἱὸς οὐσιωδῶς, οὐ μὴν ἐκ μέρους ὡς κτίσμα. Διὸ καὶ αὐτὸς αὐτὸ δίδωσιν, οἱ δὲ ἅγιοι διὰ ἱκεσίας ποιοῦσι τὸν Χριστὸν δι' αὐτῶν ἐπιχορηγῆσαι τὸ Πνεῦμα.

35 Εἰπὼν δὲ ὅτι "ὁ Πατὴρ ἀγαπᾷ τὸν Υἱὸν, καὶ πάντα δέδωκεν "ἐν τῇ χειρὶ αὐτοῦ," ὡς περὶ ἀνθρώπου δείκνυται διαλεγομένου

τινὸς θαυμαστοῦ, ὅθεν ἐπὶ τὸ ταπεινότερον ἄγει τὸν λόγον, ἐν τῷ εἰπεῖν "πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ·" τοῦτο δὲ ποιεῖ εὐπαράδεκτον κατασκευάζων τὸν λόγον. Εἶτα δὲ καὶ αἰώνιον ἔχειν ζωὴν τὸν εἰς τὸν Υἱὸν πιστεύοντα διαμαρτύρεται· τὸν δὲ ἀπειθοῦντα αὐτῷ ἐκπίπτειν αὐτῆς, καὶ τὴν ὀργὴν τοῦ Θεοῦ μένειν ἐπ' αὐτόν.

Ἀμμωνίου πρεσβυτέρου. Τότε πληροῦται τοῦτο, ὅτε κατὰ τὸν τῆς δευτέρας παρουσίας καιρὸν, πᾶν γόνυ αὐτῷ κάμπτει ἀποβαλόντων ἣν ἔχουσι κακίαν. χεῖρα ὧδε τὴν δύναμιν καλεῖ, ἣν ἔχει ὁ υἱὸς φυσικῶς καὶ οὐ μεταληπτῶς.

36 Κυρίλλου. Ζωὴ μὲν γὰρ κατὰ φύσιν ὁ μονογενὴς, "ἐν αὐτῷ "γὰρ ζῶμεν καὶ κινούμεθα καί ἐσμεν·" εἰσοικίζεται δὲ πάντως ἡμῶν τῆς πίστεως, καὶ κατοικεῖ διὰ τοῦ Ἁγίου Πνεύματος. Ὁ δὲ ἀπειθῶν τῷ Υἱῷ, οὐκ ὄψεται τὴν τῶν ἁγίων ζωὴν, περὶ ἧς καὶ ὁ ψαλμῳδός φησι, "τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν, ἀγαπῶν "ἡμέραν ἰδεῖν ἀγαθήν;" καὶ ὁ Παῦλος δέ φησι πρὸς τοὺς τῇ κακίᾳ νενεκρωμένους· "ἀπεθάνετε γὰρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυ-"πται ἐν τῷ Θεῷ σὺν τῷ Χριστῷ. ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ "ζωὴ ὑμῶν, τότε καὶ ὑμεῖς φανερωθήσεσθε ἐν δόξῃ." οὐκ εἶπε δὲ, μένει αὐτὸν, ἀλλ' ἐπ' αὐτὸν, δεικνὺς ὅτι οὐδέποτε αὐτοῦ ἀποστήσεται· ἵνα γὰρ μὴ νομίσῃ τις θάνατον εἶναι πρὸς καιρὸν τὸ οὐκ ὄψεται ζωὴν, ἀλλ' ἵνα πιστεύσῃ ὅτι διηνεκῶς ἐστιν εἰς τὴν κόλασιν τοῦτο τέθεικε, διὰ τούτων αὐτοῦ τῶν ῥημάτων ὠθῶν πρὸς τὸν Χριστὸν, οὐκ αὐτοὺς δὲ μόνον, ἀλλὰ καὶ πάντας· καὶ γὰρ καθολικὴν ἐποιήσατο τὴν παραίνεσιν. αὐτὸς μὲν ὁ Χριστὸς οὐκ ἐβάπτιζεν, οἱ δὲ ἀπαγγέλλοντες βουλόμενοι διεγεῖραι τοὺς ἀκούοντας εἰς φθόνον τοῦτο ἀπήγγελλον, αὐτὸς δὲ ἀνεχώρει, οὐ δειλίας χάριν, ἀλλ' ἐκκόπτων αὐτῶν τὴν βασκανίαν καὶ παραμυθούμενος τὸν φθόνον· δυνατὸς μὲν γὰρ ἦν, καὶ ἐπελθόντας ἐπισχεῖν, ἀλλ' οὐκ ἠβούλετο συνεχῶς τοῦτο ποιεῖν, ὥστε μὴ ἀπιστεῖσθαι τῆς σαρκὸς τὴν οἰκονομίαν.

ΚΕΦ. Ε.

Περὶ τῆς Σαμαρείτιδος.

4 Ὥσπερ ἔργον αὐτὸν ποιούμενον τὴν τῆς Σαμαρείτιδος ὁδὸν, φησὶν ὁ Εὐαγγελιστὴς τὸ "ἔδει δὲ αὐτὸν διέρχεσθαι διὰ τῆς

“Σαμαρείας·” τοῦτο δὲ ἐγίνετο, ὥστε πᾶσαν ἐκκοπῆναι Ἰουδαίων ἀπολογίαν· ὅταν γὰρ ἀπήλαυνον, τότε τῆς τῶν ἐθνῶν ἥπτετο κλήσεως.

Ἀμμωνίου πρεσβυτέρου. Ὅμοροι ἦσαν τῶν Ἰουδαίων οἱ Σαμαρεῖται, διὸ καὶ ἀπὸ τῆς πηγῆς ἔπινον τοῦ Ἰακώβ. Ἄξιον δὲ εἰπεῖν καὶ πόθεν οἱ Σαμαρεῖται συνέστησαν· καὶ γὰρ ὁ τόπος οὗτος ἅπας Σαμάρεια ἐκαλεῖτο. Πόθεν οὖν τὴν προσηγορίαν ἔλαβε; Σόμορ τὸ ὄρος ἐλέγετο ἀπὸ τοῦ κτησαμένου, καθάπερ καὶ Ἡσαΐας φησὶ, “καὶ ἡ κεφαλὴ Σομόρων Ἐφραΐμ·” ἀλλ᾿ οἱ οἰκοῦντες οὐ Σαμαρεῖται ἀλλ᾿ Ἰσραηλῖται ἐλέγοντο. Κρόνου δὲ προϊόντος προσέκρουσαν τῷ Θεῷ, καὶ βασιλεύσαντος Φακὲς ἀνελθὼν Θελγαφαλάσσαρ πόλεις τε εἷλε πολλὰς, καὶ ἐπέθετο τῷ Ἡλᾷ, καὶ φόρου ἐποίησεν ὑποτελεῖς. Ἀλλ᾿ οὗτος τὸ μὲν πρῶτον εἶξεν, ὕστερον δὲ ἀπέστη τῆς ἀρχῆς, καὶ πρὸς τὴν τῶν Αἰθιόπων κατέφυγε συμμαχίαν. ἔγνω τοῦτο ὁ Ἀσσύριος, καὶ ἐπιστρατεύσας καὶ ἀνελὼν αὐτοὺς, οὐκ ἔτι τὸ ἔθνος ἐκεῖ μένειν ἀφίησι διὰ τὴν τῆς ἀποστάσεως ὑποψίαν, ἀλλὰ τούτους τοὺς μὲν εἰς Βαβυλῶνα ἤγαγε καὶ Μήδους, ἐκεῖθεν δὲ ἔθνη διαφόρων τόπων ἀγαγὼν κατῴκισεν ἐν τῇ Σαμαρείᾳ, ὥστε λοιπὸν ἀσφαλῆ αὐτῷ τὴν ἀρχὴν εἶναι, τῶν οἰκείων ἐχόντων τὸν τόπον. τούτων δὲ γινομένων, βουλόμενος ὁ Θεὸς δεῖξαι τὴν αὐτοῦ δύναμιν, ὅτι οὐ δι᾿ ἀσθένειαν ἐξέδωκεν Ἰουδαίους, ἀλλὰ διὰ ἁμαρτίας, ἐπαφίησι λέοντας τοῖς βαρβάροις, οἵτινες ἐλυμαίνοντο τὸ ἔθνος ἅπαν. Ἀπηγγέλη οὖν ταῦτα τῷ βασιλεῖ, καὶ πέμπει ἱερέα τινὰ τὸν παραδώσοντα αὐτοῖς τὸν τοῦ Θεοῦ νόμον, ἀλλ᾿ ὅμως οὐδὲ οὕτως ἐξ ὁλοκλήρου τῆς ἀσεβείας ἀπέστησαν, ἀλλ᾿ ἐξ ἡμισείας. Χρόνου δὲ προϊόντος τῶν μὲν εἰδώλων ἀπεπήδησαν, ἐσέβοντο δὲ τὸν Θεὸν, καὶ τῶν πραγμάτων ἐν τούτοις ὄντων, ἐπανελθόντες οἱ Ἰουδαῖοι λοιπὸν ζηλοτύπως πρὸς αὐτοὺς εἶχον, ἅτε πρὸς ἀλλοφύλους καὶ πολεμίους, καὶ ἀπὸ τοῦ ὄρους Σαμαρείτας αὐτοὺς ἐκάλουν, καὶ οὐ μικρὰ ἐντεῦθεν ἦν πρὸς αὐτοὺς ἡ φιλονεικία. οὐδὲ ταῖς γραφαῖς πάσαις ἐκέχρηντο, ἀλλὰ τὰ Μωϋσέως μόνα δεχόμενοι, τῶν ἄλλων προφητῶν οὐδένα ἐποιοῦντο λέγον. Ἐφιλονείκουν μέντοι εἰς τὴν εὐγένειαν εἰσωθεῖν ἑαυτοὺς τὴν Ἰουδαϊκὴν, καὶ ἐφιλοτιμοῦντο ἐπὶ τῷ Ἀβραὰμ, καὶ πρόγονον αὐτὸν ἀπεγράφοντο, ἅτε

ἀπὸ τῆς Χαλδαίας ὄντα· καὶ τὸν Ἰακὼβ δὲ πατέρα ἐκάλουν, ἅτε ἐκείνου ὄντα ἀπόγονον. οἱ δὲ Ἰουδαῖοι τὰ μὲν πάντων τῶν ἐθνικῶν, καὶ τούτους ἐβδελύσσοντο, ὅθεν καὶ τῷ Κυρίῳ Ἰησοῦ ὀνειδίζοντες ἔλεγον, "Σαμαρείτης εἶ σύ·" καὶ αὐτὸς δὲ τοῖς μαθηταῖς οὕτως ἐκέλευε λέγων, "εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε." οὐ τῆς ἱστορίας δὲ ἕνεκεν τοῦ τόπου μόνον ἀνέμνησεν ἡμᾶς τοῦ Ἰακὼβ ὁ Εὐαγγελιστὴς, ἀλλὰ καὶ ὑπὲρ τοῦ δεῖξαι τὴν ἀποβολὴν τὴν Ἰουδαϊκὴν πάλαι γεγενημένην. Καὶ γὰρ ἐπὶ τῶν προγόνων αὐτῶν τοὺς τόπους αὐτῶν ἀντ' αὐτῶν κατέσχον ἐκεῖνοι. Ἃ γὰρ οἱ προπάτορες αὐτῶν ἔσχον οὐκ ὄντα αὐτῶν, ταῦτα διὰ τὴν ἀσέβειαν ὄντα αὐτῶν, ἀπώλεσαν οὗτοι.

Τίνος οὖν ἕνεκεν ἀκριβολογεῖται ὁ Εὐαγγελιστὴς περὶ τοῦ τόπου λέγων, "ἔρχεται εἰς πόλιν Σαμαρείας," καὶ τὰ ἑξῆς; ἵνα ὅταν ἀκούσωμεν τῆς γυναικὸς λεγούσης, "Ἰακὼβ ὁ πατὴρ ἡμῶν "ἔδωκεν ἡμῖν τὴν πηγὴν ταύτην," μὴ ξενισθῶμεν· ὁ γὰρ τόπος ἐκεῖνος ἦν ἔνθα ὑπὲρ τῆς Δίνας οἱ περὶ τὸν Λευῒ καὶ Συμεὼν ἀγανακτοῦντες τὸν χαλεπὸν ἐκεῖνον εἰργάσαντο φόνον. Εἰπὼν δὲ "κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας," ἔδειξεν ὅτι οὕτως ἐβάδιζεν εὐτόνως, ὡς καὶ κοπιᾶσαι, οὐδὲ γὰρ ὑποζυγίοις ἐκέχρητο· πανταχοῦ παιδεύων ἡμᾶς τὸ αὐτουργὸν καὶ ἀπέριττον, καὶ μὴ πολλῶν δεῖσθαι. Τὸ δὲ "οὕτως" ἀντὶ τοῦ ὡς ἁπλῶς καὶ ὡς ἔτυχε, καὶ ὅτι οὐκ ἐπὶ θρόνου, ἀλλ' ἐπ' ἐδάφους ἐκάθητο, ἀναπαύων τὸ σῶμα, καὶ παρὰ τὴν πηγὴν ἀναψύχων αὐτό· ἦν γὰρ ἡμέρα μέση. τοῦτο γὰρ ἐδήλωσεν εἰπὼν, "ὥρα ἦν ὡσεὶ ἕκτη." οὐ τὸ ἐπίπονον δὲ μόνον, ἀλλὰ καὶ τὸ ἄτυφον ἐντεῦθεν δείκνυται, ἐκ τοῦ μόνον αὐτὸν ἐπὶ τῆς ὁδοῦ καταλειφθῆναι. Μανθάνωμεν δὲ καὶ τὸ περὶ τὰς τροφὰς ἠμελημένον, ἐκ τοῦ ἀπελθεῖν τοὺς μαθητὰς αὐτοῦ εἰς τὸ ἀγοράσαι ἄρτους, ὅπως καὶ ἡμεῖς παιδευθῶμεν κρατεῖν γαστρὸς καὶ καταφρονεῖν διαφόρων ἐδεσμάτων, καὶ μὴ περισπούδαστον τὴν ταύτης εἶναι νομίζειν λειτουργίαν.

Χρὴ δὲ καὶ τοῦτο σκοπῆσαι, ὅτι ἐν ᾧ καιρῷ ἅπαντες ἀριστοποιοῦνται, οὗτοι τὰς τροφὰς ἠγόραζον· καὶ ἵνα μή τις ἀναισχυντῶν λέγῃ, ὅτι ὁ προστάσσων μὴ εἰς πόλιν Σαμαρειτῶν εἰσιέναι, Σαμαρείταις διαλέγεται, διὰ τοῦτο ὁ Εὐαγγελιστής φησιν, ὅτι αὐτῷ ἐπὶ τοῦ τόπου καθέδρα διὰ τὸν τόπον γέγονεν, οὐ μὴν διὰ τὸ

συντυχεῖν τῇ γυναικὶ, καὶ περὶ τῆς γυναικὸς, ὅτι διὰ τὸ ἀντλῆσαι ὕδωρ ἐξῆλθε, παραγενόμενον δὲ τὸ γύναιον οὐκ ἐχρῆν λοιπὸν ἀπώσασθαι, οὕτω πολλὴν φιλομαθίαν ἐπιδεικνύμενον· διὸ καὶ εὔλογον αἰτίαν εἰσάγει τῆς πρὸς αὐτὸν διαλέξεως· αἰτεῖ γὰρ ὕδωρ διὰ τὸ δίψος. Πόθεν δὲ αὐτὸν Ἰουδαῖον νομίσασα εἶναί φησι πρὸς αὐτόν· "πῶς σὺ Ἰουδαῖος ὤν," καὶ τὰ ἑξῆς; ἀπὸ τοῦ σχήματος ἴσως καὶ τῆς διαλέξεως. χρὴ δὲ σκοπῆσαι, πῶς διεσκεμμένον ἦν τὸ γύναιον· εἰ γὰρ ἔδει φυλάξασθαι, τὸν Κύριον ἔδει, οὐκ ἐκείνην· οὐ γὰρ εἶπεν ὅτι Σαμαρεῖται Ἰουδαίοις οὐ συγχρῶνται, ἀλλὰ Ἰουδαῖοι Σαμαρείτας οὐ προσίενται, ἀλλ' ὅμως ἡ γυνὴ οὐδὲ οὕτως ἐσίγησεν, ἀλλ' ὡς οἴεται διορθοῦται τὸ μὴ κατὰ νόμον γινόμενον. Ὁ δὲ Χριστὸς πρότερον δείξας αὐτὴν ἀξίαν οὖσαν ἀκοῦσαι καὶ μὴ παροφθῆναι, τότε ἑαυτὸν ἐκκαλύπτει, καί φησι πρὸς αὐτήν· "εἰ ᾔδεις τὴν δωρεὰν τοῦ Θεοῦ" καὶ τὰ ἑξῆς· καὶ γὰρ ἔμελλεν εὐθέως μαθοῦσα ὅστις ἐστὶν, ὑπακούεσθαι καὶ προσέξειν αὐτῷ, διὸ καὶ ἐπιεικῶς πρὸς ταῦτα ἀποκρίνεται λέγουσα· "Κύριε, οὔτε "ἄντλημα ἔχεις," καὶ τὰ ἑξῆς. Εἰποῦσα δὲ, "Κύριε," ἔδειξεν ὅτι εὐθέως τῆς ταπεινῆς ὑπονοίας ἀπέστη, πολλὴν αὐτῷ τὴν τιμὴν ἀπονείμασα· καὶ ἄλλως μὲν ὁ Χριστὸς ἔλεγεν, ἄλλως δὲ ὑπώπτευεν ἐκείνη, "πόθεν ἔχεις τὸ ὕδωρ τὸ ζῶν" λέγουσα. Προβάλλεται δὲ πατέρα τὸν Ἰακὼβ, εἰς τὴν Ἰουδαϊκὴν εἰσωθοῦσα ἑαυτὴν εὐγένειαν, καὶ ὅτι "αὐτὸς ἐξ αὐτοῦ ἔπιεν," φησὶ, καὶ τὰ ἑξῆς. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὅτι οὐ δυνήσῃ δοῦναι ἕτερον τούτου βέλτιον, εἰ μή τι γε τοῦ Ἰακὼβ μείζονα ὁμολογεῖς εἶναι σαυτόν. οὕτως ἐκ πρώτης ἀποκρίσεως ἐδείξατο νόημα μέγα καὶ ὑψηλόν.

12 Τίνος ἕνεκεν ἐκείνης εἰπούσης, "μὴ σὺ μείζων εἶ τοῦ πατρὸς "ἡμῶν Ἰακὼβ," αὐτὸς οὐκ εἶπεν αὐτῇ, ναὶ μείζων εἰμί; ἵνα μὴ δόξῃ κομπάζειν, τῆς ἀποδείξεως μηδέπω φαινομένης· δι' ὧν δὲ λέγει, τοῦτο κατασκευάζει· ἐκ τούτου μὲν γὰρ, φησὶ, τοῦ ὕδατος ὁ πίνων διψήσει πάλιν· "ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω "αὐτῷ, οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα." ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. Εἰ θαυμάζεις, φησὶ, τὸν Ἰακὼβ, ὅτι ἔδωκε τοῦτο τὸ ὕδωρ, ἐξ οὗ ὁ πίνων πάλιν διψήσει, πολλῷ μᾶλλον θαυμάσαι χρὴ τὸν πολὺ τούτου βέλτιον ὕδωρ παρέχοντα "καὶ γὰρ τὸ ὕδωρ," φησὶν, "ὃ "ἐγὼ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς

ζωὴν αἰώνιον," τοῦτο δὲ εἶπε τὸν καθαρμὸν τὸν ἐξ αὐτοῦ καὶ τὴν πολλὴν παραψυχὴν ἐνδεικνύμενον τὴν ἐγγινομένην ταῖς ὑποδεχομέναις αὐτὸν διανοίαις. πολὺ οὖν συνετωτέρα τοῦ Νικοδήμου ἡ γυνὴ αὕτη φανεῖσα καὶ ἀνδρειοτέρα, εὐθέως ἐπίστευσε καί φησι, "Κύριε, δός μοι τοῦτο τὸ ὕδωρ·" ἐκεῖνος γὰρ μυρίων τοιούτων ἀκούων ἔλεγε, πῶς δύναται ταῦτα γενέσθαι; αὕτη δὲ οὐχ οὕτως, ἀλλὰ τὸ μὲν πρῶτον ἠπόρει, ὕστερον δὲ οὐδὲ μετὰ κατασκευῆς, ἀλλ' ἐν ἀποφάσεως τάξει δεξαμένη τὸν λόγον, ἐπὶ τὴν λῆψιν εὐθέως ἐπείγεται. προετίμησέ γε αὐτὸν τοῦ Ἰακὼβ, εἰποῦσα "ἵνα "μὴ διψῶ, μηδὲ ἔρχομαι ἐνθάδε ἀντλεῖν," τοῦτο γὰρ, φησὶ, γινομένου, οὐκέτι δέομαι ταύτης τῆς πηγῆς.

16 Εἶπε δὲ αὐτῇ, "ὕπαγε, φώνησον τὸν ἄνδρα σου" διὰ τὸ ἐπικεῖσθαι αὐτὴν τοῦ λαβεῖν, ὡσανεὶ ἐνδεικνύμενος, ὅτι κακεῖνον δεῖ κοινωνῆσαι τούτων ὧν σὺ ποθεῖς. ἐκείνη δὲ σπεύδουσα λαβεῖν, ἅμα δὲ καὶ κρύπτουσα τὸ τοῦ πράγματος αἰσχρὸν, φησὶν, "ἄνδρα οὐκ ἔχω·" αὐτὸς δὲ διὰ προφητείας λοιπὸν ἀποκαλύπτων τὴν δύναμιν τὴν ἑαυτοῦ, ἀμφότερα μετὰ ἀκριβείας λέγει· τούς τε γὰρ προτέρους ἠρίθμησε, καὶ τὸν νοῦν κρυπτόμενον ἤλεγξεν. οὐκ ἐδυσχέρανε δὲ ἐκείνη ταῦτα ἀκούσασα, οὐδὲ ἀφεῖσα ἔφυγεν, ἀλλὰ θαυμάσασα μᾶλλον καὶ προσκαρτερήσασα πλέον, λέγει, "Κύριε, θεωρῶ ὅτι προφήτης εἶ σὺ," ἀπὸ πολλῆς φιλοσοφίας· τὸ δὲ "θεωρῶ" ἀντὶ τοῦ, φαίνει μοι, εἶπεν, ὅθεν καὶ περὶ δογμάτων εὐθέως αὐτὸν ἐρωτᾷ, οὐ περὶ βιωτικῶν, οὐδὲ περὶ σώματος ὑγιείας, οὐδὲ περὶ χρημάτων, ἀλλὰ τί; "οἱ πατέρες ἡμῶν," φησὶν, "ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν·" τοὺς περὶ τὸν Ἀβραὰμ λέγουσα, καὶ γὰρ ἐκεῖ, φασὶ, τὸν υἱὸν αὐτὸν ἀνηνοχέναι, "καὶ ὑμεῖς λέγετε, ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν "ὁ τόπος ἔνθα χρὴ προσκυνεῖν." ἴδες πῶς ὑψηλοτέρα τῇ διανοίᾳ γέγονε; ἡ γὰρ μὴ ὑπὲρ τοῦ σκύλλεσθαι διὰ τὸ διψεῖν πρὸ μικροῦ μεριμνῶσα, ὑπὲρ δογμάτων ἐρωτᾷ λοιπὸν, διὸ καὶ ὁ Χριστὸς τοῦτο μὴ λύσας τὸ ζήτημα, οὐ γὰρ ἦν αὐτῷ περισπούδαστον, πολὺ μέγα αὐτῇ δόγμα ἀπεκάλυψεν, ὅπερ οὐδὲ Νικοδήμῳ οὐδὲ Ναθαναὴλ ἐγνώρισε· φησὶ γὰρ, "πίστευσόν μοι γύναι, ὅτι ἔρχεται "ὥρα," καὶ τὰ ἑξῆς. αὐτὴ μὲν γὰρ ἐσπούδαζεν ἐντιμότερα δεῖξαι τὰ αὐτῆς τῶν Ἰουδαϊκῶν, αὐτὸς δὲ οὐ πρὸς ταύτην ὑπήντησε τὴν ἐρώτησιν, ἀμφοτέρων δὲ τῶν τόπων τὰ πρεσβεῖα ἀνελὼν, δια-

νίστησιν αὐτῆς τὴν ψυχὴν, δεικνὺς ὅτι οὔτε Ἰουδαῖοι οὔτε αὐτοὶ ἔχουσί τι πρὸς τὸ μέλλον δωρεῖσθαι· πλὴν καὶ οὕτω τοὺς Ἰουδαίους σεμνοτέρους ἀπέφηνεν εἰπὼν, "ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε, καὶ τὰ ἑξῆς.

Πῶς δὲ οὐκ ᾔδεσαν οἱ Σαμαρεῖται ὃ προσεκύνουν; πέμψαντες ἀπήγγειλαν, ὅτι ὁ τοῦ τόπου Θεὸς αὐτοὺς λυμαίνεται, οὐδὲν πλέον περὶ αὐτοῦ κατὰ τοῦτο τῶν εἰδώλων φανταζόμενοι, διὸ καὶ ἐπέμειναν καὶ δαιμόνια θεραπεύοντες καὶ αὐτόν. Ἰουδαῖοι δὲ ταύτης ἦσαν ἀπηλλαγμένοι τῆς ὑπονοίας, καὶ τῆς οἰκουμένης ᾔδεσαν αὐτὸν Θεὸν ὄντα, καὶ εἰ μὴ πάντες. Οὐ χρὴ δὲ θαυμάζειν ὅτι μετὰ Ἰουδαίων αὐτῶν ἀριθμεῖ· πρὸς γὰρ τὴν ὑπόνοιαν τῆς γυναικὸς διαλέγεται ὡς προφήτης, ὡς Ἰουδαῖος· διὸ καὶ τὸ "προσκυνοῦμεν" τέθεικε.

21 Τί σημαίνων, φησὶν, "ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστίν;" ἢ ὅτι τῇ οἰκουμένῃ τὰ ἀγαθὰ ἐκεῖθεν γέγονε. Τὸ γὰρ εἰδέναι Θεὸν καὶ καταγιγνώσκειν εἰδώλων, ἐκεῖθεν τὴν ἀρχὴν ἔχει, καὶ τὰ ἄλλα πάντα δόγματα· καὶ παρ' ὑμῖν δέ φησιν αὐτὸ τοῦτο τὸ τῆς προσκυνήσεως, εἰ καὶ μὴ ὀρθῶς. Ἀπὸ γοῦν τῶν Ἰουδαίων τὴν ἀρχὴν ἔλαβε. σωτηρίαν οὖν ἢ ταῦτα, ἢ τὴν αὐτοῦ παρουσίαν καλεῖ, μᾶλλον δὲ οὐκ ἄν τις ἁμάρτοι, ἀμφότερα ταῦτα σωτηρίαν καλῶν.

Ἀμμωνίου πρεσβυτέρου. Διὰ τὸ ἐξ αὐτῶν ἐσαρκῶσθαι τὸν Υἱὸν, ἢ ὅτι ἐξ ἐκείνων ἤρξαντο εἰδέναι τὸν ἕνα Θεὸν, ἐκ τοῦ νόμου καὶ τῶν προφητῶν.

Ὠριγένους. Ὅταν ἀκούσῃς ὅτι "ἐκ τῶν Ἰουδαίων ἡ σωτηρία ἐστὶν," περὶ τοῦ ταῦτα λέγοντος ἄκουε τὰ εἰρημένα. Αὐτὸς γὰρ ἡ τῶν ἐθνῶν προσδοκία, ὁ γενόμενος ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα. τὸ δὲ "ἔρχεται ὥρα καὶ νῦν ἐστι," καὶ τὰ ἑξῆς, τοῦτο δηλοῖ, ὅτι εἰ καὶ πλεονεκτοῦμεν ὑμῶν, ὦ γύναι, φησὶ, τῷ τρόπῳ τῆς προσκυνήσεως, πλὴν ἀλλὰ καὶ οὗτος ὁ τρόπος τέλος ἕξει λοιπόν. Οὐ γὰρ τὰ τῶν τόπων ἀμειφθήσεται μόνον, ἀλλὰ καὶ τὰ τοῦ τρόπου τῆς λατρείας, καὶ ταῦτα ἐπὶ θύραις ἐφέστηκε, καὶ οὐχ ὡς τὰ ὑπὸ τῶν προφητῶν εἰρημένα παρέκτασιν χρόνου λήψονται. Εἰπὼν δὲ "ἀληθινοὺς," συνεξέβαλε Σαμαρείταις

Ἰουδαίους· εἰ γὰρ καὶ ἐκείνων ἀμείνους οὗτοι, ἀλλὰ τῶν μελλόντων ἐλάττους πολλῷ, καὶ τοσοῦτον ὅσον ἀληθείας τόπος.

Ἀμμωνίου. Οἱ ἀληθεῖς προσκυνηταὶ ἐν παντὶ τόπῳ προσάγουσι τῷ Θεῷ τὰς πνευματικὰς θυσίας, ὅ ἐστιν ἀρετὴ καὶ θεοσέβεια.

Περὶ δὲ τῆς Ἐκκλησίας λέγει, ὅτι ἡ ἀληθὴς προσκύνησις καὶ Θεῷ πρέπουσα αὕτη ἐστι· "τοιούτους γὰρ ὁ πατὴρ, φησὶ, ζητεῖ "τοὺς προσκυνοῦντας αὐτῷ," τοὺς μὴ τόπῳ περικλείοντας τὴν λατρείαν, ὡς ὑμεῖς οἱ Σαμαρεῖται, καὶ τοὺς τὸν Θεὸν ἐν πνεύματι θεραπεύοντας, καθὼς καὶ ὁ Παῦλός φησιν, "ᾧ καὶ λατρεύω ἐν "τῷ πνεύματί μου." Ἡ γὰρ πρὸ τούτου παρὰ τοῖς Ἰουδαίοις γιγνομένη προσκύνησις συγκαταβάσεως ἦν.

Εἰπὼν, "πνεῦμα ὁ Θεὸς," τὸ ἀσώματον λέγει. Εἰ τοίνυν οὐκ ἔστι σῶμα, φησὶ, καὶ τὴν λατρείαν αὐτοῦ τοιαύτην εἶναι δεῖ, καὶ διὰ τοῦ ἐν ἡμῖν ἀσωμάτου προσφέρεσθαι, τουτέστι διὰ τῆς ψυχῆς, διὰ τῆς τοῦ νοῦ καθαρότητος, τοῦτο γὰρ δῆλοι, ὅτι "τοὺς προσκυ-"νοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν."

25 Πόθεν Σαμαρείταις τὸ προσδοκᾷν τὴν τοῦ Χριστοῦ παρουσίαν; τοῦτο γὰρ δῆλον ἐκ τοῦ τὴν γυναῖκα εἰπεῖν πρὸς τὸν Χριστὸν," "ἔρχεται Μεσσίας ὁ λεγόμενος Χριστὸς," καὶ τὰ ἑξῆς· τὸν Μωϋσέως δεξάμενοι νόμον, ἀπ' αὐτῶν τῶν Μωϋσέως γραμμάτων, καὶ γὰρ ἐν ἀρχῇ τὸν Υἱὸν ἀπεκάλυψε· τὸ γὰρ "ποιήσωμεν "ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμίωσιν ἡμετέραν" πρὸς τὸν Θεὸν εἴρηται—καὶ τῷ Ἀβραὰμ ἐν τῇ σκηνῇ οὗτος ἦν ὁ διαλεγόμενος, καὶ ὁ Ἰακὼβ περὶ αὐτοῦ προφητεύων ἔλεγεν, "οὐκ ἐκλείψει "ἄρχων ἐξ Ἰούδα, ἕως ἂν ἔλθῃ ὃ ἀπόκειται." καὶ αὐτὸς δὲ Μωϋσῆς, φησὶ, "προφήτης ἡμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ "τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμὲ, αὐτοῦ ἀκούσεσθε·" καὶ πολλὰ ἕτερα τοιαῦτά ἐστι τὴν παρουσίαν αὐτοῦ ἀνακηρύττοντα. Διὰ τοῦτο οὖν φησὶν ἡ γυνὴ πρὸς αὐτὸν, "ἔρχεται Μεσσίας ὁ λεγόμενος "Χριστὸς," καὶ τὰ ἑξῆς. Αὐτὸς δὲ λοιπὸν ἐκκαλύπτων ἑαυτὸν φησὶν, "ἐγὼ εἰμὶ ὁ λαλῶν σοι," ὅπερ ἂν εἰ παρὰ τὴν ἀρχὴν μὴ ζητησάσῃ τῇ γυναικὶ εἶπεν, ἔδοξεν ἂν αὐτῇ ληρεῖν. Νῦν δὲ κατὰ μικρὸν αὐτὴν ἐπὶ τὴν μνήμην ἀγαγὼν, εὐκαίρως ἑαυτὸν ἀπεκά-

λυψε, καὶ τοῖς μὲν Ἰουδαίοις συνεχῶς λέγουσι, "εἰπὲ ἡμῖν εἰ σὺ "εἶ ὁ Χριστὸς," ἐπειδὴ οὐδὲν τὸ μαθεῖν ἠρώτων τοῦτο, οὐκ ἀπεκρίνατο αὐτοῖς σαφῶς, ταύτῃ δὲ διὰ τὸ εὐγνωμονεστέραν εἶναι, εἶπε φανερῶς· καὶ γὰρ ἐξ ἀδεκάστου καὶ ἁπλῆς γνώμης καὶ διανοίας ἐφθέγγετο· καὶ δῆλον ἐκ τῶν μετὰ ταῦτα· καὶ γὰρ ἀκούσασα ἐπίστευσε, καὶ ἄλλους ἐπὶ τοῦτο ἐσαγήνευσε, καὶ πανταχοῦ τῆς γυναικὸς ἐστὶν ἰδεῖν καὶ τὸ ἠκριβωμένον καὶ τὸ πιστόν.

27 Ἀπαρτισθείσης τῆς διδασκαλίας εὐκαίρως ἀπήντησαν καὶ οἱ μαθηταὶ, καὶ ἐθαύμαζον ὅτι μετὰ γυναικὸς ἐλάλει. Τί ἐθαύμαζον; τὸ ἄτυφον, τὸ μεθ' ὑπερβολῆς ταπεινὸν, ὅτι οὕτω περίβλεπτος ὢν ἠνείχετο μετὰ τοσαύτης ταπεινοφροσύνης γυναικὶ διαλέγεσθαι πενιχρᾷ καὶ Σαμαρείτιδι· ἀλλ' ὅμως ἐκπλαγέντες οὐκ ἠρώτησαν τὴν αἰτίαν· οὕτως ἦσαν πεπαιδευμένοι τὴν τῶν μαθητῶν τάξιν τηρεῖν· οὕτως αὐτὸν ἐδεδοίκεισαν καὶ ᾐδοῦντο. εἰ δὲ ἀλλαχοῦ φαίνονται παρρησιαζόμενοι, οἷον ὅταν ὁ Ἰωάννης ἐπιπίπτει αὐτοῦ τῷ στήθει, ὅταν αὐτῷ προσίεντες λέγουσι τίς μείζων, καὶ ὅταν υἱοὶ Ζεβεδαίου καλοῦσιν, ἵνα εἷς ἐκ δεξιῶν, καὶ εἷς ἐξ εὐωνύμων αὐτοῦ καθίσῃ, ἀλλ' ἐκεῖνα ὡς εἰς αὐτοὺς ἀνήκοντα ἀνάγκην εἶχον ἐξετάζειν· ἐνταῦθα δὲ οὐδὲν αὐτοῖς διέφερε τὸ γινόμενον.

28 Ἡ δὲ γυνὴ οὕτως ὑπὸ τῶν εἰρημένων αὐτῇ ἀνήφθη, ὡς καὶ τὴν ὑδρίαν ἀφεῖναι, καὶ δραμεῖν εἰς τὴν πόλιν, καὶ πάντα δῆμον ἑλκύσαι πρὸς τὸν Χριστόν· καὶ κατὰ τὴν οἰκεῖαν δύναμιν· ὅπερ ἐποίησαν οἱ Ἀπόστολοι, καὶ αὐτὴ πεποίηκεν, οὐχ ἕνα ἢ δύο καλοῦσα, ἀλλὰ πόλιν ὁλόκληρον, "δεῦτε," βοῶσα "καὶ ἴδετε "ἄνθρωπον, ὃς εἶπέ μοι πάντα ὅσα ἐποίησα." Ἄνθρωπον δὲ αὐτὸν καλεῖ, συνετῶς καὶ τοῦτο ποιοῦσα καὶ συγκαταβατικῶς, καὶ οὐδαμῶς ἐπῃσχύνθη τοῦ εἰπεῖν, "ὃς εἶπέ μοι πάντα ὅσα ἐποίησα·" καίτοιγε ἦν εἰπεῖν ἑτέρως, δεῦτε, ἴδετε προφήτην προφητεύοντα· ἀλλ' ὅταν πυρωθῇ ψυχὴ θείῳ πυρὶ, πρὸς οὐδὲν τῶν ἐν τῇ γῇ λοιπὸν ὁρᾷ, οὐ πρὸς δόξαν, οὐ πρὸς αἰσχύνην.

Τὸ δὲ, "μήτι οὗτός ἐστιν ὁ Χριστός; εἶπε βουλομένη οὐκ ἐκ τῆς ἰδίας ἀποφάσεως μόνον παρεισάγειν αὐτὸν, ἀλλὰ καὶ αὐτοὺς τῆς ψήφου ταύτης ποιῆσαι κοινωνοὺς, ὃ μᾶλλον εὐπαράδεκτον ἐποίει τὸν λόγον. Ἠρώτων δὲ οἱ μαθηταὶ τὸν Χριστὸν, τουτέστι

παρεκάλουν· τοῦτο γὰρ δῆλοι τῇ ἐγχωρίῳ αὐτῶν φωνῇ λέγοντες "ῥαββὶ, φάγε," οὐκ ἐκ προπετοῦς γνώμης, ἀλλ' ἐκ πολλῆς φιλοστοργίας πρὸς τὸν διδάσκαλον, καὶ γὰρ ἔβλεπον αὐτὸν κεκμηκότα ὑπὸ τῆς ὁδοιπορίας καὶ τῆς φλογὸς[f] τῆς ἐπικειμένης.

31 Τί σημαίνει ὅπερ εἶπεν αὐτοῖς, "ἐγὼ βρῶσιν ἔχω φαγεῖν, ἣν "ὑμεῖς οὐκ οἴδατε;" δεικνὺς οἵαν ἐπιθυμίαν ἔχει περὶ τῆς ἡμετέρας σωτηρίας· ταύτην γὰρ "βρῶσιν" ἐκάλεσεν, οὐκ ἐκ τοῦ προχείρου δὲ, ἀλλὰ δι' αἰνιγμάτων τὰ μὲν ἀποκαλύπτει, ὥσπερ καὶ τοῦτο, ἵνα εἰς ἀπορίαν ἐμβαλὼν τὸν ἀκροατὴν παρασκευάσῃ ἐπιπόνως ζητεῖν τὸ λεγόμενον, αὐτοὶ δὲ τὴν αἰδῶ τὴν συνήθη κατέχοντες, αὐτῷ μὲν πεῦσιν οὐκ ἐτόλμησαν προσαγαγεῖν· πρὸς ἀλλήλους δὲ ἔλεγον "μή τις ἤνεγκεν αὐτῷ φαγεῖν;" διὸ καὶ αὐτὸς σαφέστερον αὐτοῖς ἀπεκάλυψε λέγων, "ἐμὸν βρῶμά ἐστιν, ἵνα ποιῶ τὸ "θέλημα τοῦ Πατρός μου," ὅπερ ἑρμηνεύων ἐπήγαγεν, "οὐχ "ὑμεῖς λέγετε ὅτι τετράμηνόν ἐστιν, καὶ ὁ θερισμὸς ἔρχεται," καὶ τὰ ἑξῆς.

Κυρίλλου. Ὅλος μὲν ἐξ ὅλου πρὸς τὴν τῶν κεκλημένων σωτηρίαν συντείνεται, ποιεῖται δὲ λόγον οὐδένα τῆς τοῦ σώματος τροφῆς, καίτοι κεκμηκὼς ἐξ ὁδοιπορίας, ἵνα πάλιν διὰ τούτου τοὺς ἐν ταῖς ἐκκλησίαις ὠφελήσῃ διδασκάλους, καὶ καμάτου μὲν παντὸς ἀναπείσῃ περιορᾷν, κρείττονα δὲ τῆς περὶ τὸ σῶμα φροντίδος τὴν ἐπὶ τοῖς σωζομένοις ποιεῖσθαι σπουδήν.

Ἀμμωνίου. Ὡς διδασκάλους τῆς οἰκουμένης διδάσκει τοὺς μαθητὰς προτιμᾷν τῆς οἱασδηποτοῦν βρώσεως τὸ θέλημα τοῦ Θεοῦ. ὡς ἐπιθυμεῖ τις τροφῆς, οὕτω κἀγὼ τῆς σωτηρίας τῶν ἀνθρώπων.

Ἀπολιναρίου. Δηλοῦσιν ὅτι τὰς διακονίας τῶν προφερόντων ἐδέχετο, καίτοι δυνατὸς ὢν τρέφειν καὶ μὴ τρέφεσθαι. εὐεργεσία γὰρ μεγίστη τὸ τρέφειν Χριστὸν, ἧς οὐκ ἐφθόνει τοῖς βουλομένοις, διὸ καὶ τοῖς μαθηταῖς τὸ ἴσον ἔταξεν.

Κυρίλλου. Ἀπεστάλθαι δέ φησι, δῆλον δὲ ὅτι παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς ἢ κατὰ τὸν τῆς ἐνανθρωπήσεως τρόπον, ἢ ὡς Λόγος ἐκ τοῦ γεννήσαντος νοῦ, προκύπτων τινὰ καὶ πεμπόμενος. Καὶ μετ'

[f] φοιγὸς Cod.

ὀλίγα—Τοιγαροῦν ὑπάρχων ὁ Υἱὸς τὸ ἀγαθὸν τοῦ Πατρὸς θέλημα, τελειοῖ τὸ ἔργον αὐτοῦ, σωτηρίαν τοῖς πιστεύουσιν εἰς αὐτὸν ἀναδεικνύμενος. χώρας μὲν καὶ θερισμὸν τὸ πλῆθος τῶν ἑτοίμων πρὸς ὑποδοχὴν τοῦ κηρύγματος ὀνομάζει· ὀφθαλμοὺς δὲ ἐνταῦθα λέγει, ἢ τοὺς τῆς διανοίας ἢ τοὺς τοῦ σώματος· καὶ γὰρ ἑώρων λοιπὸν τὸ πλῆθος τῶν Σαμαρειτῶν ἐρχόμενον· τὴν δὲ τῆς προαιρέσεως αὐτῶν ἑτοιμότατα τὰς χώρας τὰς λευκαινομένας φησίν. ὥσπερ γὰρ οἱ ἀστάχυες ἐπειδὰν λευκανθῶσι πρὸς ἀμητὸν εἰσὶν ἕτοιμοι· οὕτω καὶ οὗτοι πρὸς σωτηρίαν ἦσαν παρεσκευασμένοι. "Ὁ θερίζων," φησὶ, "μισθὸν λαμβάνει καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον, ἵνα "καὶ ὁ σπείρων ὁμοῦ χαίρῃ καὶ ὁ θερίζων." Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. Οἱ προφῆται, φησὶν, ἔσπειραν καὶ οὐκ ἐθέρισαν· οὐ μὴν διὰ τοῦτο ἀπεστέρηνται τῆς ἡδονῆς, ἀλλὰ σὺν ἡμῖν χαίρουσιν, εἰ καὶ μὴ σὺν ἡμῖν θερίζουσι· τοῦτο δὲ οὐ συμβαίνει ἐν τοῖς αἰσθητοῖς γενέσθαι, ἀλλ' ἐν τοῖς πνευματικοῖς. Ἐὰν γὰρ ἐν τοῖς αἰσθητοῖς συμβῇ ἕτερον σπεῖραι καὶ ἕτερον θερίσαι, οὐχ ὁμοῦ χαίρουσιν, ἀλλ' οἱ θερίζοντες· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ καὶ οἱ σπείραντες ὁμοίως τοῖς ἀμῶσι χαίρουσι. Τίνος ἕνεκεν, φησὶν ὁ Χριστὸς πρὸς τοὺς Ἀποστόλους, "ἀπέστειλα ὑμᾶς θερίζειν, ὃ "οὐχ ὑμεῖς κεκοπιάκατε;" ἵνα ὅταν αὐτοὺς ἀποστέλλῃ, μὴ θορυβηθῶσιν ὡς εἰς πρᾶγμα ἐπίπονον πεμπόμενοι· τὸ γὰρ ἐπιπονώτερον τὸ τῶν προφητῶν ἦν· διό φησιν, ἄλλοι κεκοπιάκασι," τουτέστιν, οἱ προφῆται, "καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσελη"λύθατε."

Ἀμμωνίου. Ὡς ἐμοῦ ὄντος τοῦ σπόρου, καὶ διὰ προφητῶν ἐλαλήθη, πέμπω ὑμᾶς θερίσαι. οἱ μαθηταὶ καὶ τοὺς Ἕλληνας τῶν γηΐνων καὶ τοὺς Ἰουδαίους τῶν σαρκικῶν τοῦ νόμου λατρειῶν ἀποτέμνουσι, καὶ εἰς τὴν ἅλω ἀποτίθενται, ὅ ἐστι τὴν Ἐκκλησίαν, ὅπου στάχυς τριβόμενος γίνεται σῖτος, ὁ ζωοποιῶν τοὺς πιστούς.

Ὁ πνευματικὸς θερισμὸς, ὅ ἐστιν ἡ θεοσεβὴς ἐργασία, τὴν μὲν ἀπόθεσιν καὶ τὸν ἀποθησαυρισμὸν ἐν οὐρανοῖς ἔχει, ἐν δὲ τῷ μέλλοντι αἰῶνι ἀπόλαυσιν ἀτελεύτητον· οὗτος γάρ ἐστιν ὁ καιρὸς τῆς ἀνταποδόσεως.

39 "Ἐκ τῆς πόλεως δὲ ἐκείνης πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν τῶν "Σαμαρειτῶν," ἐπειδὴ συνεώρων ὅτι οὐκ ἂν ὑπὲρ τοῦ χαρίσασθαι

ἑτέρῳ τὸν ἑαυτῆς ἐξεπόμπευσε βίον. Ἐμαρτύρει γὰρ λέγουσα "ὅτι εἶπέ μοι πάντα ὅσα ἐποίησα." Διὸ καὶ ἐβούλοντο διηνεκῶς κατέχειν αὐτόν. Τοῦτο γὰρ ὁ Εὐαγγελιστὴς ἐδήλωσεν εἰπὼν, ὅτι "ἠρώτων αὐτὸν μεῖναι παρ' αὐτοῖς." Αὐτὸς δὲ τοῦτο μὲν οὐκ ἐπείσθη ποιῆσαι· δύο δὲ μόνον ἡμέρας ἔμεινε παρ' αὐτοῖς, ὅθεν "καὶ πολλῷ πλείους ἐπίστευσαν εἰς αὐτὸν διὰ τὸν λόγον αὐτοῦ," καίπερ σημεῖον οὐδὲν ἰδόντες[g]. Ἰουδαῖοι δὲ καὶ θαύματα θεασάμενοι, καὶ τοῖς προφήταις συντραφέντες, οὐ μόνον οὐ κατεῖχον αὐτὸν, ἀλλὰ καὶ ἀπήλαυνον.

Ἀμμωνίου πρεσβυτέρου. Σαμαρεῖται αἰτοῦσι τὸν Χριστὸν μεῖναι πρὸς αὐτοὺς, ὅτι τινές εἰσιν ἀλλογενεῖς, καὶ οἱ συγγενεῖς αὐτοῦ τὸ κατὰ σάρκα Ἰουδαῖοι ἐδίωκον αὐτὸν, ὅτι "ἐχθροὶ τοῦ "ἀνθρώπου οἱ οἰκιακοὶ αὐτοῦ."

Τοῦ Χρυσοστόμου. Τὴν διδάσκουσαν ὑπερηκόντισαν· εὐθέως γὰρ ἐνόησαν ὅτι τὴν οἰκουμένην ἐπισπάσασθαι ἔμελλον, ὅτι ἐπὶ διορθώσει τῆς κοινῆς ἦλθε σωτηρίας, ὅτι οὐκ ἐν Ἰουδαίοις μέλλει ἀποκλείειν αὐτοῦ τὴν πρόνοιαν, ἀλλὰ πανταχοῦ σπείρειν τὸν λόγον· ἀλλ' οὐχ Ἰουδαῖοι οὕτως, ἀλλὰ ζητοῦντες τὴν ἰδίαν δικαιοσύνην στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν.

42 Οὐχ ἁπλῶς δὲ καλοῦσιν αὐτὸν Σωτῆρα οἱ Σαμαρεῖται, ἀλλὰ τοῦ κόσμου, ὡς τὴν ἀληθινὴν σωτηρίαν παρέχοντα. Ἦλθον μὲν γὰρ πολλοὶ σῶσαι καὶ Ἄγγελοι καὶ προφῆται, ἀλλὰ περὶ αὐτοῦ μόνου λέγουσιν, "ὅτι ἀληθινὸς Σωτὴρ οὗτός ἐστιν." Διὸ καὶ τὴν πρώην[h] αὐτοὺς διδάσκουσαν ὑπερηκόντισαν ὕστερον, φιλοτιμούμενοι ἐπὶ τὸ μειζόνως θαυμάζειν αὐτὸν, ἐνόησαν γὰρ εὐθέως ἐκ τῶν ῥημάτων αὐτοῦ ὧν ἐδίδασκεν αὐτοὺς, τὸν ὄντως Σωτῆρα αὐτὸν εἶναι, καὶ οὐχ ἕνα τῶν πολλῶν.

Τίνος δὲ ἕνεκεν οὐ λέγουσιν ἡμῖν οἱ Εὐαγγελισταὶ τὰ θαυμαστὰ ῥήματα τῆς διδασκαλίας αὐτοῦ; ὅπως μάθωμεν, ὅτι πολλὰ τῶν μεγάλων παρατρέχουσιν· ἐκ δὲ τοῦ τέλους τῶν πραγμάτων ἵνα ἡμεῖς αὐτοὶ συνορῶμεν τὴν τούτων δύναμιν.

[g] ἰδότες Cod. [h] πώρην Cod.

ΚΕΦ. ϛ.

Περὶ τοῦ βασιλικοῦ.

43 Διὰ τί μετὰ τὸ εἰπεῖν τὸν Εὐαγγελιστὴν ὅτι ἀπῆλθεν εἰς τὴν Γαλιλαίαν, προσέθηκεν ὅτι "αὐτὸς γὰρ ὁ Χριστὸς ἐμαρτύρησεν "ὅτι προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχει;" ἐπειδὴ οὐκ εἰς τὴν Καπερναοὺμ ἀπῆλθεν, ἀλλ' εἰς τὴν Γαλιλαίαν, κἀκεῖθεν εἰς τὴν Κανᾶ. Ἵνα γὰρ μὴ ἐξετάσῃ τις διὰ τί παρὰ μὲν τοῖς αὐτοῦ οὐκ ἔμεινε, παρὰ δὲ τοῖς Σαμαρείταις ἔμεινε, τίθησι τὴν αἰτίαν λέγων ὅτι οὐ προσεῖχον αὐτῷ. Διὰ τοῦτο γὰρ οὐκ ἀπῆλθεν, ἵνα μὴ μεῖζον αὐτοῖς τὸ κρίμα γένηται.

Πατρίδα δὲ ἑαυτοῦ καλεῖ, τὸν τῆς οἰκονομίας λόγον δηλῶν· τί οὖν οὐχ ὁρῶμεν, φησὶ, καὶ παρὰ τοῖς Ἰουδαίοις πολλοὺς θαυμαζομένους, μάλιστα μὲν οὐκ ἀπὸ τῶν σπανιζόντων τὰ τοιαῦτα δεῖ ψηφίζεσθαι. Εἰ δέ τινες ἐν τῇ αὐτῶν τιμῶνται πατρίδι, πολλῷ μᾶλλον ἐν τῇ ἀλλοτρίᾳ· ἡ γὰρ συνήθεια εὐκαταφρονήτους ποιεῖν εἴωθεν.

Ἀμμωνίου. Οὐχ ὡς τιμῆς ἀντιποιούμενος ἐξῆλθεν, ἀλλὰ τῶν πολιτῶν φειδόμενος· ὅτι γὰρ ἑώρων αὐτὸν, ἐθυμοῦντο· ὃς ἐν τιμῇ ὢν τῇ θείᾳ ἐσαρκώθη, καὶ τὸν ἀτιμότατον ὑπέστη θάνατον διὰ τὴν ἡμῶν σωτηρίαν.

Ὧδε ἑαυτὸν καλεῖ τὸν προφήτην τὸν ὑπὸ Μωϋσέως προανακηρυχθέντα, ὃς καὶ προφήτης οἰκονομικῶς ἐκλήθη, αὐτὸς ὢν ὁ τοῦ Πνεύματος χορηγὸς ὡς Θεὸς, δι' οὗ προφῆται ἐπροφήτευον. μέμνηται δὲ τῶν Γαλιλαίων ἀποδεξαμένων αὐτὸν, ἵνα δείξῃ ὅτι οἱ κακιζόμενοι οὗτοι μάλιστα προσερχόμενοι αὐτῷ εὑρίσκονται. Ὁ μὲν γὰρ ἔλεγεν, "ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι;" ἄλλος δὲ "ὅτι ἐκ τῆς Γαλιλαίας προφήτης οὐκ ἐγήγερται," ἀλλ' ἰδοὺ καὶ Σαμαρεῖται καὶ Γαλιλαῖοι πιστεύουσιν εἰς αἰσχύνην Ἰουδαίων· εὑρέθησαν δὲ καὶ Γαλιλαίων οἱ Σαμαρεῖται βελτίους. Ἐκεῖνοι μὲν γὰρ ἀπὸ τῶν τῆς γυναικὸς ἐδέξαντο ῥημάτων αὐτὸν, οὗτοι δὲ ἑωρακότες, φησὶ, τὰ σημεῖα ἃ ἐποίησεν.

46 Τίνος ἕνεκεν ἀναμιμνήσκει τοῦ θαύματος ὁ Εὐαγγελιστὴς λέγων, "ὅπου ἐποίησε τὸ ὕδωρ οἶνον;" τῶν Σαμαρειτῶν τὸ ἐγκώ-

μιον αὐξῆσαι βουλόμενος· οἱ μὲν γὰρ Γαλιλαῖοι καὶ ἀπὸ τῶν ἐν Ἱεροσολύμοις καὶ ἀπὸ τῶν ἐκεῖ γενομένων σημείων αὐτὸν ἐδέξαντο, οἱ δὲ Σαμαρεῖται οὐχ οὕτως, ἀλλὰ ἀπὸ διδασκαλίας μόνης. Βασιλικὸν δὲ καλεῖ, ἤτοι ὡς ἐκ τοῦ γένους τοῦ βασιλικοῦ ὑπάρχοντα, ἢ ἀξιώματι ἀρχῆς ἕτερον, οὕτω καλούμενον ἔχοντα. τινὲς μὲν οὖν ἐκεῖνον αὐτὸν εἶναι νομίζουσι τὸν παρὰ τῷ Ματθαίῳ· δείκνυται δὲ ἕτερος ὢν παρ' ἐκεῖνον, οὐκ ἀπὸ τοῦ ἀξιώματος μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς πίστεως. ἐκεῖνος μὲν γὰρ βουλομένου τοῦ Χριστοῦ ἐλθεῖν, ἀξιοῖ μένειν· οὗτος δὲ εἰς τὴν οἰκίαν ἕλκει· κἀκεῖνος μέν φησιν, οὐκ εἰμὶ ἄξιος, οὗτος δὲ καὶ κατεπείγει· κακεῖ μὲν ἀπὸ τοῦ ὄρους καταβὰς εἰς Καπερναοὺμ εἰσίει, νῦν δὲ ἀπὸ τῆς Σαμαρείας, καὶ οὐκ εἰς Καπερναοὺμ, ἀλλ' εἰς Κανᾶ· κἀκείνου μὲν ὁ παῖς παραλύσει κατείχετο, ὁ δὲ τούτου υἱὸς πυρετῷ.

48 Περὶ τίνων εἶπεν ὁ Χριστὸς, "ὅτι ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε, οὐ μὴ πιστεύσητε;" αὐτὸς γὰρ ὁ βασιλικὸς οὐ φαίνεται ἐκ πίστεως αὐτῶν, ἀλλ' ἢ τῆς πόλεως αὐτοῦ καθαπτόμενος τοῦτό φησιν, ἢ καὶ τούτου αὐτοῦ, οὐχ ὡς ὁλόκληρον ταύτην, ἀλλὰ μερικὴν κεκτημένου. καὶ γὰρ καὶ τὸ εἰπεῖν αὐτὸν, "Κύριε, κατάβηθι πρὶν ἀποθανεῖν τὸν υἱόν μου," τὴν ἀσθένειαν αὐτοῦ ἐμφαίνει, ὡς μὴ πιστεύοντος αὐτοῦ, ὅτι εἰ καὶ συμβῇ αὐτὸν ἀποθανεῖν, δυνατός ἐστιν ἀναστῆσαι αὐτόν. ἔστι δὲ καὶ ὡς οὐκ εἰδότος τοῦ Χριστοῦ, ἐν ποίοις τὰ τῆς νόσου τοῦ παιδίου ἐστί. Διὰ ταύτην οὖν τὴν εὐτελῆ πίστιν καὶ τὴν πολλὴν ἔπειξιν, ἵνα δείξῃ αὐτῷ, ὅτι καὶ ἀπὼν θεραπεύει, φησὶ πρὸς αὐτόν· "πορεύου, ὁ υἱός σου ζῇ·" ὅθεν ἐκ τούτου τοῦ παιδὸς οὐχ ἧττον, καὶ τὴν αὐτοῦ διάνοιαν ἀσθενοῦσαν ἰάσατο.

Ἀμμωνίου. Τέρας ἐστὶ τὸ παρὰ φύσιν, οἷον τὸ ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, καὶ ἐγεῖραι νεκρόν· σημεῖον δὲ τὸ οὐκ ἔξω τῆς φύσεως ὂν, ὅπερ ἐστὶν ἰάσασθαι ἄρρωστον.

51 Ἀπήντησαν δὲ αὐτῷ οἱ παῖδες αὐτοῦ, τὰ τῆς ὑγιείας τοῦ υἱοῦ αὐτοῦ ἀπαγγέλλοντες, διὰ τὸ ἐκπλαγῆναι αὐτοὺς τὸ γενόμενον· οὐ γὰρ ἁπλῶς οὐδὲ ὡς ἔτυχεν, ἀπηλλάγη τῆς ἀσθενείας τὸ παιδίον, ἀλλ' ἀθρόον, ὡς φαίνεσθαι μὴ φύσεως ἀκολουθίαν εἶναι τὸ θαῦμα, ἀλλὰ τῆς ἐνεργείας τοῦ Χριστοῦ. Μαθὼν δὲ παρ' αὐτῶν ἐκεῖνος τὴν ὥραν, λοιπὸν πρὸς τὴν πίστιν τελείως διέκυψεν. Ὁρᾷς

ὅτι τότε ἐπίστευσεν, ὅτε οἱ παῖδες εἶπον, οὐχ ὅτε ὁ Χριστός· τὴν οὖν διάνοιαν νῦν ἐλέγχων αὐτοῦ μεθ' ἧς προῆλθεν, εἰς πίστιν ἐφέλκεται. Πρὸ γὰρ τοῦ σημείου οὐ σφόδρα ἦν πεπιστευκὼς, εἰ δὲ καὶ ἦλθε καὶ παρεκάλεσεν, οὐδὲν θαυμαστόν· εἰώθασι γὰρ οἱ πατέρες ὑπὸ πολλῆς φιλίας οὐ μόνον οἷς θαρροῦσιν ἰατροῖς προσιέναι, ἀλλὰ καὶ οἷς μὴ θαρροῦσι διαλέγεσθαι, μηδὲν ὅλως παραλιπεῖν βουλόμενοι.

ἈΜΜΩΝΊΟΥ ΠΡΕΣΒΥΤΈΡΟΥ. Πρὸ μιᾶς ἐπίστευσεν, ἐν δὲ τῇ ἑξῆς καὶ ἔργῳ ἤκουσεν, ὅτι γέγονεν ὃ ἐπίστευσεν ἔσεσθαι· πολλὰ γὰρ ἰσχύει πίστις, συνεργὸν καὶ τελειωτὴν ἔχουσα τὸν Θεόν.

"Ἐπίστευσε δὲ καὶ αὐτὸς, καὶ ἡ οἰκία αὐτοῦ ὅλη," διὰ τὸ μαθεῖν αὐτοὺς παρὰ τοῦ δεσπότου αὐτῶν, ὅτι οὗτος ἦν ὁ καιρὸς τῆς ὑγιείας τοῦ παιδὸς, ὅνπερ εἶπεν αὐτῷ ὁ Χριστὸς, ἐκ τούτου λαβόντες ἀπόδειξιν τῆς δυνάμεως αὐτοῦ.

54 Οὐχ ἁπλῶς δὲ τὸ "δεύτερον" προσέθηκεν, ἀλλ' ἔτι τὸ θαῦμα τῶν Σαμαρειτῶν, δεικνὺς ὅτι καὶ δευτέρου σημείου γενομένου οὐδὲ πρὸς τὸ ὕψος ἐκείνων ἔφθασαν τῶν οὐδὲ ἓν σημείων ἑωρακότων.

ΚΕΦ. Ζ.

Περὶ τοῦ λη' ἔτη ἔχοντος ἐν τῇ ἀσθενείᾳ.

1 Μετὰ ταῦτα ἦν ἑορτὴ τῶν Ἰουδαίων, καὶ ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα.

Ποία ἑορτή; ἐμοὶ δοκεῖ τῆς πεντηκοστῆς. συνεχῶς δὲ ἐν ταῖς ἑορταῖς ἐπιχωριάζει τῇ πόλει, τοῦτο μὲν, ἵνα δόξῃ μετ' αὐτῶν ἑορτάζειν, τοῦτο δὲ ἵνα τὸ πλῆθος ἐπισπάσηται τὸ ἄδολον· μάλιστα γὰρ ἐν ταῖς ἑορταῖς ταύταις οἱ ἀφελέστερον διακείμενοι συνίεσαν.

2 Ἔστι δὲ ἐν τοῖς Ἱεροσολύμοις ἐπὶ τῇ προβατικῇ κολυμβήθρα.

ἈΜΜΩΝΊΟΥ ΠΡΕΣΒΥΤΈΡΟΥ. Προβατικὴ ἐκαλεῖτο, ὅτι ἐκεῖ συνήγετο τὰ πρόβατα τὰ μέλλοντα σφάζεσθαι εἰς τὴν ἑορτὴν, καὶ τὰ ἔγκατα αὐτῶν ἐπλύνοντο ἐκεῖ.

ΘΕΟΔΏΡΟΥ. Περὶ τῶν πέντε στοῶν οὕτως οἶμαι, μετὰ τὰς ἐν κύκλῳ τέσσαρας, μέσην εἶχεν ἑτέραν. Τίς δὲ ὁ τῆς ἀσθενείας τρόπος

οὗτος; ποῖον ἡμῖν μυστήριον αἰνίττεται; οὐ γὰρ ἁπλῶς καὶ εἰκῇ ἀναγέγραπται, ἀλλὰ τὰ μέλλοντα μυστήρια προδιαγράφει, ὥστε μὴ τὸ σφόδρα παράδοξον ἀπροσδόκητον γενόμενον λυμήνασθαι τῇ τῆς πίστεως δυνάσει. Ἐπεὶ οὖν ἤμελλε βάπτισμα δίδοσθαι, πολλὴν δύναμιν ἔχον, καὶ δωρεὰν μεγίστην τὸ ἁμαρτίας καθαῖρον, καὶ ἀντὶ νεκροῦ ζῶντα ποιῶν, καθάπερ ἐν εἰκόνι προζωγγραφεῖ ταῦτα· καὶ πρῶτον μὲν δίδοται ὕδωρ, καθαίρον σωμάτων κηλῖδα καὶ μολυσμοὺς οὐκ ὄντας, ἀλλὰ δοκοῦντας εἶναι, οἷον τοὺς ἀπὸ κηδείας, τοὺς ἀπὸ λεπρῶν, τοὺς ἀπὸ τοιούτων ἑτέρων, καὶ πολλὰ ἄν τις ἴδοι δι' ὕδατος γεγονότα ἐπὶ τῆς παλαιᾶς· ταύτης ἕνεκεν τῆς προφάσεως, πλὴν ἀλλὰ πρὸς τὸ κατεπεῖγον καὶ ἰώμενον νοῦν. Καὶ μετ'
4 ὀλίγα—"Ἄγγελος γὰρ καταβαίνων ἐτάρασσε τὸ ὕδωρ," καὶ ἰατρικὴν ἐνετίθει δύναμιν, ἵνα μάθωσιν οἱ Ἰουδαῖοι, ὅτι πολλῷ μᾶλλον ὁ τῶν Ἀγγέλων δεσπότης πάντα τὰ νοσήματα τῆς ψυχῆς ἰάσασθαι δύναται. Ὥσπερ ἐνταῦθα οὐχ ἁπλῶς ἰᾶται τῶν ὑδάτων ἡ φύσις, ἢ γαρ ἂν διὰ παντὸς τοῦτο ἐγίνετο, ἀλλ' ἐπὶ τῇ τοῦ Ἀγγέλου ἐνεργείᾳ, οὕτω καὶ ἐφ' ἡμῖν οὐχ ἁπλῶς τὸ ὕδωρ ἐργάζεται, ἀλλ' ὅταν τὴν τοῦ Πνεύματος δέξηται χάριν, τότε πάντα τὰ ἁμαρτήματα λύει. ἀλλὰ τότε μὲν ἡ ἀσθένεια κώλυμα τῷ βουλομένῳ θεραπευθῆναι ἐγίνετο, νῦν δὲ κύριος ἕκαστός ἐστι προσελθεῖν. οὐ γὰρ Ἄγγελός ἐστιν ὁ ταράσσων, ἀλλ' ὁ τῶν Ἀγγέλων δεσπότης, ὁ τὸ πᾶν ἐργαζόμενος. οὐκ ἔστιν εἰπεῖν, "ἄνθρωπον οὐκ ἔχω·" οὐκ ἔστιν εἰπεῖν "ἐν ᾧ ἔρχομαι κατελθεῖν, "ἄλλος πρὸ ἐμοῦ καταβαίνει," ἀλλὰ κἂν ἡ οἰκουμένη πᾶσα ἔλθῃ, ἡ χάρις οὐκ ἀναλίσκεται, οὐδὲ ἡ ἐνέργεια δαπανᾶται, ἀλλ' ὅμοια μένει καὶ τοιαύτη, οἵα καὶ πρὸ τούτου. ἀλλὰ τί δήποτε πάντας ἀφεὶς ὁ Ἰησοῦς ἐπὶ τὸν τριάκοντα ὀκτὼ ἔτη ἔχοντα ἦλθε; Τί δαὶ καὶ ἐρωτᾷ, "θέλεις ὑγιὴς γενέσθαι;" οὐχ ἵνα μάθῃ, τοῦτο γὰρ παρέλκον ἦν, ἀλλ' ἵνα διδάξῃ τοῦ τοιούτου τὴν καρτερίαν.

5 Ἀμμωνίου πρεσβυτέρου. Ὧδε προδιεγράφετο τὸ τοῦ βαπτίσματος μυστήριον, ἐν ᾧ πᾶν εἶδος ἁμαρτημάτων ἐθεραπεύετο. "Ἐν ταύταις κατέκειτο πλῆθος πολύ," καὶ τὰ ἑξῆς. ἔκπληκτος ἡ καρτερία τοῦ παραλυτικοῦ· ἔτη τριακονταοκτὼ εἶχε, καὶ καθ' ἕκαστον ἐνιαυτὸν ἀπαλλαγήσεσθαι τοῦ νοσήματος προσδοκῶν ἐνηδρεύετο, καὶ οὐκ ἀφίστατο· εἰ γὰρ τὰ μὴ παρελθόντα, τὰ γοῦν

μέλλοντα οὐχ ἱκανὰ ἦν αὐτὸν ἀπαγαγεῖν τοῦ τόπου, ἀλλ' ὅμως οὐκ ἀνέπεσεν οὐδὲ ἀπέγνω.

Κυρίλλου. Τύπος καὶ ἡ πολυχρόνιος τοῦ παραλυτικοῦ ἀσθένεια τῆς τοῦ Ἰσραὴλ εἰς Χριστὸν ἀπιστίας· ἀσθενήσει γὰρ καὶ παραλυθήσεται, ἀλλ' ἔσται τις αὐτῷ παρὰ τοῦ Σωτῆρος ἐπισκοπὴ, καὶ ὑγιασθήσεται καὶ αὐτὸς ἐπὶ τῇ κολυμβήθρᾳ δι' ὑπακοῆς πίστεως.

Ἀπολιναρίου. Τὸ τριακοστὸν καὶ ὄγδοον ἔτος τοῦ κειμένου παραλύτου σημαίνει κολάσεως χρόνον ἤδη συμπληρούμενον, ὅτι καὶ τεσσαράκοντα ἔτη ὁ λαὸς ἐπὶ τῆς ἐρημίας δίκας ἐξέτισε, καὶ τεσσαράκοντα ἡμέρας ἐπέσχεν ὁ κατακλυσμὸς, καὶ πληγαῖς δὲ ὁ νόμος τεσσαράκοντα τοὺς ἁμαρτάνοντας ἐκόλαζεν. ὁ τοίνυν Κύριος ὑποτεμνόμενος τὸ πλῆρες τῆς κολάσεως, ἔτει τριακοστῷ ὀγδόῳ θεραπεύει τὸν ἄρρωστον, ὥσπερ καὶ τὰς νομικὰς κολάσεις ὑπετέμνετο διὰ τῆς χάριτος, ἐγγὺς τοῦ κοσμικοῦ χρόνου πεπληρωμένου.

Ἀμμωνίου πρεσβυτέρου. Οὐχ ὡς ἀγνοῶν ἐρωτᾷ, ἀλλὰ διανιστῶν αὐτὸν εἰς ἐπιθυμίαν τοῦ θεραπευθῆναι.

Τίνος ἕνεκεν τοὺς ἄλλους πάντας ἀφεὶς ἐπὶ τοῦτον ἦλθεν ὁ Χριστὸς καὶ ἐρωτᾷ, "εἰ θέλει ὑγιὴς γενέσθαι;" οὐχ ἵνα μάθῃ, τοῦτο γὰρ παρέλκον ἦν, ἀλλ' ἵνα ἡμᾶς διδάξῃ τὴν τούτου καρτερίαν. Διὸ χρὴ σκοπῆσαι, μεθ' ὅσης ἐπιεικείας ἀποκρίνεται λέγων, "ναὶ Κύριε, "ἄνθρωπον δὲ οὐκ ἔχω," καὶ τὰ ἑξῆς· Τί τούτων τῶν ῥημάτων ἐλεεινότερον γένοιτ' ἄν; τί τῶν πραγμάτων περιπαθέστερον, οἵαν καρδίαν συντετριμμένην ἐκέκτητο, οὐδὲ ὑπὸ τῆς μακρᾶς ἀσθενείας συνεχόμενος, ἐφθέγξατό τι βλάσφημον, οἷα πολλοὺς ἀκούομεν λέγοντας τῶν ἀπαιδεύτων καὶ ἀταλαιπώρων ἐν περιστάσεσιν· οὐ κατηράσατο αὐτοῦ τὴν ἡμέραν, ἀλλὰ πράως ἀποκρίνεται, καίτοι γε μὴ εἰδὼς τίς ποτε ἦν ὁ ἐρωτῶν, οὐθ' ὅτι θεραπεύειν ἔμελλεν, ἀλλ' ἢ τοῦτο μόνον ἴσως προσεδόκησε τὸ χρησιμεύσειν αὐτῷ τὸν Χριστὸν τὸ ἐμβαλεῖν εἰς τὸ ὕδωρ· καὶ διὰ τούτων αὐτὸν ἐπισπάσασθαι τῶν ῥημάτων οὐ βούλεται. Οὐκ εἶπεν δὲ[1] αὐτῷ ὁ Χριστὸς θέλεις σε θεραπεύσω; ἵνα μὴ δόξῃ κομπάζειν.

8 Κελεύει δὲ αὐτὸν ἆραι τὸ κλινίδιον, πιστώσασθαι βουλόμενος τὸ γενόμενον θαῦμα, καὶ μηδένα νομίσαι φαντασίαν αὐτὸ εἶναι.

[1] ἐπειδὴ Cod.

Οὐδὲ γὰρ ἂν εἰ μὴ βεβαίως καὶ σφόδρα αὐτῷ συνεπάγη τὰ μέλη, τὴν κλίνην φέρειν ἠδύνατο.

Οὐκ ἀπαιτεῖ δὲ αὐτὸν πρὸ τῆς ἰάσεως πίστιν, ὥσπερ ἐπὶ ἄλλων τινῶν, ὅτι οὐδέπω αὐτὸν ἑωράκει σημεῖον ἕτερον πεποιηκότα, ἀλλ' οὐδὲ ὅστις ἦν ᾔδει· καὶ γὰρ καὶ ἐκείνους οὓς ἀπῄτει πίστιν, οὐ πρὸ τῶν θαυμάτων, ἀλλὰ μετὰ τὸ ἰδεῖν αὐτοὺς θαύματα πεποιηκότα ἀπῄτει.

Ἦρε δὲ τὸ ἑαυτοῦ κράββατον, καὶ περιεπάτει, ἐπειδὴ ἅμα ἤκουσε πιστεύσας· ἠγέρθη γενόμενος ὑγιής, μηδὲν ὅλως ἄπιστον ἐννοήσας.

Ἀπολιναρίου. Οὐκ εἶπαν διὰ τί ταῦτα ἐκέλευε γίνεσθαι ἐν σαββάτῳ, ἀλλὰ διὰ τί ταῦτα ἐποίησεν ἐν σαββάτῳ; οὐχ ὑπὲρ τῆς παραβάσεως δυσχεραίνοντες, ἀλλὰ τῇ σωτηρίᾳ τῇ παρ' αὐτοῦ φθονοῦντες. Καί τοί γε ὅσον εἰς ἀνθρώπινον ἔργον, τοῦτο μᾶλλον ἔργον ἦν, ὅπερ ἐποίησεν ὁ παράλυτος· ἐκεῖνο δὲ λόγος καὶ ῥῆμα. χρὴ δὲ θαυμάσαι καὶ τὴν μετὰ ταῦτα πίστιν αὐτοῦ, καὶ τὴν πρὸς τοὺς Ἰουδαίους παρρησίαν, πῶς ἐπικειμένων αὐτῷ καὶ λεγόντων, "οὐκ ἔξεστί σοι ἆραι τὸν κράββατόν σου διὰ τὸ σάββατον," αὐτὸς μετὰ παρρησίας τὴν ἀναίσχυντον ἐπιστομίζων γλῶτταν, τὸν εὐεργέτην ἐκήρυττε λέγων, "ὁ ποιήσας με ὑγιῆ, αὐτός μοι εἶπεν, "ἆρον τὸν κράββατόν σου," μονονουχὶ λέγων, ληρεῖτε καὶ παραπαίετε, κελεύοντες τῷ ἀπὸ μακρᾶς οὕτω καὶ χαλεπῆς ἀπαλλάξαντί με νόσου μὴ πείθεσθαι προστάσσοντι, καί τοί γε εἰ κακουργεῖν ἐβούλετο, ἐνῆν καὶ ἑτέρως εἰπεῖν, οἷον ὅτι οὐχ ἑκὼν τοῦτο ποιῶ, ἀλλ' ἑτέρου κελεύσαντος· εἰ δὲ ἔγκλημα τοῦτο, καὶ ἀποτίθεμαι τὴν κλίνην, καὶ θεραπείαν δὲ ἔκρυψεν ἄν· καὶ γὰρ ᾔδει σαφῶς οὐχ οὕτω δακνομένους ἐπὶ τῇ τοῦ σαββάτου λύσει, ὡς ἐπὶ τῇ τῆς ἀρρωστίας διορθώσει.

12 Τίνος ἕνεκεν οὐκ εἶπον αὐτῷ, τίς ἐστιν ὁ ποιήσας σε ὑγιῆ, ἀλλ' "ὁ εἰπών σοι, ἆρον τὸν κράββατόν σου;" ἀπὸ πολλῆς κακουργίας· ἄνω γὰρ καὶ κάτω τὴν δοκοῦσαν παράβασιν εἰς μέσον ἦγον. Αὐτὸς δὲ τούτου χάριν ἐξένευσε· πρῶτον μὲν, ἵνα ἀπόντος αὐτοῦ ἡ μαρτυρία ἀνύποπτος γένηται· ὁ γὰρ αἴσθησιν λαβὼν τῆς ὑγιείας, ἀξιόπιστος ἦν τῆς εὐεργεσίας μάρτυς. Ἔπειτα ἵνα μὴ πλέον τούτων παρασκευάσῃ τὸν θυμὸν ἐκκαῆναι· οἶδε γάρ, καὶ ὄψις μόνη

τοῦ διαφθονουμένου οὐ μικρὸν τοῖς βασκαίνουσιν ἐνιέναι σπινθῆρα. Διὰ τοῦτο ἀναχωρήσας ἀφίησιν αὐτὸ καθ' ἑαυτὸ τὸ ἔργον ἀγωνίζεσθαι παρ' αὐτοῖς. Ἐγκαλοῦντες γὰρ τέως μαρτυροῦσι τῷ θαύματι.

14 Τί δαὶ μανθάνομεν ἐκ τοῦ, "ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε," καὶ τὰ ἑξῆς; Πρῶτον μὲν, ὅτι ἐξ ἁμαρτιῶν ἐτέχθη τῷ ἀνθρώπῳ τὸ νόσημα, δεύτερον δὲ ὅτι ἀληθὴς ὁ τῆς γεέννης λόγος, καὶ τὸ μακρὰν εἶναι καὶ ἄπειρον τὴν τιμωρίαν. Ποῦ γὰρ νῦν εἰσιν οἱ λέγοντες, ὅτι ἐν ὥρᾳ μιᾷ ἐπόρνευσα, καὶ ἀθάνατα κολάζομαι; ἰδοὺ γὰρ καὶ οὗτος οὐκ ἐν τοσούτοις ἥμαρτεν ἔτεσιν, ἐν ὅσοις ἐκολάζετο, ἀλλ' ὁλόκληρον γοῦν ἀνθρώπου βίον σχεδὸν ἀνήλωσεν ἐν τῷ μήκει τῆς τιμωρίας. Οὐδὲ γὰρ ἐν χρόνῳ τὰ ἁμαρτήματα κρίνεται, ἀλλ' ἐν αὐτῇ τῇ φύσει τῶν πεπλημμελημένων. Μετὰ τοῦτο κακεῖνο μανθάνομεν, ὅτι κἂν χαλεπὴν δῶμεν ὑπὲρ τῶν προτέρων ἁμαρτημάτων τὴν δίκην, εἶτα τοῖς αὐτοῖς περιπέσωμεν, χαλεπώτερα πολλῷ πεισόμεθα πάλιν, καὶ μάλα εἰκότως· ὁ γὰρ μηδὲ τῇ τιμωρίᾳ γενόμενος βελτίων, ὡς ἀναίσθητος καὶ καταφρονητὴς, ἐπὶ μείζονα ἄγεται κολαστήρια. Καὶ τίνος ἕνεκεν, φησὶ, μὴ πάντες οὕτω κολάζονται; καὶ γὰρ πολλοὺς ὁρῶμεν τῶν φαύλων εὐσωματοῦντας καὶ σφριγῶντας, καὶ πολλῆς ἀπολαύοντας εὐημερίας. ἀλλὰ τὸ μηδὲν αὐτοὺς ἐνταῦθα παθεῖν, ἐφόδιον γίγνεται μείζονος τῆς ἐκεῖ τιμωρίας. καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγε "κρινόμενοι δὲ "ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν·" τὰ μὲν γὰρ ἐνταῦθα νουθεσίας, τὰ δὲ ἐκεῖ τιμωρίας ἐστί.

Τί οὖν; πάντα τὰ νοσήματα ἐξ ἁμαρτημάτων; οὐ πάντα μὲν, ἀλλὰ τὰ πλείονα. Γίγνεται μὲν γὰρ διὰ ἁμαρτημάτων, ὥσπερ καὶ ἐν ταῖς Βασιλείαις ὁρῶμέν τινα ποδαλγίᾳ κατασχεθέντα. γίνεται δὲ καὶ δι' εὐδοκίμησιν, ὥσπερ τῷ Ἰὼβ φησιν ὁ Θεὸς, "ἢ ἄλλως σοι οἴει κεχρηματικέναι, ἢ ἵνα δίκαιος ἀναφανῇς;" Ἔνια δὲ καὶ ἀπὸ ῥαθυμίας γίνεται. καὶ γὰρ καὶ γαστριμαργία καὶ μέθη τὰ τοιαῦτα τίκτουσι νοσήματα.

Τινὲς τὸν παράλυτον τοῦτον διαβάλλοντες, φασὶν αὐτὸν τοῦ Χριστοῦ γενήσεσθαι κατήγορον, καὶ διὰ τοῦτο ἀκηκοέναι τὴν παραγγελίαν καὶ τὴν ἀπειλὴν ἐκείνην. Οὐκ ἔστι δὲ οὕτως. καὶ γὰρ, φησὶ, "εὑρίσκει αὐτὸν ἐν τῷ ἱερῷ ὁ Ἰησοῦς," ὅπερ μεγίστης

εὐλαβείας σημεῖόν ἐστιν· οὐδὲ γὰρ ἀνεχώρησεν οἴκαδε, οὐδὲ τρυφῇ καὶ ἀνέσει ἔδωκεν ἑαυτὸν, ἀλλ' ἐν τῷ ἱερῷ διῆγε, καί τοι γε τοσαύτην μέλλων ὑπομένειν ἔφοδον, καὶ παρὰ πάντων ἐλαύνεσθαι εἰκῇ. ἀλλ' οὐδὲν τούτων ἔπεισεν αὐτὸν ἀποστῆναι τοῦ ἱεροῦ· καὶ μετὰ τὸ διαλεχθῆναι τοῖς Ἰουδαίοις εὑρὼν αὐτὸν ὁ Ἰησοῦς, οὐδὲν τοιοῦτον ἠνίξατο, ἀλλὰ πρὸς τὸ μέλλον αὐτὸν ἀσφαλίζεται μόνον· ὁρῶμεν δὲ αὐτὸν καὶ ἐπὶ τῆς αὐτῆς μένοντα εὐγνωμοσύνης. Οὐ γὰρ εἶπεν ὅτι αὐτός ἐστιν ὁ εἰπών μοι, ἆρον τὸν κράββατόν σου, ὅπερ ἐκεῖνοι ἔγκλημα ἐποιοῦντο, ἀλλὰ ἰατρὸν αὐτὸν ἐμφαίνων, φησὶν, "Ἰησοῦς ἐστιν ὁ ποιήσας με ὑγιῆ." Ἐκ τούτου βουλόμενος τοὺς ἄλλους πρὸς τὸν Χριστὸν ἐφελκύσασθαι. Οὐ γὰρ οὕτως ἀναίσθητος ἦν, ὡς μετὰ τοσαύτην εὐεργεσίαν καὶ παραίνεσιν παραυτὰ προδοῦναι τὸν εὐεργέτην, καὶ κακούργῳ διανοίᾳ εἰπεῖν, ὅτι "Ἰησοῦς ἐστιν ὁ ποιήσας αὐτὸν ὑγιῆ·" ἀλλ' οὗτος μὲν εὐγνώμονι σκοπῷ τοῦτο ἔλεγεν. Οἱ δὲ Ἰουδαῖοι ἐδίωκον τὸν εὐεργέτην ὅτι ταῦτα ἐποίει ἐν σαββάτῳ.

17 Διὰ τί φησιν, "ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι;" τὸ ὁμότιμον τὸ πρὸς τὸν Πατέρα δεῖξαι βουλόμενος. Ἅμα δὲ καὶ ἀναγαγεῖν αὐτοὺς θέλων ἀπὸ τῆς γῆς, ἵνα μηκέτι ὡς ἀνθρώπῳ προσέχωσιν, ἀλλ' ὡς Θεῷ καὶ νομοθέτῃ, καὶ ὥσπερ, φησὶν, ἀπολύετε τὸν Θεὸν ἐγκλημάτων ἐφ' οἷς καὶ ὅτε διαπράττεται, οὕτω καὶ ἐμέ.

Εἰ δέ τις ἐπιθυμεῖ τὸν τρόπον μαθεῖν, καθ' ὃν ἐργάζεται ὁ Πατὴρ, ὁράτω τὴν οἰκουμένην ἅπασαν καὶ τὴν ταύτης πρόνοιαν· καὶ ἥλιον ἀνατέλλοντα καὶ σελήνην τρέχουσαν, καὶ πηγὰς καὶ ποταμοὺς καὶ ὑετοὺς, καὶ φύσεως δρόμον τὸν ἐν τοῖς σπέρμασι, τὸν ἐν τοῖς σώμασι τοῖς ἡμετέροις καὶ τοῖς τῶν ἀλόγων, τὰ ἄλλα πάντα, δι' ὧν τόδε τὸ πᾶν συγκροτεῖται, ἅπερ καὶ ἐν σαββάτῳ γίνεται. οἱ δὲ τῇ πονηρίᾳ συνεχόμενοι μᾶλλον ἐζήτουν αὐτὸν ἀποκτεῖναι, "ὅτι οὐ μόνον ἔλυε τὸ σάββατον," καὶ τὰ ἑξῆς.

Οὐκ εἶπεν ὁ λέγων, οὐ γὰρ ἂν τοῖς ῥήμασιν ἐδείκνυ μόνοις, ἀλλὰ πυκνότερον ἐν τοῖς πράγμασιν. Τί δή ποτε; ὅτι τοῖς μὲν λόγοις εἶχον ἐπισκήπτειν, καὶ ἀλαζονείαν ἐγκαλεῖν, τὴν δὲ τῶν πραγμάτων ὁρῶντες[k] ἀλήθειαν ἐκβαίνουσαν, καὶ ἐπὶ τῶν ἔργων

[k] ὁρῶν τε Cod.

ἀνακηρυττομένην τὴν δύναμιν, οὐδὲν ἀντειπεῖν ἠδύναντο λοιπόν. ἀλλ' οἱ μὴ βουλόμενοι μετ' εὐγνωμοσύνης ταῦτα δέχεσθαί φασιν, ὅτι οὐχ ὁ Χριστὸς ἐποίει ἑαυτὸν ἴσον τῷ Θεῷ, ἀλλ' οἱ Ἰουδαῖοι τοῦτο ὑπώπτευον. οὐκοῦν ἄνωθεν τὰ εἰρημένα ἐπέλθωμεν. ἐδίωκον αὐτὸν οἱ Ἰουδαῖοι, ἢ οὐκ ἐδίωκον; καὶ διὰ τοῦτο ἐδίωκον, ἢ δι' ἕτερόν τι; καὶ τοῦτο συνομολογεῖται· ἔλυε τὸ σάββατον ἢ οὐκ ἔλυεν; οὐδὲ πρὸς τοῦτο ἔχεις τι ἀντειπεῖν. Πατέρα ἴδιον ἔλεγε τὸν Θεὸν ἢ οὐκ ἔλεγε; καὶ τοῦτο ἀληθές· οὐκοῦν καὶ τὰ ἑξῆς τῆς αὐτῆς ἀκολουθίας ἔχεται, καὶ τὸ ἴσον ἑαυτὸν ποιεῖν τῷ Θεῷ, τῆς αὐτῆς γνώμης ἀπόφασις ἦν.

Τὸ δὲ "οὐ δύναται ὁ Υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδὲν," τοῦτο σημαίνει, ὅτι οὐδὲν ἐναντίον τῷ Πατρὶ, οὐδὲν ἀλλότριον, οὐδὲν ξένον, καὶ τοῦτο δὲ τὴν πρὸς τὸν Πατέρα δείκνυσιν ἰσότητα καὶ τὸ ἀπαράλλακτον καὶ τὸ ὡσανεὶ ἀπὸ μιᾶς γνώμης, ἐξουσίας, καὶ δυνάμεως γινόμενον. Δηλοῖ δὲ τοῦτο καὶ τὸ ἐπαγόμενον, "ἃ γὰρ "ἂν," φησὶν, "ὁ Πατὴρ ποιῇ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ," ὅθεν καὶ ἐκ τῶν ἄνωθεν εἰρημένων, καὶ ἐκ τῶν μετὰ ταῦτα λεχθέντων, δείκνυται τῆς ἰσότητος ἡ ἀπόδειξις.

20 Τί ἐστι τὸ "καὶ μείζονα τούτων δείξει αὐτῷ ἔργα, ἵνα ὑμεῖς "θαυμάζητε;" ἐπειδὴ τὸν παράλυτον ἔσφιγξε, μέλλει δὲ νεκρὸν ἐγείρειν. Διὰ τοῦτό φησιν, εἰ θαυμάζετε, ὅτι παράλυτον ὑγιῆ πεποίηκα, μείζονα τούτων ὄψεσθε.

Ταπεινότερον δὲ αὐτὸ εἶπε, τουτέστι τὸ "δείξει," ἵνα τὴν μανίαν αὐτῶν παραμυθήσηται· ὅτι γὰρ οὐ κυρίως τὸ "δείξει" κέχρηται, τὰ ἑξῆς δηλοῖ. "Ὥσπερ γὰρ ὁ Πατὴρ," φησὶν, "ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱὸς οὓς θέλει "ζωοποιεῖ·" τὸ μὲν γὰρ "ὥσπερ ὁ Πατὴρ ἐγείρει" τῆς δυνάμεως δείκνυσι τὴν ἀπαραλλαξίαν, τὸ δὲ "οὓς θέλει," τῆς ἐξουσίας τὴν ἰσότητα.

22 Ἐπειδὴ δὲ εὐεργετούμενοι οἱ ἄνθρωποι οὐχ οὕτως αἰσθάνονται, διὰ τοῦτο ἐπάγει, ὅτι "τὴν κρίσιν πᾶσαν δέδωκε τῷ Υἱῷ," ἵνα κἂν ὁ φόβος εἰς τὴν τιμὴν τοῦ Υἱοῦ αὐτοὺς ἐπισπάσηται. "πᾶσαν" δὲ εἰπὼν τοῦτο ἐδήλωσεν, ὅτι καὶ τοῦ κολάζειν καὶ τοῦ τιμᾷν ἐστι κύριος ἅπαντας, ὡς ἂν ἐθέλῃ. ὥσπερ δὲ τὸ "ἔδωκε "ζωὴν," ἐγέννησεν αὐτὸν ζῶντα ἐστὶν, οὕτω καὶ τὸ "ἔδωκε

"κρίσιν," κριτὴν αὐτὸν ἐγέννησεν, ἐμφαίνει. Ἵνα γὰρ μὴ ἀκούοντες ὅτι αἴτιον ἔχει τὸν Πατέρα, παραλλαγὴν οὐσίας νομίσωμεν, καὶ τιμῆς ἐλάττωσιν, διὰ τοῦτο αὐτὸς ἔρχεται ἡμᾶς κρίνων· τὴν ἰσότητα ἐντεῦθεν πρὸς τὸν Πατέρα δεικνύς. Ὁ γὰρ ἐξουσίαν ἔχων καὶ κολάζειν καὶ τιμᾷν ὡς βούλεται, τὰ αὐτὰ δύναται τῷ Πατρί· τούτου δὲ χάριν οὕτω φθέγγεται, διὰ τὸ ἀπαράδεκτον γενέσθαι τὸν λόγον, καὶ τοῖς ὑψηλοῖς προοδοποιῆσαι ῥήμασι· διὰ τοῦτο ἀναμίγνυσι ταῦτα ἐκείνοις, κἀκεῖνα τούτοις, οἷον ἐκ τοῦ εἰπεῖν, "ὁ πατήρ μου ἐργάζεται, κἀγὼ ἐργάζομαι·" ἔδειξεν ἐκ τούτου τὸ ὁμότιμον. ἠθέλησαν αὐτὸν διὰ τοῦτο ἀποκτεῖναι οἱ Ἰουδαῖοι· πάλιν τῇ λέξει μὲν καθυφίησι, τὰ νοήματα δὲ τὰ αὐτὰ τίθησιν, οὕτω λέγων, "οὐ δύναται ὁ υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδέν." Εἶτα πάλιν ἐπὶ τὰ ὑψηλὰ ἀνάγει τὸν λόγον· "ἃ γὰρ ἂν ἐκεῖνος "ποιῇ," φησὶ, "ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ." Πάλιν ἐπὶ τὸ ταπεινότερον, "ὁ γὰρ Πατὴρ ἀγαπᾷ τὸν Υἱὸν, καὶ πάντα δείκνυ- "σιν αὐτῷ, καὶ μείζονα τούτων δείξει αὐτῷ." Εἶτα πάλιν ἐπὶ τὸ ὑψηλότερον, "ὥσπερ γὰρ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωο- "ποιεῖ, οὕτω καὶ ὁ Υἱός." Εἶτα τὸ ταπεινὸν ὁμοῦ καὶ ὑψηλὸν, "οὐδὲ γὰρ ὁ Πατὴρ κρίνει οὐδένα, ἀλλὰ πᾶσαν τὴν κρίσιν δέ- "δωκε τῷ Υἱῷ." Εἶτα ἐπὶ τὸ ὑψηλότερον, "ἵνα πάντες τιμῶσι "τὸν Υἱὸν, καθὼς τιμῶσι τὸν Πατέρα." Ἰδοὺ πῶς τὸν λόγον ποικίλλει, δι' ὑψηλῶν αὐτὸν καὶ ταπεινῶν ὑφαίνων, ὥστε καὶ τοῖς τότε γενέσθαι εὐπαράδεκτον, καὶ τοῖς μετὰ ταῦτα μηδὲν βλαβῆναι, ἀπὸ τῶν ὑψηλῶν καὶ τῶν ἑτέρων τὴν προσήκουσαν λαμβάνοντες ἔννοιαν. Δεικνὺς οὖν ὅτι συμπέπλεκται ἡ τιμὴ τοῦ Υἱοῦ, τῇ τιμῇ τοῦ Πατρός, φησιν, "ὁ μὴ τιμῶν τὸν Υἱὸν οὐ τιμᾷ τὸν "Πατέρα τὸν πέμψαντα αὐτὸν," οὐχ ἁπλῶς ὁ μὴ τιμῶν, ἀλλ' ὁ μὴ τιμῶν οὕτως ὡς προεῖπον, φησὶ, τουτέστι ὡς τὸν Πατέρα.

24 Πρὸς δὲ τὸ μὴ ἐκθηριωθῆναι τοὺς Ἰουδαίους, βουλόμενος ἀπαράδεκτον ποιῆσαι τὸν λόγον, ἐκ τοῦ μαθεῖν ὅτι τῷ Πατρὶ πιστεύουσιν οἱ αὐτοῦ ἀκούοντες, ἐπήγαγε λέγων, "ὁ ἀκούων μου τοὺς λόγους καὶ πιστεύων τῷ πέμψαντί με," καὶ τὰ ἑξῆς. Τοῦτο γὰρ δεξάμενοι μετὰ προθυμίας, καὶ τὰ λοιπὰ ἔμελλον εὐκολώτερον δέχεσθαι.

Τὸ δὲ "εἰς κρίσιν οὐκ ἔρχεται," τουτέστιν, οὐ κολάζεται·

θάνατον δὲ, φησὶ, οὐ τοιοῦτον, ἀλλὰ τὸν αἰώνιον, ὥσπερ καὶ ζωὴν ἐκείνην.

25 Ἵνα δὲ μὴ δόξῃ κόμπος εἶναι τὸ πρᾶγμα καὶ τῦφος, παρέχει καὶ τὴν διὰ τῶν ἔργων ἀπόδειξιν, λέγων, "ὅτι ἔρχεται ὥρα·" εἶτα ἵνα μὴ μακρὸν ὑποπτεύσωμεν χρόνον, "καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ "ἀκούσονται τῆς φωνῆς τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ ζήσονται." νῦν, φησὶν, ἐμοῦ διατρίβοντος μεθ' ὑμῶν, τοῦτο γενήσεται πρὸς τὸ μὴ διαπιστεύειν ὑμᾶς περὶ τούτου· Τοῦτο δὲ ἔλεγε περὶ ὧν ἔμελλε νεκρῶν ἀνιστᾷν, οἷον τοῦ υἱοῦ τῆς χήρας καὶ τοῦ Λαζάρου. Εἶτα καὶ λογισμὸν ἐπάγει τῶν εἰρημένων ἀποδεικτικόν. "Ὥσπερ "γὰρ, φησὶν, ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ "υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ."

Τὴν δὲ τοῦ "ἔδωκε" λέξιν ἐνταῦθα τέθεικεν ἐπὶ τὸ δεῖξαι μόνον τῷ τὸν μὲν Πατέρα εἶναι, τὸν δὲ Υἱὸν, τὰ δὲ ἄλλα πάντα τὸ ἴσον καὶ ἀπαράλλακτον ἐμφαίνει πρὸς τὸν Πατέρα.

27 Τίνος ἕνεκεν ἀνάστασιν καὶ κρίσιν ἄνω καὶ κάτω στρέφει λέγων, "καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν;" ὅτι ταῦτα μάλιστα πάντων ἐστὶν, ἃ καὶ ἐπαγαγέσθαι δύναται τὸν ἀκροατήν. Ὁ γὰρ πεισθεὶς ὅτι καὶ ἀναστήσεται, καὶ αὐτῷ δώσει, τουτέστι τῷ Χριστῷ, καὶ εὐθύνας τῶν πεπλημμελημένων, εἰ καὶ μηδὲν ἕτερον εἶδε σημεῖον, τοῦτο μόνον καταδεξάμενος, προσδραμεῖται πάντως αὐτῷ, ἥμερον κατασκευάζων ἑαυτῷ τὸ δικαστήριον.

Χρὴ δὲ γινώσκειν, ὅτι ὁ μὲν Παῦλος ὁ Σαμοσατεὺς οὕτω φησιν, "ἔδωκεν αὐτῷ κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστίν·" ἀλλ' οὐδεμίαν ἀκολουθίαν ἔχει. Οὐ γὰρ διὰ τοῦτο ἔλαβε κρίσιν, ὅτι ἄνθρωπός ἐστιν, ἀλλ' ἐπειδὴ τῆς ἀρρήτου οὐσίας ἐκείνης ἐστὶν υἱὸς, διὰ τοῦτο ἐστὶ καὶ κριτής· οὕτω τοίνυν ἀναγνωστέον, "Ὅτι "υἱὸς ἀνθρώπου ἐστὶ, μὴ θαυμάζετε τοῦτο." Ἐπειδὴ γὰρ ἐδόκει τοῖς ὁρῶσι προΐστασθαι τὸ φαινόμενον, καὶ πλέον οὐδὲν ἐνόμιζον εἶναι, ἀλλὰ ψιλὸν ἄνθρωπον, τὰ δὲ λεγόμενα μεῖζον ἢ κατὰ ἄνθρωπον ἦν, μᾶλλον δὲ μεῖζον ἢ κατὰ Ἄγγελον, καὶ Θεοῦ μόνου, ταύτην λύων τὴν ἀντίθεσιν ἐπήγαγε, "μὴ θαυμάζετε."

Ἐπειδὴ δὲ εἶπεν ἀνωτέρω, "ὅτι ὁ ἀκούων μου τοὺς λόγους καὶ "πιστεύων τῷ πέμψαντί με, οὐ κρίνεται," ἵνα μὴ νομίσωμεν, ὅτι τοῦτο μόνον ἀρκεῖ πρὸς σωτηρίαν, προστέθεικε καὶ τὰ ἐκ τοῦ

βίον, εἰπὼν, "καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες," καὶ τὰ ἑξῆς.

Ἀμμωνίου πρεσβυτέρου. Ὥστε οὐκ ἀρκεῖ ἡ πίστις μόνη σῶσαι, εἰ μὴ καὶ ἔργα τις ἔχει ἀγαθά.

Δι' ἀμφοτέρων, τοῦ τε φόβου καὶ τῆς τιμῆς, προτρέπεται εἰς σωτηρίαν τὸν ἄνθρωπον. Τί σημαίνει τὸ, "οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδέν;" τὸ ἀπαράλλακτον, ὅτι οὐδὲν ἔφη ξένον, οὐδὲν παρηλλαγμένον, οὐδὲ ὃ μὴ βούλεται ὁ Πατὴρ, παρ' ἐμοῦ γίνεται.

30 Τὸ δὲ "καθὼς ἀκούω, κρίνω," τοῦτο δηλοῖ οὐ διδασκαλίαν, ἀλλὰ τὸ τῆς ψήφου ἴσον, ὡσανεὶ ἔλεγεν, οὕτω κρίνω, ὡσανεὶ αὐτὸς ὁ Πατὴρ ὁ κρίνων εἴη. Ἐπειδὴ δὲ ἐν τοῖς ἔμπροσθεν, τὰ μὲν θεοπρεπῶς, τὰ δὲ ἀνθρωπίνως διηλέχθη, πάλιν ὡς ἄνθρωπος κατασκευάζει τὰ αὐτὰ, καὶ φησὶν, "ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστιν, ὅτι "οὐ ζητῶ τὸ θέλημα τὸ ἐμὸν," καὶ τὰ ἑξῆς. Ὁ μὲν γὰρ θέλων, φησὶ, τὰ ἑαυτοῦ στῆσαι, ἴσως ἂν ὑποπτευθείη, ὥσπερ φθείρων ἐν τούτῳ τὸ δίκαιον. Ὁ δὲ μὴ τὰ ἑαυτοῦ σκοπῶν, τίνα ἂν ἔχοι πρόφασιν τοῦ μὴ τὰ δίκαια ψηφίζεσθαι; Διὰ τοῦτο οὖν, ἐπειδὴ τῷ Πατρὶ ἀνατίθημι τὰ γιγνόμενα, πείσθητε τοῖς ὑπ' ἐμοῦ λεγομένοις.

31 Τὸ δὲ "ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ "ἔστιν ἀληθὴς," τί σημαίνει; καὶ γὰρ πολλαχοῦ φαίνεται μαρτυρήσας περὶ ἑαυτοῦ, οἷον τῇ Σαμαρείτιδι διαλεγόμενος, καὶ τῷ τυφλῷ, καὶ τοῖς Ἰουδαίοις, καὶ ἑτέρωθι πολλαχοῦ τοῦτο ποιεῖ. Ἂν οὖν ἅπαντα ταῦτα ψευδῆ, τίς ἡμῖν σωτηρίας ἐλπίς; πόθεν δὲ τὴν ἀλήθειαν εὑρήσομεν, ὅταν αὐτὴ ἡ ἀλήθεια λέγῃ, ὅτι οὐκ ἔστιν ἡ μαρτυρία μου ἀληθής. Οὐ τοῦτο δὲ δοκεῖ τὸ ἐναντίωμα εἶναι μόνον, ἀλλὰ καὶ ἕτερον οὐκ ἔλαττον τούτου. Προϊὼν γάρ φησι, "κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου ἀληθής ἐστι." Ποῖον οὖν δεξόμεθα, ποῖον δὲ εἶναι νομίσωμεν ψεῦδος; Τί οὖν ἐστι τὸ εἰρημένον; ἔμελλον αὐτῷ λέγειν οἱ Ἰουδαῖοι, ἐὰν σὺ μαρτυρῇς περὶ σεαυτοῦ, ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής. Διὰ τοῦτο οὖν προλαβὼν τοῦτο εἶπεν, ὡσανεὶ ἔλεγεν· ἴσως ἐρεῖτέ μοι, ὅτι σοὶ οὐ πιστεύομεν, οὐδεὶς γὰρ ἑαυτῷ μαρτυρῶν ἀξιόπιστός ἐστιν ἐν ἀνθρώποις. Οὐ τοίνυν πρὸς τὴν ἀξίαν τὴν αὐτοῦ, ἀλλὰ πρὸς τὴν

ὑπόνοιαν τὴν ἐκείνων ἐφθέγγετο ταῦτα. Καὶ ὅταν μὲν λέγῃ, "ἡ "μαρτυρία μου οὐκ ἔστιν ἀληθὴς," τὴν γνώμην ἐλέγχει τὴν ἐκείνων, καὶ τὴν μέλλουσαν αὐτῷ παρ' ἐκείνων ἀντίθεσιν ἔσεσθαι, δεικνὺς αὐτοῖς, ὅτι οἶδε τὰ ἐκείνων ἀπόρρητα τῆς διανοίας. Ὅταν δὲ λέγῃ, ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ, αὐτὴν δείκνυσι τοῦ πράγματος τὴν φύσιν, ὅτι ὡς Θεὸν ἀξιόπιστον αὐτὸν ἔδει νομίζειν τρεῖς παράγειν μαρτυρίας τῶν λεγομένων· τὰ ἔργα τὰ ὑπ' αὐτοῦ γινόμενα, τοῦ Πατρὸς τὴν μαρτυρίαν, τὸ Ἰωάννου κήρυγμα. προτέραν τὴν ἐλάττω τὴν τοῦ Ἰωάννου τίθησι λέγων, "ἄλλος ἐστὶν "ὁ μαρτυρῶν περὶ ἐμοῦ, καὶ οἶδα ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία "αὐτοῦ," δεικνὺς καὶ ἐντεῦθεν, ὅτι ὅπερ πρὸ τούτου εἶπεν, "ἡ "μαρτυρία μου οὐκ ἔστιν ἀληθὴς," πρὸς τὴν ἐκείνων εἶπεν ὑπόνοιαν· ἐπεὶ πῶς ἀληθῆ εἶναι μαρτυρεῖ τὴν τοῦ Ἰωάννου μαρτυρίαν; Ινα δὲ μὴ λέγωσι, τί οὖν εἰ καὶ ἐκεῖνος ἐμαρτύρησέ σοι χαριζόμενος; καὶ ταύτην ἀνεῖλε τὴν ὑπόνοιαν εἰπὼν, "ὑμεῖς ἀπεστάλ"κατε πρὸς Ἰωάννην, καὶ μεμαρτύρηκε τῇ ἀληθείᾳ," οὐκ ἂν δὲ ἀπεστείλατε, φησὶν, εἰ μὴ ἀξιόπιστον ἡγεῖσθε.

34 Τὸ δὲ "ἐγὼ οὐ παρὰ ἀνθρώπου τὴν μαρτυρίαν λαμβάνω, ἀλλὰ "ταῦτα λέγω, ἵνα ὑμεῖς σωθῆτε," τοῦτό ἐστιν, ἐγὼ μέν φημι, οὐκ ἐδεόμην τῆς τούτου μαρτυρίας, Θεὸς ὢν, τῆς ἀνθρωπίνης. Ἐπειδὴ δὲ μᾶλλον αὐτῷ προσείχετε, ἤπερ ἐμοὶ, καὶ πάντων ἀξιοπιστότερον ἡγεῖσθε, καὶ ἐκείνῳ μὲν, ὡς προφήτῃ προσεδράμετε, ἐμοὶ δὲ θαυματουργοῦντι οὐκ ἐπιστεύσατε, διὰ τούτου ὑμᾶς ἀναμιμνήσκω τῆς μαρτυρίας ἐκείνης, καὶ πάντα ποιῶ ὥστε ὑμᾶς σωθῆναι.

Λύχνον δὲ καιόμενον καὶ φαίνοντα αὐτὸν εἶπε διὰ τὸ μὴ οἴκοθεν ἔχειν τὸ φῶς, ἀλλὰ ἀπὸ τῆς τοῦ Πνεύματος χάριτος.

35 Τὸ δὲ "ὑμεῖς ἠθελήσατε ἀγαλλιασθῆναι πρὸς ὥραν τῷ φωτὶ "αὐτοῦ," δηλοῖ ὅτι ἀπεδέξαντο μὲν πρὸς ὥραν τὰ εἰρημένα, καὶ ὀρθὴν περὶ αὐτοῦ κρίσιν εἶχον, τουτέστι πρόσκαιρον καὶ ἀβέβαιον σπουδήν. Εἰ γὰρ ἐπέμειναν, ταχέως ἂν αὐτοὺς πρὸς τὸν Ἰησοῦν ἐχειραγώγησεν.

Εἶτα τὴν ἐκ τῶν ἰδίων ἔργων μαρτυρίαν δεικνὺς, ἐπήγαγε λέγων, "ἐγὼ δὲ ἔχω τὴν μαρτυρίαν μείζονα Ἰωάννου, τὰ ἔργα ἃ

“ ἔδωκέ μοι ὁ Πατὴρ ἵνα ποιῶ, αὐτὰ μαρτυρεῖ ὅτι ὁ Πατήρ με “ ἀπέστειλεν.” Ἐνταῦθα τοῦ παραλυθέντος καὶ ἀνορθωθέντος ἀνέμνησεν. Ἔτι δὲ καὶ πρὸς τὴν κατηγορίαν τῆς τοῦ σαββάτου λύσεως ἐνίσταται. Ἐπειδὴ γὰρ ἔλεγον πῶς δύναται ἀπὸ Θεοῦ εἶναι, ὅτι τὸ σάββατον οὐ τηρεῖ, διὰ τοῦτό φησιν, “ ἃ ἔδωκέ μοι “ ὁ Πατήρ.” Λέγει δὲ λοιπὸν καὶ τὴν τοῦ Πατρὸς μαρτυρίαν, “ ὅτι ὁ πέμψας με Πατὴρ, αὐτὸς μεμαρτύρηκε περὶ ἐμοῦ.” Ποῦ δὲ μεμαρτύρηκεν; “ οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, αὐτοῦ “ ἀκούετε.” Τὸ δὲ “ οὔτε φωνὴν αὐτοῦ ἀκηκόατε πώποτε, οὔτε “ εἶδος αὐτοῦ ἑωράκατε,” φησὶν, εἰς φιλόσοφον αὐτοὺς δόγμα ἐνάγων κατὰ μικρὸν, δεικνὺς ὅτι οὔτε φωνὴ περὶ Θεοῦ ἐστιν, οὔτε εἶδος, ἀλλὰ ἀνώτερος σχημάτων ἐστί. Τοῦτο δὲ εἶπεν, ἵνα μὴ λέγωσι, κομπάζεις, Μωϋσεῖ λελάληκεν ὁ Θεὸς μόνῳ· ὥσπερ οὖν καὶ ἔλεγον, ὅτι “ ἡμεῖς οἴδαμεν, ὅτι Μωϋσεῖ λελάληκεν ὁ “ Θεός· τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστί.” Διὰ τοῦτο ταῦτά φησιν, ἐμφαίνων ὅτι οὔτε φωνὴ περὶ Θεὸν, οὔτε εἶδος. καὶ τί λέγω, φησὶ, ὅτι φωνὴν αὐτοῦ οὐκ ἀκηκόατε, οὔτε εἶδος ἑωράκατε, οὐδὲ ἐφ’ ᾧ μάλιστα αὐχεῖτε, καὶ ἐφ’ ᾧ μάλιστα πάντες ἐστὲ πεπληροφορημένοι πράγματι, ὅτι τὰ προστάγματα αὐτοῦ ἐδέξασθε, οὐδὲ τοῦτο ὑμῖν δυνατὸν εἰπεῖν. Εἰ γὰρ καὶ ὁ Θεὸς αὐτὰ διετάξατο, ἀλλ’ ὅμως παρ’ ὑμῖν οὐκ ἔστιν, ἐπειδὴ μὴ πιστεύετέ μοι. Διὰ γὰρ τοῦτο οὔτε τὸν λόγον αὐτοῦ ἔχετε μένοντα ἐν ὑμῖν, ὅτι ὃν ἀπέστειλεν ἐκεῖνος, τούτῳ ὑμεῖς οὐ πιστεύετε. Εἰ γὰρ ἄνω καὶ κάτω λέγει ἡ γραφὴ, ὅτι ἐμοὶ δεῖ προσέχειν, ὑμεῖς δὲ οὐ πιστεύετέ μοι, εὔδηλον ὅτι καὶ ὁ λόγος αὐτοῦ ἀπέστη ἀφ’ ὑμῶν. Διὰ τί οὐκ εἶπεν, ἀναγιγνώσκετε, ἀλλ’ “ ἐρευνᾶτε τὰς γραφάς;” ἐπεὶ τὰ περὶ αὐτοῦ λεγόμενα ἐν αὐταῖς πολλῆς ἐδεῖτο τῆς ἐπιστάσεως· συνεσκίαστο γὰρ ἄνωθεν συμφερόντως τοῖς τότε. Διὰ τοῦτο διασκάπτειν αὐτοῖς μετὰ ἀκριβείας κελεύει, ἵνα τὰ ἐν τῷ βάθει κείμενα δυνηθῶσιν εὑρεῖν.

39 Οὐκ εἶπε δὲ ὅτι ἔχετε, ἀλλ’ ὅτι “ ὑμεῖς δοκεῖτε ἐν αὐταῖς “ ζωὴν αἰώνιον ἔχειν,” δεικνὺς, ὅτι οὐδὲ ἐκεῖθεν ἐκαρποῦντο μέγα τί καὶ γενναῖον ἀπὸ τῆς ἀναγνώσεως σώζεσθαι μόνης προσδοκῶντες, πίστεως μὴ προσούσης. Τοῦτο γὰρ σημαίνει καὶ τὸ ἐπα-

γόμενον " ἐκεῖναί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ, καὶ οὐ θέλετε " ἐλθεῖν πρὸς μὲ, ἵνα ζωὴν αἰώνιον ἔχητε." Εἰκότως ἄρα ἔλεγε τὸ " δοκεῖτε" διὰ τὸ μὴ βούλεσθαι αὐτοὺς πείθεσθαι, ἀλλ' ἐπὶ μόνῃ τῇ ἀναγνώσει αὐχεῖν. Ἐπειδὴ ἀνέμνησεν αὐτοὺς τῆς τοῦ Ἰωάννου μαρτυρίας, καὶ τῆς τοῦ Θεοῦ, καὶ τῶν ἔργων αὐτοῦ διὰ τὴν σωτηρίαν αὐτῶν καὶ μόνον· εἰκὸς δὲ ἦν πολλοὺς ὑποπτεύειν, ὅτι δόξης ἐρῶν ταῦτα ἔλεγε· διὰ τοῦτό φησιν, ὅτι " δόξαν παρὰ " ἀνθρώπου οὐ λαμβάνω," τουτέστιν, οὐ δέομαι, οὐκ ἔστιν ἡ ἐμὴ τοιαύτη, ὥστε δεῖσθαι τῆς παρὰ ἀνθρώπων δόξης.

Τὸ δὲ " ἔγνωκα ὑμᾶς, ὅτι τὴν ἀγάπην τοῦ Θεοῦ οὐκ ἔχετε," εἶπε, δεικνὺς, ὅτι οὐ δι' ἀγάπην Θεοῦ αὐτὸν ἐδίωκον, κἂν οὕτως ἐκεῖνοι προεφασίζοντο.

Ὁρᾷς ὅτι ἄνω καὶ κάτω διὰ τοῦτο λέγει ἀπεστάλθαι, καὶ παρὰ τοῦ Πατρὸς εἰληφέναι, καὶ οὐδὲν δύνασθαι ποιεῖν ἀφ' ἑαυτοῦ, ἵνα πᾶσαν ἐκκόψῃ πρόφασιν ἀγνωμοσύνης.

43 Περὶ τίνος λέγει, ὅτι " ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ " ἰδίῳ, ἐκεῖνον λήψεσθε;" περὶ τοῦ Ἀντιχρίστου ὅστις ἑαυτὸν μέλλει ἀποδεικνῦναι, ὅτι αὐτός ἐστιν ὁ Θεός. Τοῦτο γάρ ἐστιν, " ἐν τῷ ὀνόματι τοῦ Πατρὸς ἦλθον, καὶ οὐ δέχεσθέ με." Τοῦτο δὲ συμβαίνει ὑμῖν διὰ τὸ μὴ ζητεῖν ὑμᾶς τὴν τοῦ Θεοῦ δόξαν, ἀλλὰ μᾶλλον τὴν παρὰ ἀλλήλων λαμβάνοντος. Ἐπεὶ δὲ λέγετε Μωϋσεῖ πιστεύειν, δείκνυμι δι' ὧν κατ' ἐμοῦ τολμᾶτε, ὅτι μάλιστα ἀπιστεῖτε τῷ Μωϋσεῖ. Διὸ καὶ " ἐκεῖνός ἐστιν ὁ κατηγο- " ρῶν ὑμῶν πρὸς τὸν Πατέρα, εἰς ὃν ὑμεῖς ἠλπίκατε. Εἰ γὰρ " ἐπιστεύετε Μωϋσεῖ, ἐπιστεύετε ἂν ἐμοὶ," καὶ τὰ ἑξῆς. Πῶς δὲ Μωϋσῆς περὶ αὐτοῦ ἔγραψεν ἀκούσομεν. Ἐάν τις ἔλθῃ φησὶν, σημεῖα ποιῶν, καὶ πρὸς τὸν Θεὸν ἄγων, καὶ προλέγων τὰ μέλλοντα μετὰ ἀληθείας, ὑπακούσετε αὐτῷ μετὰ πάσης σπουδῆς· ὁ Χριστὸς οὖν ταῦτα πεποίηκεν.

Τοῦ ἁγίου Κυρίλλου. Ἐντεῦθεν οἶμαι συνεὶς, καὶ ὁ μακάριος Παῦλος ἀληθές τί φησι, περὶ δὲ τῶν Ἰουδαίων καὶ τοῦ τῆς ἀνομίας υἱοῦ, " ἀνθ' ὧν τὴν ἀγάπην τῆς ἀληθείας οὐκ ἔδειξαν εἰς τὸ " σωθῆναι αὐτοὺς, διὰ τοῦτο πέμψει αὐτοῖς ὁ Θεὸς ἐνέργειαν πλά- " νης, εἰς τὸ πιστεῦσαι αὐτοὺς τῷ ψεύδει, ἵνα κριθῶσιν ἅπαντες οἱ " μὴ πιστεύσαντες τῇ ἀληθείᾳ, ἀλλ' εὐδοκήσαντες τῇ ἀδικίᾳ."

Ἀμμωνίου πρεσβυτέρου. Εἰ καὶ οἶδεν ὅτι οὐ πείθονται, ἀλλ' ὡς Θεὸς τὸ ἑαυτοῦ ποιεῖ, ἐλέγχων καὶ νουθετῶν. ὁ Ἀντίχριστος τὴν τοῦ βίου δόξαν ἐπαγγέλλεται, καὶ διὰ τοῦτο ἐκείνῳ πιστεύετε.

Ἐγὼ μὲν, φησὶν, ἐπειδή περ ὑμᾶς πρὸς τὸν Θεὸν ἀνάγω, οὐδὲν ἐν τῷ βίῳ περίβλεπτον ὑμῖν ἐπαγγελλόμενος, ἀποφεύγετε τῶν παρ' ἐμοῦ λεγομένων τὴν διδασκαλίαν· ἐκεῖνος δὲ ἐπειδήπερ ἐν τῷ βίῳ τούτῳ τὴν πᾶσαν ἑαυτοῦ δόξαν ἐπιδείκνυται, πολλὴν τὴν ἐνταῦθα τοῖς ἐπ' αὐτὸν πιστεύουσιν, ἄνεσίν τε καὶ δωροφορίαν ἐπαγγελλόμενος, ἐπιθυμίᾳ τῆς παρούσης δόξης ἐπ' αὐτὸν συνδραμεῖσθε.

Ἀπολιναρίου. Λέγει τῆς ἀπιστίας τὴν αἰτίαν, ἐλέγχων τῶν διανοιῶν τὰ κεκρυμμένα· ἄρχοντες μὲν γὰρ τὴν ἀπὸ λαῶν εὐδοκίμησιν μεταδιώκοντες, λαοὶ δὲ τὴν παρὰ τοῖς ἄρχουσι τιμὴν ἀγαπῶντες, ἀφίστασθε τῆς πίστεως τῆς εἰς ἐμέ· οἱ μὲν ἵνα μὴ τὴν δόξαν ἐλαττωθεῖεν τὴν ἐν ὑμῖν, ὑμεῖς δὲ ἵνα μὴ τὴν παρ' ἐκείνοις τιμὴν ἀποβάλοιτε.

ΚΕΦ. Η.

Περὶ τῶν ε' ἄρτων καὶ τῶν β' ἰχθύων.

Ἐπειδὴ εἰκὸς ἦν ἀπὸ τῶν λόγων τούτων τεχθῆναι φθόνον καὶ θυμὸν τοῖς Ἰουδαίοις, καταπραΰνων αὐτοὺς ὁ Κύριος διὰ τῆς ἀναχωρήσεως, "ἀπῆλθε πέραν τῆς θαλάσσης τῆς Γαλιλαίας τῆς Τιβεριάδος·" ἠκολούθησαν δὲ αὐτῷ ὄχλοι πολλοὶ, θεωροῦντες τὰ σημεῖα ἃ ἐποίει ἐπὶ τῶν ἀσθενούντων, ὅπερ οὐ σφόδρα ἀφιλοσόφου γνώμης ἦν. Ἔδει γὰρ αὐτοὺς μᾶλλον διὰ τὴν διδασκαλίαν τοῦτο ποιῆσαι. Τὰ γὰρ σημεῖα φησὶν ὁ Ἀπόστολος τοῖς ἀπίστοις, ἀλλ' οὐκ ἐκεῖνος ὁ ὄχλος ὁ παρὰ τῷ Ματθαίῳ τοιοῦτος, ἀλλὰ πῶς; "ἐξεπλήττοντο" γὰρ, φησὶ, "πάντες ἐπὶ τῇ διδαχῇ αὐτοῦ, ὅτι "ἐδίδασκεν αὐτοὺς, ὡς ἐξουσίαν ἔχων."

Ἄλλως. Τῆς λίμνης φησὶν, ἔθος γὰρ τῇ γραφῇ, φησὶ, τὰ τῶν ὑδάτων συστήματα θάλασσαν καλεῖν. Ἡ μετάβασις καὶ ἡ τῶν τόπων ἐναλλαγὴ ἱκανῶς τὴν τοῦ πλήθους ἐδοκίμαζε προαίρεσιν. Τῶν γὰρ ῥαθυμοτέρων δι' ὄκνον ἐπὶ χώρας μενόντων οἱ σπουδαιό-

τεροι ἠκολούθουν αὐτῷ καὶ εἰς τὴν ἔρημον ἐκ τῶν γιγνομένων σημείων τὰς ψυχὰς ὁσημέραι βεβαιούμενοι. Ἀνῆλθε δὲ εἰς τὸ ὄρος νῦν διὰ τὸ μέλλον γίνεσθαι σημεῖον, ἅμα δὲ καὶ παιδεύων ἡμᾶς φεύγειν τοὺς ἐν μέσῳ θορύβους. χρήσιμον γὰρ πρὸς φιλοσοφίαν ἡ ἡσυχία.

Καὶ γὰρ ὅτε ἠβούλετο μυστικόν τι τοῖς μαθηταῖς παραδοῦναι, εἰς ὄρος ἄνεισιν.

Θεοδώρου Μομψουεστίας. Ἀνῆλθεν εἰς τὸ ὄρος, διδάσκων ἡμᾶς ὅτι τὸν μάλιστα Θεῷ προσιόντα πάσης ἀπηλλάχθαι δεῖ ταραχῆς, καὶ καιρὸν καὶ τόπον θορύβου καθαρὸν ζητεῖν.

Κυρίλλου. Ὅτε γὰρ τῶν Ἱεροσολύμων ἐκπεφοίτηκεν ὁ Χριστὸς κατὰ τὸ ἐν προφήταις εἰρημένον, "ἐγκαταλέλοιπα τὸν οἶκόν μου, "ἀφῆκα τὴν κληρονομίαν μου," καὶ τοῖς ἀλλογενέσιν ἑαυτὸν ἐχαρίζετο, τότε πολὺς ὄχλος ἀκολουθεῖ. ἄνεισι δὲ εἰς ὄρος αὐτὸς, τουτέστιν, ὑψοῦται ἀπὸ τῆς γῆς, εἰς τὸν ὑπὲρ ἡμᾶς ἐμβαίνων οὐρανὸν, ἵνα πάντας ἑλκύσῃ πρὸς ἑαυτόν· ἢ πάλιν ἑτέρως, καθάπερ εἰς ὄρος ἀναβεβηκὼς τὴν θεοπρεπῆ τιμήν τε καὶ δόξαν· οὐ γὰρ ὡς ἄνθρωπον ἀτιμάζομεν κατὰ τὸν Ἰσραὴλ, ἀλλ' ὡς Θεὸν καὶ Σωτῆρα καὶ Κύριον προσκυνοῦμεν ἡμεῖς.

Οὐκ ἀνῆλθε δὲ εἰς τὸ Πάσχα νῦν, ἀλλ' εἰς τὴν Γαλιλαίαν, κἀκεῖθεν εἰς Καπερναοὺμ, ἠρέμα λοιπὸν ὑπεκλύων τὸν νόμον, ἀφορμὴν λαμβάνων ἀπὸ τῆς Ἰουδαϊκῆς πονηρίας.

Τὸ δὲ ἀναβλέψας τοῖς ὀφθαλμοῖς δείκνυσιν ὅτι οὐδέποτε ἁπλῶς ἐκάθητο μετὰ τῶν μαθητῶν, ἀλλ' ἀκριβολογούμενός τι πρὸς αὐτοὺς, καὶ ἐπιστρέφων αὐτοὺς πρὸς ἑαυτὸν, ὃ μάλιστα τὴν κηδεμονίαν αὐτοῦ ἐνδείκνυται, καὶ τὸ ταπεινὸν καὶ συγκαταβατικὸν τὸ πρὸς ἐκείνους, συνεκάθηντο γὰρ αὐτῷ.

5 Οἱ μὲν ἄλλοι Εὐαγγελισταὶ τοὺς μαθητὰς φασὶν προσελθόντας ἐρωτᾶν καὶ παρακαλεῖν, ὥστε μὴ ἀπολῦσαι τοὺς ὄχλους νήστεις. Οὗτος δέ φησι τὸν Φίλιππον ἐρωτηθῆναι παρὰ τοῦ Χριστοῦ. δοκεῖ οὖν μοι ἀμφότερα εἶναι ἀληθῆ, ἀλλ' οὐκ ἐπὶ τῶν αὐτῶν γενόμενα καιρῶν. Ἐρωτᾷ δὲ τὸν Φίλιππον, ἐπειδὴ ᾔδει τῶν μαθητῶν τοὺς μάλιστα δεομένους πλείονος διδασκαλίας. Οὗτος γάρ ἐστιν ὁ μετὰ ταῦτα λέγων, "δεῖξον ἡμῖν τὸν Πατέρα σου, καὶ "ἀρκεῖ ἡμῖν." Διὰ τοῦτο ἄνωθεν αὐτὸν ἐρύθμισε, καὶ εἰ μὲν

ἁπλῶς τὸ σημεῖον ἐγένετο, οὐκ ἂν τοσοῦτον ἐφάνη τὸ θαῦμα· νυνὶ δὲ πρότερον αὐτὸν ἀναγκάζει ὁμολογῆσαι τὴν σπάνιν, ἵνα ἀκριβέστερον καταμάθῃ τοῦ μέλλοντος γίνεσθαι θαύματος τὸ μέγεθος· ὅπως τῆς ἐκπλήξεως γενομένης, τὴν μνήμην τῶν ὁμολογηθέντων μὴ δυνηθῇ λοιπὸν ἐκβαλεῖν. Διὰ τοῦτό φησι, "πόθεν ἀγοράσομεν "ἄρτους ἵνα φάγωσιν οὗτοι;"

Τί ἐστι πειράζων; ἆρα ὡς ἀγνοῶν τὸ μέλλον ἀπ' αὐτοῦ ῥηθήσεσθαι; οὐδαμῶς, ἀλλ' ἀνθρωπίνως τοῦτο εἴρηται, ἵνα δοκιμώτερον αὐτὸν ἀπεργάσηται. Διὰ τοῦτο καὶ ὁ Εὐαγγελιστὴς, ἵνα μὴ τῇ ἀσθενείᾳ τῆς λέξεως ἐναπομείνας ὑποπτεύσῃ τι περὶ τοῦ ῥήματος ἄτοπόν, φησιν, "αὐτὸς γὰρ ᾔδει τί ἔμελλε ποιεῖν." Ὑψηλότερόν πω τοῦ Φιλίππου ἀνέβη ὁ Ἀνδρέας, οὐ μὴν εἰς τὸ πᾶν ἔφθασεν· οἶμαι γὰρ εἰς αὐτὸν ἐληλυθέναι τῶν προφητῶν τὰ θαύματα, καὶ πῶς ὁ Ἐλισσαῖος ἐποίησε τὸ ἐπὶ τῶν ἄρτων σημεῖον, πλὴν ὁμοίως τῷ Φιλίππῳ ἐλέγχεται μηδὲν μέγα φαντασθεὶς, μηδὲ ἐπάξιόν τι τοῦ διδασκάλου φρονήσας, δι' ὧν ἐπήγαγεν, "ἀλλὰ "ταῦτα τί ἐστιν εἰς τοσούτους;" ἐνόμιζε γὰρ ὅτι ἀπὸ μὲν ἐλαττόντων ἐλάττοντα, ἀπὸ δὲ πλειόνων πλείονα ἤμελλε ποιεῖν ὁ θαυματουργῶν, ὅπερ οὐκ ἦν. Οὐ γὰρ ὕλης ἐδεῖτο τῆς ὑποκειμένης, ἀλλ' ὥστε μὴ δόξαι τὴν κτίσιν ἀλλοτρίαν εἶναι τῆς αὐτοῦ σοφίας, αὐτῇ τῇ κτίσει κέχρηται πρὸς τὴν ὑπόθεσιν τῶν κτισμάτων.

10 Ὡς ἑτοίμου καὶ παρεσκευασμένης τῆς τραπέζης ἐκέλευσεν αὐτὸς εὐθέως ἀναπεσεῖν· οἱ δὲ τὴν ἀρχὴν ἀπιστήσαντες μετὰ προθυμίας κατέκλιναν τὸν ὄχλον ἐπὶ τὸν χόρτον, ὥστε αὐτοὺς διαπαῦσαι· ἦν γὰρ ὁ καιρὸς τῆς πόας, ἔαρος λοιπὸν ὄντος· ἐγγὺς γὰρ ἦν, φησὶ, τὸ Πάσχα. Παρουσῶν δὲ γυναικῶν σὺν τέκνοις, μόνους τοὺς ἄνδρας ἀριθμεῖ, ταῖς κατὰ τὸν νόμον συνηθείαις ἀκολουθῶν. Τοῦτο γὰρ καὶ Μωϋσῆς ἐποίησεν ἐν ἀριθμοῖς· τίμιον γὰρ ἐν βίβλῳ Θεοῦ πᾶν ὅσον ἀνδρῶδες καὶ νεανικόν· εὐχαριστεῖ δὲ λαβὼν τοὺς ἄρτους, δεικνὺς ὅτι τοὺς τροφῆς ἀρχομένους εὐχαριστεῖν δεῖ τῷ Θεῷ, καὶ ὅτι ὄχλος ἦν πολὺς ὁ παρὼν, καὶ ἐχρῆν αὐτοὺς πεισθῆναι, ὅτι κατὰ γνώμην Θεοῦ παρεγένετο. Διὰ τοῦτο ὅτε μὲν μόνος ποιεῖ σημεῖα, οὐδὲν τοιοῦτον ἐπιδείκνυται· ὅταν δ' ἐπὶ πολλῶν τοῦτο ποιεῖ, διὰ τῆς εὐχαριστίας τοῦτο ποιεῖ, ἀναιρῶν τὴν ὑπόνοιαν, ὅτι οὐκ ἀντίθεός τίς ἐστιν, οὐδὲ ἐναντίος τῷ γεγεν-

νηκότι. Δείκνυσι δὲ ὅτι οὐκ ἀσθενείᾳ τοῦτο ποιεῖ, ἀλλὰ συγκαταβάσει, ἐκ τοῦ τὰ μείζονα αὐθεντείᾳ ποιεῖν.

Ἀμμωνίου πρεσβυτέρου. Διδάσκει διὰ τοῦ σημείου θαρρεῖν αὐτῷ, καὶ μὴ ἀθυμεῖν ἐν στενοχωρίᾳ, ἤτοι μὴ δειλιᾷν πρὸς φιλοξενίαν, ἀλλὰ πρὸς πᾶν ἀγαθὸν ἑτοίμους εἶναι.

Διὰ τοῦτο εὐχαριστεῖ, ἵνα μὴ δόξῃ ἀντίθεος εἶναι, καὶ ἵνα διδάξῃ ἡμᾶς ἐν τῷ ἐσθίειν εὐχαριστεῖν, πλὴν καὶ ὡς ἄνθρωπος εὐχαριστεῖ, ἵνα λάθῃ ἕως τοῦ πάθους τὸν ἄρχοντα τοῦ νῦν αἰῶνος.

Θεοδώρου Μομψουεστίας. Τοῦτο μὴν λέγει, δείξας εἰς τὸ εὐπροσώπως αὐτοῖς κελεῦσαι τὴν τῶν κλασμάτων ποιήσασθαι συλλογήν· ἐκεῖνο δὲ οἰκονομούμενος, ὅπερ ἐξ αὐτοῦ παρηκολούθει τοῦ πράγματος, τὸ ἐπὶ πλέον ἀπολαύοντας μᾶλλον τοῦ γεγονότος μεμνῆσθαι θαύματος, ἢ καὶ ὥστε δοθῆναι καὶ εἰς ἑτέρους τὸ γεγενημένον. Ἐφαίνετο γὰρ καὶ τὸ δαψιλὲς τῆς χάριτος ἐν τῷ πλήθει τῆς περισσείας, καὶ ὅτι πάντα κατὰ τὸ δοκοῦν αὐτῷ διαπράττεται. Συνεχώρησε δὲ περισεῦσαι τοσαῦτα κλάσματα, οὐ δι' ἐπίδειξιν, ἄπαγε, ἀλλ' ὥστε μὴ φαντασίαν νομισθῆναι τὸ πρᾶγμα.

Ἀμμωνίου. Τρέφει τοὺς πιστοὺς ὁ Χριστὸς διὰ τῶν πέντε ἄρτων τῶν κριθίνων, ὅπερ νοεῖται ἡ παχυτέρα τῆς πεντατεύχου διδασκαλία, καὶ διὰ τῶν δύο ἰχθύων, ὅπερ ἐστὶν ἡ ἁπαλὴ διδαχὴ τοῦ εὐαγγελικοῦ καὶ ἀποστολικοῦ κηρύγματος.

13 Οὐκ ἔδωκε δὲ τοῖς ὄχλοις βαστάζειν, ἀλλὰ τοῖς μαθηταῖς, ἐπειδὴ μάλιστα τούτους παιδεῦσαι ἐβούλετο, τοὺς μέλλοντας ἔσεσθαι διδασκάλους τῆς οἰκουμένης. Τὸ μὲν γὰρ πλῆθος οὐδὲν μέγα ἔμελλε καρπώσασθαι ἐκ τοῦ θαύματος. καὶ γὰρ εὐθέως ἐπελάθοντο, καὶ ᾔτουν ἕτερον θαῦμα. Οὗτοι δὲ οὐ τὰ τυχόντα ἔμελλον κερδαίνειν. Ἦν δὲ καὶ τῷ Ἰούδα[1] κατάκριμα τὸ γινόμενον οὐ τὸ τυχὸν, βαστάζοντι τὸν κόφινον.

Χρὴ δὲ οὐ τὸ πλῆθος θαυμάζειν τῶν γεγονότων κλασμάτων ἐκ τῶν ἄρτων μόνον, ἀλλὰ καὶ τὴν ἀκρίβειαν τοῦ περισσεύσαντος, ὅτι οὔτε πλέον, οὔτε ἔλαττον, ἀλλ' ἰσαρίθμους τῶν μαθητῶν τοὺς κοφίνους τῶν λειψάνων ἐποίησε περισσευθῆναι.

Ἐθαύμασαν δὲ οἱ ὄχλοι νῦν τοῦτο τὸ σημεῖον δι' ὑπερβολὴν γαστριμαργίας· μυρία εἰργάσατο τούτου θαυμασιώτερα, καὶ οὐ-

[1] Ἰουδαίῳ Cod.

δαμοῦ ἐπίστευσαν· ἢ οὕτω θαυμάσαντες ὡμολόγησαν, ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης. ἐκ δὲ τούτου δῆλον ὅτι προφήτην τινὰ προσεδόκουν ἐξαίρετον· καὶ γὰρ τῷ βαπτιστῇ διὰ τοῦτο ἔλεγε, "σὺ εἶ ὁ προφήτης." Ἔτι δὲ καὶ διὰ τὴν τῆς γαστριμαργίας αὐτῶν προσπάθειαν, οὐκ ἔτι νόμον ἐκδικοῦσιν, οὐκ ἔτι αὐτοῖς περὶ τῆς τοῦ σαββάτου παραβάσεως μέλει, ἀλλὰ τῆς γαστρὸς αὐτοῖς ἐμπλησθείσης, καὶ προφήτης ἦν παρ' αὐτοῖς καὶ βασιλείας ἄξιος. ὁ δὲ Χριστὸς διὰ τοῦτο φεύγει, παιδεύων ἡμᾶς τῶν κοσμικῶν καταφρονεῖν ἀξιωμάτων.

ΚΕΦ. Θ.

Περὶ τοῦ ἐν θαλάσσῃ περιπάτου.

Τίνος χάριν ἀφίησι τοὺς μαθητὰς καὶ ἀνέρχεται εἰς τὸ ὄρος μόνος, καὶ πάλιν φαίνεται ἐπὶ τῆς θαλάσσης βαδίζων; Ἐκεῖνο μὲν, διδάσκων αὐτοὺς, πόσον ἐστὶν ἡ ἀπόλειψις, καὶ τὸν πόθον ἐργαζόμενος μείζονα. Τοῦτο δὲ, τὴν αὐτοῦ δύναμιν ἐνδεικνύμενος.

Ὡς δὲ ὀψία ἐγένετο, κατέβησαν εἰς τὴν θάλασσαν οἱ μαθηταὶ, καὶ μέχρι μὲν τῆς ἡμέρας περιέμενον αὐτὸν, ἥξειν προσδοκῶντες πρὸς αὐτούς. Γενομένης δὲ ἑσπέρας, οὐκ ἠνείχοντο μὴ ζητεῖν τὸν διδάσκαλον, τοσοῦτος αὐτοὺς κατεῖχεν ἔρως, καὶ ἀπὸ τοῦ πόθου κεντούμενοι, ἔβησαν εἰς τὸ πλοῖον. Οὐ γὰρ ἁπλῶς ὁ Εὐαγγελιστὴς καὶ τὸν καιρὸν ἐδήλωσεν, ἀλλὰ διὰ τούτου τὴν θερμὴν αὐτῶν ἀγάπην ἐμφαίνων, ὅτι οὔτε ἡ ἑσπέρα αὐτοὺς κατέσχεν.

Κυρίλλου κατὰ ἀναγωγήν. Εἰ βαρὺ τὸ ἐν σκότῳ γενέσθαι τῷ νοητῷ, καὶ εἰ χαλεπὸν τὸ ἐν θαλάσσῃ πικρᾷ τῶν ἡδονῶν καταπνίγεσθαι, προσδεξώμεθα τὸν Ἰησοῦν. Τοῦτο γὰρ ἡμᾶς καὶ κινδύνων ἀπαλλάξει καὶ τῆς εἰς θάνατον ἁμαρτίας· ὁ δὲ τύπος τῶν εἰρημένων ἐν τοῖς γεγονόσιν ὀφθήσεται. ἥξει δὴ οὖν πάντως ἐπὶ τοὺς μαθητὰς, "ἐγώ εἰμι, μὴ φοβεῖσθε." εἰσόμεθα διὰ τούτου φρόνημα μὲν ἔχειν ἐν πειρασμοῖς εὔτολμόν τε καὶ νεανικόν· ὑπομονῇ δὲ κεχρῆσθαι συντόνῳ τῇ εἰς Χριστὸν, ἐλπίδα βεβαιουμένους εἰς εὐθαρσίαν τὴν ἐπὶ τῷ πάντως διασωθήσεσθαι, κἂν πολλοί τινες ἡμᾶς οἱ ἐκ τοῦ πειράζεσθαι περικυκλῶσι φόβοι. ἐπιτήρει γὰρ ὅπως οὐκ εὐθὺς ἀποπλεύσωσιν, οὐδὲ ἐν ἀρχῇ τῶν κινδύνων τοῖς ἐν τῷ σκάφει Χριστὸς ἐπιφαίνεται. Ἀλλ' ὅταν οὑτωσί πως ἐν μέσοις τοῖς

κύμασιν εὑρισκώμεθα, τότε δὴ καὶ ἀδοκήτως ἐπιφαίνεται Χριστὸς, καὶ περιστέλλει μὲν τὸν φόβον, κινδύνου δὲ ἀπαλλάξει παντὸς, καὶ ἀπονητὶ δὲ κατορθώσομεν τὰ λυσιτελῆ παρόντος αὐτοῦ.

20 Ἐπέστη δὲ αὐτοῖς χειμαζομένοις λέγων, "ἐγώ εἰμι, μὴ φοβεῖσθε," καὶ μετὰ τοῦ ῥήματος καὶ τὴν δειλίαν ἐξέβαλεν ἀπὸ τῆς ἐκείνων ψυχῆς, καὶ μετὰ τῆς φωνῆς γαλήνη γέγονεν· οὐκ ἐνέβη δὲ εἰς τὸ πλοῖον, τὸ θαῦμα μεῖζον ἐργάσασθαι βουλόμενος, καὶ τὴν θεότητα αὐτοῖς ἐκκαλύψαι γυμνότερον. Διέβησαν μὲν οὖν τὴν ἐρυθρὰν θάλασσαν καὶ Ἰουδαῖοι, Μωσέως ἡγουμένου, ἀλλὰ πολὺ τὸ μέσον ἐνταῦθα. Ὁ μὲν γὰρ εὐχόμενος καὶ ὡς δοῦλος πάντα εἰργάζετο, οὗτος δὲ μετ' ἐξουσίας ἁπάσης· κἀκεῖ μὲν, νότου τότε πνεύσαντος, εἶξε τὸ ὕδωρ, ὥστε ἐπὶ ξηρᾶς ποιῆσαι παρελθεῖν. Ἐνταῦθα δὲ μεῖζον τὸ θαῦμα ἐγίνετο. Μένουσα γὰρ ἐπὶ τῆς οἰκείας φύσεως ἡ θάλασσα, οὕτως ἔφερε τὸν δεσπότην ἐπὶ τῶν νώτων, μαρτυροῦσα ἐκείνῃ τῇ ῥήσει τῇ λεγούσῃ, "ὁ περιπατῶν ἐπὶ τῆς θαλάσσης ὡς ἐπὶ ἐδάφους."

Τὸ εὐθέως δὲ τὸ πλοῖον ἐπὶ τῆς γῆς ἐγένετο, τοῦτο δηλοῖ, οὐ μόνον ἀσφαλῆ αὐτοῖς ἀλλὰ καὶ ἐξουρίων παρεῖχε τὸν πλοῦν· τῷ ὄχλῳ δὲ οὐκ ἐπέδειξεν ἑαυτὸν ἐπὶ τῆς θαλάσσης περιπατοῦντα. Μεῖζον γὰρ ἢ κατὰ τὴν ἐκείνων ἀσθένειαν τὸ σημεῖον ἦν.

22 Ἀκριβέστερον δὲ ὁ Εὐαγγελιστὴς λέγει, "τῇ ἐπαύριον ὁ ὄχλος ὁ ἑστηκὼς πέραν τῆς θαλάσσης, εἶδεν ὅτι πλοιάριον ἄλλο οὐκ ἦν ἐκεῖ," καὶ τὰ ἑξῆς, ἕτερόν τι βουλόμενος ἡμᾶς διδάξαι. Ποῖον τοῦτο; ὅτι καὶ τοῖς ὄχλοις εἰ καὶ μὴ φανερῶς, ἔδωκε γοῦν ὁ Ἰησοῦς λανθανόντως ὑπονοῆσαι τὸ γεγενημένον ἐστὶν, εἰ καὶ ἄλλο πλοιάριον οὐκ ἦν, οὔτε τοῖς μαθηταῖς συνανέβη, εὑρεθῆναι τὸ πέραν τῆς θαλάσσης, πρόδηλον ὅτι τὴν θάλασσαν πεζεύων παρεγένετο· ἀλλ' ὅμως μετὰ τοσοῦτον θαῦμα, ἀπελθόντες πρὸς αὐτὸν οὐκ ἠρώτησαν πῶς διέβη, οὐδὲ ἐζήτησαν μαθεῖν τὸ τοσοῦτον σημεῖον, ἀλλὰ τί φασι; πῶς ὧδε παραγέγονεν; οὕτως ἦν εὔθραυστος ἡ ὁρμὴ αὐτῶν. Οἱ γὰρ λέγοντες, οὗτός ἐστιν ὁ προφήτης, οἱ σπουδάζοντες ἁρπάσαι καὶ ποιῆσαι βασιλέα, εὑρόντες αὐτὸν, οὐδὲν τοιοῦτον βουλεύονται, ἀλλὰ τὸ θαῦμα ἐκβαλόντες ἐπεζήτουν πάλιν τραπέζης ἀπολαύσειν, οἵας καὶ πρότερον· διὸ καὶ ὀνειδίζονται παρὰ τοῦ Ἰησοῦ, "ἀμὴν, ἀμὴν, λέγω ὑμῖν, ζητεῖτέ με οὐχ

“ὅτι εἴδετε σημεῖα” καὶ τὰ ἑξῆς. Τοῦτο δὲ εἶπε, διορθῶσαι αὐτοὺς βουλόμενος, ἅμα δὲ καὶ διὰ τὸ ἐκκαλύψαι τὰ τῆς διανοίας αὐτῶν, εἰς πίστιν ἀγαγεῖν μείζονα, ὡς ὅτι Θεός ἐστιν.

Ποιεῖ δὲ τοῦτο μετὰ φειδοῦς· οὐ γὰρ εἶπεν, ὦ λαιμαργοὶ καὶ γαστρὸς δοῦλοι, ἀλλὰ προσηνέστερον· διὸ καὶ διδασκαλίαν προτίθησιν “ἐργάζεσθε,” λέγων, “μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην” καὶ τὰ ἑξῆς.

Κυρίλλου. Διδασκόμεθα διὰ τούτων, μὴ φιλοκόμπως ἐπείγεσθαι διαζῆν, ἀλλὰ μόνοις ὁρᾶσθαι θέλειν τοῖς τῆς θεότητος ὀφθαλμοῖς, ἀπογυμνούσης τὰ κρυπτὰ, καὶ τὸ λεληθότως ἐπιτελεσθὲν εἰς ἐμφανεστάτην ἀγούσης κατάλειψιν.

27 Τί δηλοῖ τὸ “ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην;” μηδεὶς ὑμῶν ἔστω λόγος ταύτης τῆς τροφῆς, ὥστε διὰ τὴν αὐτὴν μεριμνᾷν καὶ κόπτεσθαι, ἀλλὰ περὶ ἐκείνης τῆς πνευματικῆς ὅλην τὴν φροντίδα τίθεσθε. Ἀλλ᾽ ἐπειδή τινες τῶν βουλομένων ἀργῶς τρέφεσθαι, ἀποκέχρηνται τούτῳ τῷ λόγῳ ὡς τὴν ἐργασίαν ἐκκόπτοντος τοῦ Ἰησοῦ, ἀναγκαῖον καὶ πρὸς αὐτοὺς εἰπεῖν, ὅτι οὐ τοῦτό ἐστιν αἰνιττόμενος, ὥστε ἀργοὺς εἶναι· καὶ γὰρ τοῦτο μάλιστα ἀπολλυμένη βρῶσίς ἐστι, πᾶσαν γὰρ κακίαν ἐδίδαξεν ἡ ἀργία, ἀλλ᾽ ὥστε ἐργάζεσθαι καὶ μεταδιδόναι. Τοῦτο γὰρ ἔχει τὴν τῆς βασιλείας ἐπαγγελίαν τῆς μελλούσης. Εἰ δὲ οὐκ ἐργάζεταί τις, πόθεν ἂν γένοιτο διδόναι τῷ οὐκ ἔχοντι; Εἶπε δὲ τοῦτο πρὸς ἐκείνους, ἐπειδὴ τῆς μὲν πίστεως οὐδένα ἐποιοῦντο λόγον, ἓν δὲ μόνον ἐβούλοντο, γαστρίζεσθαι· τὴν τοιαύτην οὖν τροφὴν βρῶσιν ἀπολλυμένην ἐκάλεσεν.

Πῶς οὖν, φησὶν, ὁ Ἰησοῦς τῇ Μάρθᾳ λέγει, “μεριμνᾷς καὶ “θορυβάζεις περὶ πολλὰ, ἑνὸς δέ ἐστι χρεία, Μαρία δὲ τὴν ἀγα-“θὴν μερίδα ἐξελέξατο,” καὶ πάλιν, “μὴ μεριμνήσητε,” φησὶν, “εἰς τὴν αὔριον;” Τί οὖν ἂν εἴποιμεν πρὸς ταῦτα; ὅτι τὸ μὴ μεριμνᾷν, οὐ τὸ μὴ ἐργάζεσθαί ἐστιν, ἀλλὰ τὸ μὴ προσηλῶσθαι τοῖς βιωτικοῖς πράγμασι· τουτέστι, μὴ ποιεῖσθε φροντίδα, ὑπὲρ τῆς εἰς αὔριον ἀναπαύσεως. ἔξεστι δὲ ἐργαζόμενον μηδὲν μεριμνᾷν, οὐ γὰρ ταὐτὸν μέριμνα καὶ ἐργασία. καὶ τὸ πρὸς Μάρθαν δὲ εἰρημένον, οὐ περὶ ἔργου ἐστὶ καὶ ἐργασίας, ἀλλὰ περὶ τοῦ δεῖν καιρὸν εἰδέναι, καὶ μὴ τὸν τῆς ἀκροάσεως πρὸς τὰ σαρκικὰ ἀνα-

λίσκειν. Οὐ τοίνυν εἰς ἀργίαν αὐτὴν ἐμβάλλων ταῦτα ἔλεγεν, ἀλλὰ προσηλῶν τῇ ἀκροάσει.

Ἀπολιναρίου. Μεθίστησι μὴ περὶ τὴν φθειρομένην ἐπτοεῖσθαι τροφὴν, ἀλλὰ τὴν εἰς αἰῶνα μένουσαν, ἥτις τρέφει ψυχήν. Αὕτη δὲ ἦν ἡ πίστις ἡ ζωοποιὸς, καθ' ἣν ἐξομοιοῦνται πρὸς τὴν σάρκα τοῦ Κυρίου, τὴν ὑπὸ τοῦ Πατρὸς ἐσφραγισμένην τῇ θείᾳ δυνάμει.

Ἀμμωνίου. Τὴν νοητὴν καὶ λογικὴν καὶ πνευματικήν. Αὕτη γὰρ συμβάλλεται εἰς τὸ ἀπολαῦσαι ἡμᾶς τῶν μελλόντων ἀγαθῶν, ἣν ἡ εἰς Χριστὸν πίστις προξενεῖ.

Τὴν μυστικὴν μετάλειψιν λέγει τὴν ἁγιάζουσαν ψυχὴν καὶ σῶμα, συναναπλέξας τῷ θεοπρεπεῖ τὸ ἀνθρώπινον.

27 Τί ἐστι "τοῦτον γὰρ ὁ Πατὴρ ἐσφράγισεν ὁ Θεός;" τουτέστιν, ἀπέδειξε διὰ τῆς αὐτοῦ μαρτυρίας· ἔδειξε μὲν γὰρ καὶ αὐτὸς ἑαυτόν. Ἐπειδὴ δὲ πρὸς Ἰουδαίους διελέγετο, τὴν τοῦ Πατρὸς μαρτυρίαν εἰς μέσον ἤγαγεν, ἵνα μὴ πάλιν αὐτοὺς προστῇ τὸ λεγόμενον. καὶ γὰρ μέγα περὶ ἑαυτοῦ ἐφθέγξατο, εἰπὼν αὐτὸς δώσειν τὴν ζωὴν τὴν αἰώνιον.

Κυρίλλου. Τὸ ἐσφραγίσθαι ἢ τὸ κεχρίσθαι ἐθικῶς τέθεικε. κατασφραγίζεται γὰρ ὁ χριόμενος, ἤγουν ὅτι μεμόρφωται φυσικῶς πρὸς τὸν Πατέρα· ὅμοιον γὰρ ὡσεὶ ἔλεγεν, ὡς οὐκ ἀδυνατήσω βρῶσιν ὑμῖν ἐπιδοῦναι τὴν μένουσαν, καὶ εἰς ζωήν τε καὶ τρυφὴν ἀναφέρουσαν. εἰ γὰρ καὶ ὁρῶμαι καθάπερ εἷς ἐξ ὑμῶν, ἄνθρωπος δηλονότι μετὰ σαρκὸς, ἀλλ' ἐχρίσθην καὶ κατεσφραγίσθην παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, εἰς ἀπαράλλακτον ὁμοιότητα, τὴν ὡς πρὸς αὐτὸν νοουμένην, δηλονότι τῆς κατὰ πᾶν ὁτιοῦν ἐμφερείας, οὐ κατὰ τοὺς τῆς σαρκὸς χαρακτῆρας, ἀλλ' ἐν δόξῃ θεοπρεπεῖ καὶ ἰσοστάθμῳ δυνάμει, καὶ ἐν ἐξουσίᾳ βασιλικῇ. ἐπιτηρητέον δέ ἐστι τὸν υἱὸν τοῦ ἀνθρώπου ἐπιχορηγήσειν, εἰπὼν τὰ[m] θεοπρεπῆ καὶ κατεσφραγίσθαι πρὸς εἰκόνα τοῦ Θεοῦ καὶ Πατρός· οὐκ ἀνέχεται μερισμοῦ τοῦ διατέμνοντος τῆς κατὰ ἀλήθειαν υἱότητος, τὸν ἐκ παρθένου ναὸν, ἀλλ' ἕνα πάλιν ἑαυτὸν ὁρίζειν τε καὶ νοεῖσθαι βούλεται.

Ἀμμωνίου Πρεσβυτέρου. Τὸν ἄρτον ἐσφράγισεν, ὅ ἐστιν, ἔχρισεν Ἁγίῳ Πνεύματι, τὴν σάρκα τοῦ Κυρίου τὴν ἀνθρωπίνην, οὐ

[m] Fors. εἰς πάντα.

τὴν θεότητα. Πάντα γὰρ σχεδὸν τὰ τῆς οἰκονομίας ὀνόματα περὶ τὴν σάρκα εἴληπται. Τοῦτο εἶπεν, ἢ ὅτι μεμόρφωται φυσικῶς πρὸς τὸν Πατέρα, ἤτοι ἔχρισε· κατασφραγίζονται γὰρ οἱ χριόμενοι.

Τὸ δὲ "τί ποιῶμεν ἵνα ἐργαζώμεθα τὰ ἔργα τοῦ Θεοῦ" εἶπον ἐκεῖνοι, οὐχ ὥστε μαθεῖν καὶ πρᾶξαι, καὶ δείκνυσι τὰ ἑξῆς. Πάλιν γὰρ αὐτὸν ἐπὶ τὴν τῆς τροφῆς ἕλκουσι χορηγίαν.

29 Ὁ δὲ Χριστὸς ὑπέδειξεν αὐτοῖς ὅπερ ἐζήτησαν, "τοῦτό ἐστι "τὸ ἔργον τοῦ Θεοῦ, ἵνα πιστεύσητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος." Οὗτοι δὲ καθάπερ τινὲς ἀναίσθητοι, ἔτι τοῦ σημείου ἐν χερσὶν ὄντος αὐτοῖς, καὶ ὡς οὐδενὸς γενομένου, οὕτως ἔλεγον, "τί σημεῖον ποιεῖς; ἵνα ἴδωμεν καὶ πιστεύσωμέν σοι τί ἐργάζῃ·" οὕτως ἦσαν πεπωρωμένοι.

Ἀμμωνίου πρεσβυτέρου. Εἰ καὶ ᾔδει ἐκείνους μηδὲν ὠφεληθησομένους, ἀλλὰ διὰ τὸ κοινωφελὲς τῆς διδαχῆς ἀπεκρίθη· οὐχ ὁ ταῖς σκιαῖς δουλεύων τοῦ νόμου ποιεῖ τὸ τοῦ Θεοῦ θέλημα, ἀλλ' ὁ εἰς τὸν Χριστὸν πιστεύων.

Θεοῦ μὲν ἔργον ἐνταῦθα λέγεται τὸ ἀνῆκον εἰς Θεόν. Τοῦτο δὲ εἶναί φησιν ὁ Κύριος, τὴν πίστιν τὴν ἐπ' αὐτὸν, ἔργον αὐτὴν ἀποφαίνων ἱερόν τε καὶ τέλειον· καὶ ἄνευ τῶν ἀνθρωπίνων ἔργων, εἰκότως δικαιοῖ τε καὶ ἁγιάζει, ἅτε τὴν καλλίστην ἐνέργειαν ἔχον τῆς ψυχῆς, οὐκ ἀργίαν τινὰ καὶ ἀπραξίαν.

Θεοδώρου. Τοῦτό φησιν ὁ Κύριος, συνεὶς ὅτι πλεῖστον αὐτῶν ὑπερβαίνει τὴν ἀκοὴν ὁ περὶ τοῦ μυστηρίου λόγος. τοῦτο γὰρ ἡ πνευματικὴ τροφή. οὐκ εὐθὺς οὖν ἐπιτρέχει τῇ διηγήσει, ἀλλ' ὁδῷ κέχρηται πρεπούσῃ πρὸς τὸν λόγον. Ἡ γὰρ πίστις, φησιν, ἡ εἰς ἐμὲ ὁδὸς ὑμῖν ἔσται πρὸς τὴν τῶν λοιπῶν κατανόησίν τε καὶ διδασκαλίαν. οὔτε γὰρ πιστεύοντας ἔνεστι πρός τι τῶν λεγομένων ἀμφιβάλλειν, οὔτε μὴ πιστεύοντας δέξασθαί τι τῶν λεγομένων δυνατὸν, μεγάλων ὄντων, καὶ πολὺ τὴν ὑμετέραν ὑπερβαινόντων ἀκοήν.

31 Τίνος ἕνεκεν εἶπον "οἱ πατέρες ἡμῶν ἔφαγον τὸ μάννα ἐν τῇ "ἐρήμῳ," καὶ τὰ ἑξῆς; νομίζοντες αὐτὸν διὰ τούτου ἐρεθίζειν, ὥστε τοιοῦτον ποιῆσαι σημεῖον, ὅπερ αὐτοὺς θρέψαι ἠδύνατο σαρκικῶς. Ὅτι γὰρ τοῦτό ἐστι δῆλον ἐκ τοῦ μηδενὸς ἑτέρου τῶν προτέρων σημείων μνημονεῦσαι αὐτοὺς, τῶν τε κατ' Αἴγυπτον γενο-

μένων καὶ κατὰ τὴν θάλασσαν τὴν ἐρυθρὰν, ἀλλὰ τούτου μάλιστα οὗ σφόδρα ἐπεθύμουν διὰ γαστριμαργίας ὑπερβολήν. Διὸ πρὸς ταῦτα καὶ ἡ ἄπειρος σύνεσις ἀποκρίνεται λέγουσα, "οὐ Μωϋσῆς "δέδωκεν ὑμῖν τὸν ἄρτον" καὶ τὰ ἑξῆς. Ἀντὶ μὲν Μωϋσέως τὸν Θεὸν εἰπὼν, ἀντὶ δὲ τοῦ μάννα ἑαυτὸν, διὰ τὴν τῶν ἀκουόντων ἀσθένειαν· ἐνῆν γὰρ εἰπεῖν, οὐχ ὁ Μωϋσῆς δίδωσιν, ἀλλ' ἐγώ. Ἄρτον δὲ ἀληθινὸν καλεῖ, οὐκ ἐπειδὴ ψευδὲς ἦν τὸ θαῦμα τὸ ἐπὶ τὸ μάννα, ἀλλ' ὅτι τύπος ἦν, οὐκ αὐτοαλήθεια. Μάννα γὰρ κυρίως αὐτὸς ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, ὁ ἐκ τῆς οὐσίας ἐρχόμενος τοῦ Πατρὸς, ἐπείπερ ἐστὶ κατὰ φύσιν ζωὴ τὰ πάντα ζωογονῶν.

Κυρίλλου. *Ἐπειδὴ γὰρ ἐκ ζῶντος ἀνέφυ Πατρὸς, ζωὴ καὶ αὐτὸς κατὰ φύσιν ἐστί· καὶ ἐπείπερ ἔργον τῇ κατὰ φύσιν ζωῇ τὸ ζωοποιεῖν, ζωοποιεῖ τὰ πάντα Χριστός. ὅπερ γὰρ ἡμῖν ὁ ἄρτος ὁ ἐκ γῆς εὑρίσκεται τὴν ἀσθενῆ φύσιν τῆς σαρκὸς οὐκ ἐῶν καταφθείρεσθαι, τοῦτο καὶ αὐτὸς διὰ τῆς τοῦ Πνεύματος ἐνεργείας, τὸ πνεῦμα ζωοποιῶν, καὶ οὐ μέχρι τούτων, ἀλλὰ καὶ αὐτὸ τὸ σῶμα συνέχων εἰς ἀφθαρσίαν.*

35 *Λέγουσι δὲ πρὸς αὐτὸν, "Κύριε, πάντοτε δὸς ἡμῖν τοῦτον τὸν "ἄρτον," ἐπειδὴ αἰσθητὸν ἔτι πρᾶγμα ἐνόμιζον εἶναι, καὶ γαστρὸς ἀπόλαυσιν προσεδόκων Καὶ μετ' ὀλίγα—ἔτι κάτω ἔνευον λέγοντες, "δὸς ἡμῖν τὸν ἄρτον τοῦτον." Ἐλέγχων δὲ αὐτοὺς, ὅτι ἕως μὲν αἰσθητὴν ὑπόπτευον εἶναι τὴν τροφὴν, ἐπέτρεχον, ὅταν δὲ μάθωσιν ὅτι πνευματική τις ἐστιν, οὐκ ἔτι, φησὶν, "ἐγώ εἰμι ὁ "ἄρτος τῆς ζωῆς."*

Ἀνάγων δὲ αὐτοὺς κατὰ μικρὸν ὁ Χριστὸς εἰς τὸ τὰ ὑψηλὰ φρονεῖν, φησιν, ὁ ἄρτος τοῦ Θεοῦ ἐστιν, ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ καὶ ζωὴν διδοὺς τῷ κόσμῳ, οὐκ Ἰουδαίοις μόνον, ἀλλὰ καὶ τῇ οἰκουμένῃ πάσῃ. Καὶ οὐκ εἶπε τροφὴν, ἀλλὰ ζωὴν, ἑτέραν τινὰ καὶ ἐνηλλαγμένην. Ζωὴν δὲ λέγει, ἐπειδὴ πάντες ἦσαν νεκεκρωμένοι τῇ ἁμαρτίᾳ· ἄρτον δὲ ζωῆς οὐ περὶ σώματος τοῦ ἰδίου λέγει νῦν, τοῦτο γὰρ πρὸς τῷ τέλει μέλλει σαφηνίζειν, ἀλλὰ περὶ τῆς θεότητος[c] αὐτοῦ διαλέγεται.

Κυρίλλου. *"Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς" ὁ πάλαι μὲν ὡς ἐν ὑποσχέσει προκατηγγελμένος, καὶ ὡς ἐν τύπῳ δηλούμενος, παρὼν*

[c] *νεότητος* Cod.

δὲ νυνὶ καὶ χρεωστουμένην ὑπόσχεσιν ἀποπληρῶν. εἰμὶ δὲ ἄρτος ζωῆς, οὐκ ἄρτος σωματικὸς, μόνα τὰ ἐκ λιμοῦ περικόπτων πάθη, καὶ καταφθορᾶς τῆς ἐντεῦθεν ἀπαλλάττων τὴν σάρκα, ἀλλ' ὅλον ἐξ ὅλου τὸ ζῶον εἰς ζωὴν ἀναπλάττων τὴν αἰώνιον, καὶ θανάτου κρείττονα τὸν εἰς τὸ εἶναι πεποιημένον ἄνθρωπον ἀποδεικνύς.

Ἰσιδώρου[d] πρεσβυτέρου. Ἄρτος ὁ Κύριος κέκληται, αὐτὸς ἑαυτὸν τούτῳ καλῶν τῷ ὀνόματι, κατὰ μὲν τὴν πρόχειρον ἔκλειψιν, πᾶσι τροφὴ σωτηρίας γενόμενος, κατὰ δὲ τὴν ἀπόῤῥητον ἔννοιαν, τὴν ζύμην τοῦ ἀνθρωπίνου φυράματος καθαρίσας, καὶ ὥσπερ ἐξοπτήσας τῷ οἰκείῳ πυρὶ τῆς θεότητος, καὶ εἰς ἓν σὺν αὐτῇ γεγονὼς πρόσωπον καὶ μίαν προσκυνουμένην ὑπόστασιν.

Τὰ σημεῖα δὲ αἰνιττόμενος καὶ τὴν τῶν γραφῶν μαρτυρίαν, περὶ αὐτοῦ φησιν, "ἑωράκατέ με," δεικνύων δὲ καὶ αὐτοῖς, ὅτι οὐκ ἀγνοεῖ τὰ ἀπόῤῥητα τῆς καρδίας, οὐδὲ τὰ μέλλοντα, ἐπήγαγε λέγων, "καὶ οὐ πιστεύετε."

Ἀμμωνίου πρεσβυτέρου. Ὕδωρ καὶ ποτὸν ὧδε λέγει ἢ τὸν διὰ Πνεύματος ἁγιασμὸν, ἢ αὐτὸ τὸ Ἅγιον Πνεῦμα.

37 Τί ἐστι, φησὶν, ὅτι "πᾶν ὃ δίδωσί μοι ὁ Πατὴρ, πρὸς ἐμὲ "ἥξει; ὅτι οὐ τὸ τυχὸν πρᾶγμα ἡ πίστις ἡ εἰς αὐτὸν, ἀλλὰ τῆς ἄνωθεν δεῖται ῥοπῆς, καὶ ψυχῆς τινος γενναίας καὶ εὐγνώμονος, δεχομένης πίστει τὴν τοῦ Πατρὸς ἀποκάλυψιν.

Τὸ δὲ οὐ μὴ ἐκβάλω ἔξω," τοῦτό ἐστιν, οὐ μὴ ἀπολέσω, ἀλλὰ σώσω, καὶ ἐπιμελείας ἀπολαῦσαι παρασκευάσω πολλῆς.

38 Τὸ δὲ "καταβέβηκα ἀπὸ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα "τὸ ἐμὸν," καὶ τὰ ἑξῆς· τοῦτο δηλοῖ, ὅτι οὐκ ἄλλο πράξων ἦλθον ἢ τοῦτο, ὅπερ ὁ Πατὴρ βούλεται, καὶ ὅτι ἀπιστοῦντες, αὐτὸν τὸν Πατέρα παροξύνετε.

Οὐκοῦν οὐ ψιλὸς ἄνθρωπος ὁ Ἰησοῦς, ἀλλὰ Θεὸς σαρκωθεὶς, οὐ μετὰ τὴν ἀνάστασιν θεοποιηθείς. Προλαμβάνει γὰρ ἡ κατάβασις τὴν ἄνοδον. οὐκ ἴδιον θέλημα ἔχων παρὰ τοῦ Πατρὸς ἦλθον, πάντα γὰρ τὰ ἐμὰ τοῦ Πατρός ἐστι, καὶ τὰ τοῦ Πατρὸς ἐμά. Δεικνὺς δὲ ὅτι οὐ τῆς παρ' αὐτῶν δεόμενος θεραπείας παραγέγονεν, ἀλλὰ διὰ τὴν ἐκείνων σωτηρίαν, καὶ ὥστε τῷ πατρὶ δόξαν παρασκευάσαν, φησὶ, "τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με Πα-

[d] Ἰσηδ. Cod.

"τρὸς," ἵνα πᾶν ὃ δέδωκέ μοι, μὴ ἀπολέσω ἐξ αὐτοῦ, ἀλλ' ἀναστήσω αὐτὸ τῇ ἐσχάτῃ ἡμέρα," καὶ τὰ ἑξῆς.

Ἀμμωνίου. Πάντες μὲν οἱ ἄνθρωποι ἀνίστανται, μόνον δὲ οἱ πιστοὶ ἀξιοῦνται τῶν ἀγαθῶν. Ζωοποιεῖ ὁ Υἱὸς τοὺς πιστοὺς τοῖς φύσει φθαρτοῖς ἀνθρώποις τὴν ζωοποιὸν τοῦ Πατρὸς ἐντιθεὶς δύναμιν, καὶ ὅλους αὐτοὺς μεταπλάττων εἰς ἀθανασίαν. Συνεχῶς περὶ τῆς ἀναστάσεως διαλέγεται, ἵνα μὴ τοῖς παροῦσι πράγμασι μόνον κρίνωσι τὴν τοῦ Θεοῦ πρόνοιαν, καὶ ὅτι κἂν ἐνταῦθα μὴ ἀπολάβωσι, μὴ διὰ τοῦτο ὑπτιώτερον γένηται, ἀλλὰ τὰ μέλλοντα προσδοκῶσι, καὶ ἑτέραν ζωήν.

41 Τίνος ἕνεκεν ἐγόγγυζον οἱ Ἰουδαῖοι περὶ αὐτοῦ, ὅτι εἶπεν, "ἐγώ εἰμι ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς;" καὶ διὰ τοῦτο μὲν αὐτὸ, τὸ δὲ ἀληθὲς διὰ τὸ μηκέτι προσδοκᾷν ἀπολαύσεσθαι τραπέζης σωματικῆς. Ἕως μὲν γὰρ προσεδόκων, οὐκ ἐταράττοντο. Ἐπειδὴ δὲ ἀπέγνωσαν, ἐγόγγυζον, περὶ πνευματικῆς γὰρ τροφῆς, καὶ περὶ ζωῆς αἰωνίου λοιπὸν αὐτοῖς διελέγετο, καὶ περὶ ἀναστάσεως, βουλόμενος ὑψηλοτέραν αὐτῶν ποιῆσαι τὴν γνώμην.

Ἀμμωνίου πρεσβυτέρου. Διὰ τὴν κατὰ σάρκα μητέρα αὐτοῦ ἀδύνατον ἐνόμιζον ἐξ οὐρανοῦ αὐτὸν καταβεβηκέναι· ἢ εἰς τὸ φαινόμενον ὁρῶντες, οὐ τὴν ἀόριστον αὐτοῦ φύσιν ἐννοοῦντες, ἐσκανδαλίζοντο, εἰπόντων τῶν Ἰουδαίων, "οὐχ οὗτός ἐστιν ὁ υἱὸς "Ἰωσὴφ" καὶ τὰ ἑξῆς. Διὰ τί μὴ ἀπεκρίθη αὐτοῖς, ὅτι οὐκ εἰμὶ υἱὸς Ἰωσήφ; ἐπειδὴ μηδέπως ἠδύναντο τὸν θαυμαστὸν ἐκεῖνον ἀκοῦσαι τόκον τὸν ἐκ παρθένου. Εἰ δὲ τὸν κατὰ σάρκα οὐκ ἠδύναντο σαφῶς ἀκοῦσαι, πολλῷ μᾶλλον τὴν ἄῤῥητον τὴν ἄνω.

44 Ὅπερ δὲ εἶπεν, "ὅτι οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ "ὁ Πατήρ μου ἑλκύσῃ αὐτὸν," οὐ τὸν ἄκοντα καὶ ἀπὸ βίας ἑλκόμενον αἰνίττεται, ἀλλὰ τὸν πολλῆς ἐκ Θεοῦ ἀπολαύοντα συμμαχίας.

Κυρίλλου. Προσάγει μὲν οὖν ἑαυτὸν ὁ Πατὴρ διὰ γνώσεως τῷ Υἱῷ τοῖς οἷς ἂν τὴν θείαν ἐπιψηφίσατο χάριν· ζωοποιεῖ δὲ λαβὼν ὁ Υἱὸς, καὶ τὸ ἴδιον ἀγαθὸν τοῖς ἐξ οἰκείας φύσεως καταφθείρεσθαι πεφυκόσιν ἐντιθεὶς, καὶ καθάπερ σπινθῆρα πυρὸς ἐγκαταχώσας αὐτοῖς τὴν ζωοποιὸν τοῦ Πνεύματος δύναμιν, ὅλους δι'

ὅλου μεταπλάττων εἰς ἀθανασίαν· οὐκ ἰδίᾳ δὲ καὶ μεμερισμένως τοῦτο ἑκάτερον ἐνεργεῖ, ἀλλὰ συνεργάζεται ὁ Πατὴρ τῷ Υἱῷ, καὶ ὁ Υἱὸς αὖ πάλιν τῷ Πατρὶ, καὶ ὅλης, ἵν᾽ οὕτως εἴπω, τῆς Ἁγίας Τριάδος ἐστὶν ἡ καθ᾽ ἡμᾶς σωτηρία.

Ἀμμωνίου. Τοὺς κατὰ προαίρεσιν ἀγαθοὺς ἕλκει ὁ Πατὴρ, τοὺς δὲ μοχθηροὺς ἐᾷ· οὐ τὸ ἐφ᾽ ἡμῖν αὐτεξούσιον ἀναιρεῖ ὁ λόγος, ἀλλὰ δείκνυσι βοηθείας δεομένους· ἕλκεται γὰρ οὐκ ἄκων, ἀλλὰ πολλῆς ἀπολαύων συμμαχίας· θεοδίδακτόν ἐστιν ἀγαθὸν τὸ περὶ Χριστοῦ μυστήριον.

Εἰ ὁ Πατὴρ ἄγει, ὁ δὲ Υἱὸς ἐγείρει, μέγα τὸ τῶν πιστῶν ἀξίωμα· τοῦτο ποιεῖ ὡς φύσει Θεὸς ὤν.

45 Δεικνὺς δὲ τὸ πρὸς τὸν Πατέρα ἰσοστάσιον τῆς δυνάμεως, φησὶ, "κἀγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ." Τοῦτο δὲ οὐ μικρὸν ἐμφαίνει τοῦ Υἱοῦ τὸ ἀξίωμα, εἴγε ὁ Πατὴρ προσάγει, καὶ ὁ Υἱὸς ἀνίστησιν, οὐχὶ διαιρούμενος πρὸς τὸν Πατέρα τὰ ἔργα, πῶς γάρ; ἀλλὰ τὸ ὁμοδύναμον παριστῶν. θέλων δὲ τὸν λόγον ἀξιόπιστον ποιῆσαι, ἐπὶ τοὺς προφήτας αὐτοὺς παρέπεμψεν εἰπὼν, "ὅτι ἐστὶ γεγραμμένον ἐν τοῖς προφήταις, καὶ "ἔσονται πάντες διδακτοὶ Θεοῦ·" πάντας δὲ τοὺς βουλομένους δηλονότι· διδάσκαλος γὰρ προκάθηται πᾶσιν ἕτοιμος ὢν τὸ αὐτοῦ παρασχεῖν, καὶ εἰς πάντας ἐκχέων τὴν διδασκαλίαν τὴν ἑαυτοῦ. Τί οὖν πρὸ τούτου, φησὶν, οὐχὶ διδακτοὶ ἦσαν Θεοῦ; ἀλλ᾽ ἐνταῦθα τὸ ἐξαίρετόν ἐστι· τότε μὲν γὰρ δι᾽ ἀνθρώπων ἐμάνθανον τὰ τοῦ Θεοῦ, νῦν δὲ δι᾽ αὐτοῦ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ καὶ διὰ τοῦ Πνεύματος τοῦ Ἁγίου.

Διδύμου. Καὶ εἰκὸς ὁμοίωσιν καὶ αὐτὸ τοῦτο λογικοῦ γενομένου τοῦ ἀνθρώπου ἐνεσπαρμέναι εἰσὶν αὐτῷ ὑπὸ Θεοῦ αἱ περὶ ἐπαινετῶν πράξεων ἔννοιαι, ἀλλὰ καὶ τῆς γνώσεως τῆς ἀληθείας· ὁ τοίνυν κατὰ τὰς κοινὰς ἐννοίας ἀκούσας καὶ μαθὼν παρὰ τοῦ Πατρὸς ἔρχεται διὰ πίστεως πρὸς τὸν Κύριον.—Καὶ μετ᾽ ὀλίγα. Διδάσκων δι᾽ ἀποκαλύψεως τὰ περὶ τοῦ Υἱοῦ ὁ Πατὴρ, ἄγει πρὸς αὐτὸν τοὺς ἀκούοντας καὶ μαθόντας. οὕτω γὰρ καὶ τὸν Πέτρον δι᾽ ἀποκαλύψεως εἰς τὸ πιστεύειν τῷ Υἱῷ ἤγαγεν, ἀποκαλύψας αὐτόν.

Ἀμμωνίου πρεσβυτέρου. Τὸ ἀκοῦσαι κοινὸν, τὸ δὲ μαθεῖν μόνων τῶν ἐπιδιδόντων ἑαυτοὺς τῇ χάριτι.

46 "Οὐχ ὅτι τὸν Πατέρα τις ἑώρακεν" εἰπὼν, ἐπήγαγεν, "εἰ μὴ "ὁ ὢν ἐκ τοῦ Θεοῦ." οὐ χρὴ δὲ κατὰ τὸν τῆς αἰτίας λόγον νοεῖν ἐνταῦθα τὸ "ἐκ τοῦ Θεοῦ," πάντες γὰρ ἐκ τοῦ Θεοῦ ἐσμεν, ἀλλὰ κατὰ τὸν τρόπον τῆς ἀληθοῦς γεννήσεως τῆς ἀρρήτου καὶ ἐξαιρέτου καὶ κεχαρισμένης, ὁ μόνος ἀόρατος μόνῳ τῷ ἀοράτῳ τὴν φύσιν φαίνεται, μόνος ὁρᾷ ὁ Υἱὸς τὸν Πατέρα ὡς ἔξω ὑπάρχων πάντων, καὶ μόνος ὢν ἐκ τῆν οὐσίας τοῦ Πατρός. [ἄλλος] τρανότερον δὲ αὐτὸ οὐ τέθεικε διὰ τὴν ἐκείνων ἀσθένειαν. Εἰ γὰρ εἰπόντος αὐτοῦ ἐκ τοῦ οὐρανοῦ καταβεβηκέναι, οὕτως ἐσκανδαλίσθησαν, τί οὐκ ἂν ἔπαθον, εἰ καὶ τοῦτο προσέθεικε; λέγω δὴ τὸ ἐξ αὐτοῦ γεννηθῆναι;

Οὐχ ὅτι τὸν Πατέρα δυνατὸν ἰδεῖν ὑμᾶς, οὗτος γὰρ τὸν οἰκεῖον Πατέρα οἶδε μόνος ἐξ αὐτοῦ ὢν, καὶ πάντοτε τῆς τοῦ γεννήσαντος θέας ἀπολαύων· ἔοικε δὲ καὶ αὐτὸν πάλιν αἰνίττεσθαι Μωϋσέα· ᾤοντο γὰρ ἀνοήτως διὰ τὸ εἰσελθεῖν εἰς τὸν γνόφον, αὐτὸν τεθεᾶσθαι τὴν ἄρρητον τοῦ Θεοῦ φύσιν τοῖς τοῦ σώματος ὀφθαλμοῖς, ὅπερ ἐστὶ κατὰ φύσιν· ἀλλ' ἵνα μὴ σαφῶς τοῦτο εἰπὼν δοκεῖ πῶς αὐτοὺς ἐπὶ τὸ σύνηθες παροτρύνειν θράσος, ἀορίστως αὐτὸ τέθεικε κατὰ πάντων· εἰ δὲ μόνος ὁ Υἱὸς ὁρᾷ τὸν Πατέρα, ἔξω τῶν πάντων ἐστὶ, καὶ ὑπὲρ πάντα, καὶ ἐπάνω πάντων. Ἄρτον δὲ ζωῆς εἰκότως ἑαυτὸν ὀνομάζει, ὅτι τὴν ζωὴν ἡμῶν συγκροτεῖ, καὶ ταύτην καὶ τὴν μέλλουσαν· τὸ δὲ "ὃς ἐὰν φάγῃ ἐκ τοῦ ἄρτου τούτου, ζήσεται εἰς "τὸν αἰῶνα" δηλοῖ ἐνταῦθα ἤτοι τὰ δόγματα τὰ σωτήρια καὶ τὴν πίστιν τὴν εἰς αὐτὸν, ἢ τὸ σῶμα τὸ ἑαυτοῦ. Ἀμφότερα γὰρ ταῦτα νευροῖ τὴν ψυχήν.

49 Ποιεῖται δὲ τὴν πρὸς τὸ μάννα σύγκρισιν λέγων, "οἱ πατέρες "ὑμῶν τὸ μάννα ἔφαγον" καὶ τὰ ἑξῆς, ἑκατέρας τροφῆς δεικνὺς τὸ τέλος, ὅτι ἐκείνη μὲν οὐ ξένην τινὰ παρεῖχε τὴν χρείαν, ἡ δὲ τοῦ σώματος αὐτοῦ τὸ μὴ ἀποθανεῖν. Τὸ "ἐν τῇ ἐρήμῳ" δὲ οὐχ ἁπλῶς τέθεικεν, ἀλλ' αἰνιττόμενος ὅτι οὐδὲ παρεξετάσθη ἐπὶ χρόνον πολὺν, οὐδὲ συνεισῆλθε εἰς τὴν τῆς ἐπαγγελίας γῆν· οὗτος δὲ ἄρτος οὐ τοιοῦτος, ἀλλὰ διαιωνίζων, ὥστε πολλῷ τῶν πρώην αὐτῶν μειζόνων αὐτοὶ ἠξίωνται, εἴγε βούλοιντο δέξασθαι.

Ἀμμωνίου πρεσβυτέρου. Ἀναγαγὼν δὲ αὐτοὺς κατὰ μικρὸν πρὸς τὴν εἰς αὐτὸν πίστιν, πάλιν φησὶ, "καὶ ὁ ἄρτος ὃν ἐγὼ

δώσω, ἡ σάρξ μου ἐστὶ" καὶ τὰ ἑξῆς. Καὶ γὰρ ἑαυτὸν φησὶ διδόναι νῦν οὐ τὸν Πατέρα.

Κυρίλλου. Καὶ ἀποθνήσκω, φησὶν, ὑπὲρ πάντων, ἵνα πάντας ζωοποιήσω δι' ἐμαυτοῦ, καὶ ἀντίλυτρον τῆς ἁπάντων σαρκὸς τὴν ἐμὴν ἐποιησάμην· τεθνήξεται γὰρ ὁ θάνατος ἐν τῷ ἐμῷ θανάτῳ, καὶ συναναστήσεταί μοι, φησὶν, ἡ πεσοῦσα τοῦ ἀνθρώπου φύσις. ζωὴν δὲ κυρίως τὴν ἐν τῷ Χριστῷ νοητέον, τὴν ἐν ἁγιασμῷ καὶ μακαριότητι· ταύτην γὰρ ἀληθῶς οὖσαν ζωὴν ἐπίσταται καὶ ὁ σοφὸς Ἰωάννης λέγων, "ὁ πιστεύων εἰς τὸν Υἱὸν ἔχει ζωὴν αἰώνιον, "ὁ δὲ ἀπειθῶν τῷ Υἱῷ οὐκ ὄψεται τὴν ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ "Θεοῦ μενεῖ ἐπ' αὐτόν" Ἰδοὺ γὰρ τὸν ἐν ἀπειθείᾳ κατειλημμένον τὴν ζωὴν οὐκ ὄψεσθαι φησὶ, καίτοι παντὸς τοῦ πνεύματος παλινδρομήσειν πρὸς ζωὴν, καὶ ἀναστήσεσθαι προσδοκωμένου.

52 Ἀμμωνίου. Ἄρτον καλεῖ τὴν ἑαυτοῦ σάρκα, διὰ τὸ ἐσθίεσθαι αὐτὴν ἐν τοῖς μυστικοῖς. Εἰπόντες δὲ, "πῶς δύναται οὗτος ἡμῖν "τὴν σάρκα ἑαυτοῦ δοῦναι φαγεῖν," δείκνυται ἐξ ἀπιστίας τοῦτο λέγοντες· ὅταν γὰρ ἡ ζήτησις τοῦ πῶς εἰσέλθῃ, συνεισέρχεται καὶ ἡ ἀπιστία. Διὰ τοῦτο καὶ αὐτὸς θέλων δεῖξαι, ὅτι οὐκ ἔστι τοῦτο ἀδύνατον, ἀλλὰ καὶ σφόδρα ἀναγκαῖον, καὶ οὐκ ἔστιν ἄλλως ἔχειν ζωὴν, φησὶν, "ἐὰν μή τίς μου τὴν σάρκα φάγῃ," καὶ τὰ ἑξῆς.

Κυρίλλου. Οὕτω καὶ Νικόδημος ἐθορυβεῖτο λέγων, "πῶς "δύνατόν ἐστιν ἐλθεῖν εἰς τὸν κοῖλον τῆς μητρὸς αὐτοῦ;" οὕτω καὶ οὗτοι ταράττονται λέγοντες, "πῶς δύναται δοῦναι ἡμῖν οὗτος "φαγεῖν τὴν σάρκα αὐτοῦ;" Δεῖ τοίνυν ἐντεῦθεν ἡμᾶς ὠφελημένους ἐν ταῖς παραλήψεσι τῶν θείων μυστηρίων, πίστιν μὲν ἔχειν ἀζήτητον, καὶ μηδενὶ τῶν λεγομένων ἐπιφέρειν τὸ πῶς.

Ἀμμωνίου πρεσβυτέρου. Ὡς παρὰ φύσιν ὄντος τοῦ πράγματος ἀπιστοῦσιν, ὡς ψυχικοὶ οὐ νοοῦσι τὸ πνευματικὸν τοῦ Κυρίου σῶμα. οὐ σαρκοφαγεῖν λέγει, ἀλλὰ τὸ μετασχεῖν τῶν μυστικῶν.

Ἀμέτοχοι ἔσεσθαι τῆς αἰωνίου ζωῆς οἱ μὴ διὰ τῆς μεταλήψεως τῶν μυστικῶν παραδεξάμενοι τὸν Ἰησοῦν, τὸν ὄντα ζωὴν κατὰ φύσιν. Διὰ τί δὲ συνεχῶς στρέφει τὴν ἀνάστασιν; ἵνα δείξῃ ὅτι ὁ εἰς αὐτὸν πιστεύων οὐκ ἀποθανεῖται εἰς τέλος· ἀληθῆ δὲ βρῶσιν τὴν ἑαυτοῦ σάρκα καλεῖ, καὶ τὸ αἷμα αὐτοῦ ἀληθῆ πόσιν, διὰ τὸ σώζειν τὰς ψυχὰς τῶν πίστει μετεχόντων αὐτῶν.

Ἀμμωνίου. Ταῦτα λέγει δεικνὺς ὅτι οὐκ ἦν ψιλοῦ ἀνθρώπου ἡ σὰρξ, ἀλλὰ τοῦ Υἱοῦ πεπληρωμένης πάσης τῆς θεότητος τῆς Τριάδος.

Ἀπολιναρίου. Ἀληθής ἐστι βρῶσις ἡ μὴ τῆς προσκαίρου καὶ ἀπολλυμένης ζωῆς ἐπίκουρος, ἀλλὰ τῆς αἰωνίου παρασκευαστική. Αὕτη καὶ πόσις ἀληθινὴ, ὡς ἂν μὴ πρὸς ὀλίγον ἐπαρκοῦν τῇ δίψει, ἀλλ' εἰς ἀεὶ παρεχομένη τὸν ἐμφορηθέντα αὐτῆς ἀνεπιδεῆ[e], καθὰ καὶ πρὸς τὴν Σαμαρεῖτιν ἔλεγε. Τὸ δὲ εἰπεῖν αὐτὸν, "ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, "κἀγὼ ἐν αὐτῷ," τοῦτο ἐδήλωσεν, ὅτι ἐν αὐτῷ ἀνακιρνᾶται.

Σευήρου Ἀντιοχείας ἐκ τῶν πρὸς Εὐπράξιον κουβικουλάριον ἀποκρίσεων. Καίτοι γε οὐ τὸν Λόγον ἐσθίομεν, καθὸ Λόγος ἐστὶ, πῶς γὰρ τὸν ἀναφῆ καὶ ἀσώματον καὶ οὔτε ὀφθαλμοῖς οὔτε ὀδοῦσιν ἁλώσιμον; ἀλλ' ἐπειδὴ πρὸς τὴν σάρκα τὴν ἄκραν ἕνωσιν ἥνωται, ζωοποιὸς ὑπάρχει καὶ αὐτὴ, εἰ καὶ μεμένηκεν ὅπερ ἐστὶ, καὶ οὐκ εἰς τὴν αὐτοῦ τοῦ Λόγου μετακεχώρηκε φύσιν, ὅθεν τὸν Λόγον ἐσθίομεν, τὴν ζωοποιὸν τοῦ Λόγου σάρκα ἐσθίοντες. Τὸ δὲ "κἀγὼ ζῶ διὰ τὸν Πατέρα," τοῦτό ἐστιν, ὅτι καθώς ἐστιν ὁ Πατὴρ ζῶν, οὕτω κἀγὼ ζῶ, καὶ ὁ τρώγων με, κἀκεῖνος ζήσεται δι' ἐμέ. Ζωὴν δὲ λέγει ἐνταῦθα οὐχ ἁπλῶς, ἀλλὰ περὶ τῆς ἐνδόξου καὶ ἀπορρήτου ἐκείνης.

Κυρίλλου. Ὥσπερ ἄνθρωπόν με, φησὶ, πεποίηκεν ὁ Πατὴρ, τοῦτο γὰρ τὸ ἀπεστάλθαι δηλοῖ, καὶ ἐπείπερ ἐκ τῆς κατὰ φύσιν ἐγεννήθην ζωῆς, Θεὸς ὢν Λόγος ζῶν, καὶ ἄνθρωπος γεγονὼς τῆς ἐμαυτοῦ φύσεως τὸν ἐμὸν ἐμπλήσας ναὸν, τουτέστι, τὸ σῶμα. Τὸν αὐτὸν δὴ τρόπον καὶ ὅταν ἐμὴν ἐσθίων σάρκα, ζήσει δι' ἐμὲ, ὅλος εἰς ἐμὲ μεταστοιχειούμενος τὸν ζωογονεῖν ἰσχύοντα, διὰ τὸ ἐκ ῥίζης εἶναι τῆς ζωοποιοῦ τοῦ Θεοῦ καὶ Πατρός.

Ἀμμωνίου πρεσβυτέρου. Φύσει ζωή ἐστιν ὁ Χριστὸς, οὐ παρ' ἑτέρου λαβὼν τὸ ζῆν· τοῦτο γὰρ ζῶον καλεῖται· οὔτε οὖν τὸ τοῦ ζώου ὄνομα τάττεται ἐπὶ Θεοῦ, οὔτε τὸ τῆς ζωῆς ἐπὶ τῆς κτίσεως.

58 Οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων.

Διδύμου. Οὐρανὸν λέγει σημαίνεσθαι τὴν ὡσανεὶ περιωπὴν καὶ κατάστασιν τοῦ Θεοῦ, ἥτις οὐχ ἑτέρα τῆς νοητῆς αὐτοῦ οὐσίας τυγ-

[e] ἀνεπιδειτῆ Cod.

χάνει. ζωῆς δὲ ἄρτος ὁ καταβαίνων, ὁ τοῦ Θεοῦ θρεπτικὸς λόγος ἐστὶ, ὃν ἐσθίει ὁ πρὸς αὐτὸν ἐρχόμενος τὸ τὴν ἀρετὴν ἐνεργεῖν· ἐπειδὴ οὐ μόνον διὰ πράξεως ἰέναι δεῖ πρὸς αὐτὸν, ἀλλὰ καὶ ἐπιστημονικῶς πιστεύοντα κατὰ θεωρίαν ἀληθῆ. πίνει τις ἐξ αὐτοῦ, ἐκ πηγῆς ὕδωρ ζῶν, καὶ ἐξ ἀμπέλου "οἶνον εὐφραίνοντα καρδίαν ἀνθρώπου," ὅθεν κατὰ τὴν πρακτικὴν ἀρετὴν μεταλαμβάνοντες ἐσθίομεν, κατὰ δὲ τὴν διανοητικὴν πίνομεν, ὡς ἀεὶ ζωὴν κεκορεσμένους, καὶ μηδέποτε διψεῖν πεπωκότας ἀπ' αὐτοῦ.

Συνεχῶς δὲ περιστρέφει τὸ "οἱ πατέρες ὑμῶν ἔφαγον τὸ "μάννα ἐν τῇ ἐρήμῳ" καὶ τὰ ἑξῆς, ὥστε αὐτὸ ἐντυπῶσαι τῇ τῶν ἀκουόντων διανοίᾳ πρὸς τὸ λογίζεσθαι, ὅτι εἰ δυνατὸν ἐγένετο ἐν τεσσαράκοντα ἔτεσιν ἀμητοῦ χωρὶς καὶ σίτου καὶ τῆς ἄλλης ἀκολουθίας διακρατῆσαι τὴν ἐκείνων ζωὴν, πολλῷ μᾶλλον νῦν, ἅτε ἐπὶ μείζοσι παραγενόμενος, δυνήσεται τοῦτο.

Ζωῆς δὲ πανταχοῦ μέμνηται, ἐπειδὴ τοῦτο ποθεινὸν ἀνθρώποις, καὶ οὐδὲν οὕτως ἡδὺ, ὡς τὸ μὴ ἀποθανεῖν.

Τίνος ἕνεκεν συναγωγῇ ἐδίδασκεν καὶ ἐν ἱερῷ; ὁμοῦ μὲν τὸ πλῆθος αὐτῶν θηρεῦσαι θέλων, ὁμοῦ δὲ καὶ δεικνὺς, ὅτι οὐκ ἐναντίος ἐστὶ τῷ Πατρί[f].

60 Διὰ τί δὲ τοὺς τοιούτους λόγους εἰς μέσον προέφερε, καίτοιγε μηδενὸς ἐξ αὐτῶν οἰκοδομηθέντος, μᾶλλον δὲ καὶ τοῖς οἰκοδομηθεῖσι λυμαινομένων. Πολλοὶ γὰρ, φησὶν, ἐκ τῶν μαθητῶν αὐτοῦ ἀκούσαντες εἶπον, "σκληρός ἐστιν οὗτος ὁ λόγος," καὶ τὰ ἑξῆς. Τί οὖν τὸ χρήσιμον τῶν ῥημάτων; πολὺ καὶ τὸ χρήσιμον καὶ τὸ ἀναγκαῖον. Ἐπειδὴ γὰρ ἐπέκειντο τροφὴν αἰτοῦντες αὐτὸν σωματικὴν, καὶ τῆς ἐπὶ τῶν προγόνων παρασχεθείσης αὐτοῖς ἀναμιμνήσκοντες, δείκνυσιν ὅτι πάντα ἐκεῖνα τύπος ἦν καὶ σκιὰ, ἡ δὲ τῶν πραγμάτων ἀλήθεια ἡ παροῦσά ἐστι. Διὸ συνεχῶς μέμνηται τροφῆς πνευματικῆς.

Τί δέ ἐστι "σκληρός;" τραχὺς, ἐπίπονος, μόχθον ἔχων. καὶ μὴν οὐδὲν τοιοῦτον ἔλεγεν, οὐδὲ περὶ πολιτείας διελέγετο, ἀλλὰ περὶ δογμάτων, ἄνω καὶ κάτω στρέφων τὴν πίστιν τὴν εἰς αὐτὸν, τουτέστι, διδάσκων.

Ἀμμωνίου πρεσβυτέρου. Μὴ νοοῦντες τὰ λεγόμενα, οὔτε

[f] Hæc alieno loco irrepsisse videntur.

ἐρωτῆσαι καὶ μαθεῖν ἠνείχοντο. Τοῦτο εἶπον, ἐπειδὴ ἀνθρωπινότερον ἤκουον τὸν τοῦ Κυρίου λόγον.

Θεοδώρου Ἡρακλείας ὁμοίως καὶ Ἀπολιναρίου. "Σκληρὸς ὁ λόγος" ὀνομαζόμενος[c] σαρκοφάγους τινὰς καὶ αἱμοβόρους ἀκούοντας ἀποτελεῖν. "Τοῖς δὲ πνευματικῶς τὰ πνευματικὰ ἐκλαμβάνουσιν οὐδὲν ἐφαίνετο σκληρὸν, ἀλλὰ ῥήματα εὐσεβείας ὑπάρχοντα τὴν αἰώνιον αὐτοῖς πρυτανεύοντα ζωήν.

61 Ἐπειδὴ δὲ τῆς θεότητος αὐτοῦ, καὶ τοῦτό ἐστι τὸ τὰ ἀπόρρητα φέρειν εἰς μέσον, ἔλεγεν αὐτοῖς, "τοῦτο ὑμᾶς σκανδαλίζει; ἐὰν "οὖν θεωρεῖτε τὸν υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα ὅπου ἦν τὸ πρό- "τερον·" διὰ τοῦτο ἀπάγων αὐτοὺς τοῦ νομίζειν αὐτοῦ πατέρα τὸν Ἰωσὴφ ὑπάρχειν. Ὁ γὰρ πεισθεὶς ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέβηκε καὶ ἐκεῖ ἀναβήσεται, εὐκολώτερον ἂν προσχῇ τοῖς λεγομένοις.

Ἀμμωνίου πρεσβυτέρου. Ὁ σαρκωθεὶς Θεὸς, αὐτός ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου, οὐ μὴν αὐτὸ τὸ σῶμα καλεῖται υἱὸς ἀνθρώπου, ὡς κακῶς δογματίζων Μάρκελλός φησι· λέγων ἑαυτὸν ἐξ οὐρανοῦ καταβεβηκέναι, διδάσκει ὅτι Θεὸς ἦν, κἂν ἐν σαρκὶ ὁρᾶται, καὶ ὅτι ἡ σὰρξ αὐτοῦ ζωοποιός ἐστι.

Τί ἐστιν ὅπερ εἶπε, "τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν, ἡ σὰρξ "οὐκ ὠφελεῖ οὐδέν;" τὸ πνευματικῶς αὐτοὺς ἀκούειν τῶν παρ' αὐτοῦ λεγομένων. Ὁ γὰρ σαρκικῶς ἀκούων, οὐδὲν ὠφεληθήσεται· σαρκικὸν δέ ἐστι τὸ ἀμφισβητεῖν πῶς ἐκ τοῦ οὐρανοῦ καταβέβηκε, καὶ πῶς δύναται δοῦναι τὴν σάρκα φαγεῖν, ἅπερ ἔδει μυστικῶς νοεῖν καὶ πνευματικῶς· διὸ καὶ ἐπήγαγε, "τὰ ῥήματα, "ἃ ἐγὼ λελάληκα ὑμῖν, πνεῦμά ἐστι καὶ ζωή·" τοῦτ' ἔστι, πνευματικά ἐστιν, οὐδὲν ἔχοντα σαρκικὸν, καὶ ζωὴν αἰώνιον παρέχοντα.

64 Τὸ δὲ "εἰσὶν ἐξ ὑμῶν τινες οἳ οὐ πιστεύουσι," τὸ σύνηθες αὐτοῦ τοῖς λόγοις ἀξίωμα δηλοῖ, ὅτι τὰ μέλλοντα προλέγει, καὶ δεικνύει πᾶσιν ὅτι οὐ τῆς παρ' ἐκείνου δόξης ἐφιέμενος ταῦτα ἔλεγεν, ἀλλ' αὐτῶν κηδόμενος. Εἰπὼν δὲ "τινὲς," τοὺς μαθητὰς ὑπεξήγαγε, διὸ καὶ ἐπήγαγεν ὁ Εὐαγγελιστὴς λέγων· "ᾔδει γὰρ

c Leg. vid. ὁ νομιζόμενος.

"ἐξ ἀρχῆς ὁ Ἰησοῦς τίνες εἰσὶν οἱ μὴ πιστεύοντες," καὶ τὰ ἑξῆς· τὸ δὲ "ἐξ ἀρχῆς" οὐχ ἁπλῶς ἐνταῦθα πρόσκειται, ἀλλ' ἵνα μάθωμεν αὐτοῦ τὴν πρὸ καταβολῆς κόσμου πρόγνωσιν, ὅτι ᾔδει αὐτῶν ἐκ τότε τὸν γογγυσμὸν καὶ τὸ εὐσκανδάλιστον· ἔτι δὲ καὶ τοῦ προδότου τὴν πονηρίαν, ὅπερ ἦν ἀληθοῦς θεότητος ἔνδειξις.

Ὅταν δὲ ἀκούσωμεν ὅτι ἔδωκεν ὁ Πατὴρ, μὴ ἀποκλήρωσίν τινα ἁπλῶς νομίσωμεν, ἀλλ' ἐκεῖνο πιστεύομεν, ὅτι ὁ παρασχὼν ἑαυτὸν ἄξιον τοῦ λαβεῖν, αὐτὸς ἔλαβε.

Τί δηλοῖ ὅπερ φησὶν ὁ Εὐαγγελιστής, ὅτι "πολλοὶ τῶν μαθητῶν αὐτοῦ ἀπῆλθον εἰς τὰ ὀπίσω;" ὅτι ἀποσχίσαντες ἑαυτοὺς καὶ τοῦ διδασκάλου χωρίσαντες, καὶ ἣν εἶχον πίστιν ἀπώλεσαν, ἀλλ' οὐχὶ οἱ δώδεκα τοῦτο ἔπαθον.

67 Αὐτὸς δὲ δεικνὺς ὅτι οὐ δέεταί τινος, οὐδὲ τῆς παρ' αὐτῶν τούτων τῶν δώδεκα διακονίας ἢ θεραπείας, λέγει πρὸς αὐτοὺς, "μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν;" Διὰ τί δὲ αὐτοὺς οὐκ ἐπήνεσεν, οὐδὲ ἐθαύμασεν; ὁμοῦ μὲν τὸ τῷ διδασκάλῳ πρέπον ἀξίωμα τηρῶν, ὁμοῦ δὲ δεικνὺς, ὅτι διὰ τούτου μᾶλλον ἐφέλκεσθαι ἔνι τοῦ τρόπου. Εἰ μὲν γὰρ ἐπήνεσε, κἂν ἔπαθόν τι ἀνθρώπινον, χάριν διδόναι· τὸ δὲ δεικνύναι μὴ δεόμενον αὐτὸν τῆς ἀκολουθήσεως αὐτῶν, κατεῖχε μᾶλλον.

Χρὴ δὲ σκοπῆσαι πῶς αὐτὸ συνετῶς εἴρηκεν· οὐ γὰρ εἶπεν, ἀπέλθετε, τοῦτο γὰρ ἀπωθούμενον ἦν, ἀλλ' ἠρώτησε, "μὴ θέλετε 'ὑπάγειν;" ὅπερ πᾶσαν ἀφαιροῦντος ἦν βίαν καὶ ἀνάγκην, καὶ οὐ βουλόμενος αἰδοῖ τινι αὐτοὺς προσηρτῆσθαι, ἀλλὰ μετὰ τοῦ χάριν εἰδέναι. Ὡς ἀληθῶς δὲ φιλόστοργος καὶ φιλάδελφος ὁ Πέτρος ὑπάρχων, ὑπὲρ παντὸς ἀπολογεῖται τοῦ χοροῦ. Οὐ γὰρ εἶπε, Κύριε, πρὸς τίνα ἀπελεύσομαι, καὶ ὅτι ἔγνωκα καὶ πεπίστευκα, ἀλλὰ, "Κύριε, πρὸς τίνα ἀπελευσόμεθα," καὶ τὰ ἑξῆς. Ἤδη γὰρ τὴν ἀνάστασιν οὗτοι παρεδέξαντο, καὶ τὴν κλῆσιν ἅπασαν. Διὸ οὐ τὰ ῥήματα τοῦ Χριστοῦ ἦν τὰ σκανδαλίζοντα, ἀλλὰ ἡ ἀπροσεξία καὶ ἡ ῥαθυμία, καὶ ἡ ἀγνωμοσύνη τῶν ἀκουόντων. Καὶ γὰρ οὗτοι μετ' ἐκείνων ἤκουον, ὅμως οὐκ ἐσκανδαλίσθησαν, ἀλλ' ἔμειναν.

68 "Ῥήματα" δὲ αὐτὸν "ζωῆς αἰωνίου" ἔχειν εἶπεν, ἐπειδὴ ἤκουσεν αὐτοῦ λέγοντος, ὅτι "τὸν πιστεύοντα εἰς ἐμὲ ἀναστήσω, καὶ

“ἕξει ζωὴν αἰώνιον.” Οὐκ ἐπῄνεσε δὲ αὐτὸν νῦν ὁ Χριστὸς, ὥσπερ ἀλλαχοῦ τοῦτο ἐποίησεν, ἵνα μὴ δόξῃ διὰ τὸ ἐμμεῖναι αὐτοὺς σὺν αὐτῷ κολακεύων τινὰ αὐτῶν.

70 Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς, οὐκ ἐγὼ ὑμᾶς τοὺς δώδεκα ἐξελεξάμην, καὶ ἐξ ὑμῶν εἷς διάβολός ἐστιν;

Ἐξαίρει δὲ τοῦ χοροῦ τὸν Ἰούδαν, τοῦτο μὲν διὰ τὸ εἰπεῖν τὸν Πέτρον, ὅτι καὶ ἡμεῖς πεπιστεύκαμεν, ὡς οὐκ ὄντος ἐκείνου ἐν τούτῳ αὐτοῖς συνηριθμημένου, τοῦτο δὲ καὶ πόρρωθεν τοῦ προδότου τὴν κακίαν ἀνακρουόμενος· εἰδὼς μὲν ὅτι οὐδὲν ὀνήσει· τὸ δὲ αὐτοῦ πράττων. καὶ οὔτε αὐτὸν φανερὸν ἐποίησεν, οὔτε λαθεῖν εἴασεν, ἐκεῖνο μὲν ἵνα μὴ ἀπαναισχυντήσῃ καὶ φιλονεικότερος γένηται, τοῦτο δὲ ἵνα μὴ νομίζων λανθάνειν ἀδεῶς ἐργάζηται τὸ τόλμημα. Ἐκ τούτου δὲ καὶ τοῦτο μανθάνομεν, ὅτι οὐκ ἀνάγκῃ καὶ βίᾳ ποιεῖν εἴωθεν ἀγαθοὺς ὁ Θεὸς, οὐδὲ ἡ ἐκλογὴ αὐτοῦ βιαστικὴ τῶν μέλλοντων ἐστὶ, ἀλλὰ προτρεπτική. Διὸ φανερόν ἐστιν ὅτι ἐν τῇ γνώμῃ τῇ ἡμετέρᾳ κεῖται τὸ σωθῆναι καὶ ἀπολέσθαι.

Ἀμμωνίου πρεσβυτέρου. Ὡς ἀποθαυμάζων τοῦτο εἶπεν ὁ Εὐαγγελιστὴς, ὅτι τοσοῦτον ὁ διάβολος πολεμεῖ, ὡς δυνηθῆναι ἕνα τῶν δώδεκα ἀφαρπάσαι τῶν ἐγειράντων νεκροὺς, καὶ δαίμονας διωξάντων, καὶ τῆς ζωοποιοῦ καὶ πνευματικῆς τοῦ Κυρίου διδασκαλίας ἀπολαυσάντων.

1 Διὰ τί οὐκ ἤθελεν ἐν τῇ Ἰουδαίᾳ περιπατεῖν, ἀλλ' ἐν τῇ Γαλιλαίᾳ; καὶ γὰρ ἠδύνατο τοὺς[d] ἐκζητοῦντας αὐτὸν καὶ ἀποκτεῖναι Ἰουδαίους καὶ διαλαθεῖν, εἰ δύναται[e] μὲν πάντα ὡς Θεός· οὐκ ἤθελε δὲ τὰ τῆς θεότητος ἐπιδείκνυσθαι μόνον, ἀλλὰ καὶ τὰ τῆς ἀνθρωπότητος, ὅθεν ποτὲ μὲν ἔφευγεν ὡς ἄνθρωπος, ποτὲ δὲ ἐφαίνετο ὡς Θεός. Τῷ τε γὰρ ἐν μέσοις ὄντα τοῖς ἐπιβουλεύουσι μὴ κατέχεσθαι, τὸ ἀκαταγώνιστον αὐτοῦ καὶ ἄμαχον ἐδήλου, τῷ τε ὑποστέλλεσθαι τὴν οἰκονομίαν ἐβεβαίου καὶ ἐπιστοῦτο, ἵνα μήτε Παῦλος ὁ Σαμμοσατεὺς ἔχῃ τι λέγειν, μήτε Μαρκίων καὶ οἱ τὰ ἐκείνου νοσοῦντες. Ἀμφοτέρων γὰρ ἐμφράττει τὰ στόματα.

Κυρίλλου. Οὐ δειλίας ἔγκλημα τὴν ἀναχώρησιν λογιούμεθα

[d] τὸ Cod. [e] ἠδύναται Cod.

τοῦ Χριστοῦ, ἀλλ᾽ οὐδὲ ἀσθενείας. Διὰ τοῦτο κατηγορήσομεν τοῦ πάντα ἰσχύοντος, τὸν δὲ τῆς οἰκονομίας ἀποδεξώμεθα τρόπον· ἔδει γὰρ οὐ πρόωρον, ἀλλ᾽ ἐν καιρῷ τῷ ἰδίῳ τὸν ὑπὲρ πάντων ὑπομεῖναι σταυρόν.

Ἀμμωνίου πρεσβυτέρου. Δείκνυσι τὰ τῆς ἀνθρωπότητος φεύγων τοὺς Ἰουδαίους, καὶ ἐλέγχει Μαρκίωνα καὶ Παῦλον τοὺς εἰρηκότας ὅτι οὐ γέγονεν ὁ τοῦ Θεοῦ Υἱὸς ἄνθρωπος κατὰ ἀλήθειαν.

Τίνος δὲ ἕνεκεν ἐν τοῖς πέντε μησὶν οὐδὲν ἡμῖν διηγησάμενος, ἀλλ᾽ ἢ τὸ κατὰ τοὺς ἄρτους σημεῖον καὶ τὴν πρὸς τοὺς φαγόντας γενομένην δημιουργίαν, ὑπερεπήδησεν εἰπὼν, "ἦν δὲ ἐγγὺς ἡ ἑορτὴ "τῶν Ἰουδαίων ἡ σκηνοπηγία;" Ὅτι γὰρ οὕτως ἐστὶ, δῆλον ἐκεῖθεν· ὅτε γὰρ εἰς τὸ ὄρος ἐκάθητο, ἦν ἡ ἑορτὴ, φησὶ, τοῦ Πάσχα· ἐνταῦθα δὲ τῆς σκηνοπηγίας μέμνηται. Τί δή ποτε οὖν τὰ ἐν μέσῳ παρέλιπε θαύματα; ὅτι οὐκ ἐνῆν ἅπαντα καταλέγειν, ἄλλως δὲ καὶ ταῦτα λέγειν οἱ Εὐαγγελισταὶ ἐσπουδάκασιν, ὑπὲρ ὧν ἢ μέμψις ἢ ἀντιλογία τις παρὰ τῶν Ἰουδαίων παρηκολούθησεν· ὅθεν ἄξιον θαυμάσαι τὸ φιλάληθες αὐτῶν ἦθος, πῶς οὐκ αἰσχύνονται λέγοντες ταῦτα ἃ δοκεῖ τῷ διδασκάλῳ φέρειν αἰσχύνην. Πολλὰ τοίνυν παραδραμὼν σημεῖα καὶ θαύματα καὶ δημηγορίας, περὶ τῶν ἀδελφῶν αὐτοῦ διαλέγεται, ὅτι εἶπον πρὸν αὐτὸν, "μετάβηθι ἐντεῦθεν πρὸς τὴν Ἰουδαίαν" καὶ τὰ ἑξῆς· καὶ δοκεῖ μὲν ἡ ἀρχὴ φίλων εἶναι, πολλῆς δὲ πικρίας τὰ λεγόμενα ἦν. Ἐνταῦθα γὰρ αὐτὸν καὶ δειλίας καὶ φιλοδοξίας σκώπτουσι. Τὸ μὲν γὰρ εἰπεῖν, "οὐδείς τι ἐν κρυπτῷ ποιεῖ," δειλίαν ἐγκαλούντων ἐστὶν, ἅμα καὶ ὑποπτευόντων τὰ γινόμενα ὡς οὐκ ἀληθῶς γινόμενα· τὸ δὲ ζητεῖν ἐν φανερῷ εἶναι, φιλοδοξίαν.

Πόθεν δὲ αὐτοῖς ἡ τοσαύτη ἀπιστία; ἀπὸ προαιρέσεως καὶ φθόνου. Τὸ γὰρ συγγενὲς εἴωθέ πως διαφθονεῖσθαι.

Ἐξ ἀνεπιγράφου. Οὗτοι οἱ τέως ἀπιστεῖν λεγόμενοι μετὰ τὴν τοῦ πάθους οἰκονομίαν, τοσαύτην μετὰ τῆς θεότητος αὐτοῦ ἔσχον πληροφορίαν, ὡς μὴ μόνον ὁμοίως τοῖς ἄλλοις πιστεῦσαι, ἀλλὰ δὴ καὶ ὑπὲρ αὐτοῦ τὸν περὶ ψυχῆς ἀναδέξασθαι ἀγῶνα. Ἀναγκαίως τοίνυν προσήκει συνορᾷν, ὅτι ἀναμφιβόλως αὐτὸν ἀναστάντα μετὰ θάνατον ἑωράκασιν. Οὐ γὰρ ἂν οἱ ἀπιστοῦντες αὐτῷ τὸ πρὶν,

μετὰ θάνατον ἐπίστευσαν, εἰ μὴ βέβαιον πεῖσμα τῆς ἀναστάσεως αὐτοῦ εἰλήφασι.

Τίνας δὲ ἐνταῦθα λέγουσι μαθητάς; τὸν ὄχλον τὸν ἑπόμενον, οὐ τοὺς δώδεκα. Αὐτὸς δὲ ὁ φιλάνθρωπος, ὁ ἀνεξίκακος, προσηνῶς φθέγγεται. Οὐ γὰρ εἶπεν, ὑμεῖς τίνες ἐστὲ συμβουλεύοντες ταῦτα καὶ διδάσκοντες, ἀλλὰ τί φησιν; "ὁ καιρὸς ὁ ἐμὸς "οὔπω πάρεστι," τουτέστιν ὁ τοῦ σταυροῦ καὶ τοῦ θανάτου, "ὁ δὲ "καιρὸς ὁ ὑμέτερος πάντοτε ἐστὶν ἕτοιμος." Ὑμεῖς, φησὶ, κἂν ἀεὶ συνῆτε τοῖς Ἰουδαίοις, οὐκ ἀναιρήσουσιν ὑμᾶς, τὰ αὐτὰ ζηλοῦντα αὐτοῖς, ἐμὲ δὲ εὐθέως βουλήσονται ἀνελεῖν.

Ἀπολιναρίου. *Ὁ μακαρίζων τοὺς πενθοῦντας ἐπὶ τοῦ παρόντος αἰῶνος, ἀκολούθως καὶ νυνὶ φθέγγεται κοινόν τι καὶ εἰς ἅπαντας διαβαῖνον τοὺς ἁγίους, ἐφ' ἑαυτοῦ λέγων, τὸ μὴ εἶναι καιρὸν ἑορτῆς ἡμῖν, ἐν μέσῳ τῶν παρουσῶν θλίψεων, ἐν ὅσῳ κακία καταστρατεύεται, καὶ ἀλήθεια παρὰ τοῖς πλείοσιν ἀθετεῖται, καὶ θέλημα Θεοῦ κατὰ γῆν οὐ κρατεῖ. Διὰ δὲ ταῦτα μὴ εἶναι τὸν ἑαυτοῦ καιρὸν ὁ Κύριος ἔλεγεν. οὐδὲ γὰρ οἷόν τε ἦν συνεορτάζειν πονηροῖς τὸν ἀγαθὸν, οὐδὲ μισοῦσι τὸν μισούμενον.*

7 *"Οὐ δύναται ὁ κόσμος μισεῖν ὑμᾶς," διὰ τί; ὡς τὰ αὐτὰ βουλομένους· "ἐμὲ δὲ μισεῖ, ὅτι ἐλέγχω αὐτὸν, ὅτι πονηρὰ "αὐτοῦ ἐστι τὰ ἔργα·" ἐκ τούτων τῶν ῥημάτων δείκνυσιν ὅτι τοῦτο ἐποίει τὸ μῖσος, τὸ πρὸς αὐτὸν ὁ ἔλεγχος ὁ πεπαρρησιασμένος.*

Ἀμμωνίου. *Κόσμον λέγει τοὺς μισοῦντας τὰ ἐν κόσμῳ. Πέμπει δὲ τοὺς ἀδελφοὺς εἰς τὴν ἑορτὴν λέγων, "ὑμεῖς ἀνάβητε "εἰς τὴν ἑορτὴν ταύτην," δεικνὺς ὅτι οὐκ ἀναγκάζει σὺν αὐτῷ μένειν μὴ βουλομένους.*

8 *Αὐτὸς δὲ πῶς ἀνέβη, φησὶν, εἰπὼν, "ἐγὼ οὔπω ἀναβαίνω εἰς "τὴν ἑορτὴν ταύτην·" οὐκ εἶπε καθάπαξ, οὐκ ἀναβαίνω, ἀλλὰ "νῦν," τοῦτ' ἔστι, μεθ' ὑμῶν.*

Τὸ δὲ "ὁ καιρὸς ὁ ἐμὸς οὔπω πεπλήρωται" δηλοῖ ὅτι ἔδει καὶ σημεῖα γενέσθαι καὶ δημηγορίας λεχθῆναι, ὥστε καὶ ὄχλους πιστεῦσαι πλείονας, καὶ τοὺς μαθητὰς στερροτέρους γενέσθαι, τὴν παρρησίαν ὁρῶντας τοῦ διδασκάλου.

Οὐκ ἀναβαίνει δὲ μετὰ τῶν ἀδελφῶν, μὴ βουλόμενος δῆλον

ἑαυτὸν καταστῆσαι, καθὼς ἐκεῖνοι ἐβούλοντο, ἀλλὰ μᾶλλον λάθρα, διὰ τὸ ἐκφυγεῖν τὰς τῶν Ἰουδαίων ἐπιβουλάς. Ἠδύνατο μὲν γὰρ καὶ φανερῶς ἀνελθεῖν, καὶ εἰς τὸ μέσον αὐτῶν εἶναι, καὶ κατέχειν αὐτῶν τὴν ὁρμὴν τὴν ἄτακτον, ὡς πολλάκις ἐποίησεν, ἀλλ' οὐκ ἠβούλετο διηνεκῶς τοῦτο ποιῆσαι, ἵνα μὴ μειζόνως τὴν θεότητα ἀπογυμνώσῃ· ἀναβαίνει δὲ, ἵνα μὴ δειλίας εἶναι νομίσωσιν ἐκεῖνοι τὸ μεῖναι.

Ἀμμωνίου πρεσβυτέρου. Οὐκ ἦν ἴσον ἐν ἀρχῇ τῆς ἑορτῆς ἀναμεῖναι, ζεόντων τῶν Ἰουδαίων, καὶ μετὰ ταῦτα μελλούσης λύεσθαι. Οὐκ ἐναντία πεποίηκεν ὧν εἶπεν, οὐ γὰρ ἀνέβη ἑορτάσων ἀλλὰ συμβουλεύσων· διὸ καὶ λάθρα ἀνέβη, οὐ μετὰ ἱλαρότητος, ᾗ κέχρηνται οἱ πανηγυρίζοντες. καὶ ἐν τῇ παλαιᾷ δὲ εἰπὼν τῷ Μωϋσεῖ "οὐ συναναβήσομαι ὑμῖν," ὕστερον παρακαλοῦντι Μωϋσεῖ ὑπέσχετο συνεκπορεύεσθαι αὐτοῖς.

11 Τίνος ἕνεκεν ζητοῦντες αὐτὸν οἱ Ἰουδαῖοι, οὐκ ὀνομαστὶ ἔλεγον ποῦ ἐστὶν, ἀλλ' "ἐκεῖνος;" ὑπὸ πολλοῦ μίσους καὶ τῆς ἀπεχθείας συνεχόμενοι. Χρὴ δὲ σκοπῆσαι, ποίαν εἰς τὴν ἑορτὴν ἐπεδείκνυντο τὴν αἰδῶ καὶ τὴν εὐλάβειαν· ἐν ταύτῃ γὰρ αὐτὸν θηρεῦσαι ἐβούλοντο· τοιαῦτα ἦν αὐτῶν ἐν ταῖς ἑορταῖς τὰ κατορθώματα. Ὁ δὲ "γογγυσμὸς ἦν περὶ αὐτοῦ πολὺς ἐν τοῖς ὄχλοις," ἐπειδὴ καὶ ἀπὸ τοῦ τόπου οἶμαι παροξύνεσθαι αὐτοὺς, ἔνθα τὸ σημεῖον τοῦ παραλυτικοῦ ἐγένετο, ὥστε καὶ δεδοικέναι μὴ πάλιν ἐργάσηταί τι τοιοῦτον.

"Ἔλεγον δὲ οἱ μὲν, ὅτι ἀγαθός ἐστιν, οἱ δὲ οὒ, ἀλλὰ πλανᾷ "τὸν ὄχλον," τοῦτο δηλοῖ· ὅθεν σαφέστερον τοῦτο δεῖξαι βουλόμενος ὁ Εὐαγγελιστὴς ἐπήγαγε λέγων· "οὐδεὶς μέντοι παρρη"σίᾳ ἐλάλει περὶ αὐτοῦ διὰ τὸν φόβον τῶν Ἰουδαίων." Ὁρᾷς πανταχοῦ τὸ μὲν ἀρχικὸν διεφθαρμένον, τοὺς δὲ ἀρχομένους ὑγιαίνοντας τῇ κρίσει, οὐκ ἔχοντας δὲ ἀνδρίαν προσήκουσαν.

14 Διὰ τί δὲ τῆς ἑορτῆς μεσούσης ἀνῆλθεν; ὥστε χαυνῶσαι αὐτῶν τὸν θυμὸν πρὸς τὸ μετὰ σχολῆς ἀκοῦσαι τῶν λεγομένων, μηκέτι τῆς ὀργῆς ἐμφραττούσης τὰ ὦτα αὐτῶν· προσεκτικωτέρους γὰρ αὐτοὺς ἡ ἀναβολὴ ἀπειργάζετο· διὸ ἄφνω παρόντι ἤκουον αὐτοῦ· οἵ τε ἀγαθὸν λέγοντες περὶ αὐτοῦ, οἵ τε πονηρὸν, οἱ μὲν πρὸς τὸ κερδῆσαί τι καὶ θαυμάσαι, οἱ δὲ πρὸς τὸ ἐπιλαβέσθαι.

καὶ τινὰς ἐδίδαξεν, οὐκ εἶπεν ὁ Εὐαγγελιστής· ὅτι δὲ θαυμαστῶς εἷλεν αὐτοὺς καὶ μετέβαλε, τοῦτο μόνον λέγει· οὕτω τοσαύτη τῶν λεγομένων ἦν ἡ δύναμις.

15 *"Ἐθαύμαζον" γὰρ, φησὶν, "οἱ Ἰουδαῖοι, καὶ ἔλεγον, πῶς "οὗτος γράμματα οἶδε, μὴ μεμαθηκώς;" καὶ τοῦτο δὲ αὐτὸ μετὰ πονηρίας ἔλεγον· οὐ γὰρ εἶπεν ὅτι τὴν διδασκαλίαν ἐθαύμαζον ἢ ὅτι ἐδέχοντο, ἀλλ' ὅτι διηπόρουν πόθεν οἶδε ταῦτα· ἐχρῆν γὰρ αὐτοὺς συνιδεῖν, ὅτι οὐδὲν ἀνθρώπινον ἦν ἐν αὐτῷ· διὸ αὐτὸς ἀποκριθεὶς εἶπεν αὐτοῖς, "ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμὴ, ἀλλὰ τοῦ "πέμψαντός με." Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι. οὐδὲν ἔχω παρηλλαγμένον, εἰ καὶ ἡ ὑπόστασις ἄλλη, ἀλλ' οὕτω καὶ λέγω καὶ πράττω, ὡς μὴ νομίζεσθαι ἕτερόν τι παρὰ τὸν Πατέρα, ἀλλὰ τὸ αὐτὸ ὅπερ ἂν ὁ Πατήρ.*

Εἰ ᾔδεισαν ὅτι αὐτός ἐστιν ἡ σοφία, ὁ ἐν ἀρχῇ Θεὸς Λόγος, ἐν ᾧ πάντες οἱ θησαυροὶ τῆς σοφίας, τῆς γνώσεως, ὑπάρχουσιν, οὐκ ἂν ἐθαύμασαν, "πῶς γράμματα ᾔδει μὴ μεμαθηκώς;" ἀλλ' ἔγνωσαν ἂν σαφῶς ὅτι καὶ τοῖς ἄλλοις αὐτὸς τὴν εὕρεσιν καὶ τὴν ἐπιστήμην τῶν γραμμάτων ἐχαρίσατο.

17 *Τί δηλοῖ ὅπερ φησὶν, "ἐάν τις θέλῃ τὸ θέλημα αὐτοῦ ποιεῖν;" ὁ ἐραστὴς τοῦ βίου τοῦ κατ' ἀρετὴν γνώσεται περὶ τῆς διδαχῆς, ἐὰν θέλῃ, φησὶ, προσέχειν ὁ τοιοῦτος ταῖς προφητείαις, γνώσεται περὶ τῶν λεγομένων παρ' ἐμοῦ, πότερον τῶν δύο τὸ ἕτερον, ἐάν τε κατ' αὐτοὺς λαλῶ, ἢ ἀλλότριόν τι καὶ ξένον· τὸ γὰρ ἀπ' ἐμαυτοῦ ἀεὶ ἐπὶ τούτου κεῖται. Ἐγὼ δὲ, φησὶν, οὐδὲν ἔξω τῶν τῷ Πατρὶ δοκούντων λέγω, ἀλλὰ πάντα ἃ αὐτὸς βούλεται, ταῦτα κἀγώ. Διὸ καὶ συλλογισμὸν ἐπήγαγε λέγων, "ὁ ἀφ' ἑαυτοῦ λαλῶν, τὴν "δόξαν τὴν ἰδίαν ζητεῖ" καὶ τὰ ἑξῆς. ἀπὸ τῶν ἐν συνήθει παιδεύων, ὅτι ὁ βουλόμενος, φησὶ, τινὰ ἰδίαν στῆσαι διδασκαλίαν, δι' οὐδὲν ἕτερον τοῦτο ποιεῖ, ἀλλ' ἢ ὥστε τὴν δόξαν αὐτὸς καρπώσασθαι. Εἰ δὲ ἐγὼ, φησὶν, οὐ βούλομαι καρπώσασθαι δόξαν, ἀλλὰ τὴν δόξαν τοῦ πέμψαντός με ζητῶν, τίνος ἕνεκεν βουλοίμην ἂν ἕτερα διδάσκειν;*

Χρὴ δὲ σκοπῆσαι, ὅτι τοῦ μὲν ταπεινὰ φθέγγεσθαι αὐτὸν πολλαί εἰσιν αἰτίαι· οἷον διὰ τὸ μὴ ἀγέννητον αὐτὸν νομισθῆναι, διὰ τὸ μὴ ἀντίθεον, διὰ τὸ σάρκα περιβεβλῆσθαι, διὰ τὸ ἀσθενὲς

τῶν ἀκουόντων, διὰ τὸ διδάσκειν τοὺς ἀνθρώπους μετριάζειν, καὶ μηδὲν περὶ αὐτοῦ λέγειν μέγα· τὸ δὲ ὑψηλὸν φθέγγεσθαι μίαν ἂν εὕροι τις αἰτίαν διὰ τὸ μέγεθος τῆς θείας αὐτοῦ φύσεως. Ποίαν ἀκολουθίαν ἔχει πρὸς τὰ πρότερα ὅπερ εἶπεν, "οὐ Μωϋσῆς ἔδωκεν "ὑμῖν τὸν νόμον" καὶ τὰ ἑξῆς; μεγίστην μὲν οὖν· ἐπειδὴ γὰρ ἐνεκάλουν αὐτῷ ὅτι τὸ σάββατον ἔλυε, πρὸς τοῦτο ἵσταται, ὡσανεὶ ἔλεγεν, ὁ νόμος εἶπεν, οὐ φονεύσεις, ὑμεῖς δὲ φονεύετε· ἀφέντες οὖν τὸ ἑαυτοὺς καταδικάζειν περὶ τούτου, ἐμοὶ ἐγκαλεῖτε ὡς παραβαίνοντι τὸν νόμον, ὅτι ἐθεράπευσα ἄνθρωπον ἐν σαββάτῳ. Τὸ δὲ "οὐδεὶς ἐξ ὑμῶν" εἶπεν, ὅτι πάντες αὐτὸν, πρὸς οὓς διελέγετο, ἐζήτουν ἀποκτεῖναι· καὶ αὐτὸς μὲν πρᾳείᾳ τῇ φωνῇ διελέγετο, ἐκεῖνοι δὲ μετὰ θράσους καὶ ὀργῆς, νομίζοντες διὰ τούτου προκαταπλήττειν αὐτὸν, ἀπεκρίναντο, "δαιμόνιον ἔχεις· τίς σε "ζητεῖ ἀποκτεῖναι;" πάλιν τῆς ἀπολογίας ἅπτεται τῆς ἀπὸ τοῦ σαββάτου.

Ἀμμωνίου. Κύριος ὢν Μωϋσέως καὶ τοῦ νόμου, διὰ τὸ ἀσθενὲς τῶν Ἰουδαίων, οἱονεὶ ἀπαλλοτριοῖ ἑαυτὸν τοῦ νόμου, Μωυσέως αὐτὸν καλῶν· οὐ γὰρ ἠδύναντο ἀκοῦσαι ὅτι φύσει Θεὸς ἦν, οὔτε τὸ βαθὺ τῆς οἰκονομίας μυστήριον.

Θεοδώρου. Ἐκεῖνος μὲν γὰρ νομοθετῶν, μιαιφονίας ἀπέχεσθαι κελεύει· ὑμεῖς δὲ δι' ἀκρότητα πονηρίας περὶ τῆς ἐμῆς ἀναιρέσεως βουλεύεσθε. ἀπὸ τοῦ λόγου συλλογιζόμενος πρὸς αὐτούς φησιν, "ἓν ἔργον ἐποίησα, καὶ πάντες θαυμάζετε," τουτέστι, ταράττεσθε, θορυβεῖσθε.

22 Μωϋσῆς δέδωκεν ὑμῖν τὴν περιτομὴν, οὐχ ὅτι ἐκ τοῦ Μωϋσέως ἐστὶν, ἀλλ' ἐκ τῶν πατέρων, καὶ τὰ ἑξῆς.

Διὰ τί οὖν, φησὶν, οὐδεὶς ἐνεκάλεσε Μωϋσεῖ ἢ ἠπείθησε κελεύοντι διὰ τὴν περιτομὴν τὸ σάββατον λύεσθαι; δηλονότι ὡς τοῦ σαββάτου περιτομῆς οὔσης κυριωτέρας, καίτοι οὐκ ἔστι τοῦ νόμου ἡ περιτομὴ, ἀλλ' ἐκ τῶν πατέρων, ἔξωθεν ἐπεισενεχθεῖσα τῷ νόμῳ. Εἰ τοίνυν, φησὶν, ἐκεῖνος ἀνέχεται τοῦ οἰκείου νόμου ἐντολὴν εἶναι κυριωτέραν, καὶ ταύτην οὐδὲ νομικὴν, ὑμεῖς οἱ οὐδὲ νομοθέται, διὰ τί πέρα τοῦ μέτρου ἐκδικεῖτε τὸν νόμον, καὶ δοκεῖτε βοηθεῖν αὐτῷ;

23 Τί ἐστιν "εἰ περιτομὴν λαμβάνει ἄνθρωπος ἐν σαββάτῳ," καὶ τὰ ἑξῆς; Εἰ ἔδει, φησὶν, εἶναι βέβαιον τὸν νόμον, οὐκ ἂν ἡ περιτομὴ κυριωτέρα ἦν αὐτοῦ. Ταῦτα δὲ ἔλεγε θέλων δεῖξαι, ὅτι μεῖζον ἔργον ἐποίησε τῆς περιτομῆς αὐτὸς, ὑγιῆ ἀποκαταστήσας τὸν παράλυτον. οὐκ εἶπε δὲ αὐτὸς φανερῶς αὐτοῖς τὴν κρίσιν ἐπιτρέπων. Διὰ δὲ τοῦ εἰπεῖν ὅλον ἄνθρωπον, δείκνυσι μερικὴν ὑγείαν οὖσαν τὴν περιτομὴν πρὸς τὴν τοῦ παραλυτικοῦ τελείαν γενομένην.

Ἀμμωνίου πρεσβυτέρου. Τί ταράττεσθε; οὐ γὰρ τὸ ὑγιάσαι τὸν παράλυτον ἐποίει λύσιν τοῦ σαββάτου, ἀλλὰ τὸ μὴ θεραπεῦσαι. Ὅτε, φησὶ, σημεῖον λαμβάνει ἄνθρωπος ὀδύνην ἐμποιοῦν, οὐδεὶς ἀγανακτεῖ λυομένου τοῦ νόμου, ὧδε δὲ ὅλου ἀνθρώπου ὑγιασθέντος, δυσχεραίνετε ὡς παρανομίας γενομένης.

Θεοδώρου Ἡρακλείας. Τίς γὰρ οὐκ οἶδεν, ὡς ἐκεῖνοι μὲν ἐν χειρὶ ἐνεργοῦντες, καὶ σιδήρῳ περιτέμνοντες, καὶ σάρκα ἀκρωτηριάζοντες, τὸ σάββατον ἀληθῶς διὰ τῆς πράξεως ἐβεβήλουν; αὐτὸς δὲ ψιλῷ ῥήματι καὶ ἐξουσίᾳ θεραπεύσας, ἔδειξε διὰ τῆς παραδοξοποιΐας, ὅτι καὶ τοῦ σαββάτου Κύριος ὑπῆρχε. Τὸ δὲ, "μὴ κρίνετε κατ' ὄψιν," καὶ τὰ ἑξῆς, τοῦτο δηλοῖ, μὴ ἐπειδὴ, φησὶ, τὸν Μωϋσῆ μείζονά μου εἶναι νομίζετε, ἀπὸ τοῦ ἀξιώματος φέρετε τὴν ψῆφον, ἀλλ' ἀπὸ τῆς τῶν πραγμάτων φύσεως· τοῦτο γάρ ἐστι δικαίως κρῖναι.

25 Τίνος ἕνεκεν προσκεῖται "τῶν Ἱεροσολυμιτῶν" οἷον ὅτι "ἔλεγόν "τινες ἐκ τῶν Ἱεροσολυμιτῶν," καὶ τὰ ἑξῆς; δείκνυσιν ὁ Εὐαγγελιστὴς, ὅτι οἱ μάλιστα τῶν μεγάλων ἀπολελαυκότες σημείων, οὗτοι πάντων ἦσαν ἐλεεινότεροι, οἳ τῆς θεότητος αὐτοῦ σημεῖον ἑωρακότες μέγιστον, τουτέστιν, ὅτι τοὺς ἀπειλοῦντας αὐτῷ καὶ ζητοῦντας ἀνελεῖν, καὶ ἐν χερσὶ κατέχοντας βλέποντες ἡσυχάζοντας, οὗτοι τὸ πᾶν τῇ κρίσει τῶν ἀρχόντων ἐπέτρεπον λέγοντες, "μή ποτε ἀληθῶς ἔγνωσαν οἱ ἄρχοντες, ὅτι αὐτός ἐστιν ὁ Χρι-"στός;" καὶ περὶ μὲν ἐκείνων ταῦτα ἔλεγον, αὐτοὶ δὲ τὴν ἐναντίαν ψῆφον ἔφερον λέγοντες, "ἀλλὰ τοῦτον οἴδαμεν πόθεν ἐστὶ," καὶ τὰ ἑξῆς. Τί τῆς πονηρίας ταύτης ἴσον γένοιτ' ἄν; ὅτι γινώσκοντες ἐκ τῆς Βηθλεὲμ ἔρχεσθαι τὸν Χριστὸν, νῦν λέγουσιν ὅτι "ὁ Χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει πόθεν ἐστίν."

Ἀμμωνίου πρεσβυτέρου. Ἐλέγχουσι τούτοις θέλοντας αὐτὸν

ἀποκτεῖναι, καὶ ἀρνουμένους μένειν, ψευδομένους δὲ, τὸν δὲ Χριστὸν ἀληθεύοντα περὶ τούτου. Καὶ ἐπειδὴ τὸ "οἴδαμεν τοῦτον πόθεν "ἐστὶ," δι' οὐδὲν ἕτερον λέγει, ἀλλ' ἢ ὅτι ἐκ τῆς γῆς ἐστι, δεῖξαι θέλοντες καὶ ὅτι τοῦ τέκτονος υἱὸς, διὰ τοῦτο αὐτὸς ἀνῆγεν αὐτοὺς εἰς τὸν οὐρανὸν, λέγων, "καὶ ἐμὲ οἴδατε πόθεν εἰμὶ, καὶ ἀπ' "ἐμαυτοῦ οὐκ ἐλήλυθα," καὶ τὰ ἑξῆς, τοῦτ' ἔστιν, οὐκ ἐντεῦθέν εἰμι, ἀλλ' ὅθεν ὁ πέμψας με, καὶ ὅτι οἴδατε, ὅτι παρὰ τοῦ Πατρὸς ἀπεστάλην, εἰ καὶ μὴ τοῦτο ἐκκαλύπτετε.

Κυρίλλου. Πόθεν κινούμενοι, πῇ μὲν ἔλεγον, "οἴδαμεν πόθεν "ἐστὶ," πῇ δὲ, "ὁ Χριστὸς ὅταν ἔρχηται, οὐκ οἴδαμεν πόθεν ἐστίν·" οὐκ ἐνενόησαν ὡς εἰκὸς, ὅτι διπλοῦς παρὰ τοῖς ἁγίοις προφήταις ὁ περὶ αὐτοῦ λόγος εὑρίσκεται· ὅτι μὲν γὰρ παρέσται μετὰ σαρκὸς ἐν τῷδε τῷ βίῳ, σημαίνουσι, καὶ φανερὰν αὐτοῦ καθιστῶσι τὴν ἐκ παρθένου γέννησιν, τὴν δὲ ἐκ Θεοῦ καὶ Πατρὸς ἄρρητον γέννησιν· ἢ ἐκεῖνό φασι, "τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται, ὅτι αἴρεται "ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ," ἢ τὸ ῥηθὲν ὑπὸ ἑτέρου προφήτου, "καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς, ἐξ ἡμερῶν αἰῶνος." Ἐξόδους γὰρ ἐνταῦθα τοῦ μονογενοῦς τὴν ὡς ἐκ φωτὸς ἀνάληψιν, καὶ πρὸ παντὸς αἰῶνος καὶ ἡμέρας καὶ ῥοπῆς εἰς ἰδίαν ὕπαρξιν, ἐκδρομὴν ὥσπερ τινὰ ἀπὸ τῆς τοῦ τεκόντος οὐσίας σημαίνει.

Ἀμμωνίου πρεσβυτέρου. Καλῶς λέγεται ὅτι ὅταν ἔλθῃ ὁ Χριστὸς, οὐδεὶς γινώσκει πόθεν ἐστίν· ὁ γὰρ ἀληθινὸς Θεὸς ἐξ οὗ εἰμι ἠγνόηται ὑμῖν, καὶ οὐδὲν ἀπεικὸς εἰ ἀγνοεῖτέ με ὅτι ἐγώ εἰμι ὁ Χριστὸς, οὐκ εἰδότες τὸν ἐξ οὗ εἰμι.

Θεοδώρου Ἡρακλείας. Τὸ μὲν εἰδέναι αὐτὸν, καὶ πόθεν ἐλήλυθεν, ὡς ἀκρίτως λέγουσι συνεχώρει, ἀγνοοῦντας μέντοι τὸν ἀποστείλαντα διὰ τὴν εἰς αὐτὸν ἀπιστίαν ἐλέγχει, οὐ μὴν δὲ ἀλλὰ καὶ αὐτὸν γινώσκειν τὸν Πατέρα, καὶ ὑπ' ἐκείνου ἀπεστάλθαι διὰ τῶν ἔργων ἐδείκνυεν.

29 Εἰπὼν δὲ ὅτι "ὃν ὑμεῖς οὐκ οἴδατε," ἄγνοιαν ἐνταῦθα τὴν διὰ τῶν ἔργων λέγει, καὶ ὡς ὁ Παῦλός φησι, "Θεὸν ὁμολογοῦσιν "εἰδέναι, τοῖς δὲ ἔργοις ἀγνοοῦσι. Οὐ γὰρ ἀγνοίας ἦν τὸ ἁμάρτημα, ἀλλὰ κακίας καὶ πονηρᾶς γνώμης.

Τὸ δὲ "παρ' αὐτοῦ εἰμι," ἀντὶ τοῦ μετ' αὐτοῦ λέγει. Τοῦτο δὲ εἶπεν ὥστε μὴ νομισθῆναι ἀλλότριος τοῦ Θεοῦ.

Θέλων δὲ δεῖξαι αὐτοὺς ὁ Εὐαγγελιστὴς ἀοράτως κατεχομένους, ἐπήγαγε λέγων, "ἐζήτουν οὖν αὐτὸν πιάσαι" καὶ τὰ ἑξῆς.

Διὰ τί δὲ μὴ εἶπε, κατεῖχεν αὐτοὺς ἀοράτως, ἀλλ' "ὅτι οὔπω "ἐληλύθει ἡ ὥρα αὐτοῦ;" ἀνθρωπινότερον διαλεγόμενος, διὰ τὸ ὑψηλὰ λέγειν αὐτὸν συνεχῶς, τούτου ἕνεκεν τοιαῦτα παραστέλλει.

Ἀμμωνίου. Διὰ τούτου μανθάνομεν ὅτι ἑκὼν ἔπαθε, καὶ οὐκ ἐκ πλεονεξίας Ἰουδαϊκῆς συλληφθείς. Ὥραν λέγων τὴν εὔκαιρον τῶν πραγμάτων ἐκάλει.

Σευήρου Ἀντιοχείας ἀπολογητ. Τοῦτο εἴρηται, ὅπως μάθωμεν, ὅτι καὶ πολλάκις οἱ Ἰουδαῖοι προελόμενοι κατασχεῖν ἄκοντα, οὐ κατέσχον, ἀλλ' ὅτε αὐτὸς ἠβουλήθη καὶ κατὰ τὴν ὥραν ἣν ἐδικαίωσε, καὶ ἡνίκα τὸ παθεῖν εὔκαιρον ἐλογίσατο· πάντα γὰρ ἐξ ἀρχῆς κατὰ καιρὸν καὶ ἁρμοδίοις διέθηκέ τε καὶ ᾠκονόμησε, οἷον, ἔδει δοθῆναι τὸν νόμον, ἀλλ' ἐν καιρῷ τῷ προσήκοντι, τοὺς προφήτας ὁμοίως, τὸ Εὐαγγέλιον. Τὸ οὖν τῆς ὥρας ὄνομα, τὸ ἀκριβὲς τῆς προνοίας καὶ τῆς σοφίας τοῦ Σωτῆρος ἐνδείκνυται.

31 Περὶ ποίων σημείων λέγουσιν οἱ εἰς αὐτὸν πιστεύσαντες ἐκ τοῦ ὄχλου "ὅτι ὁ Χριστὸς ὅταν ἔλθῃ μὴ πλείονα σημεῖα ποιήσῃ ὧν "οὗτος ἐποίησε·" καὶ γὰρ τρία μόνα διηγήσατο ὁ Εὐαγγελιστὴς, τὸ τοῦ οἴνου, καὶ τὸ τοῦ υἱοῦ τοῦ βασιλικοῦ, καὶ τὸ τοῦ παραλυτικοῦ; πάντως περὶ ὧν, ὡς προεῖπον, παρέδραμον οἱ Εὐαγγελισταὶ, πολλῶν ὄντων καὶ μεγάλων. καὶ οἱ μὲν ἄρχοντες ἐζήτουν αὐτὸν ἀνελεῖν· τὸ δὲ πλῆθος μᾶλλον ἐπίστευσεν εἰς αὐτὸν, πλὴν οὐδὲ αὕτη ὑγιὴς ἦν ἡ πίστις, ἀλλ' ὡς πλήθους χυδαίου· τὸ γὰρ λέγειν "ὅταν ἔλθῃ," οὐ σφόδρα πεπεισμένον ἦν τοῦ εἶναι τὸν Χριστόν. ἢ τοῦτο οὖν ἐστιν εἰπεῖν ὅτι κατὰ συνδρομὴν εἴρηται παρὰ τῶν ὄχλων· ὡς γὰρ τῶν ἀρχόντων ἄνω καὶ κάτω σπουδαζόντων δεῖξαι οὐκ ὄντα αὐτὸν Χριστὸν, οὗτοί φησι, μὴ τούτων βελτίων ἐστὶν ἐκεῖνος;

Τίνος ἕνεκεν οὐχ οἱ Φαρισαῖοι καὶ οἱ ἄρχοντες αὐτὸν ἔπιασαν, ἀλλὰ τοὺς ὑπηρέτας ἀπέστειλαν τοῦτο ποιῆσαι; ἐπειδὴ οὐκ ἐτόλμων ἐκεῖνοι, τὸν κίνδυνον ὑφορώμενοι. διὰ τοῦτο τοὺς διακονουμένους ἐκδότους ἀπέστελλον, αὐτὸς δὲ ὡς μακρόθυμος, καίπερ δυνάμενος ἐπικάμψαι καὶ φοβῆσαι, μᾶλλον ταπεινοφροσύνης γέμοντα ῥήματα φθέγγεται τὸ "ἔτι μικρὸν χρόνον," καὶ τὰ ἑξῆς.

Ἀμμωνίου πρεσβυτέρου. Δι' ὧν ἐγόγγυζον φαίνονται ἀπο-

δεχόμενοι τὸν Χριστὸν, καὶ θέλοντες ἀπὸ τῶν ἡγουμένων ἀποσχίσαι, ὅπερ αἰσθόμενοι οἱ ἡγούμενοι ἔπεμψαν συλλαβέσθαι αὐτὸν, διὰ τοῦτο μόνον ὅτι ἐπιστεύετο εἶναι Χριστὸς, ἵνα αὐτὸν ἀνέλωσι.

33 Τὸ δὲ "ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι," τοῦτο σημαίνει· τί σπουδάζετέ με ἀνελεῖν καὶ διῶξαι; μικρὸν ἀναμείνατε χρόνον, καὶ οὐδὲ θελόντων με κατέχειν ἀνέξομαι. καὶ οὐκ εἶπεν ἁπλῶς, ἐνταῦθά εἰμι, ἀλλὰ "μεθ' ὑμῶν εἰμι," τουτέστι, κἂν διώκητέ με, κἂν ἐλαύνητε, οὐ παύσωμαι τὰ ὑπὲρ ὑμῶν οἰκονομῶν καὶ τὰ πρὸς σωτηρίαν λέγων.

Τὸ δὲ "ὑπάγω πρὸς τὸν πέμψαντά με," διὰ τοῦτο εἶπεν, ἵνα μή τις θάνατον κοινὸν νομίσῃ τὸ παρ' αὐτοῦ λεχθὲν, "ἔτι μικρὸν "χρόνον," καὶ ὅτι οὐδὲν ἐνεργεῖ μετὰ τελευτήν.

34 Τὸ δὲ, "ζητήσετέ με, καὶ οὐχ εὑρήσετε" δηλοῖ, ὅτι ἐν χρείᾳ αὐτοῦ καταστήσονται· ἐζήτησαν δὲ αὐτὸν πάντως τῆς πόλεως ἁλισκομένης, μεμνημένοι τῶν θαυμάτων αὐτοῦ, εἰκὸς δὲ καὶ ἄλλοι πολλοὶ, εὐθέως μετὰ τὸ πάθος αὐτοῦ. Τὸ δὲ "ὅπου εἰμὶ ἐγὼ, οὐ "δύνασθε ἐλθεῖν ὑμεῖς," σημαίνει ὅτι οὐκ ἔμελλεν ἀπομένειν τῷ θανάτῳ· ἐκεῖ γὰρ πάντες ἡμεῖς ἀπερχόμεθα.

35 Ἔλεγον οὖν οἱ Ἰουδαῖοι πρὸς ἑαυτοὺς, "ποῦ οὗτος μέλλει "πορεύεσθαι," καὶ τὰ ἑξῆς; ὑποχαλάσαντες τῆς ὀργῆς, καὶ τοῖς λεχθεῖσιν ὑπ' αὐτοῦ πιστεύσαντες· οὐκ ἂν γὰρ, εἰ μὴ ἐπίστευσαν, ἐζήτησαν πρὸς ἑαυτοὺς τίς ἐστιν ὁ λόγος· δείκνυσι δὲ τοῦτο, καὶ ἐκ τοῦ μὴ εἰπεῖν αὐτοὺς λυμαίνεσθαι, ἀλλὰ διδάσκειν τοὺς Ἕλληνας. Τί δέ ἐστι διασποράν; οὕτω τὰ ἔθνη ἐκάλουν οἱ Ἰουδαῖοι ὡς πανταχοῦ διεσπαρμένα. Διὰ τί ἐπεσημήνατο ὁ Εὐαγγελιστὴς, ὅτι "ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ;" διὰ τὸ τὴν πρώτην καὶ τὴν τελευταίαν μεγάλην εἶναι· τὰς γὰρ μεταξὺ μᾶλλον εἰς τρυφὴν ἀνήλισκον· ἐν τῇ ἐσχάτῃ δὲ ὁ Χριστὸς διαλέγεται, ὅτι ἐν αὐτῇ πάντες ἦσαν συγκεκροτημένοι· ἐν μὲν γὰρ τῇ πρώτῃ οὐ παρεγένετο, ἀλλ' οὐδὲ ἐν τῇ ἐσχάτῃ, ὅτε ἀνεχώρουν οἴκαδε ἐφόδια αὐτοῖς δίδωσιν εἰς σωτηρίαν.

Ἀμμωνίου πρεσβυτέρου. Ἐπειδὴ ὁ νόμος κλητὴν ἁγίαν καλεῖ τὴν ἑβδόμην ἔθει παλαιῷ, καὶ ὁ Εὐαγγελιστὴς ἀκολουθήσας μεγάλην αὐτὴν εἶπε.

Κράζει δὲ, τοῦτο μὲν τὴν παρρησίαν ἐμφαίνων, τοῦτο δὲ διὰ τὸν

πολὺν ὄχλον. Τὸ δὲ "εἴ τις διψᾷ, ἐρχέσθω πρός με καὶ πινέτω," τοῦτο σημαίνει, ὅτι οὐδένα ἀνάγκῃ καὶ βίᾳ ἐφέλκομαι, ἀλλ' εἴ τις προθυμίαν πολλὴν ἔχει, εἴ τις ἐκκαίεται τῷ πόθῳ, τοῦτον ἐγὼ καλῶ.

Ἐκ τούτου διδάσκει, ὅτι ὀφείλουσιν οἱ τῇ πίστει προστρέ-
χοντες τὸν τῶν διψώντων ἔρωτα ἔχειν, οἵτινες ὅταν πίωσιν, ἀνα-
38 παύονται. Ὅπερ δὲ εἶπεν "ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ
"γραφὴ, ποταμοὶ ῥεύσουσιν ἐκ τῆς κοιλίας αὐτοῦ ὕδατος ζῶντος,"
τοῦτο δηλοῖ· κοιλίαν μὲν ἐνταῦθα τὴν καρδίαν φησὶ, καθάπερ καὶ
ἀλλαχοῦ γέγραπται "κατὰ τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας
"μου." Ποῦ δὲ εἶπεν ἡ γραφὴ, "ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ
"ῥεύσουσιν;" οὐδαμοῦ. Τί οὖν ἐστιν "ὁ πιστεύων εἰς ἐμὲ καθὼς
"εἶπεν ἡ γραφή;" ἐνταῦθα ὑποστίξαι δεῖ, ἵνα ᾖ "ποταμοὶ ἐκ τῆς
"κοιλίας αὐτοῦ ῥεύσουσι," τῆς αὐτοῦ ἀποφάσεως. Ἐπειδὴ γὰρ ἡ
γραφὴ μαρτυρεῖ περὶ αὐτοῦ ὅτι Υἱὸς Θεοῦ ἐστι, καὶ δημιουργὸς
πάσης κτίσεως, καὶ συνάναρχος τῷ Πατρὶ, καὶ ὅτι μέλλει ἄνθρω-
πος γίγνεσθαι, καὶ τὴν οἰκουμένην ἐκ πλάνης λυτροῦσθαι, διὰ
τοῦτο τῆς γραφῆς ἐμνημόνευσεν, ὅτι ὁ οὕτως, ὡς αὐτὴ λέγει,
πιστεύων εἰς ἐμὲ, "ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσι." τὸ
δαψιλὲς καὶ ἄφθονον τῆς χάριτος αἰνιττόμενος.

Ζῶν δὲ λέγει διὰ τὸ ἐνεργεῖν ἀεί· τοιαύτη γάρ ἐστιν ἡ τοῦ Παναγίου Πνεύματος χάρις· ἥτις ἐπειδὰν εἰς διάνοιαν ἔλθοι καὶ ἡδρυνθῇ, πάσης πηγῆς μᾶλλον ἀναβλύζει, καὶ οὐ διαλιμπάνει, οὐδὲ ἵσταται, οὐδὲ κενοῦται. διὰ τοῦτο γὰρ καὶ οὐχ ἕνα ποταμὸν ἐκάλεσεν, ἀλλὰ ποταμοὺς ἀφάτους, τὸ ἀνελλειπὲς τῆς χορηγίας δηλῶν, καὶ τὸ ἀνεκδιήγητον τῆς ἐνεργείας τοῦ Παναγίου Πνεύματος, ὡς σημαίνει τὸ ἐπαγόμενον, "ἔλεγε δὲ τοῦτο," φησὶ, "περὶ "τοῦ Πνεύματος" καὶ τὰ ἑξῆς.

Θεοδώρου Ἡρακλείας. Εἰ τὰς γραφὰς παρέπεμπεν, ἵνα ἐκ τῆς ἐκείνων περὶ αὐτοῦ προρρήσεως ἐναχθῶσιν εἰς τὴν πίστιν, "ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. τοῦτο "δὲ εἶπε περὶ τοῦ Πνεύματος οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύον-"τες εἰς αὐτὸν," τὸ δαψιλὲς καὶ ἄφθονον τῆς χάριτος αἰνιττόμενος, ὅπερ ἀλλαχοῦ φησι, "πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν "αἰώνιον," τοῦτο ἐστὶ, πολλὴν ἕξει χάριν.

Τί ἐστιν ὅπερ εἶπεν, "οὔπω γὰρ ἦν Πνεῦμα Ἅγιον;" ὅτι μὲν ἐπὶ τῶν προφητῶν Πνεύματος Ἁγίου δόσις ἦν, παρὰ πάντων ὁμολόγηται. Πῶς γὰρ ἂν προεφήτευσαν, καὶ τὰ μυρία εἰργάσαντο θαύματα ἄνευ τῆς αὐτοῦ χάριτος; Ὅτι δὲ ἦν αὕτη ἡ χάρις συσταλεῖσα, διὰ τοῦτο εἶπεν "οὔπω γὰρ ἦν Πνεῦμα Ἅγιον δεδο- "μένον." Οὐκέτι γὰρ προφήτης παρ' αὐτοῖς ἦν, οὐδὲ ἐπώπτευεν αὐτῶν τὰ ἅγια ἡ χάρις· ἐπεὶ οὖν ἀνέσταλτο μὲν τότε τὸ Πνεῦμα τὸ Ἅγιον, ἔμελλε δὲ λοιπὸν ἐκχεῖσθαι δαψιλῶς ἡ χάρις· τῆς δὲ τοιαύτης διανομῆς ἡ ἀρχὴ μετὰ τὸν σταυρὸν ἐγίνετο, διὰ τοῦτο ἐπήγαγεν, "ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη," δόξαν δὲ τὸν σταυρὸν καλεῖ.

Χρὴ δὲ γινώσκειν ὅτι οἱ Ἀπόστολοι πρὸ τοῦ πάθους οὐ Πνεύματι Ἁγίῳ τὰς ἰάσεις ἐποίουν, ἀλλὰ τῇ παρὰ τοῦ Χριστοῦ ἐξουσίᾳ. Ὅτε γὰρ αὐτοὺς ἔμελλεν εἰς τὴν οἰκουμένην ἐκπέμπειν, τότε λέγει, "λάβετε Πνεῦμα Ἅγιον," καὶ πάλιν τῇ πεντηκοστῇ ἦλθεν ἐπ' αὐτοὺς τὸ Πνεῦμα τὸ Ἅγιον.

40 "Πολλοὶ δέ" φησιν "ἐκ τοῦ ὄχλου ἀκούσαντες τῶν λόγων ἔλεγον, οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης" καὶ τὰ ἑξῆς· ἐκ γὰρ τῆς ταπεινοφροσύνης τῶν ῥημάτων αὐτοῦ ἐπίστευσαν οὗτοι· οἱ δὲ τῇ ἀπιστίᾳ ἐναπομείναντες κακούργως ἅπαντα φθέγγονται. Ἔλεγον γὰρ "μὴ ἐκ τῆς Γαλιλαίας ὁ Χριστὸς ἔρχεται," καὶ τὰ ἑξῆς. Ἔστω γὰρ τὸν τόπον ἠγνόουν, ὅτι ἀπὸ Βηθλεὲμ, διὰ τὴν ἀνατροφὴν ἐν Ναζαρὲτ, ἄρα καὶ τὸ γένος ἠγνόουν, ὅτι ἐξ οἴκου καὶ πατριᾶς ἦν Δαβίδ; Ὅθεν καὶ "σχίσμα ἐγένετο ἐν τῷ ὄχλῳ δι' "αὐτόν·" ἐσχίσθησαν δὲ καὶ οὐ κατενύγησαν, καθώς φησιν ὁ προφήτης· τοιοῦτον γὰρ ἡ πονηρία, οὐδενὶ βούλεται ἥκειν, ἀλλὰ πρὸς ἓν βλέπει μόνον, ὥστε τὸν ἐπιβουλευόμενον ἀνελεῖν. "Τινὲς "δὲ," φησὶν, "ἤθελον πιάσαι αὐτὸν," καὶ τὰ ἑξῆς, βουλόμενοι αὐτὸν ἀνελεῖν, ὡς δὴ σβεννύντες ἐν τούτῳ τὸ κήρυγμα, ἀλλὰ τέως ἠπείγοντο καὶ τῆς ὁρμῆς ἀνεστέλλοντο, τῆς θείας αὐτοὺς κατεχούσης δυνάμεως.

Χρὴ δὲ θαυμάσαι, τῶν μὲν ὑπηρετῶν τὴν σύνεσιν, τῶν δὲ ἀρχιερέων καὶ Φαρισαίων τὴν ἄνοιαν. Οἱ μὲν γὰρ καίπερ δοκοῦντες εἶναι σοφώτεροι, καὶ θαύματα ὁρῶντες, καὶ γραφὰς ἀναγιγνώσκοντες, οὐδὲν ἀπώναντο, ἀλλὰ καὶ μᾶλλον ἐβλάβησαν. Ἔλεγον

γὰρ, διὰ τί οὐκ ἠγάγετε αὐτόν; οἱ δὲ καὶ χωρὶς σημείων ἀπὸ διδασκαλίας μόνης ἐπείσθησαν. οὐ γὰρ εἶπον οὐδέποτε, ἐθαυματούργησε οὕτως ἄνθρωπος, ἀλλὰ τί; "οὐδέποτε ἐλάλησεν οὕτως "ἄνθρωπος ὡς οὗτος ὁ ἄνθρωπος." Διὸ μετὰ τῆς συνέσεως αὐτῶν καὶ τὴν παρρησίαν χρὴ θαυμάσαι, ὅτι πρὸς τοὺς ἀποστείλαντας αὐτοὺς ταῦτα ἔλεγον, καὶ φονῶντας κατ' αὐτοῦ. Ὅταν γὰρ ὀρθὴ διάνοια ᾖ, οὐδὲ μακρῶν λόγων δεῖ πρὸς τὸ πεισθῆναι τῇ ἀληθείᾳ. τούτους οὖν πάντες οἱ τοῖς ἄρχουσι παρεπόμενοι μιμείσθωσαν, καὶ ἐφ' οἷς ἂν ἀδίκως προστάσσουσι ποιεῖν, μὴ ὑπακουέτωσανκ· αθάπερ καὶ ἐπὶ Σαοὺλ, ὅτε τοὺς ἱερεῖς τοῦ Θεοῦ παρανόμως ἀναιρεθῆναι προσέταξε, γέγονε· καὶ γὰρ οἱ παρεστῶτες αὐτῷ τοῦτο ποιῆσαι οὐκ ἐπείσθησαν.

48 Διὰ τί αὐτοῖς οὐ μετ' ὀργῆς κέχρηνται, ἀλλὰ κολακευτικῶς, λέγοντες, "μὴ καὶ ὑμεῖς πεπλάνησθε;" δεδοικότες μὴ τέλεον ἀποσχισθῶσιν.

Κυρίλλου. Εὐτονώτερον ἰουδαΐζειν τοὺς ὑπηρέτας εἰκὸς, ὡς τοῖς ἡγουμένοις παραμένοντας καὶ κοινῆς αὐτοῖς μετέχοντας γνώμης· ταύτῃ τοι φασὶ "μὴ καὶ ὑμεῖς πεπλάνησθε;" ὡς ἤδη πεπλανημένης τῆς ἄλλης πληθύος, οἵπερ ἦσαν οὐκ ἀσφαλέστεροι, μηδὲ τοῖς ἱεροῖς ἐντετριμμένοι γράμμασι. Καὶ πάλιν, οὐκ εὐλόγως αἰτιᾶσθε νυνὶ διαγαγεῖν, οὐκ ἰσχύσατε ὡς ὑμᾶς τὸν ζητούμενον, πῶς γὰρ ἄν τις οὐχ ἑκόντα βιάσαιτο τὸν ὅσον εἰς λόγους θείαν ἔχοντα φύσιν; ἐλάλει γὰρ οὐχ ὡς ἄνθρωπος, ἀλλ' ὡς Θεός. Ποῦ γὰρ τίς τῶν ἁγίων προφητῶν χείμαρρον ἑαυτὸν ἁλώσεται λέγων; ἢ τίς ἀπετόλμησεν εἰπεῖν, "εἴ τις διψᾷ, ἐρχέσθω πρός με καὶ "πινέτω." πότε δὲ ἡμῖν αὐτὸς ὁ μέγας ἔφη Μωϋσῆς, "ὁ πιστεύων "εἰς ἐμὲ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσι ὕδατος ζωῆς."

Συλλογίζονται δὲ αὐτοὺς ἀπὸ τεκμηρίου σφόδρα ἀνοήτου· "Μὴ "γὰρ," φησὶν, "ἐκ τῶν ἀρχόντων ἐπίστευσέ τις εἰς αὐτὸν ἢ ἐκ τῶν "Φαρισαίων;" τοῦτο δὲ αὐτὸ τοῖς μὴ πιστεύσασίν ἐστιν ἔγκλημα, οὐ τῷ Χριστῷ.

Τὸν ὄχλον δὲ τὸν εἰς αὐτὸν πιστεύσαντα ἐπάρατον εἰπόντες εἶναι, μᾶλλον αὐτοὶ κατάρας ὑπεύθυνοι γεγόνασιν, ἄπιστοι διαμείναντες.

Ἐπεσημήνατο δὲ ὁ Εὐαγγελιστὴς τὸ τοῦ Νικοδήμου ὄνομα, δεῖξαι θέλων, ὅτι οὐχ ὡς αὐτοὶ ἐψεύσαντο, οὐδεὶς τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτὸν, ἀλλ᾽ ὅτι καὶ ἐξ αὐτῶν ἐπίστευσαν, ὧν εἷς ὑπῆρχεν ὁ Νικόδημος· παῤῥησίαν μὲν γὰρ οὐδέπω τὴν προσήκουσαν ἐπεδείκνυτο, πλὴν ᾠκείωτο τῷ Χριστῷ.

50 Εἰπὼν δὲ ὁ Νικόδημος, "μὴ ὁ νόμος ἡμῶν κρίνει τὸν ἄνθρωπον," καὶ τὰ ἑξῆς, δείκνυσιν αὐτοὺς μὴ ἀναγιγνώσκοντας τὸν νόμον, μηδὲ ποιοῦντας τὰ τοῦ νόμου. Εἰ γὰρ ἐκεῖνος μὲν μηδένα κελεύῃ ἀποκτιννῦναι ἄνθρωπον, μὴ πρότερον ἀκούσαντας, οὗτοι δὲ πρὶν ἀκοῦσαι, ἐπὶ τοῦτο ὥρμησαν, παραβάται εἰσὶ τοῦ νόμου.

Τὸ δὲ "γνῷ τί ποιεῖ," τοῦτό ἐστιν, ὅτι οὐδὲ ἀκροάσεως δεῖ ψιλῆς, ἀλλὰ καὶ λίαν ἀκριβοῦς. Ἀπορηθέντες δὲ ἐκεῖνοι ἀγροικότερον καὶ θυμικώτερον κέχρηνται τῇ ἀντιῤῥήσει, λέγοντες, "μὴ "καὶ σὺ ἐκ τῆς Γαλιλαίας εἶ;" Ποίαν ἀκολουθίαν ἔχει τοῦτο πρὸς ὅπερ εἶπεν ἐκεῖνος; οὐδὲ γὰρ ἦν δεῖξαι αὐτοὺς, ὅτι οὐκ ἀκρίτως ἔπεμψαν αὐτὸν καλέσοντες· ἔτι δὲ καὶ ὑβριστικῶς ὡς οὐκ εἰδότα περὶ τῶν γραφῶν οὐδὲν, λέγουσι πρὸς αὐτὸν, "ἐρεύνησον "καὶ ἴδε," ὡς ἂν εἴποι τις, ὕπαγε καὶ μάθε, "ὅτι ἐκ τῆς Γαλι-"λαίας προφήτης οὐκ ἐγήγερται." Τί γὰρ εἶπεν ὁ ἄνθρωπος; ὅτι προφήτης ἐστίν; εἶπεν ὅτι ἄκριτον ἀναιρεθῆναι οὐ δεῖ.

12 Τίνος ἕνεκεν ὁ Χριστὸς εἶπεν αὐτοῖς, "ἐγώ εἰμι τὸ φῶς τοῦ "κόσμου;" διὰ τὸ ἄνω καὶ κάτω περὶ τῆς Γαλιλαίας λέγειν αὐτοὺς, καὶ προφήτην ἀποκαλεῖν, ἀπαλλάτων πάντας ταύτης τῆς ὑποψίας, καὶ δεικνὺς ὅτι οὐχ εἷς τῶν προφητῶν ἐστιν, οὐδὲ Γαλιλαίας μόνον, οὐδὲ Παλαιστίνης, οὐδὲ Ἰουδαίας, ἀλλὰ παντὸς τοῦ κόσμου δεσπότης. Διὰ τοῦτό φησιν, "ἐγὼ φῶς εἰμι τοῦ κόσμου."

Ἀμμωνίου πρεσβυτέρου. Δείκνυσιν ὅτι αὐτός ἐστιν περὶ οὗ προανεφωνήθη, "ἰδοὺ, τέθεικά σε εἰς φῶς ἐθνῶν," καὶ οὐχ εἷς τῶν προφητῶν, ἀλλὰ δεσπότης. Ἑαυτὸν εἶπε τὸ φῶς, οὐ μὴν ὅτι ἐν ἐμοί ἐστι τὸ φῶς, ἵνα μή τις εἰς δυάδα υἱῶν διατέμῃ τὸν ἕνα Χριστὸν, εἷς γάρ ἐστιν ὁ Χριστὸς καὶ πρὸ σαρκὸς, καὶ μετὰ σαρκὸς, καὶ εἷς καὶ μόνος κατὰ ἀλήθειαν Υἱὸς ὁ ἐκ Θεοῦ Πατρὸς, καὶ ὅτε γέγονεν ἄνθρωπος, οὐκ ἐν μέρει τιθεμένης τῆς ἀνθρώπου

φύσεως· αὐτοῦ γὰρ ἴδιον τὸ σῶμα, καὶ τὸ διατέμνειν τὸν Χριστὸν μετὰ τὴν σάρκωσιν εἰς δύο υἱοὺς ἢ εἰς δύο φύσεις, ταὐτὸν [γάρ] ἐστιν βλάσφημον.

12 Εἰπὼν δὲ, "ὁ ἀκολουθῶν ἐμοὶ" καὶ τὰ ἑξῆς, περὶ νοητοῦ φωτὸς καὶ σκότους λέγει, τουτέστιν, οὐ μένει ἐν τῇ πλάνῃ ὁ τοιοῦτος· ἅμα δὲ καὶ τὸν Νικόδημον ἐπαινεῖ καὶ τοὺς ὑπηρέτας ὡς παῤῥησιασαμένους, καὶ διὰ τοῦτο ἐν τῷ φωτὶ ὄντας. αἰνίττεται δὲ καὶ τοὺς Φαρισαίους, ὡς κρυφῇ τοὺς δόλους πλέκοντας, καὶ ἐν τῷ σκότῳ καὶ τῇ πλάνῃ ὄντας.

13 Ἐν δὲ τῷ εἰπεῖν αὐτοὺς, "σὺ περὶ σεαυτοῦ μαρτυρεῖς," καὶ τὰ ἑξῆς, τὴν ἄνοιαν ἑαυτῶν δηλοῦσιν, ὅτι αὐτὸς μὲν ἄνω καὶ κάτω ταῖς γραφαῖς παρέπεμψεν αὐτοὺς, αὐτοὶ δὲ ὡς περὶ ἑαυτοῦ μαρτυροῦντος οὕτω διέκειντο· διὸ καὶ αὐτὸς λοιπὸν αὐθεντικῶς φησι πρὸς αὐτοὺς, "κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου "ἀληθής ἐστι." Διὰ τοῦτο δὲ λέγει νῦν ἅπαντα τρανότερον καὶ μετὰ πλείονος παῤῥησίας, ἀπό τε τῶν σημείων, καὶ τῆς διδασκαλίας τῶν ἀκολουθούντων τὴν μαρτυρίαν λαβὼν, καὶ διὰ τὸ ἐγγὺς εἶναι τὸν σταυρόν.

14 Τὸ δὲ, "οἶδα πόθεν ἦλθον, καὶ ποῦ ὑπάγω," τοῦτο σημαίνει, οἶδα παρὰ τίνος ἀπέσταλμαι, καὶ πρὸς τίνα ἀπέρχομαι, ὥστε οὐκ ἂν εἶπόν τι ψεῦδος, ἐκεῖθέν τε ἥκων, καὶ ἐκεῖσε ἀπιὼν πρὸς τὸν ἀληθῆ Θεόν.

Κυρίλλου. Τὸ δὲ, "ποῦ ὑπάγω," θεοπρεποῦς μὲν ἐξουσίας ἐπίδειξις· ἄνεισι γὰρ ὡς Θεὸς ἐπάνω τῶν οὐρανῶν, ὡς ὁ Παῦλός φησι. ἀπειλὴν δ' οὖν εἰ καὶ οὐ σφόδρα σαφῶς τῇ τῶν Ἰουδαίων ἀνοσιότητι πρέπουσαν ἔχει. Ὡς γὰρ ὅσον οὐδέπω παντὸς μὲν ἀπαναστήσεται τοῦ γένους αὐτῶν, ἐν τούτοις ὁρᾶται λέγων, ἐν ἐρημίᾳ δὲ τοῦ θείου φωτὸς καταλελοιπὼς, ἐν ἀγνοίᾳ καὶ σκότῳ βαθεῖ παρασκευάσει γενέσθαι.

Ἀμμωνίου πρεσβυτέρου. Εἰ ᾔδεισαν ὅτι Θεοῦ ἦν Υἱὸς, καὶ ἀπ' οὐρανοῦ κατελθὼν, οὐκ ἂν διὰ τὸ βλεπόμενον σῶμα ἐσκανδαλίζοντο· Θεός εἰμι, φησὶ, καὶ ἀξιόπιστος ἐμαυτῷ μαρτυρῶν· ὑμεῖς δὲ διὰ τοῦτο μὲν οὐκ οἴδατε, ἐπειδὴ οὐδὲν θέλετε τοῦ φαινομένου νοεῖν. οὐκ εἶπε δὲ, Θεός εἰμι, ἀλλὰ, "πόθεν ἔρχομαι καὶ ποῦ "ὑπάγω·" ἐθελοκάκουν γὰρ, καὶ προσεποιοῦντο μὴ εἰδέναι.

Τὸ δὲ, "ὑμεῖς κατὰ τὴν σάρκα κρίνετε," τοῦτο δηλοῖ τὸ ἀδίκως κρίνειν, καθάπερ καὶ τὸ κατὰ σάρκα ζῆν, τὸ φαύλως ζῆν ἐστι.

Ἀμμωνίου πρεσβυτέρου. Πρὸς τὸ φαινόμενον σῶμά μου ἀφορῶντες, ἐσφαλμένως τὰ κατ' ἐμὲ κρίνετε.

Διὰ τί ἀλλαχοῦ εἰπὼν, ὅτι "ὁ Πατὴρ οὐ κρίνει οὐδένα, ἀλλὰ πᾶσαν τὴν κρίσιν ἔδωκε τῷ Υἱῷ" νῦν ἐνταῦθά φησιν, "ἐγὼ οὐ "κρίνω οὐδένα;" ὅτι τοῦτο οὐ περὶ τοῦ μέλλοντος καιροῦ, ἀλλὰ περὶ τοῦ παρόντος λέγει. Ὁ γὰρ μέλλων ἐκεῖνός ἐστι τῆς κρίσεως.

16 Τὸ δὲ, "ἐὰν ἐγὼ κρίνω, ἡ κρίσις ἡ ἐμὴ ἀληθής ἐστι," τοῦτο σημαίνει, ὅτι εἰ ἠβουλήθην καὶ νῦν κρῖναι, ὑμεῖς ἂν τῶν καταδεδικασμένων ἦτε· ἠνίξατο δὲ καὶ περὶ τῆς μελλούσης κρίσεως.

Εἰπὼν δὲ, "ὅτι μόνος οὐκ εἰμὶ, ἀλλ' ἐγὼ καὶ ὁ πέμψας με "Πατήρ·" τοῦτο δείκνυσιν, ὅτι οὐκ ἐγὼ μόνος καταδικάζω ὑμᾶς, ἀλλὰ καὶ ὁ Πατήρ· οὐκ ἂν γὰρ ἄλλως ἔκρινεν ὁ Πατὴρ κρίνων ἢ ὡς ἐγὼ, οὐδὲ ἐγὼ, εἰ μὴ ὡς ὁ Πατήρ.

Ἀμμωνίου πρεσβυτέρου. Οὐχ ὡς ἀσθενῶν περὶ τὸ κρῖναι εἶπε τοῦτο, ἀλλ' ὅτι σὺν τῷ Υἱῷ[a], ὁ Πατὴρ μέλλει κατακρῖναι τοὺς ἀπιστοῦντας, τῷ ἀπεσταλμένῳ ἐξ αὐτοῦ.

Δι' οὐδὲν δὲ ἕτερον εἴρηκε τοῦτο, ὅτι "καὶ ἐν τῷ νόμῳ δὲ τῷ "ὑμετέρῳ γέγραπται, ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστιν," ἢ ἵνα δείξῃ τὸ ὁμοούσιον αὐτοῦ τε καὶ τοῦ Πατρός.

18 Οὐκ ἐν τούτῳ δὲ μόνον, ἀλλὰ καὶ δι' οὗ ἐπήγαγε τὸ ὁμοούσιον ἐμφαίνει σαφῶς. φησὶ γὰρ "ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ "ἐμαυτοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ καὶ ὁ πέμψας με Πα-"τήρ·" οὐκ ἂν γὰρ εἰ ἐλάττονος οὐσίας ἦν, πρῶτον ἑαυτὸν ἐτίθει τοῦ Πατρός.

Κυρίλλου. Ἐγὼ, φησὶν, ὅπερ εἰμὶ κατὰ φύσιν, τοῦτο καὶ λέγειν οὐ παραιτήσομαι, φῶς γάρ εἰμί τοῦ κόσμου· πλὴν εἰ ταῦτα λέγων οὐκ ἀξιόχρεως εἶναι δοκῶ, ἐπείπερ εἰμι μόνος, καὶ ἐμοὶ παραλήψομαι συναινοῦντά τε καὶ συμψηφιούμενον τοῖς ἐμοῖς πλεονεκτήμασι τὸν Θεὸν καὶ Πατέρα· συνθαυματουργεῖ γάρ μοι ὡς ὁρᾶτε, φησὶ, καὶ συνεργάζεται. Ὡς γὰρ διὰ τὴν ταυτότητα τῆς οὐσίας ἔχων αὐτὸν ἐν ἐμαυτῷ ἐπὶ τὸ πάντα κατορθοῦν, ἀδια-

[a] θεῷ Cod.

κωλύτως ἔρχομαι. ἔχει γὰρ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἀπὸ μὲν τῆς θείας φύσεως τὸ παντουργικὸν ὡς Θεὸς, κἂν πέφηνεν ἄνθρωπος. μαρτυρεῖται δὲ καὶ παρὰ τοῦ Πατρὸς, ὡς συνεργάτην αὐτὸν ἐν ἅπασιν ἔχων, ἐπείπερ ἐστὶν ἐν Πατρὶ καὶ Υἱῷ μία θεότης, καὶ τῆς αὐτῆς ἐξουσίας ἀπαράλλακτος ἐξουσία τε καὶ δύναμις.

19 Ἐρωτησάντων δὲ αὐτῶν "ποῦ ἐστιν ὁ Πατήρ σου;" ἐπειδὴ ἰδόντες ἔλεγον τοῦτο καὶ πειράζοντες αὐτὸν, οὐδὲ ἀποκρίσεως αὐτοὺς πρὸς τοῦτο ἀξιοῖ, ἀλλά φησιν, "οὔτ' ἐμὲ οἴδατε, οὔτε τὸν "Πατέρα μου," καὶ τὰ ἑξῆς, δεικνὺς ἐν τούτῳ ὅτι οὐδὲν ὠφελοῦνται τὸν Θεὸν λέγοντες εἰδέναι Πατέρα, αὐτὸν οὐκ εἰδότες.

Καὶ ἐπειδὴ ἀφέντες αὐτὸν ἀεὶ τὸν Πατέρα ἐζήτουν μαθεῖν, διὰ τοῦτο λέγει, οὐ δύνασθε ἰδεῖν τὸν Πατέρα χωρὶς ἐμοῦ. "Εἰ "γὰρ ἐμὲ ᾔδειτε," φησὶ, "καὶ τὸν Πατέρα μου ᾔδειτε ἄν." ὥστε οἱ τὸν Υἱὸν βλασφημοῦντες οὐκ αὐτὸν βλασφημοῦσι μόνον, ἀλλὰ καὶ τὸν γεγεννηκότα.

Ἀμμωνίου πρεσβυτέρου. Τὸν Ἰωσὴφ οἰόμενοι αὐτοῦ εἶναι πατέρα τοῦτο εἶπον, ἢ ὀνειδίζουσιν αὐτῷ ὡς ἐκ πορνείας τεχθέντι, καὶ οὐκ εἰδότι τὸν ἴδιον πατέρα· εἰ ἄνθρωπον ὑποπτεύετε εἶναι τὸν πατέρα μου, οὐκοῦν οὐδὲ ἐμὲ οἴδατε· ἀλλ' ἐπείπερ οἱ φιλομαθεῖς διὰ τῆς τοῦ υἱοῦ γνώσεως νοοῦσι τὸν πατέρα, ὁ πατὴρ ἐν υἱῷ ὡς ἐν εἰκόνι διαχαρακτηρίζεται, οὐκοῦν ἴσος ὁ Υἱὸς τῷ Πατρί.

20 "Ταῦτα τὰ ῥήματα," φησὶν, "ἐλάλησεν ἐν τῷ γαζοφυλακίῳ," καὶ τὰ ἑξῆς· τὸ δὲ "οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ," τουτό ἐστιν, ὅτι οὐδέπω καιρὸς ἦν ἐπιτήδειος, καθ' ὃν ἤθελε σταυρωθῆναι, ὥστε καὶ τότε οὐ τῆς αὐτῶν δυνάμεως ἔργον ἦν, ἀλλὰ τῆς οἰκονομίας τῆς ἑαυτοῦ· αὐτοὶ μὲν γὰρ καὶ πάλαι ἐβούλοντο αὐτὸν ἀποκτεῖναι, οὐκ ἴσχυον δὲ, αὐτοῦ μὴ βουλομένου· οὐ τοίνυν οὐδὲ τότε ἴσχυσαν ἂν, εἰ μὴ αὐτὸς συνεχώρησε.

Διὰ τί δὲ αὐτοῖς συνεχῶς λέγει, "ἐγὼ ὑπάγω καὶ ζητήσετέ "με;" κατασείων αὐτῶν τὰς ψυχὰς καὶ φοβῶν. Χρὴ γὰρ σκοπῆσαι, ὅσον τοῦτο ἐνεποίει τὸν φόβον αὐτοῖς· καὶ γὰρ ἀνελεῖν αὐτὸν βουλόμενοι, ἵνα ἀπαλλαγῶσιν αὐτοῦ, ζητοῦσι ποῦ ὑπάγει, οὕτω μέγα τι περὶ τοῦ πράγματος ἐφαντάζοντο.

22 Ἐκείνων δὲ λεγόντων, "μή τι ἀποκτενεῖ ἑαυτὸν," καὶ τὰ ἑξῆς;

αὐτὸς ἀναιρῶν αὐτῶν τὴν ὑπόνοιαν φησὶν, "ὑμεῖς ἐκ τῶν κάτω ἐστὲ, "ἐγὼ ἐκ τῶν ἄνω εἰμί." ὃ δὲ λέγει τοιοῦτό ἐστιν, οὐδὲν θαυμαστὸν ὑμᾶς τοιαῦτα νοεῖν, ἀνθρώπους σαρκίκοὺς ὄντας καὶ οὐδὲν πνευματικὸν λογιζομένους. οὐ γὰρ ἐγὼ τὸ τοιοῦτον ὀλέθριον καὶ χαλεπὸν καὶ πολλῶν κολάσεων ἄξιον ἁμάρτημα, τὸ ἑαυτὸν ἀποκτεῖναι, διαπράξομαι. ἄνωθεν γάρ εἰμι, ὅθεν καὶ τὸ ἐπαγόμενον τῆς αὐτῆς ἔχεται ἐννοίας. Φησὶ γὰρ, "ὑμεῖς ἐκ τοῦ κόσμου τούτου ἐστὲ," τουτέστι, τὰς κοσμικὰς ἐννοίας σαρκικὰς κέκτησθε. "Ἐγὼ ἐκ τοῦ κόσμου "τούτου οὐκ εἰμὶ" πόῤῥω τῆς ὑμῶν πονηρίας εἰμὶ, φησὶ, καὶ ὥσπερ τοὺς μαθητὰς εἶπε μὴ εἶναι ἐκ τοῦ κόσμου, φιλοσοφίαν αὐτοῖς μαρτυρῶν, οὕτω καὶ περὶ αὐτοῦ εἰπὼν, ὅτι οὐκ εἰμὶ ἐκ τοῦ κόσμου, οὐχ ὡς μὴ ἀνειληφὼς σάρκα τοῦτό φησιν, ἀλλὰ διὰ τὸ πάσης κακίας ἐκτὸς εἶναι.

24 Τί σημαίνει ὅπερ εἶπεν, ὅτι "ἐὰν μὴ πιστεύσητε ὅτι ἐγώ εἰμι, "ἐν ταῖς ἁμαρτίαις ὑμῶν ἀποθανεῖσθε; ἐπειδὴ ἦλθεν ἵνα ἄρῃ τὴν ἁμαρτίαν τοῦ κόσμου· ἑτέρως δὲ αὐτὴν ἀποδύσασθαι οὐκ ἔνι, εἰ μὴ διὰ τοῦ λουτροῦ τοῦ βαπτίσματος, ἀνάγκη τὸν μὴ πιστεύοντα ἔχοντα τὸν παλαιὸν ἄνθρωπον ἀπελθεῖν, ὀφείλοντα ἐκεῖ δοῦναι εὐθύνας τῶν ἡμαρτημένων· τοῦτο οὖν ἐστιν ἐν ταῖς ἁμαρτίαις ἀποθανεῖν.

Θεοδώρου Ἡρακλείας. Κοσμικοὶ ὄντες καὶ ἀνάξιοι τῆς ἄνω βασιλείας διὰ τὴν προσοῦσαν παρανομίαν οὐδαμῶς ἐδύναντο ὅπου αὐτὸς ὑπῆγεν ἐλθεῖν· τοῖς γοῦν ἐν ἁμαρτίαις ἀποθνήσκουσι γέεννα καὶ πυρὸς κάμινος καὶ τὸ ἐξώτερον σκότος ἡτοίμασται· ὅθεν προδιαμαρτυράμενος ἔλεγεν, "εἶπον ὑμῖν ὅτι ἀποθανεῖσθε ἐν ταῖς "ἁμαρτίαις ὑμῶν."

25 Ἐρωτῶσι δὲ "σὺ τίς εἶ," ἀπὸ πολλῆς ἀνοίας, διότι μετὰ χρόνον τοσοῦτον σημεῖα καὶ διδασκαλίαν τοῦτο ἐποίουν, αὐτὸς δὲ πρὸς τοῦτο ἀποκριθεὶς εἶπεν αὐτοῖς "τὴν ἀρχὴν ὅ τι καὶ λαλῶ "ὑμῖν, πολλὰ ἔχω παρ' ὑμῶν λαλεῖν καὶ κρίνειν," καὶ τὰ ἑξῆς. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· τοῦ ὅλως ἀκούειν τῶν λόγων τῶν παρ' ἐμοῦ ἀνάξιοί ἐστε, μή τι γε καὶ μαθεῖν ὅστις εἰμὶ ἐγώ· ὑμεῖς γὰρ πειράζοντες φθέγγεσθε. Ἵνα δὲ μὴ νομίσητε ὅτι τοσαῦτα ἀκούων παρ ὑμῶν, δι' ἀσθένειαν οὐκ ἐπεξέρχομαι, ἢ ὅτι οὐκ οἶδα ὑμῶν τὰς διανοίας καὶ τὰς χλευασίας, ἰδοὺ λέγω ὑμῖν ὅτι δύναμαι

ὑμᾶς ἐλέγξαι, οὐκ ἐλέγξαι δὲ μόνον, ἀλλὰ καὶ κολάσαι· τοῦτό ἐστι λαλεῖν καὶ κρίνειν.

Κυρίλλου. Δίκαια πάσχω, φησὶν, ὅτι καὶ λόγου παρ' ὑμῶν ἐποιησάμην ἀρχὴν, ὅτι προσπεφώνηκά τι τῶν εἰδότων ὠφελεῖν, καὶ διασώζειν ἐβουλευσάμην, εὐτελὴς οὕτω λελόγισμαι παρ' ὑμῖν.

Τὸ δὲ, "ταῦτα λέγω," εἰς τὸν κόσμον ἐδήλωσε λοιπὸν ἐξερχόμενον ἑαυτὸν εἰς τὰ ἔθνη.

Οὐχ ἓν ἐγκαλέσω μόνον, φησὶν, ἀλλὰ πολλὰ, καὶ ἐπ' οὐδενὶ διαψεύσομαι καθάπερ ὑμεῖς· ἔχω κρίνειν ὡς ἀπειθεῖς, ὡς ἀλαζόνας, ὡς ὑβριστὰς, ὡς θεομάχους, ὡς ἀγνώμονας, ὡς ἀχαρίστους, ὡς πονηροὺς, ὡς φιληδονοῦντας μᾶλλον ἢ φιλοθεεῖν εἰθισμένους, ὡς δόξαν παρὰ ἀλλήλων λαμβάνοντας, τὴν δὲ δόξαν τὴν παρὰ τοῦ Θεοῦ μὴ ζητοῦντας, ὡς ἐμπυρίσαντάς μου τὸν νοητὸν ἀμπελῶνα, καὶ ὅσα ἄλλα περὶ ὑμῶν φησὶν ἡ γραφή.

Θεοδώρου Ἡρακλείας. Κἂν εἰς νοῦν μὴ λαμβάνητε τὸν τῆς κρίσεως καιρὸν, "ἀλλ' ὁ πέμψας με, φησὶν, ἀληθής ἐστιν," ὃς ὥρισε τὸν τῆς ἀποδώσεως καιρὸν, ὃς καὶ ἀπέστειλέ με κηρύξαι τοῦτο, καὶ φανερὸν τῷ κόσμῳ καταστῆσαι. καὶ ἐν τούτῳ δὲ ἔδειξεν αὐτῶν ὁ Εὐαγγελιστὴς τὴν ἄνοιαν, ἐν τῷ εἰπεῖν, "οὐκ ἔγνωσαν "ὅτι τὸν Πατέρα ἔλεγε" τὸν Θεὸν, διότι οὐ διέλειπεν αὐτοῖς περὶ αὐτοῦ διαλεγόμενος, καὶ οὐκ ἐγίγνωσκον ἔτι.

Ἀπολιναρίου. Εἰ γὰρ συνίεσαν ὅτι περὶ Θεοῦ ἔλεγεν ὁ Κύριος, οὐκ ἂν ἠρώτων "ποῦ ἐστιν ὁ πατήρ σου;" διόπερ καὶ δεόντως εἴρηκε πρὸς αὐτοὺς τὸ "οὐκ οἴδατε τὸν Πατέρα μου." ὅπερ δὲ φησὶν, "ὅτι ὅταν ὑψώσητε τὸν υἱὸν τοῦ ἀνθρώπου, τότε γνώσεσθε ὅτι ἐγώ εἰμι·" τοῦτο σημαίνει, ὅτι ὅτε ὑμεῖς προσδοκᾶτε ἀπαλλαγήσεσθαί μου καὶ ἀναιρήσειν, τότε μάλιστα εἴσεσθε ὅτι ἐγώ εἰμι ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ, πάντα φέρων καὶ ἄγων, γνώσεσθε δὲ ἀπό τε τῶν σημείων καὶ τῆς ἀναστάσεως τῆς ἡμετέρας.

28 Τὸ δὲ "ἀπ' ἐμαυτοῦ ποιῶ οὐδὲν," καὶ τὰ ἑξῆς, τὸ ἀπαράλλακτον τῆς οὐσίας δηλοῖ, καὶ ὅτι οὐδὲν ἐκτὸς τῶν πατρικῶν νοημάτων φθέγγεται.

Καὶ ἵνα μὴ νομίσωσι τὸ ἐπαγόμενον, οἷον τὸ "ὁ πέμψας με," ἐλαττώσεως εἶναι, προστίθησι λέγων, "μετ' ἐμοῦ ἐστι·" τοῦτο μὲν γὰρ τῆς θεότητός ἐστιν, ἐκεῖνο δὲ τῆς οἰκονομίας. Ἐπειδὴ δὲ

διὰ τῶν ταπεινῶν αὐτοῦ λόγων πολλοὶ ἔμελλον πιστεύειν, πάλιν ἐπὶ τὸ ταπεινότερον τὸν λόγον καταγαγὼν λέγει, οὐκ "ἀφῆκέ με "μόνον ὁ Πατὴρ, ὅτι ἐγὼ τὰ ἀρεστὰ αὐτοῦ ποιῶ πάντοτε," δεικνὺς ἐκ τούτου ὅτι καὶ τὸ λῦσαι τὸ σάββατον ἀρεστεῖν αὐτῷ ἐστιν. Ὅπερ δὲ εἶπον ὅτι διὰ τῶν ταπεινῶν αὐτοῦ λόγων πολλοὶ ἔμελλον πιστεύειν, τοῦτο δεῖξαι θέλων ὁ Εὐαγγελιστὴς, ἐπήγαγε λέγων, "ταῦτα αὐτοῦ λαλήσαντος, πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν," μονονουχὶ βοῶν, ὅτι μὴ θορυβοῦ, ὦ ἀκροατὰ, ἐάν τι ταπεινὸν ἀκούσῃς· διὰ γὰρ τὴν ἀσθένειαν τῶν ἀκουόντων οὕτω ταῦτα εἴρηται, ἵνα πεισθῶσιν.

Ἐπίστευσαν μὲν οὖν, οὐχ ὡς ἐχρῆν δὲ, ἀλλὰ ἁπλῶς καὶ ὡς ἔτυχε, πεισθέντες καὶ ἀναπαυσάμενοι ἐπὶ τῇ τῶν λόγων ταπεινότητι, ὅτι δὲ οὐδέπω παρεδέξαντο τὴν διδασκαλίαν ὡς δέον, ἦν δῆλον· "ἔλεγε γὰρ," φησὶν, "ὁ Ἰησοῦς πρὸς τοὺς πεπιστευκότας αὐτῷ "Ἰουδαίους, ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ" καὶ τὰ ἑξῆς· ταῦτα δὲ διελέγετο βουλόμενος ἐμβαθύναι τὴν πίστιν αὐτῶν, διασκάπτων τὴν ψυχὴν πληκτικωτέραν λόγοις.

32 "Γνώσεσθε δὲ τὴν ἀλήθειαν," τουτέστιν ἐμὲ, ἐγὼ γάρ εἰμι ἡ ἀλήθεια. Τὰ γὰρ Ἰουδαϊκὰ πάντα τύπος ἦν, τὴν δὲ ἀλήθειαν παρ' ἐμοῦ εἴσεσθε, καὶ ἐλευθερώσει ὑμᾶς ἀπὸ τῶν ἁμαρτημάτων ὑμῶν· καὶ οὐκ εἶπεν ὅτι ἀπαλλάξει ὑμᾶς δουλείας, ἀλλὰ τοῦτο αὐτοῖς εἴασε συνιδεῖν.

Ἀμμωνίου πρεσβυτέρου. Αἱ θυσίαι καὶ οἱ ῥαντισμοὶ οὐδέποτε ἠλευθέρουν ἁμαρτίας, οἱ δὲ τὴν ἐν πνεύματι λατρείαν ἐπιτελοῦντες διὰ τῆς εἰς Χριστὸν πίστεως ἐλευθεροῦνται, μηκέτι ἐν δούλοις ἀλλ' ἐν υἱοῖς καταταττόμενοι.

33 Τί οὖν οἱ ἀλαζόνες; "σπέρμα Ἀβραὰμ," φησὶν, "ἐσμὲν, "καὶ οὐδενὶ δεδουλεύκαμεν πώποτε" καὶ τὰ ἑξῆς. Ὃ δὲ λέγουσι, τοιοῦτόν ἐστι, δούλους ἐκάλεσας τοὺς ἀπογόνους τοῦ Ἀβραὰμ τοὺς εὐγενεῖς. Τοιαῦτα γὰρ τῶν Ἰουδαίων τὰ καυχήματα, οὐδαμοῦ τῶν οἰκείων κατορθωμάτων μέμνηνται, ἀλλὰ τοῦ σπέρματος. Διὰ τοῦτο καὶ ὁ βαπτιστὴς πρὸς αὐτοὺς ἔλεγε, "μὴ δόξητε λέγειν "ὅτι πατέρα ἔχομεν τὸν Ἀβραάμ."

Οὐκ ἤλεγξε δὲ αὐτοὺς ὁ Χριστὸς ὡς πολλάκις δουλεύσαντας· καὶ γὰρ καὶ Αἰγυπτίοις καὶ Βαβυλωνίοις καὶ ἑτέροις πολλοῖς

ἐδούλευσαν, ἐπειδὴ οὐ τοῦτο ἐσπούδαζε δεῖξαι δούλους ἀνθρώπων γεγενημένους, ἀλλὰ τῆς ἁμαρτίας, ἥτις ἐστὶ καὶ χαλεπωτάτη δουλεία. Διὸ καὶ ἐπήγαγε λέγων, " πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας. Ὁ δὲ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα," καὶ τὰ ἑξῆς, διὰ τούτων ἠρέμα καὶ τὰ διὰ τοῦ νόμου καταβάλλει, αἰνιττόμενος τοὺς προτέρους χρόνους. Ἵνα γὰρ μὴ ἐκεῖνα ἀνατρέχωσι καὶ λέγωσι, θυσίας ἔχομεν, ἃς προσέταξε Μωϋσῆς, ἐκεῖναι ἡμᾶς ἀπαλλάξαι δύνανται. Διὰ τοῦτο ταῦτα ἐπήγαγεν, ἐπεὶ ποίαν ἀκολουθίαν εἶχε τὰ ῥήματα. δείκνυσι δὲ ἐνταῦθα καὶ τὸ ὁμότιμον αὐτοῦ τὸ πρὸς τὸν Πατέρα καὶ τὸ διάφορον δούλου καὶ ἐλευθέρου. Ἡ γὰρ παραβολὴ τοῦτο βούλεται. Διὰ τί δὲ περὶ ἁμαρτημάτων διαλεγόμενος οἰκίας ἐμνημόνευε; δεικνὺς ὅτι ὥσπερ ἐπὶ οἰκίας ὁ δεσπότης, οὕτω πάντως αὐτὸς ἐξουσίαν ἔχει. Τὸ γὰρ " μένει" τοῦτό ἐστιν, ὥσπερ αὖ καὶ τὸ " οὐ μένει" ἀντὶ τοῦ οὐκ ἔχει ἐξουσίαν χαρίζεσθαι, ἅτε μὴ ὢν οἰκοδεσπότης· ὁ δὲ υἱὸς οἰκοδεσπότης ἐστὶ, διό φησι " μένει εἰς τὸν αἰῶνα."

Κυρίλλου. *Δραμεῖται γὰρ εἰς τὸ ἐξώτερον σκότος, οἱ δὲ τῆς υἱοθεσίας ἀξιωθέντες ἀκούσονται, " δεῦτε οἱ εὐλογημένοι τοῦ " Πατρός μου," καὶ τὰ ἑξῆς.*

Ἀμμωνίου πρεσβυτέρου. *Ὁ μὴ μένων εἰς τὸν αἰῶνα καὶ ὡσαύτως ἔχων, ἀεὶ δοῦλός ἐστι τῇ φύσει, καὶ οὔτε ἑαυτὸν οὔτε ἄλλον ἐλευθερῶσαι δύναται. Πάντα γὰρ δοῦλα τοῦ κτίσαντος, μένει δὲ εἰς τὸν αἰῶνα, ὡσαύτως ἔχων ὁ Υἱὸς ὡς φύσει Θεός.*

36 *Καὶ πάλιν δὲ τὸ ὁμοούσιον δεικνὺς ἐπήγαγε λέγων, " ἐὰν οὖν ὁ " Υἱὸς ὑμᾶς ἐλευθερώσῃ, ὄντως ἐλεύθεροι ἔσεσθε."*

Ἅμα δὲ καὶ τοῦτο ἐμφαίνει, " διὰ τοῦτο ἐλεύθεροι ἔσεσθε," ὅτι αὕτη ἡ ἐλευθερία οὐκ ἀληθής ἐστιν, ἀλλὰ μέχρι προσηγορίας μόνης, ὅθεν ταύτην μὲν καὶ ἄνθρωποι διδόασι, τὴν δὲ ἀπὸ τῆς ἁμαρτίας ἐλευθερίαν μόνος ὁ Θεός. οἶδα γὰρ, φησὶν, ὅτι σπέρμα Ἀβραάμ ἐστε, ἀλλ' οὐ τοῦτό ἐστι τὸ ζητούμενον, ἀλλ' ἡ διὰ τῶν ἔργων πρὸς αὐτὸν οἰκείωσις.

37 *Ἀφεὶς τοίνυν πάντα αὐτῶν ἐλέγξαι τὸν βίον, τοῦτο ὃ μετὰ χεῖρας ποιεῖν ἐβούλοντο, εἰς μέσον ἄγει λέγων, " ζητεῖτέ με " ἀποκτεῖναι," ὅτι ὁ λόγος ὁ ἐμὸς οὐ χωρεῖ ἐν ὑμῖν. Εἰ γὰρ*

καὶ ἐπίστευσαν εἰς αὐτὸν, ἀλλ' εὐθέως πάλιν μετέθεντο. Τί δέ ἐστιν, ὅπερ φησὶν, "ὅτι ἐγὼ ὃ ἑώρακα παρὰ τῷ Πατρί μου, "λαλῶ," καὶ τὰ ἑξῆς, ὥσπερ, φησὶν, ἐγὼ, καὶ ἀπὸ τῶν ῥημάτων καὶ ἀπὸ τῆς ἀληθείας ἐμφαίνω τὸν Πατέρα, οὕτω καὶ ὑμεῖς τὸν διάβολον ἀπὸ τῶν πραγμάτων.

Ἀπολιναρίου. Ἑωρακέναι καὶ παρὰ τῷ Πατρὶ λέγων, οὐκ ὀφθαλμῶν τινα ὅρασιν ἐδήλωσεν, ἀλλὰ γνῶσιν φυσικὴν, ἐπεὶ καὶ ἐκείνους φάσκων ἑωρακέναι παρὰ τῷ πατρὶ αὐτῶν, οὐκ ὄψει δήπουθεν ἑωρακέναι λέγει, ἀλλὰ τῇ ἐνοικούσῃ πονηρίᾳ ταῖς τοῦ πονηροῦ βουλαῖς οἰκείους καθίστασθαι.

39 Ἐπειδὴ δὲ εἶπον ἐκεῖνοι ὅτι ὁ Πατὴρ ἡμῶν Ἀβραάμ ἐστιν, ἀποκρούεται αὐτοὺς λέγων, "εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε," καὶ τὰ ἑξῆς. Συνεχῶς δὲ ἀπάγει αὐτοὺς τῆς πρὸς τὸν Ἀβραὰμ συγγενείας, ὥστε μὴ ἐν ἐκείνῳ τὰς ἐλπίδας τῆς σωτηρίας ἔχειν, μηδὲ ἐν τῇ κατὰ φύσιν συγγενείᾳ, ἀλλ' ἐν τῇ κατὰ προαίρεσιν.

Μέμνηται δὲ πάλιν τῆς φονικῆς αὐτῶν προαιρέσεως, λέγων, "ζητεῖτέ με ἀποκτεῖναι" καὶ τὰ ἑξῆς, ὅπως συνεχῶς ὀνειδιζόμενοι ἐντραπέντες διορθώσονται.

Ποίαν δὲ ἀλήθειαν λελάληκεν; ὅτι ἴσος ἐστὶ τῷ Πατρί. Διὰ γὰρ τοῦτο καὶ ἐζήτουν αὐτὸν ἀποκτεῖναι.

Τὸ δὲ εἰπεῖν ὅτι "τοῦτο Ἀβραὰμ οὐκ ἐποίησε," καὶ τὰ ἑξῆς, δείκνυσιν αὐτοὺς ὅτι οὐ μόνον τοῦ Ἀβραὰμ οὐκ εἰσὶν, ἀλλὰ μᾶλλον τοῦ διαβόλου. Διὰ τί εἰπόντων αὐτῶν "ἡμεῖς ἐκ "πορνείας οὐκ ἐγεννήθημεν," οὐκ ἐλέγχει αὐτοὺς, καὶ γὰρ ἦσαν ἐκ πορνείας αὐτῶν πολλοὶ γεγεννημένοι, διὰ τὸ μὴ προσηκούσας ἐπιμιξίας ποιήσασθαι; Διὰ τί οὖν οὐκ ἐλέγχει αὐτούς; διὰ τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν, καὶ ὥστε μὴ ἀναιδεστέρους γενέσθαι.

Κυρίλλου. Ἐπειδὴ τῆς ἐξ Ἀβραὰμ συγγενείας ἔξω τιθεὶς αὐτοὺς, ἑτέρῳ προσνέμει πατρὶ, χαλεπαίνουσι σφόδρα, ἔκ τε πορνείας γεγενῆσθαι αὐτὸν λέγοντες, καὶ τὸν Θεὸν αὐτὸν Πατέρα ἐπιγραφόμενοι, καὶ ταῦτα Ἡσαΐου ἀκούοντες τοῦ προφήτου λέγοντος πρὸς αὐτούς· "οὐαὶ τέκνα ἀποστάται, καὶ υἱοὺς ἐγέννησα "καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν."

42 Ἐπειδὴ δὲ περαιτέρω καυχήματος ἐξέρχονται λέγοντες, "ἕνα "πατέρα ἔχομεν τὸν Θεὸν," τοῦτο δὲ ἔλεγον σεμνυνόμενοι ὡς τὸν

Θεὸν ἐκδικοῦντες, δείκνυσιν αὐτοὺς μᾶλλον ἐναντιουμένους τῷ Θεῷ, ὅτι τὸν Υἱὸν αὐτοῦ ἐδίωκον, λέγει πρὸς αὐτοὺς, "εἰ ὁ Θεὸς πατὴρ "ὑμῶν ἦν, ἠγαπᾶτε ἂν ἐμὲ, ἐγὼ γὰρ ἐκ τοῦ Θεοῦ ἐξῆλθον καὶ "ἥκω."

Τὸ δὲ "ἐξῆλθον" τὴν πρὸς ἡμᾶς αὐτοῦ ἄφιξιν δηλοῖ.

Ἀμμωνίου πρεσβυτέρου. Εἰ ἠγαπᾶτέ με, τοῦτο σημεῖον ἦν ὅτι ἐκ Θεοῦ ἦτε. Ἡ γὰρ ἀγάπη εἰς υἱοθεσίαν ἄγει. Πῶς ὑμεῖς ἐν υἱοῖς δύνασθε ἀριθμεῖσθαι, οὐκ ἀγαπῶντες ἐμέ; τὸν μεταπλάττοντα εἰς ἰδίαν μορφὴν τὸν εἰς αὐτὸν πιστεύοντα, ὅτι Θεός ἐστι φύσει, καὶ Υἱὸς Θεοῦ· πλὴν ἐκεῖνοι ἀνεγκλήτως καλοῦσι πατέρα τὸν Θεὸν, οἱ εὐσεβῶς πολιτευόμενοι. Τὸ "ἐξῆλθον" τὴν ἐκ Πατρὸς ἄῤῥητον καὶ ἄναρχον σημαίνει γέννησιν, τὸ δὲ "ἥκω" τὴν ἐν τῷδε τῷ κόσμῳ πάροδον μετὰ σαρκός.

Εὐδοκίᾳ, φησὶ, τοῦ Πατρὸς ἐσαρκώθην, καὶ ἦλθον ἐν τῷ κόσμῳ, διαλεχθησόμενος ὑμῖν τὰ παρὰ τοῦ Πατρός.

"Οὐδὲ γὰρ ἀπ' ἐμαυτοῦ ἐλήλυθα, ἀλλ' ἐκεῖνός με ἀπέστειλε," φησί. Τοῦτο δὲ εἶπε τοὺς πονηροὺς αὐτῶν διαλογισμοὺς ἐκκαλύψαι βουλόμενος, ὅτι παρελογίζοντο ξένα τινὰ λέγειν αὐτὸν καὶ κενὰ, ὥσπερ τοῦ Θεοῦ ἥκειν. Διὰ τοῦτο καὶ ἐπάγει λέγων "τὴν "λαλιὰν τὴν ἐμὴν οὐ γιγνώσκετε, ὅτι οὐ δύνασθε ἀκούειν τὸν "λόγον τὸν ἐμόν." Τίνος ἕνεκεν; διὰ τὸ χαμαίζηλον τῆς διανοίας ὑμῶν φησι, καὶ τὸ πολὺ μεγάλα εἶναι τὰ ἐμά.

43 Ἐνταῦθα δὲ τὸ "οὐ δύνασθε," τὸ οὐ βούλεσθε ἐστί. Διὰ τί δὲ οὐκ ἐβούλοντο, ἐμφαίνει λέγων, "ὅτι ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστὲ, καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν τοῦ διαβόλου "θέλετε ποιεῖν." καὶ οὐκ εἶπεν ἁπλῶς τὰ ἔργα, ἀλλὰ "τὰς "ἐπιθυμίας αὐτοῦ ποιεῖτε," δεικνὺς ὅτι σφοδρῶς καὶ οὗτοι κἀκεῖνος τοῖς φόνοις χαίρουσι. Διὸ καὶ ἐπάγει, "ἐκεῖνος ἀνθρωποκτόνος "ἦν ἀπ' ἀρχῆς."

44 Οὐκ ἀφῆκε δὲ ἀμάρτυρον τὸν λόγον, ἀλλὰ τεκμηρίοις κατασκευάζει τὸν ἔλεγχον. Τὸ γὰρ χαίρειν τοῖς φόνοις, φησὶ, τῆς ἐκείνου κακίας ἐστὶ, "καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν, ὅτι ἀλήθεια "οὐκ ἔστιν ἐν αὐτῷ·" διότι ἐκεῖνος ἔτεκε τὸ ψεῦδος πρῶτος. Τοῦτο δὲ εἶπε διὰ τὸ συνεχῶς αὐτοῦ κατηγορεῖν καὶ λέγειν, ὅτι ἐκ τοῦ Θεοῦ οὐκ ἔστιν.

Ἀμμωνίου πρεσβυτέρου. Αὐτὸς πρῶτος ἔτεκε τὸ ψεῦδος, ἕτερα ἀνθ᾽ ἑτέρων εἰπὼν πρὸς τὴν Εὔαν.

Θεοδώρου Ἡρακλείας. Ἀποστάτης γὰρ τῆς ἀληθείας ἐξ ἀρχῆς γενόμενος, διὰ ψεύδους τὰ πάντα συνέχεε, τοῦτο μὲν Θεὸν πρὸς ἀνθρώπους διαβαλὼν, τοῦτο δὲ ἀνθρώπους Θεῷ· οἷον Θεὸν μὲν πρὸς τὴν Εὔαν, ἀνθρώπους δὲ τῷ Θεῷ, τὸν Ἰὼβ, λέγων "μὴ δωρεὰν Ἰὼβ σέβεται τὸν Θεόν;" καὶ πάλιν, ἐπειδὴ γὰρ ἐχθροί ἐστε τῆς ἀληθείας, διὰ τοῦτό με διώκετε, ἐπεὶ εἰ μὴ διὰ τοῦτο, εἴπατε τὸ ἔγκλημα.

Τί ἐστιν "ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ;" ὅτι ψεύστης ἐστίν. οἱ μὲν ἄνθρωποι, φησὶν, οὐχ οὕτως χρῶνται τῷ ψεύδει ὡς ἰδίῳ, ἀλλ᾽ ὡς ἀλλοτρίῳ, οὗτος δὲ ὡς ἰδίῳ, διό φησι, "καὶ "ὁ πατὴρ αὐτοῦ," τοῦτ᾽ ἔστι τοῦ ψεύδους· αὐτὸς γὰρ πρῶτος ἔτεκε τὸ ψεῦδος, ὅτε ἔλεγεν, "ᾗ ἂν ἡμέρᾳ φάγητε, ἔσεσθε ὡς Θεοί."

45 Ὅπερ δέ φησιν, "ἐγὼ δὲ ὅτι τὴν ἀλήθειαν λέγω, οὐ πιστεύετέ "μοι" τοῦτό ἐστιν, οὐδενὶ ἔχοντες ἐγκαλεῖν μοι, ἀνελεῖν με θέλετε. Ἐπειδὴ γὰρ ἐχθροί ἐστε τῆς ἀληθείας, διὰ τοῦτό με διώκετε, ἐπεὶ εἰ μὴ διὰ τοῦτο, εἴπατε τὸ ἔγκλημα.

Διὸ καὶ ἐπήγαγε, τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας; εἰ γὰρ μήτε αἰτιᾶσθαι ἔχετέ τι τῶν λεγομένων, μήτε ἁμάρτημά τι ἐν ἐμοὶ θεωρεῖτε, διὰ τί οὐ πιστεύετέ μοι; Τοῦτο γὰρ σημαίνει ὅπερ εἶπεν, "εἰ ἀλήθειαν λέγω, διὰ τί οὐ πιστεύετέ μοι;"

47 "Ὁ γὰρ ὤν," φησὶν, "ἐκ τοῦ Θεοῦ, τὰ ῥήματα τοῦ Θεοῦ "ἀκούει· διὰ τοῦτο δὲ ὑμεῖς οὐκ ἀκούετε, ὅτι ἐκ τοῦ Θεοῦ οὐκ "ἐστέ."

Ἀμμωνίου πρεσβυτέρου. Τοὺς πιστοὺς ἐκ τοῦ Θεοῦ λέγει, οὐ κατ᾽ οὐσίαν, ἀλλὰ κατὰ τὸ ἐξ αὐτοῦ τὸν τύπον τῆς εὐσεβείας λαβεῖν, καὶ οἰκειωθῆναι αὐτῷ ἐξ ἀρετῆς καὶ ἐννόμου πολιτείας. Τὸ δὲ "ἀκούει" λέγει, οὐ τοῖς αἰσθητικοῖς ὠσὶν, ἀλλὰ ταῖς τῆς ψυχῆς συγκαταθέσεσιν. Δείκνυσιν ὅτι διὰ τοῦτο οὐκ ἐπίστευον αὐτῷ, ὅτι ὡς ἀντιθέῳ προσεῖχον, ἀλλ᾽ ὅτι ἀλλότριοι ἦσαν τοῦ Θεοῦ.

48 Ὀφείλοντες δὲ ἐπὶ τοῖς ῥηθεῖσι κατανυγῆναι, θαυμάσαι τε τὴν παῤῥησίαν, καὶ τὴν τῶν εἰρημένων ἀκολουθίαν, μᾶλλον καὶ ὑβρίζουσι, Σαμαρείτην αὐτὸν ἀποκαλοῦντες, δαιμόνιον ἔχοντα.

Οὐδαμοῦ δὲ τοῦ Εὐαγγελιστοῦ ἔμπροσθεν εἰρηκότος, ὅτι Σα-

μαρείτην αὐτὸν ἐκάλεσαν, πῶς οὗτοί φασιν, "οὐ καλῶς ἐλέγομεν;" Δῆλον οὖν ὅτι πολλάκις εἶπον αὐτὸν τοῦτο· ὁ δὲ πρᾶος καὶ ἀνεξίκακος ἔνθα μὲν διδάξαι αὐτοὺς ἐχρῆν, καὶ τὸν πολὺν αὐτῶν κατασπάσαι τῦφον καὶ παιδεῦσαι μὴ μεγαφρονεῖν ἐπὶ τῷ Ἀβραὰμ, σφοδρὸς ἦν, ἔνθα δὲ ὑβριζόμενον ἐνεγκεῖν ἔδει, πολλῇ πρᾳότητι κέχρηται, παιδεύων ἡμᾶς τὰ μὲν εἰς τὸν Θεὸν ἐκδικεῖν, τὰ δὲ εἰς ἡμᾶς παρορᾷν.

Ἀμμωνίου πρεσβυτέρου. Σαμαρείτην ἐκάλουν τὸν Κύριον, ὡς διαφοροῦντα περὶ τὰς νομικὰς ἐντολὰς καὶ λύοντα τὸ σάββατον. Οἱ γὰρ Σαμαρεῖται οὐκ ἀκριβῶς ἰουδαΐζουσι.

Τί ἐστιν, "ἐγὼ οὐ ζητῶ τὴν δόξαν τὴν ἐμήν;" ταῦτα εἶπον, φησὶ, δεικνὺς ὅτι προσῆκεν ὑμῖν τὸν Θεὸν καλεῖν πατέρα ἀνδροφόνοις οὖσιν, ὥστε τῇ τιμῇ τῇ πρὸς ἐκεῖνον ἀτιμάζετέ με.

51 Ἐμφαίνων δὲ ὅτι ἐκείνῳ εὐθύνας ὀφείλουσι τῶν λεχθέντων, δι' ὧν ταῦτα ἤκουεν, ἐπήγαγε λέγων· "ἔστιν ὁ ζητῶν καὶ κρίνων." Εἰ καὶ ἐγὼ διὰ ταπεινοφροσύνην παρορῶ τὴν ἐμαυτοῦ τιμὴν, ἀλλ' ὁ Πατὴρ ζητεῖ τὴν ἐμὴν δόξαν καὶ τιμήν.

52 Ἀμμωνίου Πρεσβυτέρου. Τὸ δὲ, "ἐάν τις τὸν λόγον τὸν "ἐμὸν τηρήσῃ," καὶ τὰ ἑξῆς, οὐ τὴν πίστιν μόνον ἐνταῦθα δηλοῖ τὴν εἰς αὐτὸν, ἀλλὰ καὶ τὸν βίον τὸν καθαρόν. Ἅμα δὲ καὶ αἰνίττεται ὅτι οὐδὲν δύνανται αὐτῷ ποιῆσαι. Εἰ γὰρ ὁ τὸν λόγον αὐτοῦ τηρῶν οὐκ ἀποθανεῖται, πολλῷ μᾶλλον αὐτός. Διὸ καὶ αὐτοὶ τοῦτο συνιδόντες λέγουσιν αὐτῷ, νῦν ἐγνώκαμεν, ὅτι δαιμόνιον ἔχεις, καὶ τὰ ἑξῆς. Ὃ δὲ εἶπον, τοῦτό ἐστιν, οἱ τὸν λόγον τοῦ Θεοῦ ἀκούσαντες ἀπέθανον, καὶ οἱ τὸν σὸν ἀκούοντες οὐκ ἀποθανοῦνται; "Μὴ γὰρ σὺ, φησὶ, μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἀβραάμ;"

Οὐ τὸν σαρκικὸν λέγει, ὃν ὑπομένομεν ἅπαντες, ἀλλ' ὅτι ὡς Θεὸς οὐκ ἐλογίζετο τὸν θάνατον, ὃν ὡς Θεὸς εὐκόλως ἠδύνατο ἀνατρέψαι· θάνατον γὰρ ὧδε ὀνομάζει τὸ δι' αἰῶνος κολάζεσθαι. Καὶ γὰρ καὶ ζωή ἐστιν ἡ ἀκατάπαυστος ἀπόλαυσις. Αἰῶνα λέγει τὸν μέλλοντα, ὃς κυρίως καλεῖται αἰὼν, ὁ μὴ ἔχων πέρας, ὅπου οὐκέτι οὐδεὶς ἀποθνήσκει μετὰ τὴν ἀνάστασιν τὴν διὰ Χριστοῦ δωρηθεῖσαν πᾶσιν, ὅπου γε τὸ ζωοποιούμενον κἂν ἀποθάνῃ, οὐκ ἀποθνήσκει τῷ Θεῷ.

Κυρίλλου. Εἰ τοίνυν ἐγνώκασιν, οὐκ ᾔδεισαν πάλιν. Πῶς οὖν ἔλεγον δαιμονᾷν τὸν οὕτω κατεγνωσμένον, ὥσπερ οὖν ᾠήθησαν αὐτοί. Ψεύστης οὖν ἄρα καὶ πάλαι πρότερον ἦν ὁ δυσσεβὴς τῶν Ἰουδαίων λαὸς, καί τοι διαλογισμῷ πληροφορηθέντες ἀναγκαίως ὡς οὐκ ἂν ὁ Σατανᾶς ἐκβάλοι τὸν Σατανᾶν· "πᾶσα γὰρ "βασιλεία," φησὶν, ὁ Χριστὸς, "μερισθεῖσα καθ' ἑαυτὴν, ἐρη"μοῦται," καὶ τὰ ἑξῆς.

Τοῦ Χρυσοστόμου. Ὦ τῆς κενοδοξίας, πάλιν ἐπὶ τὴν συγγένειαν αὐτοῦ καταφεύγουσι, καί τοι ἀκόλουθον ἦν εἰπεῖν, μὴ σὺ μείζων εἶ τοῦ Θεοῦ, ὅτι οἱ ἀκούσαντες αὐτοῦ ἀπέθανον, οἱ δὲ πιστεύσαντες ἐπὶ σὲ οὐκ ἀποθανοῦνται; ἀλλὰ λέγουσι τοῦτο, ἐπειδὴ καὶ τοῦ Ἀβραὰμ ἐλάττονα αὐτὸν εἶναι ἐνόμιζον· καὶ περὶ μὲν τοῦ θανάτου οὐδὲν αὐτοῖς διελέχθη, οὐδὲ ἀπεκάλυψε περὶ ποίου λέγει θανάτου, τέως δὲ πείθει, ὅτι τοῦ Ἀβραὰμ κρεῖττόν ἐστιν, ἵνα καὶ τοῦτο δυσωπήσῃ· μάλιστα μὲν γὰρ εἰ καὶ ὁ τυχὼν, φησὶν, ἡμῖν οὐκ ἔδει ἀποθανεῖν, οὐδὲν ἀδικήσαντα. Ὅταν δὲ τὴν ἀλήθειαν λέγω, καὶ μηδεμίαν ἁμαρτίαν ἔχω, καὶ παρὰ τοῦ Θεοῦ ἀπεσταλμένος ὦ, καὶ Ἀβραὰμ κρείττων, πῶς οὐ μαίνεσθε καὶ ἀνόνητα πονεῖτε ἐπιχειροῦντες ἀνελεῖν;

54 Τὸ δὲ "τίνα ποιεῖς σεαυτὸν σύ;" ὑβριστικῶς καὶ τοῦτο εἶπον, ὡσανεὶ ἔλεγον, σὺ χαρίζῃ σεαυτῷ. Διὸ καὶ ὁ Χριστὸς πρὸς τοῦτό φησιν, "ἐὰν ἐγὼ δοξάζω ἐμαυτὸν, ἡ δόξα μου οὐδέν ἐστι." Τοῦτο δὲ πρὸς τὴν ἐκείνων εἶπεν ὑπόνοιαν, ὥσπερ καὶ τὸ "ἡ μαρτυρία "μου οὐκ ἔστιν ἀληθής."

Δεικνὺς δὲ ὅτι οὐ μόνον αὐτὸν Πατέρα οὐκ ἴσασιν, ἀλλ' οὐδὲ Θεὸν, ἐπήγαγε λέγων, "ὁ Πατήρ μου ὁ δοξάζων με, ὃν ὑμεῖς "λέγετε ὅτι Θεὸς ὑμῶν ἐστι, καὶ οὐκ οἴδατε αὐτὸν, ἐγὼ δὲ οἶδα "αὐτὸν, καὶ τὸν λόγον αὐτοῦ τηρῶ," ὅπερ μεγίστη ἀπόδειξις ἦν, τὸ παρ' ἐκείνου ἀπεστάλθαι, τὸ τηρεῖν αὐτοῦ τὰς ἐντολάς.

Κυρίλλου. Ὁ γὰρ ἐκ τοῦ ὄντος Πατρὸς ἀρρήτως γεγεννημένος Υἱὸς ἐπάγεται δήπου πάντως τὸ τοῦ γεννήσαντος ἴδιον, καὶ τὸ τοῦ τεκόντος ἀξίωμα.

Ἀμμωνίου πρεσβυτέρου. Μόνος γὰρ ὁ Υἱὸς οἶδε φυσικῶς καὶ γνωστικῶς τὸν Πατέρα, μᾶλλον δὲ ἡ Τριὰς ἑαυτήν. Τὸ εἰπεῖν, "οἶδα αὐτὸν," οὐκ ἔστι κόμπος, ἀλλὰ τὸ εἰπεῖν μὴ εἰδέναι,

ψεῦδος. ὑμεῖς γὰρ λέγοντες αὐτὸν εἰδέναι, ψεύδεσθε. Τὸ δὲ εἰπεῖν, "ἀλλ' οἶδα αὐτὸν, καὶ τὸν λόγον αὐτοῦ πληρῶ," δείκνυσι τοὺς Ἰουδαίους τὸ μήτε εἰδέναι τὸν Θεὸν, μήτε μὴν ἀνέχεσθαι τῶν παρ' αὐτοῦ λόγων, διὰ τὸ μὴ δέχεσθαι τὸν δι' αὐτοῦ κεκηρυγμένον.

Καὶ πάλιν οἶδεν ὁ Υἱὸς τὸν Πατέρα, ὡς ἐξ αὐτοῦ κατὰ φύσιν γεγενημένος, τηρεῖ δὲ τὸν λόγον αὐτοῦ, ὅλον ἔχων ἐν ἑαυτῷ σωζόμενον τῆς οὐσίας αὐτοῦ τὸν ὅρον. Δηλοῖ γὰρ ὁ λόγος καὶ τὸν ὅρον, οὐχ ὅτι ὅρῳ ἐστὶ περιλαβεῖν τοὺς ἀνθρώπους τὸν Θεὸν, ἀλλ' ὅτι οἶδεν ὁ Υἱὸς τὸν ἑαυτοῦ Πατέρα, καὶ τί κατὰ φύσιν ἐστὶν ὁ
56 γεννήσας αὐτόν. Τί ἐστιν ὅπερ εἶπεν, "ὅτι Ἀβραὰν ὁ πατὴρ "ὑμῶν ἠγαλλιάσατο ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμὴν," καὶ τὰ ἑξῆς; Ἡμέραν ἐνταῦθα λέγει τὴν τοῦ σταυροῦ, ἣν ἐν τῇ προσφορᾷ τῇ τοῦ Ἰσαὰκ προδιετύπωσε· ἐπαινεῖ δὲ ὡς εὐφρανθέντα τὸν Ἀβραὰμ διὰ τὸν σταυρὸν, δεῖξαι θέλων, ὅτι οὐκ ἄκων ἐπὶ τὸ πάθος ἔρχεται.

Ἀμμωνίου. Δείκνυσιν αὐτοὺς κἂν τούτῳ τοῦ Ἀβραὰμ ἀλλοτρίους, ἐπείπερ ἐν οἷς ἐκεῖνος ἔχαιρεν, οὗτοι ἀλγοῦσι.

Κυρίλλου. Ἡμέραν λέγει τὸν τῆς ἐπιδημίας καιρὸν, περὶ ἧς ὁ ψάλλων φησὶν, "αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ."

58 Ἐπειδὴ δὲ ἐγγὺς τῶν πεντήκοντα ἐτῶν ἐνόμιζον εἶναι τὸν Χριστὸν λοιπὸν, ὄντα περί που τρίακοντα τριῶν, εἶπαν, "πεντήκοντα "ἔτη οὔπω ἔχεις, καὶ Ἀβραὰμ ἑώρακας;"

Σευήρου ἀρχιεπισκόπου Ἀντιοχείας. "Πεντήκοντα ἔτη "οὔπω ἔχεις, καὶ Ἀβραὰμ ἑώρακας;" Τί γὰρ ἐκώλυε τεσσαράκοντα εἰπεῖν, Χριστοῦ τὴν κατὰ σάρκα ἡλικίαν νεάζοντος, εἰ καὶ καθὸ Θεὸς ἄχρονος ἦν; τριακονταέτης γὰρ ὑπάρχων ἦλθεν ἐπὶ τὸ βάπτισμα. Ἠδύναντο δὲ καὶ πρὸς τὸ ἀρχαῖον τοῦ Ἀβραὰμ ἀποβλέποντες λέγειν, μὴ πεντακόσια ἔτη ἔχεις ἢ χίλια, εἰ τύχοι, ὅτι Ἀβραὰμ ἑώρακας; τοῦτο γὰρ μάλιστα διασυρόντων ἦν, ἀλλὰ τῶν πεντήκοντα ἐτῶν ἐμνήσθησαν, διὰ τὸ τὴν ἑβδομάδα τιμίαν ὑπάρχειν τοῖς υἱοῖς Ἰσραήλ.

Διὰ τί δὲ μὴ εἶπεν, ἤμην, ἀλλ' "εἰμὶ πρὶν Ἀβραὰμ γενέ- "σθαι;" Ἐπειδὴ ὥσπερ ὁ Πατὴρ αὐτοῦ ταύτῃ κέχρηται τῇ

λέξει "ἐγώ εἰμι," οὕτως αὐτὸς, καὶ γὰρ τοῦ διηνεκῶς εἶναι τυγχάνει σημαντικὴ, παντὸς ἀπηλλαγμένη χρόνου. Διὸ καὶ βλάσφημον αὐτοῖς ἐδόκει εἶναι τὸ ῥῆμα· "ἦραν" γὰρ, φησὶ, "λίθους, ἵνα βάλωσιν ἐπ' αὐτὸν," οὕτως ἕτοιμοι πρὸς φόνους ἦσαν, καὶ δι' ἑαυτῶν ταῦτα ἔπραττον.

Ἀμμωνίου πρεσβυτέρου. Ἐπὶ τοῦ Ἀβραὰμ ἔθηκε τὸ γενέσθαι, ὅτι ὁ γεγονὼς καὶ φθείρεται, ἐπὶ δὲ αὐτοῦ τὸ "εἰμὶ," ὡς ἀΐδιος καὶ κρείττων φθορᾶς.

Τὸ δὲ "ἐκρύβη καὶ ἐξῆλθεν ἐκ τοῦ ἱεροῦ" ἀνθρωπίνως πάλιν ποιεῖ, ἱκανὴν διδασκαλίαν παραθέμενος, καὶ τὰ αὐτοῦ πάντα πληρώσας.

Θεοδώρου Ἡρακλείας. Πῶς ἐκρύβη; οὐκ εἰς γωνίαν τοῦ ἱεροῦ ἑαυτὸν περιστείλας, οὐδ' εἰς οἰκίσκον, ὡς ἄν τις οἰηθείη καταφυγὼν, οὐδὲ μὴν ὀπίσω τοίχου ἢ στύλου περικάμψας, ἀλλ' ἐξουσίᾳ θεϊκῇ ἀόρατον αὐτὸν τοῖς ἐπιβουλεύουσι καταστήσας, διὰ μέσου αὐτῶν, μὴ ὁρώμενος ἐξῆλθε, καὶ παρῆγεν οὕτως.

ΚΕΦ. Ι.

Περὶ τοῦ ἐκ γενετῆς τυφλοῦ.

Διὰ τί θεραπεύει τότε εὐθέως τὸν τυφλὸν ἐκ τοῦ ἱεροῦ ἐξελθών; ἵνα σὺν τῇ ἀπουσίᾳ καὶ ἡ τοῦ σημείου ἐργασία τὸ σκληρὸν αὐτῶν καὶ ἀπειθὲς καταμαλάξῃ, ἅμα δὲ καὶ τὰ ὑπ' αὐτοῦ εἰρημένα πιστώσασθαι βουλόμενος. Ὅτι γὰρ ἐπίτηδες ἐπὶ τὸ ἔργον τοῦτο ἦλθε, δῆλον ἐκεῖθεν. Οὕτω γὰρ αὐτῷ σπουδαίως ἐνέβλεψεν, ὡς καὶ τοὺς μαθητὰς ἐκ τούτου ἐπὶ τὴν ἐρώτησιν ἐλθεῖν.

2 Εἶπον γὰρ αὐτῷ, φησὶ, "τίς ἥμαρτεν, οὗτος ἢ οἱ γονεῖς αὐτοῦ "ἵνα τυφλὸς γεννηθῇ;" ἔστι δὲ ἐσφαλμένη ἡ ἐρώτησις. πῶς γὰρ ἂν ἥμαρτεν οὗτος πρὶν γεννηθῆναι; πῶς δὲ τῶν γονέων ἁμαρτόντων αὐτὸς ἐκολάσθη; πόθεν οὖν ἦλθον ἐπὶ τὴν ἐρώτησιν ταύτην; ἀπὸ τοῦ παραλυτικοῦ. Ἐπειδὴ γὰρ θεραπεύων αὐτὸν ἔλεγεν, "ἴδε, "ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε." Τοῦτο ἐννοήσαντες οὗτοι, ὅτι ἐκεῖνος δι' ἁμαρτίας παρελύθη, λέγουσιν, ἔστω, ἐκεῖνος δι' ἁμαρτήματα παρελύθη, περὶ τούτου τί ἂν εἴποις, αὐτὸς ἥμαρτεν; ἀλλ' οὐκ ἔστιν εἰπεῖν· ἐκ γενετῆς γάρ ἐστι τυφλός. ἀλλ' οἱ γονεῖς

αὐτοῦ; ἀλλ᾽ οὐδὲ τοῦτο· παῖς γὰρ ὑπὲρ πατρὸς οὐ δίδωσι δίκην. Οὐ τοσοῦτον οὖν ἐρωτῶντες τοῦτο ἔλεγον, ὅσον διαπορούντες. Διὸ αὐτός φησιν, "οὔτε οὗτος ἥμαρτεν, οὔτε οἱ γονεῖς αὐτοῦ·" οὐχ ἁμαρτημάτων δὲ αὐτοὺς ἀπαλλάττων τοῦτό φησιν. Οὐ γὰρ ἁπλῶς εἶπεν, οὔτε οὗτος οὔτε γονεῖς αὐτοῦ ἥμαρτον, ἀλλ᾽ ἐπήγαγεν, ἵνα τυφλὸς γεννηθῇ. Ἥμαρτον μὲν γὰρ ἴσως οἱ γονεῖς αὐτοῦ, καὶ οὗτος μετὰ ταῦτα, ἀλλ᾽ οὐκ ἐντεῦθεν ἡ πήρωσις. Ταῦτα δὲ ἔλεγεν, οὐ τοῦτο ἐμφαίνων, ὅτι οὗτος μὲν οὐχ οὕτως, ἄλλοι δέ τινες ἐκ τούτων ἐτυφλώθησαν τῶν αὐτῶν, οἷον διὰ τὰς τῶν γονέων ἁμαρτίας, οὐδὲ γὰρ ἔνι ἁμαρτόντας ἑτέρους ἄλλους κολάζεσθαι. Καὶ γὰρ διὰ τοῦ Ἰεζεκιὴλ ταύτην ἀναιρεῖ τὴν ὑπόνοιαν· καὶ ὁ Μωσῆς δέ φησιν, "οὐκ ἀποθανεῖται πατὴρ ὑπὲρ "τέκνου." Εἰ δὲ λέγοι τις, πῶς οὖν εἴρηται "ἀποδιδοὺς ἁμαρτίας "πατέρων ἐπὶ τέκνα, ἐπὶ τρίτην καὶ τετάρτην γενεάν;" ἐκεῖνο ἂν εἴποιμεν, ὅτι οὐκ ἔστι καθολικὴ ἡ ἀπόφασις, ἀλλ᾽ ἐπί τινων εἴρηται, τῶν ἐξ Αἰγύπτου ἐξελθόντων· ἐπεὶ καὶ αὐτοὶ τῶν γονέων γεγόνασι χείρους. Τὸ δὲ "ἵνα φανερωθῇ τὰ ἔργα τοῦ Θεοῦ ἐν αὐτῷ," περὶ αὐτοῦ λέγει, οὐ περὶ τοῦ Πατρός. Ἐκείνου γὰρ ἡ δόξα ἦν φανερά. Ὅτι γὰρ περὶ αὐτοῦ τοῦτό φησι, δῆλον ἐκ τῆς ἐπαγωγῆς, "ἐμὲ γὰρ, φησὶ, δεῖ ἐργάζεσθαι τὰ ἔργα τοῦ πέμψαντός "με," τουτέστι, δεῖ με φανερῶσαι ἐμαυτὸν καὶ ποιῆσαι τὰ δυνάμενά με δεῖξαι τὰ αὐτὰ τῷ Πατρὶ ποιοῦντι, οὐ τοιαῦτα, ἀλλ᾽ αὐτὰ, ὃ σημεῖόν ἐστι ἀπαραλλαξίας, καὶ ὅπερ οὐδὲ κατὰ μικρὸν διεστηκότων λέγεται.

4 Τὸ δὲ, "ἕως ἡμέρα ἐστὶ," τοῦτο δηλοῖ, ἕως ὁ βίος οὗτος ἐνέστηκεν, ἔνεστι τοῖς ἀνθρώποις πιστεύειν εἰς ἐμέ.

5 Τὸ γὰρ "ἔρχεται νὺξ, ὅτε οὐδεὶς δύναται ἐργάζεσθαι," περὶ τοῦ μέλλοντος λέγει καιροῦ· νύκτα δὲ αὐτὸν καλεῖ διὰ τὸ τῶν ἁμαρτημάτων ἀνενέργητον. οὐδεὶς γὰρ τότε ἁμαρτίας ἐργάσασθαι δύναται, ὥσπερ οὐδὲ ἐν τῷ σκότει τῆς νυκτὸς ἔργον.

Τί δήποτε ὁ Παῦλος νύκτα μὲν τὸν παρόντα βίον ἐκάλεσεν, ἡμέραν δὲ ἐκεῖνον· καὶ γὰρ φησὶν "ἡ νὺξ προέκοψε, ἡ δὲ ἡμέρα "ἤγγικε;" οὐκ ἐναντιούμενος τῷ Χριστῷ. Νύκτα γὰρ τὸν παρόντα βίον καλεῖ, ἢ διὰ τὸ παραβαλεῖν αὐτὸν τῇ ἡμέρᾳ

ἐκείνῃ, ἢ διὰ τὸ ἐν σκότῳ εἶναι τοὺς ἐν κακίᾳ διατρίβοντας καὶ ἀπιστίᾳ.

6 Φῶς ἑαυτὸν τοῦ κόσμου εἶπεν, ὡς φωτίζοντα τῶν πιστῶν τὰς ψυχὰς, καὶ ὅτι ἤμελλεν ἀνοῖξαι τοὺς ὀφθαλμοὺς τοῦ ἐκ γενετῆς τυφλοῦ. "Ταῦτά," φησιν, "εἰπὼν ὁ Ἰησοῦς, ποῖα ταῦτα;" ἵνα φανερωθῇ ἡ δόξα τοῦ Θεοῦ, ὅτι "δεῖ με ἐργάζεσθαι τὰ ἔργα τοῦ "πέμψαντός με." Οὐ γὰρ ἁπλῶς ἀνέμνησεν ἡμᾶς τῶν εἰρημένων ὁ Εὐαγγελιστὴς, ἀλλὰ δηλῶν ὅτι τὸν λόγον διὰ τῶν ἔργων ἐπιστώσατο.

Ἀμμωνίου πρεσβυτέρου. "Ἔπτυσε δὲ χαμαὶ καὶ ἐποίησε "πηλὸν ἐκ τοῦ πτύσματος, καὶ ἐπέχρισε τὸν πηλὸν ἐπὶ τοὺς "ὀφθαλμοὺς τοῦ τυφλοῦ," δεῖξαι βουλόμενος διὰ τοῦ πηλοῦ, ὅτι αὐτός ἐστιν ὁ καὶ τὸν Ἀδὰμ ἀπὸ πηλοῦ πλάσας. Τὸ μὲν γὰρ εἰπεῖν, ὅτι ἐγώ εἰμι ὁ τοῦτο ποιήσας, πρόσαντες ἐδόκει εἶναι τοῖς ἀκούουσι. Διὰ δὲ τοῦ ἔργου δεικνύμενος τοῦτο, οὐκ ἔτι λοιπὸν προσίστατο· διὰ τοῦτο οὐχ ἁπλῶς, ἀλλ' ἐκείνῳ τῷ τρόπῳ τὰ ὄμματα ἐδημιούργησεν, οὐκ ἔπλασε δὲ μόνον, οὐδὲ ἀνέωξεν, ἀλλὰ καὶ τὸ ὁρᾷν ἐχαρίσατο· ὅπερ τεκμήριόν ἐστι τοῦ καὶ τὴν ψυχὴν αὐτὸν ἐμφυσῆσαι τῷ Ἀδάμ. Ἐκείνης μὲν γὰρ μὴ ἐνεργούσης, ὀφθαλμὸς, κἂν ἀπηρτισμένος ᾖ, οὐκ ἂν ἴδοι ποτέ.

7 Οὐ κέχρηται δὲ ὕδατι, ἀλλὰ πτύσματι εἰς τὸν πηλὸν, ἐπειδὴ ἔμελλε πέμπειν αὐτὸν εἰς τὸν Σιλωάμ. Ἵν' οὖν μὴ τῇ πηγῇ ἐπιγραφῇ τὸ θαῦμα, ἀλλὰ μάθωμεν ὅτι ἐκ τοῦ στόματος αὐτοῦ ἐξελθοῦσα δύναμις, αὐτὴ καὶ διέπλασε, καὶ ἀνέωξε τοὺς ὀφθαλμοὺς αὐτοῦ, διὰ τοῦτο "ἔπτυσε χαμαὶ, καὶ ἐκ τοῦ πτύσματος "ἐποίησε πηλόν."

Οὐκ ἀνέβλεψε δὲ εὐθέως, ἀλλ' ἐκέλευσε νίψασθαι, ἵνα μὴ τῆς πηγῆς εἶναι δόξῃ τὸ κατόρθωμα.

Πέμπει δὲ αὐτὸν εἰς τὸν Σιλωὰμ, πρῶτον μὲν, ἵνα γνῶμεν τοῦ τυφλοῦ τὴν πίστιν· οὐ γὰρ εἶπεν, εἰ ὅλος ὁ πηλός ἐστι, καὶ τὸ πτύσμα τὸ παρέχον μοι τοὺς ὀφθαλμοὺς, τί μοι χρεία τοῦ Σιλωὰμ, ἢ τοῦ νίψασθαι; ἀλλ' ἐπείσθη τῷ κελεύοντι· ἔπειτα δὲ ἵνα ἐπιστομισθῇ τῶν Ἰουδαίων ἡ ἀγνωμοσύνη, εἰκὸς γὰρ ἦν ἅπαντας ὁρᾷν αὐτὸν ἀπιόντα, τὸν πηλὸν ἔχοντα ἐπὶ τῶν ὀφθαλμῶν·

τῷ γὰρ παραδόξῳ πάντας ἂν ἐπέστρεψε πρὸς ἑαυτὸν, τούς τε ἰδόντας αὐτὸν, τούς τε ἀγνοοῦντας. Ἐπειδὴ γὰρ οὐκ ἔστιν εὔκολον τυφλὸν ἀναβλέψαντα γνωρίσαι, πολλοὺς ποιεῖ πρότερον γενέσθαι μάρτυρας διὰ μακρᾶς τῆς ὁδοῦ, καὶ ἀκριβεῖς θεατὰς τῷ παραδόξῳ τῆς θέας, ἵνα μηκέτι ἔχωσιν ἀμφιβάλλειν.

7 Προστίθησι δὲ ὁ Εὐαγγελιστὴς τοῦ Σιλωὰμ τὴν ἑρμηνείαν, "ὅ ἐστιν ἀπεσταλμένον," δεῖξαι θέλων[a], ὅτι Σιλωὰμ πνευματικὸς ἦν ὁ Χριστός. Καὶ γὰρ τὸ ἀθρόον τῆς τοῦ ὕδατος ἐκείνου παρουσίας, μυστήριον ἀπόρρητον ἐμφαίνει, τὸ ἀπροσδόκητον λέγω δὴ τῆς τοῦ Χριστοῦ ἐπιφανείας, καὶ παρὰ πᾶσαν ἐλπίδα γενόμενον.

Διὰ τί οἱ γείτονες αὐτοῦ καὶ οἱ λοιποὶ ἀμφέβαλλον περὶ αὐτοῦ, ὅτι οὐκ ἔστιν αὐτὸς ὁ προσαιτῶν; διὰ τὸ παράδοξον τοῦ γενομένου θαύματος ἀπιστοῦντες, καί τοι γε τοσούτων οἰκονομηθέντων, ὥστε μὴ ἀπιστῆσαί τινα.

Οὐχ ἁπλῶς δὲ ἐπισημαίνεται ὁ Εὐαγγελιστὴς, ὅτι προσαίτης ἦν, ἀλλ' ἵνα δείξῃ, τὸ ἄφατον τῆς τοῦ Χριστοῦ φιλανθρωπίας, ποῦ κατέβαινε, τοὺς προσαιτοῦντας μετὰ πολλῆς τῆς εὐνοίας θεραπεύων. Ἐκεῖνος δὲ μὴ αἰσχυνόμενος τὴν προτέραν πήρωσιν, μηδὲ φοβούμενος τὸν θυμὸν τοῦ δήμου, ἔλεγεν, "ὅτι ἐγώ εἰμι." Τοῦτο δὲ ἐποίει τὸν εὐεργέτην ἀνακηρύττων.

11 Ἄνθρωπον δὲ αὐτὸν καλεῖ, ἐπειδὴ οὐδὲν μέγα τέως ᾔδει περὶ αὐτοῦ, ὅπερ δὲ ἐγίγνωσκε, μετὰ ἀληθείας εἶπεν. Ὅτι μὲν γὰρ ἐπέχρισε τοὺς ὀφθαλμοὺς αὐτοῦ, διὰ τῆς αἰσθήσεως ἐμάνθανε καὶ τῆς ἀφῆς· ὅτι δὲ πτύσματι τὸν πηλὸν ἐποίησεν, οὐκ οἶδε. Ὅπερ δὲ καὶ διὰ τῆς ἀκοῆς ἤκουσεν, ἐμαρτύρησε λέγων, ὅτι "εἶπέ μοι, "ὕπαγε, νίψαι," καὶ τὰ ἑξῆς.

12 Πόθεν δὲ αὐτοῦ ἐπέγνω τὴν φωνήν; ἀπὸ τῆς πρὸς τοὺς μαθητὰς διαλέξεως, ὅτι περὶ αὐτοῦ ἐκεῖνοι ἐρωτήσαντες, αὐτὸς ἀποκριθεὶς διελέγετο αὐτοῖς, ὡς προγέγραπται. Ἐπειδὴ δὲ θεραπεύων εὐθέως ἀνεχώρει, τοῦτο δὲ διὰ τὸ ἀκόμπαστον ἐποίει· ἐρωτηθεὶς ὁ ποτὲ τυφλὸς περὶ αὐτοῦ, ποῦ ἔστι, καὶ ἐνταῦθα ἀληθεύων εἶπεν, "οὐκ οἶδα." Ἄγουσι δὲ αὐτὸν πρὸς τοὺς ἀρχιερεῖς διὰ τὸ σφοδροτέρως αὐτὸν ἐρωτηθῆναι.

[a] λέγων Cod.

Ἐπισημαίνεται δὲ ὁ Εὐαγγελιστὴς ὅτι σάββατον ἦν, ἵνα τὴν πονηρὰν αὐτῶν γνώμην ἐνδείξηται, ὡς παράβασιν τοῦ νόμου γνωρίζονται τὴν εἰς τὸν τυφλὸν γενομένην θεραπείαν.

15 Τίνος ἕνεκεν ἐρωτῶντες τὸν ποτὲ τυφλὸν οὐκ εἶπον, πῶς ἀνέβλεψας; ἀλλὰ πῶς ἀνέωξέ σου τοὺς ὀφθαλμούς; διδόντες αὐτῷ πρόφασιν τοῦ λαβεῖν αὐτὸν ἐπὶ τῇ ἐργασίᾳ· αὐτὸς δὲ ὡς προακηκοότας συντομώτερον φθέγγεται. Οὔτε γὰρ τὸ ὄνομα αὐτοῦ εἶπεν, οὔτε ἃ πρὸς αὐτὸν ἐλάλησεν, ἀλλ' ὅτι "πηλὸν ἐπέθηκεν "ἐπὶ τοὺς ὀφθαλμοὺς καὶ ἐνιψάμην, καὶ βλέπω." Ἐν τῷ ἐπισημήνασθαι δὲ τὸν Εὐαγγελιστὴν, ὅτι ἔλεγεν ἐκ τῶν Φαρισαίων τινὲς, δείκνυσιν ὅτι οὐ τοῦτο λέγουσι πάντες, ἀλλὰ τινὲς, δηλονότι οἱ ἰταμώτεροι, "ὅτι οὗτος ὁ ἄνθρωπος οὐκ ἔστιν ἀπὸ Θεοῦ," καὶ τὰ ἑξῆς.

16 "Ἄλλοι γὰρ," φησὶν, "ἔλεγον, πῶς δύναται ἄνθρωπος ἁμαρτωλὸς "τοιαῦτα σημεῖα ποιεῖν;" Ὅθεν φανερόν ἐστιν, ὅτι ἀπὸ τῶν σημείων ἀνήγοντο, ἀλλὰ περίβλεπτοι ὄντες οἱ ἄρχοντες δυσκολώτερον παρὰ τὸν πολὺν λαὸν ἐπαρρησιάζοντο· τοὺς μὲν γὰρ φιλαρχία κατεῖχε, τοὺς δὲ δειλία καὶ ἀπαρχία, διὸ καὶ ἔλεγεν ὁ Χριστὸς, "πῶς δύ- "νασθε πιστεύειν δόξαν παρὰ ἀνθρώπων λαμβάνοντες."

"Σχίσμα δὲ ἦν," φησὶν, "ἐν αὐτοῖς·" τοῦτο τὸ σχίσμα πρῶτον μὲν ἤρξατο ἐν τῷ λαῷ, εἶτα ὕστερον καὶ ἐν τοῖς ἄρχουσιν. Ἀλλ' εἰ καὶ ἐσχίσθησαν, οὐδὲν ἐπεδείξαντο γενναῖον, ὡς εἴγε τέλεον ἀπεσχίσθησαν, ταχέως ἂν τὴν ἀλήθειαν ἐπέγνωσαν· ἔστι γὰρ σχισθῆναι καλῶς. Διὸ καὶ αὐτὸς ἔλεγεν, "οὐκ ἦλθον βαλεῖν "εἰρήνην ἐπὶ τὴν γῆν, ἀλλὰ μάχαιραν."

17 Τίνες εἰσὶν οἱ εἰπόντες τῷ τυφλῷ," σὺ τί λέγεις περὶ αὐτοῦ, ὅτι ἤνοιξέ σου τοὺς ὀφθαλμούς;" οἱ σχισθέντες ἀπὸ τῶν εἰπόντων ὅτι οὗτος οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, καὶ μᾶλλον εἰρηκότες ὅτι ἄνθρωπος ἁμαρτωλὸς οὐ δύναται σημεῖα τοιαῦτα ποιεῖν. Καὶ γὰρ τὸ τῆς ἀπολογίας νῦν ἀντὶ τῆς κατηγορίας τίθησι μὴ εἰπόντες, ὅτι τὸ σάββατον παρέγγισεν, ἀλλ' ὅτι ἤνοιξέ σου τοὺς ὀφθαλμούς. Τοῦτο δὲ εἶπον, βουλόμενοι ἐπιστομίσαι τέως ἐκείνους δι' αὐτοῦ. Ἵνα γὰρ μὴ δοκῶσιν αὐτοὶ συνηγορεῖν τὸν λαβόντα τῆς δυνάμεως αὐτοῦ πεῖραν, εἰς μέσον ἄγουσι, καὶ ἐρωτῶσι. Διὸ καὶ αὐτὸς εὐγνωμόνως ἀποκριθεὶς εἶπεν ὅτι προφήτης ἐστί.

Ἀμμωνίου πρεσβυτέρου. Ἐξ ἄκρας ἀσεβείας τὸ σάββατον προετίμων τῆς θείας αὐτοῦ δυνάμεως, καὶ βλασφημοῦντες ἔλεγον, ὅτι οὐκ ἔστιν οὗτος παρὰ Θεοῦ. Χριστὸς μὲν ἐν σαββάτῳ ἑνὶ δακτύλῳ χρίσας τὸν πηλὸν ἐγκαλεῖται, αὐτοὶ δὲ ὅλῃ χειρὶ λούοντες τὰ ζῶα καὶ ἀπάγοντες πρὸς ποτισμὸν, καὶ τὰ εἰς βόθρον ἐμπεσόντα πρόβατα ἀνασπῶντες, οὐ διαβάλλονται.

Ἀπολιναρίου. Τοσοῦτον ἰσχύει δόγμα προκατεσχηκὸς καὶ ἡ πρός τι διάθεσις εἰς τὸ παρελέσθαι τὴν ὀρθὴν ἐπὶ τοῖς πράγμασι δίκην, καὶ σκοτῶσαι τὸν λογισμόν. Καὶ ὅτι μὲν ἐν σαββάτῳ τὸν τυφλὸν βλέπειν ἐποίησεν, οὐ λογίζονται, ὅτι δὲ πηλὸν ἐποίησε κρίνουσιν, ἐπίτηδες τοῦ Κυρίου κατὰ ταύτην τὴν ἡμέραν ἐργαζομένου τὰ ἑαυτοῦ ἔργα πολλάκις, ἵνα τῆς ὑπὸ τὰ στοιχεῖα δουλείας, ὡς ὁ Ἀπόστολός φησιν, ἐλευθερώσει τοὺς ἀνθρώπους.

18 Ἐκεῖνοι δὲ βουλόμενοι τρόποις διαφόροις τὸ θαῦμα συσκιάσαι καὶ ἀνελεῖν, διὰ τοῦτο ἐφώνησαν τοὺς γονεῖς αὐτοῦ. Ἐπειδὴ γὰρ τὸν ἰασθέντα καταπλήξασθαι οὐκ ἴσχυσαν, ἀλλ᾽ ἑώρων μετὰ πάσης ἀληθείας τὸν εὐεργέτην κηρύττοντα, ἀπὸ τῶν γονέων προσεδόκησαν τιτρώσκειν τὸ θαῦμα.

19 Ἔστησαν δὲ αὐτοὺς εἰς τὸ μέσον, ὅπως εἰς ἀγωνίαν αὐτοὺς ἐμβάλωσιν, ὅθεν καὶ μετὰ πολλῆς τῆς σφοδρότητος καὶ τοῦ θυμοῦ προσάγουσι τὴν πεῦσιν, καὶ ταύτην δὲ μετὰ κακουργίας. Οὐ γὰρ εἶπον, οὗτός ἐστιν ὁ υἱὸς ὑμῶν ὁ ποτὲ τυφλὸς, ἀλλὰ, "ὃν "ὑμεῖς λέγετε, ὅτι τυφλὸς ἐγεννήθη," μονονουχὶ λέγοντες, ὃν ὑμεῖς ἐποιήσατε τυφλὸν, καὶ δεδώκατε πανταχοῦ τὸν λόγον. πρὸς οὓς εὔκαιρον εἰπεῖν, ὦ μιαροὶ καὶ παμμίαροι, καὶ τίς ἂν ἕλοιτο πατὴρ τοιαῦτα καταψεύδεσθαι παιδός;

Δύο δὲ τούτοις εἰς ἄρνησιν αὐτοὺς ἐπάγειν ἐπιχειροῦσι, τό τε εἰπεῖν, "ὃν ὑμεῖς λέγετε," καὶ τὸ εἰπεῖν, "πῶς οὖν ἄρτι "βλέπει;"

21 Τριῶν ἐρωτήσεων πρὸς τοὺς γονεῖς τοῦ ποτὲ τυφλοῦ γενομένων, εἰ υἱὸς αὐτῶν ἦν, εἰ τυφλὸς ἦν, καὶ πῶς ἀνέβλεψε, τὰς δύο μόνας ὁμολογοῦσι, τὴν δὲ τρίτην οὐ προστιθέασι, καὶ τοῦτο δὲ ὑπὲρ τῆς ἀληθείας γέγονεν, ὥστε μηδένα ἄλλον, ἀλλὰ τὸν τεθαραπευμένον, τὸν καὶ ἀξιόπιστον ὄντα ταῦτα ὁμολογῆσαι, καθὼς καὶ οἱ γονεῖς αὐτοῦ φασιν, "αὐτὸν ἐρωτήσατε, ἡλικίαν ἔχει, αὐτὸς περὶ αὐτοῦ

"λαλήσει." οὐδὲ γάρ ἐστιν, φησὶν, παιδίον, οὐδὲ ἀτελὴς, ἀλλ' ἱκανός ἐστιν ἑαυτῷ μαρτυρῆσαι. Λέγει δὲ καὶ τὴν αἰτίαν ὁ Εὐαγγελιστὴς, δι' ἣν ταῦτα εἶπον οἱ γονεῖς αὐτοῦ, "ὅτι ἐφο-"βοῦντο," φησὶ, καὶ τὰ ἑξῆς.

Ἀπολιναρίου. Οὐχ εὑρόντες ἣν ἐβούλοντο ἄρνησιν παρὰ τοῦ τεθεραπευμένου, παρὰ τῶν γονέων ταύτην ζητοῦσιν, ἐλπίζουσί τε αὐτοὺς θορυβηθέντας συνεργοὺς ἔσεσθαι αὐτοῖς ἀρνησαμένους, ὅτι ὁ γεγενημένος τυφλὸς οὐχ οὗτός ἐστιν ὁ νυνὶ βλέπων. Φησὶ δὲ αὐτοὺς ὁ Εὐαγγελιστὴς μηδὲ πιστεύειν. Οὐ γὰρ εἰσοικίζεται πίστις εἰς ἐριστικὴν ψυχὴν, καὶ εἰς Θεοῦ δύναμιν παραταττομένην.

24 "Ἐφώνησαν οὖν αὐτὸν ἐκ δευτέρου," καὶ τὰ ἑξῆς, τοῦτο ἔστιν, ὡμολόγησον ὅτι οὗτος οὐδὲν εἰργάσατο. ὅτι δὲ λέγουσιν, ὅτι "ἡμεῖς οἴδαμεν ὅτι οὗτος ὁ ἄνθρωπος ἁμαρτωλός ἐστι," πῶς οὐκ ἤλεγξαν αὐτὸν, ὅτε ἔλεγε, "τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ "ἁμαρτίας;" ὅπερ δὲ εἶπεν ὁ ποτὲ τυφλὸς, "εἰ ἁμαρτωλός "ἐστιν, οὐκ οἶδα," τοῦτο δηλοῖ, ὅτι οὐδὲν φησὶν, ὑπὲρ τούτου νῦν ἀποφαίνομαι· ἐκεῖνο μέντοι οἶδα σαφῶς, ὅτι ἁμαρτωλὸς ὢν, οὐκ ἂν τοιαῦτα σημεῖα ἐποίησεν. Ἐπεὶ οὖν ἐκεῖνοι συγκαλύψαι τὸ γεγονὸς θαῦμα οὐκ ἴσχυσαν, πάλιν τὸν τρόπον τῆς θεραπείας περιεργάζονται λέγοντες, "τί ἐποίησέ σοι; πῶς ἤνοιξέ σου τοὺς "ὀφθαλμούς;" διὸ καὶ αὐτὸς οὐκ ἔτι λοιπὸν ὑφειμένως διαλέγεται, ἀλλ' ἐπεμβαίνει αὐτὸς καί φησιν, "εἶπον οὖν ὑμῖν ἅπαξ, καὶ οὐκ "ἠκούσατε, τί πάλιν θέλετε ἀκούειν;" ἰδοὺ πῶς ἡ ἀλήθεια δίδωσι παρρησιάζεσθαι ἀνδρὶ ἐπαίτῃ πρὸς γραμματεῖς καὶ Φαρισαίους τοὺς τὸ ψεῦδος προτιμῶντας. Ὃ γὰρ λέγει, τοιοῦτόν ἐστιν, ἐπειδὴ οὐ προσέχετε τοῖς λεγομένοις, οὐκέτι ἐρῶ, οὐδὲ ἀποκρινοῦμαι συνεχῶς ὑμῖν ἐνοχλοῦσιν εἰκῇ, καὶ οὐχ ὑπὲρ τοῦ μαθεῖν βουλομένοις ἀκοῦσαι, ἀλλ' ὑπὲρ τοῦ τοῖς λεγομένοις ἐπιθέσθαι. ὅθεν καὶ σφοδροτέρως καθάψασθαι αὐτοῖς βουλόμενος, ὅπερ ᾔδει πλήττων αὐτοὺς, τοῦτό φησι, "μὴ καὶ ὑμεῖς θέλετε μαθηταὶ "αὐτοῦ γενέσθαι;" κωμῳδῶν ἠρέμα καὶ διαπαίζων αὐτοὺς, ὅπερ ἦν ψυχῆς πεπαρρησιασμένης, καὶ ὑπερορώσης αὐτῶν τῆς μανίας. Τὸ δὲ εἰπεῖν, "μὴ καὶ ὑμεῖς," δεικνύντος ἐστὶν ἑαυτὸν μαθητὴν ὄντα αὐτοῦ. ἐκεῖνοι δὲ λοιδοροῦντες αὐτὸν εἶπον, "σὺ μαθητὴς εἶ

“ ἐκείνου, ἡμεῖς δὲ τοῦ Μωσέως ἐσμὲν μαθηταί.” Φαίνονται δὲ καὶ ἐν τούτῳ ψευδόμενοι. Εἰ γὰρ ὑπῆρχον τοῦ Μωσέως, καὶ τοῦ Χριστοῦ ἂν ἐγένοντο, καθὼς αὐτὸς ἔλεγεν αὐτοῖς, “ εἰ ἐπι- “ στεύετε Μωσῇ, ἐπιστεύετε ἂν ἐμοί.” Οὐκ εἶπαν δὲ ὅτι ἡμεῖς ἠκούσαμεν, ἀλλ᾽ ὅτι “ ἡμεῖς οἴδαμεν, ὅτι Μωϋσῇ λελάληκεν ὁ “ Θεὸς,” καὶ τὰ ἑξῆς, τῶν προγόνων πάντως ἀπαγγειλάντων· καὶ μὴν ἀξιοπιστότερος ἦν, ὁ διὰ τῶν σημείων ἑαυτὸν πιστούμενος, ὅτι τε ἀπὸ Θεοῦ ἥκει, καὶ ὅτι τὰ ἄνω φθέγγεται. Διὸ καὶ ἁρμοδίως ἀνταποκρίνεται αὐτοῖς ὁ ποτὲ τυφλὸς, λέγων, “ ἐν τούτῳ “ γὰρ τὸ θαυμαστόν ἐστιν, ὅτι ὑμεῖς οὐκ οἴδατε πόθεν ἐστὶ,” καὶ τὰ ἑξῆς, μονονουχὶ λέγων, ὅτι ἄνθρωπος οὐ τῶν ἐπισήμων παρ᾽ ὑμῖν ὢν, οὐδὲ τῶν δεδοξασμένων τοιαῦτα δύναται, ὡς εἶναι δῆλον πάντοθεν, ὅτι Θεός ἐστιν, οὐδὲ μιᾶς ἀνθρωπίνης βοηθείας δεόμενος· καὶ ἐπειδὴ προλαβόντες εἶπόν τινες ἐξ αὐτῶν, “ πῶς δύναται ἄν- “ θρωπος ἁμαρτωλὸς σημεῖα τοιαῦτα ποιεῖν;” λοιπὸν καὶ τὴν ἐκείνων παραλαμβάνει κρίσιν, τῶν οἰκείων αὐτοὺς ὑπομιμνήσκων ῥημάτων. Φησὶ γὰρ, “ οἴδαμεν ὅτι ἁμαρτωλὸν ὁ Θεὸς οὐκ ἀκούει,” ἀλλ᾽ εἰδὼς ὅτι οὐκ ἔστιν ἁμαρτωλὸς, οὐ μόνον τῶν ἁμαρτημάτων αὐτὸν ἀπήλλαξεν, ἀλλὰ καὶ σφόδρα ἀρέσκοντα τῷ Θεῷ δείκνυσι, καὶ τὰ ἐκείνου πάντα πράττοντα ἐν τῷ εἰπεῖν, “ ἀλλ᾽ ἐάν τις “ θεοσεβὴς ᾖ, καὶ τὸ θέλημα αὐτοῦ ποιεῖ.” Διὰ τί πάλιν τοῦ σημείου μέμνηται λέγων, “ ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη, ὅτι ἤνοιξέ “ τις ὀφθαλμοὺς τυφλοῦ γεγενημένου;” ἀπὸ πολλῆς εὐγνωμοσύνης τε καὶ συνέσεως· καὶ ἐπειδὴ ἐγίγνωσκεν αὐτοὺς συσκιάσαι τοῦτο βουλομένους, αὐτὸς μᾶλλον τὴν εὐεργεσίαν ἀνεκήρυττεν.

33 “ Εἰ μὴ γὰρ ἦν,” φησὶν, “ οὗτος παρὰ Θεοῦ, οὐκ ἠδύνατο “ ποιεῖν οὐδέν.” Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, εἰ ὡμολόγηται, φησὶν, ὅτι ἁμαρτωλῶν οὐκ ἀκούει ὁ Θεὸς, οὗτος δὲ θαῦμα ἐποίησε, καὶ θαῦμα τοιοῦτον, οἷον ἄνθρωπος οὐδέποτε ἐποίησε, εὔδηλον ὅτι μείζων ἐστὶ ἢ κατὰ ἄνθρωπον.

34 Ἕως μὲν οὖν προσεδόκων αὐτὸν ἀρνεῖσθαι, ἀξιόπιστον ἐνόμιζον εἶναι. Οὐ γὰρ αὐτὸν καὶ ἅπαξ καὶ δεύτερον ἐκάλεσαν, εἰ μὴ τοῦτο ἦν. Ἐπειδὴ δὲ τὴν ἀλήθειαν ἐφθέγξατο, οὐδὲν αἰδεσθεὶς, τότε αὐτὸν καταδικάζουσιν, ὅτε μάλιστα ἐχρῆν θαυμάσαι, λέγοντες, “ ἐν ἁμαρτίαις σὺ ἐγεννήθης ὅλως, καὶ σὺ διδάσκεις

“ἡμᾶς;” τοῦτο δὲ εἶπον, τὴν τύφλωσιν αὐτοῦ ὀνειδίζοντες ἀφειδῶς, ὡσανεὶ ἔλεγον, ἐκ πρώτης ἡλικίας ἐν ἁμαρτίαις εἶ σὺ, παραδηλοῦντες ὅτι διὰ τοῦτο γέγονε τυφλὸς, ὅπερ λόγον οὐκ εἶχε. Διὸ καὶ ἐξέβαλον αὐτὸν ἐκ τοῦ ἱεροῦ, ὡς κήρυκα τῆς ἀληθείας γενόμενον. Ὅθεν ὁ Εὐαγγελιστὴς ἐμφαίνει, ὅτι ἐπὶ τούτῳ ἦλθεν ὁ Ἰησοῦς, ὥστε αὐτῷ συντυχεῖν· καὶ καθάπερ τις ἀγωνοθέτης ἀθλητὴν καμόντα πολλὰ καὶ στεφανωθέντα δέχεται αὐτὸν, καί φησι, “σὺ πιστεύεις εἰς τὸν Υἱὸν τοῦ Θεοῦ;” Τίνος δὲ ἕνεκεν μετὰ τοσαύτην ἀντίρρησιν τὴν πρὸς Ἰουδαίους μετὰ τοσαῦτα ῥήματα ἐρωτᾷ εἰ πιστεύει; οὐκ ἀγνοῶν, ἀλλὰ βουλόμενος ἑαυτὸν αὐτῷ γνωρίσαι, καὶ δεικνὺς ὅτι πολλοῦ τιμᾶται τὴν αὐτοῦ πίστιν· καὶ ἐπειδὴ οὐδέπω αὐτὸν ᾔδει αὐτὸν, τυφλὸς ὤν· καὶ μετὰ τὴν ἴασιν δὲ ὑπὸ τῶν κυνῶν ἐκείνων περιελκόμενος, πρὸς τὸν εὐεργέτην ἐλθεῖν οὐκ ἠδυνήθη. Διὰ τοῦτό φησιν ἐκεῖνος, “καὶ τίς ἐστι, Κύριε, “ἵνα πιστεύσω αὐτῷ;”

36 Τὸ δὲ “τίς ἐστι,” ποθούσης καὶ σφόδρα ἐπιζητούσης ψυχῆς ῥῆμα τυγχάνει. Διὸ καὶ αὐτὸς μέσως πως καὶ ὑπεσταλμένως· οὐ γὰρ εἶπεν, ἐγώ εἰμι, ἀλλὰ “καὶ ἑώρακας αὐτὸν,” φησὶ, “καὶ ὁ “λαλῶν μετὰ σοῦ ἐκεῖνός ἐστιν.” Ὅθεν καὶ ἐκεῖνος οὐ μόνον ῥήματι ἔφη, ὅτι “πιστεύω, Κύριε,” ἀλλὰ καὶ προσεκύνησεν αὐτῷ, προσθεὶς καὶ τὸ ἔργον· διὰ τούτου τὴν πολλὴν εὐγνωμοσύνην δεικνὺς, ὅπερ ὀλίγοι τῶν τεθεραπευμένων ἐποίησαν, οἷον οἱ λεπροὶ, καὶ εἴ τις ἄλλος, ἐν τούτῳ τὴν θείαν αὐτοῦ κηρύττοντες δύναμιν.

Ἀμμωνίου. Ἄφρονες οἱ Ἰουδαῖοι τὸν μὲν Θεὸν δοξάζεσθαι παρακελευόμενοι διὰ τὸ θαῦμα, τὸν δὲ τὸ τοῦ Θεοῦ ἔργον ποιήσαντα κατακρίναντες.

Κυρίλλου. Δύο, φησὶν, ἔχω σημεῖα, καὶ μάλα σαφῆ, τοῦ αὐτὸν εἶναι τὸν Χριστὸν, οὔτε γὰρ οἴδατε πόθεν ἐστὶν, ἀλλὰ καὶ ἤνοιξέ μου τοὺς ὀφθαλμούς. Αὐτὸς οὖν ἄρα οὗτος σαφῶς ὁ διὰ νόμου προβοώμενος, καὶ διὰ φωνῆς προφητῶν μαρτυρούμενος.

Ὠριγένους. Οὐκ ἂν τηλικοῦτον δόγμα εἰ ἦν ἀληθὲς, τὸ μὴ ἀκούεσθαι τὸν ἁμαρτωλὸν ὑπὸ τοῦ Θεοῦ, σεσιώπητο, ἀλλ’ εἴρητο ἂν ὑπό τινος ἀξίου πιστεύεσθαι, φέρε εἰπεῖν ἤτοι τοῦ θεραπεύοντος, ἢ τινὸς τῶν προφητῶν. πῶς δὲ, εἰ ἁμαρτωλῶν οὐκ ἤκουεν ὁ Θεὸς, ἐδιδάσκοντο οἱ ἁμαρτωλοὶ λέγειν, “ἄφες ἡμῖν τὰ παρα-

“ πτώματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν ;” Τίνων οὖν ἀκούει ὁ Θεός ; τῶν νευόντων ἐπὶ μετάνοιαν, εἰ καὶ μή πω ἐπαύσαντο τοῦ εἶναι ἁμαρτωλοί. εἰ μὴ ἤκουσεν ὁ Θεὸς ἁμαρτωλῶν, οὐκ ἂν μετὰ τελωνῶν καὶ ἁμαρτωλῶν ὁ Σωτὴρ ἡμῶν ἤσθιεν καὶ ἔπινεν, ἀλλὰ μὴ ἀπακουομένων τῶν διὰ τὸ κακῶς ἔχειν χρηζόντων ἰατρῶν, οὐκ ἐθεράπευεν αὐτούς. Διόπερ ὡς ἂν οὔσης τῆς εὐχῆς τῶν ἡμαρτημένων μὲν, οὐ πάντως δὲ ἀπιστούντων ἔτι λέγεται τὸ “ ἐὰν ἀνομίας παρατηρήσῃ, Κύριε, Κύριε, τίς ὑποστήσεται ;”

Ἀμμωνίου. Οὐχ ὡς προσωπολήπτης ὁ Θεὸς, μὴ γένοιτο, ἀλλ’ ὡς δίκαιος, καὶ δικαίων ἐραστὴς διὰ τῶν ἁγίων ἐνεργεῖ τὰ παράδοξα, οὐ μὴν διὰ τῶν ἁμαρτανόντων. Διδάσκει ὅτι ὁ πιστεύων εἰς αὐτὸν τὸν Ἰησοῦν, οὐχ ὡς εἰς ἄνθρωπον ἕνα τῶν καθ’ ἡμᾶς πιστεύει, ἀλλ’ ὡς εἰς Θεὸν ἐνανθρωπήσαντα. Πλῆρες γὰρ οὕτω τὸ ἐπὶ Χριστῷ μυστήριον.

Κυρίλλου. Προνοητικώτατα ὁ Κύριος, τίς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ διερωτώμενος, οὐκ εἶπεν, ἦ γὰρ δή τινας ὡς εἰκὸς ἀσυνέτως ὑπολαβεῖν ὅτι μόνος ὁ Λόγος ὁ ἐκ Θεοῦ Πατρὸς πεφηνὼς, διὰ τούτου κατεσημαίνετο, αὐτὸ δὲ τὸ δοκοῦν ἀμφιβάλλεσθαι παρά τισιν ἑαυτὸν ἐπιδείξας, διὰ τοῦ εἰπεῖν, “ καὶ ἑώρακας αὐτὸν,” καὶ τὸν ἐνοικοῦντα τῇ σαρκὶ καὶ παραδεικνύει Λόγον, διὰ τοῦ πάλιν ἐπενεγκεῖν “ καὶ ὁ λαλῶν μετὰ σοῦ ἐκεῖνός ἐστιν.” Ὁρᾷς οὖν ὅσην ὁ Λόγος ἔχει τὴν ἕνωσιν. Οὐ γὰρ τέθεικε διαφορὰν, ἀλλ’ ἑαυτὸν εἶναί φησι, καὶ τοῖς τοῦ σώματος ὀφθαλμοῖς ὑποπίπτοντα, καὶ τὸν ἐκ τῆς Γαλιλαίας γινωσκόμενον. ἀπαίδευτον οὖν ἄρα καὶ δυσσεβὲς κομιδῇ τὸ λεγειν ἀπερισκέπτως τινὰς, ὁ ἄνθρωπος τοῦ Χριστοῦ. Θεὸς γὰρ ὢν γέγονεν ἄνθρωπος, ἀδιαίρετον ὅσον εἰς τὸ εἶναι Θεὸς καὶ Υἱὸς, καὶ μετὰ σαρκός· τελειοτάτη γὰρ ἐν τούτοις ἡ τῆς εἰς αὐτὸν πίστεως ὁμολογία καὶ γνῶσις. ὅθεν αὐτῷ παραχρῆμα καὶ ὡς Θεῷ προσεκύνησεν ὁ πάλαι τυφλός.

39 Τὸ δὲ “ εἰς κρίμα ἐγὼ ἦλθον εἰς τὸν κόσμον,” εἰς μείζονα κόλασιν σημαίνει. Δύο δὲ ἐνταῦθα ἀναβλέπεις, λέγει, καὶ δύο τυφλότητας, τήν τε αἰσθητὴν, τήν τε νοητήν· ὅθεν πρὸς τὰ αἰσθητὰ μόνα κεχηνότες οἱ Φαρισαῖοι, λέγουσιν αὐτῷ, “ μὴ καὶ ἡμεῖς “ τυφλοί ἐσμεν ;” Ταύτην καὶ μόνην ἐπαισχυνόμενοι τὴν αἰσθητὴν πήρωσιν, αὐτὸς δὲ δεῖξαι αὐτοῖς βουλόμενος ὅτι βέλτιον τυφλοὺς

εἶναι ἢ βλέποντας ἀπιστεῖν, φησὶν, "εἰ τυφλοὶ ἦτε, οὐκ ἂν "εἴχετε ἁμαρτίαν," περικόπτων καὶ ἐνταῦθα τὰ ἀνθρώπινα φρονήματα, καὶ εἰς ἔννοιαν ἄγων μεγάλην καὶ θαυμαστήν. Ὅτι γὰρ λέγετε, φησὶν, ὅτι βλέπετε, αἱ ἁμαρτίαι ὑμῶν μένουσι, διότι οὐ βλέπετε τοῖς νοητοῖς ὀφθαλμοῖς πρὸς τὸ πιστεῦσαί μοι.

Θεοδώρου Μομψουεστίας. Ὥσπερ ἀνωτέρω τοῦ Κυρίου περὶ ἐλευθερίας αὐτοῖς διαλεγομένου, τοῖς ἀπὸ τῶν ἁμαρτημάτων, ἐκεῖνοί φασι, "σπέρμα Ἀβραάμ ἐσμεν, καὶ οὐδενὶ δεδουλεύκαμέν "ποτε," περὶ σωματικῆς διαλεγόμενοι δουλείας, οὕτω κἀνταῦθα πήρωσιν αὐτοῖς τοῦ Κυρίου κατὰ τὴν ψυχὴν ὀνειδίζοντος, ἐκεῖνοι περὶ τῶν τοῦ σώματος ὀφθαλμῶν, ὡς βλεπόντων διελέγοντο. διόπερ ὁ Κύριος ἀπὸ τούτου τὴν ἁμαρτίαν αὐτοῖς ἐπιτείνας, ἐφ' ὅπερ ἐκεῖνοι καυχᾶσθαι ἐδόκουν. Τί γὰρ, φησὶ, φατὲ, ὅτι βλέπετε; κρεῖττον ἦν ὑμᾶς πηροὺς εἶναι τὰς ὄψεις, ἐγένετο γὰρ ἄν τις ὑμῶν ἐντεῦθεν συγγνώμη ἀπιστοῦσι· νυνὶ δὲ ἐπειδήπερ ὁρᾷν δοκεῖτε, καὶ αὐταῖς ὄψεσι τὸν ποτὲ τυφλὸν νῦν βλέποντα θεασάμενοι, ἀπιστεῖτε τοῖς γείτοσιν, οὐδεμίαν ἔχειν ἀπολογίαν δυνάμενοι, ὡμολογημένην δέχεσθε τῆς ἀπιστίας τὴν κατάκρισιν.

Θεοδώρου Ἡρακλείας. Εἰ τυφλοὶ ἦτε, ἀνάγκῃ ἀποβαλόντας ὄψεις, οὐκ ἂν εἴχετε ἁμαρτίαν· οὐδεὶς γὰρ ἑκὼν ὑπομένει πάθος. Ἐπειδὴ δὲ νομίζοντες σωματικῶς ὁρᾷν, τυφλοὺς διὰ τῆς ἀπιστίας αὐτοὺς ἀπειργάσασθε, διὰ τοῦτο ἡ ἁμαρτία ὑμῶν ἀνεξάλειπτος μένει.

1 Τί σημαίνων ἔλεγε, "ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας, κλέ"πτης ἐστὶ," καὶ τὰ ἑξῆς; τοὺς πρὸ αὐτοῦ πλάνους καὶ τοὺς μετ' αὐτὸν αἰνιττόμενος, τόν τε Ἀντίχριστον καὶ τοὺς ψευδοχρίστους, τόν τε Θευδᾶν καὶ τὸν Ἰούδαν, καὶ εἴ τινες ἕτεροι γεγόνασι τοιοῦτοι. Θύραν δὲ τὰς γραφὰς ἐκάλεσεν· αὗται γὰρ ἡμᾶς προσάγουσι τῷ Θεῷ, καὶ τὴν θεογνωσίαν ἀνοίγουσιν, αὗται πρόβατα ποιοῦσιν[b], αὗται φυλάττουσι, καὶ οὐκ ἀφιᾶσι τοὺς λύκους εἰσελθεῖν. Καθάπερ γάρ τις θύρα ἀσφαλὴς οὕτως ἀποκλείει τοῖς αἱρετικοῖς τὴν εἴσοδον, ἐν ἀσφαλείᾳ ποιοῦσα ἡμᾶς, καὶ οὐκ ἐῶσα πλανᾶσθαι. Διὰ ταύτης καὶ τοὺς οὐ ποιμένας γινώσκομεν. Ὁ γὰρ μὴ ταῖς γραφαῖς χρώμενος, ἀλλὰ ἀναβαίνων ἄλλοθεν, οὗτος

[b] Leg. ποιμαίνουσιν.

κλέπτης ἐστί. Διὰ τούτου δὲ καὶ τοὺς γραμματεῖς ἠνίξατο, ὅτι ἐδίδασκον ἐντάλματα διδασκαλίας ἀνθρώπων, καὶ τὸν νόμον παρέβαινον. Καλῶς δὲ εἶπεν, "ἀναβαίνων," ὅπερ ἐστὶ κλέπτου, θριγχὸν ὑπερπηδῆσαι βουλομένου. Ἐπιμένων δὲ τῇ μεταφορᾷ, ὥστε ἐμφαντικώτερον ποιῆσαι τὸν λόγον φησὶν, "ὁ δὲ εἰσερχό-" μενος διὰ τῆς θύρας, οὗτός ἐστιν ὁ ποιμὴν τῶν προβάτων," καὶ τὰ ἑξῆς. Οὐδὲν δὲ κωλύει θυρωρὸν ἐνταῦθα νοεῖν Μωϋσέα. Ἐκεῖνος γὰρ τὰ λόγια τοῦ Θεοῦ ὁ ἐμπιστευθεὶς ἦν. Εἰ δὲ προιδὼν θύραν ἑαυτὸν ὁ Χριστὸς εἶναι λέγοι, οὐ χρὴ θορυβεῖσθαι, καὶ γὰρ καὶ ποιμένα ἑαυτὸν λέγει καὶ πρόβατον, καὶ διαφόρως τὰς οἰκονομίας ἀνακηρύττει τὰς ἑαυτοῦ.

4 Τίνος ἕνεκεν ἐπὶ τῶν προβάτων τούτων ὄπισθεν αὐτῷ ἀκολουθούντων τῶν ποιμένων ἐπὶ τῶν νοητῶν φησιν ἔμπροσθεν αὐτῶν πορεύεσθαι τὸν ποιμένα; δεῖξαι θέλων ὅτι πάντας ὁδηγῶν πρὸς τὴν ἀλήθειαν ἀπεναντίας ἐκείνοις ποιεῖ· ὥσπερ οὖν καὶ ὅτε τὰ πρόβατα ἔπεμπεν, οὐκ ἔξω τῶν λύκων, ἀλλ' ἐν μέσῳ τῶν λύκων ἔπεμπε. Πολὺ γὰρ αὕτη παραδοξοτέρα ἡ ποιμαντικὴ τῆς παρ' ἡμῖν. Ἐξάγει δὲ αὐτὰ ἐκ μέσου, δηλονότι τῶν ἀπίστων, ὥσπερ καὶ τὸν τυφλὸν ἐξήγαγε καλέσας ἐκ μέσου τῶν ἀπίστων Ἰουδαίων, καὶ ἤκουσεν αὐτοῦ τῆς φωνῆς, καὶ ἐπέγνω.

5 Τὸ δὲ εἰπεῖν, "ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσι," καὶ τὰ ἑξῆς, ἐδήλωσεν ὅτι οἱ βεβαίως εἰς αὐτὸν πιστεύοντες, τοῖς μετὰ ταῦτα μέλλουσιν ἀπατᾷν ψευδοχρίστοις οὐ μὴ πεισθῶσι.

Θεοδώρου Ἡρακλείας. Θυρωρὸν λέγει τὸν παράκλητον τὸ Πνεῦμα τὸ Ἅγιον τὸ διὰ τῶν προφητῶν τὴν εἴσοδον αὐτοῦ κηρύξαν τοῖς τε λοιποῖς ἅπασι διὰ τὰ προδηλωθέντα σημεῖα ἀποκλείσαντα τὴν θύραν, καὶ μόνην τῷ κόσμῳ ταύτην ἀνοίξαντα, τῷ καὶ διὰ τεραστίων τὰ καθ' ἑαυτὸν πιστωσαμένῳ.

Ἀμμωνίου πρεσβυτέρου. Κλέπτης ἐστὶν ὁ ἐκ βίας τὴν μὴ δοθεῖσαν αὐτῷ τιμὴν ὑφαρπάζων, ἣν οὐ δύναται λαβεῖν, εἰ μὴ ὁ εἰς Χριστὸν πιστεύων, ἤτοι κλέπτης ἐστὶν ὁ μὴ τῇ νενομισμένῃ ἀπὸ τῶν γραφῶν χρώμενος διδασκαλίᾳ, ἀλλὰ δι' ἑτέρας μὴ νενομισμένης ἐρχόμενος. διὸ καὶ εἶπε τὸ "ἀλλαχόθεν," ἵνα καὶ τοὺς γραμματεῖς σημαίνῃ τοὺς διδάσκοντας τὰ ἐντάλματα τῶν ἀνθρώπων καὶ παραβαίνοντας τὸν νόμον. Ὅταν ἀκούσωσιν οἱ πιστοὶ

παρὰ τῶν ὀρθῶν διδασκάλων τὰ θεῖα διδάγματα τῶν γραφῶν, ὥσπερ τινὰ τροφὴν δέχονται, ὅσοι δὲ πλᾶνον καλοῦσι τὸν Χριστὸν, τῆς τῶν προβάτων ἐκβέβληνται τάξεως.

7 Διὰ τί δὲ αὐτοῖς ἀσαφῶς ἐλάλει; οὐ γὰρ φησὶν ὁ Εὐαγγελιστὴς, ὅτι ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς, προσεκτικωτέρους αὐτοὺς ποιῆσαι βουλόμενος. Ἐπεὶ οὖν τοῦτο κατεσκεύασε, λύει λοιπὸν τὴν ἀσάφειαν, λέγων "ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων, "πάντες ὅσοι ἦλθον πρὸ ἐμοῦ, κλέπται εἰσὶ καὶ λῃσταὶ," καὶ τὰ ἑξῆς· οὐ περὶ τῶν προφητῶν ἐνταῦθα λέγει, καθὼς οἱ αἱρετικοί φασιν, ἐκείνων γὰρ ἤκουσαν, καὶ δι' ἐκείνων ἐπίστευσαν, ὅσοι ἐπίστευσαν τῷ Χριστῷ, ἀλλὰ περὶ Θευδᾶ καὶ Ἰούδα λέγει καὶ τῶν ἄλλων στασιαστῶν. Ἄλλως δὲ καὶ τὸ "οὐκ ἤκουσαν τὰ πρό"βατα" ἐπαινῶν εἶπεν, οὐδαμοῦ δὲ φαίνεται ἐπαινῶν τοὺς παρακούσαντας προφητῶν, ἀλλὰ καὶ τοὐναντίον κακίζων καὶ διαβάλλων σφοδρῶς, ὅθεν δηλονότι τοῦτο οὐ περὶ ἐκείνων φησί· τὸ δὲ "δι' "ἐμοῦ ἐάν τις εἰσέλθῃ" καὶ τὰ ἑξῆς, τοῦτο δηλοῖ, ὅτι ἐν ἀσφαλείᾳ ἔσται καὶ ἀδείᾳ, νομὴν δὲ ἢ τροφὴν ἐνταῦθα λέγει, ἢ ἐξουσίαν καὶ κυριότητα, τουτέστιν, ἔνδον μένει, καὶ οὐδεὶς αὐτὸν ἐξωθήσεται. Ἐπειδὴ δὲ οἱ τῷ Θευδᾷ καὶ τῷ Ἰούδᾳ καὶ τοῖς λοιποῖς στασιασταῖς πεισθέντες ἐσφάγησαν, καὶ ἀπώλοντο, διὰ τοῦτο ἐπήγαγε λέγων "ὁ κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ "καὶ θύσῃ" καὶ τὰ ἑξῆς, ἐκείνους καὶ τοὺς ὁμοίους αὐτῶν κλέπτας καλῶν· "ἐγὼ δὲ ἦλθον, φησὶν, "ἵνα ζωὴν ἔχωσι καὶ περισσὸν "ἔχωσι." Τί δαὶ ζωῆς περισσόν; ἡ βασιλεία τῶν οὐρανῶν. εἶτα λοιπὸν ἀπάρχεται καὶ περὶ τοῦ πάθους διαλέγεσθαι, καί
11 φησιν, "ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν "αὐτοῦ τίθησιν" καὶ τὰ ἑξῆς, δεικνὺς καὶ ἐν τούτῳ, ὅτι οὐκ ἄκων, ἀλλ' ἑκὼν ἐπὶ τὸ πάθος ἔρχεται. ποιεῖται δὲ καὶ τοῦ μισθωτοῦ τὴν διαφορὰν, λέγων, "ὅτι θεωρεῖ τὸν λύκον ἐρχόμενον, καὶ ἀφίησι "τὰ πρόβατα, καὶ φεύγει" καὶ τὰ ἑξῆς. Ὅπερ οἱ προειρημένοι Θευδᾶς καὶ Ἰούδας καὶ οἱ κατ' αὐτοὺς πεποιήκασιν· αὐτὸς γὰρ τοὐναντίον. Ἡνίκα γὰρ συνελήφθη, φησὶ, "ἄφετε τούτους ὑπάγειν, ἵνα πληρωθῇ ὁ λόγος, ὅτι οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο." Ἔστι δὲ ἐνταῦθα καὶ νοητὸν λύκον ὑποπτεῦσαι, οὐ λύκος δέ ἐστι μόνον οὗτος, ἀλλὰ καὶ λέων. "Ὁ γὰρ ἐχθρὸς ὑμῶν διάβολος, φησὶν,

"ὡς λέων περιέρχεται ὠρυόμενος," οὗτος καὶ ὄφις καὶ δράκων
καὶ σκορπίος ἐστί. "Πατεῖτε γάρ," φησὶν, "ἐπάνω ὄφεων καὶ
"σκορπίων." εἰπὼν δὲ, "ὅτι γιγνώσκω τὰ ἐμὰ," καὶ τὰ ἑξῆς·
καὶ ἐν τούτῳ διαφορὰν τοῦ μισθωτοῦ τοῦ πρὸς τὸν ποιμένα, ἔδει-
ξεν. Ὁ μὲν γὰρ τὴν ἰδίαν σωτηρίαν πανταχοῦ σκοπεῖ, τῶν
προβάτων ἀμελῶν, οὗτος δὲ πανταχοῦ τὴν τῶν προβάτων ζητεῖ,
παρατρέχων τὴν ἑαυτοῦ.
15 Ἐπειδὴ πολλαχοῦ τίθησιν ἑαυτὸν ἐν τάξει τῶν πολλῶν, ἵνα μή
τις νομίσῃ, ὅτι ὡς ἄνθρωπος οὕτως ἐγίγνωσκεν, ἐπήγαγε λέγων,
"καθὼς γιγνώσκει με ὁ Πατὴρ, κἀγὼ γιγνώσκω τὸν Πατέρα."
Οὕτως ἐπίσταμαι, φησὶν, αὐτὸν ἀκριβῶς, ὡς αὐτὸς ἐμέ. συνεχῶς
δὲ λέγει, "τὴν ψυχὴν μου τίθημι ὑπὲρ τῶν προβάτων," δηλῶν
ὅτι οὐκ ἔστι πλάνος. Τὸ μὲν γὰρ λέγειν, ὅτι φῶς εἰμι καὶ ζωὴ,
ἐδόκει εἶναι τύφου παρὰ τοῖς ἀνοήτοις· τί δὲ λέγει, ὅτι ἀποθα-
νεῖν βούλομαι; οὐδεμίαν βασκανίαν εἶχεν, οὐδὲ φθόνον, ἀλλὰ καὶ
πολλὴν ἐδείκνυ τὸ ῥῆμα κηδεμονίαν, εἴ γε ὑπὲρ τῶν λιθαζόντων
ἐβούλετο ἑαυτὸν ἐπιδοῦναι. εἰπὼν δὲ "ὅτι καὶ ἄλλα πρόβατα
"ἔχω," περὶ τῶν ἐθνῶν λέγει. τὸ δὲ εἰπεῖν, "ἃ οὐκ ἔστιν ἐκ τῆς
16 "αὐλῆς ταύτης," τὴν διαφορὰν τοῦ τόπου μόνον ἐμφαίνει. Δηλοῖ
δὲ τὸ "κἀκεῖνά με δεῖ ἀγαγεῖν," καὶ τὰ ἑξῆς, ὅτι ἐσκορπισμένα
ὑπῆρχον, ποιμένα μὴ ἔχοντα, καὶ ὅτι γενήσεται μία ποίμνη, εἷς
ποιμὴν, ἀμφότερα συνάπτεσθαι μέλλοντα, τὸ δὲ "δεῖ" τοῦτο οὐκ
ἀνάγκης ἐστὶν, ἀλλὰ τοῦ πάντως ἐσομένου δηλωτικόν. Ἐπειδὴ
δὲ ἀλλότριον αὐτὸν ἔλεγον τοῦ Πατρὸς οἱ Ἰουδαῖοι εἶναι, φησὶ,
"διὰ τοῦτό με ἀγαπᾷ ὁ Πατὴρ, ὅτι ἐγὼ τὴν ψυχήν μου τίθημι,
"ἵνα πάλιν λάβω αὐτήν." Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, εἰ καὶ
μηδὲν ἄλλο, τοῦτο γοῦν ἔπειθέ με ἀγαπᾷν ὑμᾶς, τὸ οὕτως ὑμᾶς
ἀγαπᾶσθαι παρ' αὐτοῦ, ἐπεὶ ὑπὲρ ὑμῶν ἀποθνήσκω.
17 Τί τοῦ ῥήματος τούτου ταπεινότερον γένοιτ' ἄν; ὅτι ὁ δημιουρ-
γὸς τῶν ἁπάντων ἔλεγεν, "ἐγὼ τὴν ψυχήν μου τίθημι," καὶ ὅτι
δι' ἡμᾶς ὁ δεσπότης ἀγαπᾶσθαι μέλλει, ἐπειδὴ ὑπὲρ ἡμῶν ἀπο-
θνήσκει. Τί γὰρ τὸν ἔμπροσθεν χρόνον οὐκ ἠγαπᾶτο, ἀλλὰ νῦν
τῆς ἀγάπης ἤρξατο ὁ Πατὴρ, καὶ ἡμεῖς τῆς ἀγάπης γεγόναμεν
αὐτῷ αἴτιοι; οὐδαμῶς, ἀλλὰ τοῦτο εἶπεν ἐνδεικνύμενος τὴν πολ-
λὴν αὐτοῦ συγκατάβασιν· διὰ δὲ τοῦ πολλάκις βούλεσθαι αὐτὸν

ἀνελεῖν τοὺς Ἰουδαίους, διὰ τοῦτό φησιν, "οὐδεὶς αἴρει αὐτὴν ἀπ' "ἐμοῦ," καὶ τὰ ἑξῆς, τουτέστιν, ὅτι μὴ βουλομένου ἐμοῦ ἀνόνητος ὑμῖν ἐστιν ἡ σπουδή· εἰ δὲ καὶ ἕκαστος ἐξουσίαν ἔχει θεῖναι τὴν ψυχὴν αὐτοῦ, ἑκάστῳ γὰρ βουλομένῳ δυνατὸν ἑαυτὸν ἀνελεῖν, ἀλλ' οὐ περὶ τοῦ τοιούτου τρόπου εἶπεν αὐτὸς, ἀλλ' ὅτι μηδένα ἂν δυνηθῆναι, ἄκοντός μου, τοῦτο ποιῆσαι εἰς ἐμὲ, ὅπερ ἐπ' ἀνθρώπων οὐκ ἔνι. Καὶ γὰρ καὶ ἀκόντων ἡμῶν ἀναιρούμεθα ὑπὸ ἄλλων· διὸ καὶ τοῦτο πάλιν ἀληθές ἐστιν, ὅτι ἡνίκα ἂν βουληθῇ λαβεῖν αὐτὸν, δύναται. Τὸ γὰρ αὐτὸν μόνον εἶναι κύριον τοῦ τὴν ψυχὴν ἀφεῖναι, δείκνυσι καὶ τοῦ λαβεῖν κύριον ὄντα ἀπὸ τῆς αὐτῆς ἐξουσίας. περὶ ποίας ἐντολῆς λέγει, "ὅτι ταύτην ἔλαβον παρὰ "τοῦ πατρός μου;" τὸ ἀποθανεῖν ὑπὲρ τοῦ κόσμου. Διὰ τί δὲ οὕτω ταπεινῶς φθέγγεται; τῆς τῶν ἀκουόντων ἕνεκεν ἀσθενείας, ἵνα παύσωνται τοῦ λογίζεσθαι εἶναι αὐτὸν ἀντίθεον. δαιμόνιον δὲ αὐτὸν ἔχειν ἔλεγον, ἐπειδὴ μείζονα ἢ κατὰ ἄνθρωπον ἦν τὰ λεγόμενα, οὐ τῆς κοινῆς συνηθείας· ἅπερ ἀκούοντες μᾶλλον θαυμάζειν αὐτὸν ἐχρῆν καὶ οὐχὶ δαιμονιῶντα καλεῖν· διόπερ καὶ οἱ εὐγνωμονέστεροι αὐτῶν ἔλεγον, ὅτι "τὰ ῥήματα ταῦτα οὐκ ἔστι δαιμονι-"ζομένου, μὴ δαιμόνιον δύναται ὀφθαλμοὺς τυφλῶν ἀνοῖξαι;" ἐπειδὴ γὰρ οὗτοι ἀπὸ ῥημάτων οὐκ ἠδύναντο ἐπιστομίζειν ἐκείνους, τὴν ἀπὸ τῶν ἔργων ἐπάγουσιν ἀπόδειξιν λοιπόν. Διὰ τί δὲ αὐτὸς σιγᾷ καὶ οὐ λέγει ὥσπερ καὶ ἄλλοτε, ὅτι ἐγὼ δαιμόνιον οὐκ ἔχω; διὰ τὸ λοιπὸν κατ' ἀλλήλων αὐτοὺς ἵστασθαι καὶ διελέγχειν ἀλλήλους.

Διδύμου. Θύρα ὁ τοῦ Θεοῦ Λόγος τυγχάνει τοῖς πρὸς Θεὸν εἰερχομένοις κατὰ τὸ "εἰσέλθετε ἐν πνεύματι αὐτοῦ ἐν ἀγαλ-"λιάσει," πρὸς τούτοις ἔστω[c] ἀνθρώπου τοῦ νοὸς ὄντος· ἔξω δὲ ἀνθρώπου τοῦ σωματικωτέρου. ὁ ἐπιμέλειαν ποιούμενος τοῦ ἔσω ἀνθρώπου εἰσέρχεται διὰ τοῦ λόγου ὄντος θύρας, ὡσαύτως "ὁ "νεκρῶν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, καὶ τὴν νέκρωσιν τοῦ Ἰησοῦ "ἐν τῷ σώματι περιφέρων ἑαυτοῦ," ἐξέρχεται διὰ τῆς θύρας, φιλοτιμούμενος εἴτε ἐνδημεῖ εὐάρεστος αὐτῷ εἶναι.

Θεοδώρου Ἡρακλείας. Διὰ τοῦτο γὰρ καὶ ἀκριβῶς τῇ λέξει ἐχρήσατο εἰπὼν, "ὅσοι ἦλθον," ἀλλ' οὐχ ὅσοι ἀπεστάλησαν. Οἱ

[c] Vid. leg. ἔσω.

μὲν γὰρ τοῦ Θεοῦ προφῆται ἀποσταλέντες παρεγένοντο, οἱ δὲ ψευδοπροφῆται μηδενὸς ἀποστείλαντος ἤρχοντο ἐπὶ διαστροφῇ τῶν ἀπατωμένων.

Ἀμμωνίου πρεσβυτέρου. Νομὴν λέγει τὴν ἀσφάλειαν, ὃ γέγονεν ἐπὶ τῶν Ἀποστόλων, οἵτινες ὡς κύριοι τῆς οἰκουμένης εἰσῄεσαν καὶ ἐξῄεσαν, καὶ οὐδεὶς αὐτοὺς ἴσχυσεν ἐκβαλεῖν.

Κυρίλλου. Περισσὸν δεῖ νοεῖν τὸ ἐν μεθέξει γενέσθαι τοῦ Ἁγίου Πνεύματος. Ἡ μὲν γὰρ ἀνάστασις κοινὴ δικαίοις καὶ ἁμαρτωλοῖς, ἡ δὲ τοῦ Πνεύματος μέθεξις μόνοις τοῖς πιστεύουσιν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν, ἣν καὶ βασιλείαν οὐρανῶν ὀνομάζειν οἶδεν ἡ θεία γραφή.

Ἀμμωνίου. Πάντων σφαγέντων καὶ ἀπολωμένων ἦλθεν ὁ Χριστὸς σῶσαι καὶ ζωὴν δοῦναι.

Μισθωτὸν ἀμελοῦντα τῶν προβάτων ἕκαστον τῶν ἀρχόντων τοῦ λαοῦ ὀνομάζει· ἐπειδὴ οὐδὲν ἐποίουν εἰς ὠφέλειαν τῶν λαῶν, ἀλλ' ὡς ἀλλότριον ἐκέχρηντο· οὐ γὰρ ἦσαν αὐτῶν ἴδια, διὸ οὐδὲ ἤχθοντο ἐν τῇ ἀπωλείᾳ τῶν λαῶν.

Τὸ δὲ, "ἐγώ εἰμι ὁ ποιμὴν," διὰ τοὺς ἀπιστήσαντας εἶπε τοῦτο· οὐ γὰρ πάντα τὰ πρόβατα ἤκουσαν αὐτοῦ, ἀλλὰ τὰ γνωσθέντα ἐξ αὐτοῦ, καὶ γνόντα αὐτόν. Οὐκ ἄλλως δὲ γιγνώσκομεν τὸν Θεὸν, εἰ μὴ πρῶτον ἐξ αὐτοῦ γνωσθῶμεν· διὸ καὶ πρῶτον ἐκεῖνο ἔταξε· πρῶτον γὰρ αὐτὸς οἰκειώθη ἡμῖν γεγονὼς ἄνθρωπος, καὶ οὕτως καὶ ἡμεῖς αὐτῷ. Διὰ τὴν ἐνάρετον πρᾶξιν ἀγαπᾶσθαι λέγει ἑαυτόν· ἐνεργὴς δὲ ἀρετὴ τὸ ἀποθανεῖν ὑπὸ εὐσεβείας. Ταπεινῶς λαλεῖ διὰ τὴν ἐνανθρώπησιν· οὐ γὰρ νῦν ἤρξατο ἀγαπᾶσθαι παρὰ τοῦ Πατρός.

Θεοδώρου Μομψουεστίας. Τὸ δὲ "ἵνα πάλιν λάβω αὐτὴν," οὐκ ἐπὶ αἰτίας εἶπεν. οὐ γὰρ διὰ τοῦτο ἀποθνήσκει, ἵνα ἀναστῇ, ἀλλὰ κατὰ τὸ ἰδίωμα τὸ γραφικὸν, ὡς αἰτίαν τὸ ἐσόμενον ἔφη.

18 Κυρίλλου. Τὸ "ἐξουσίαν ἔχω," φησὶν ἐπ' ἀμφοῖν, ἵνα μὴ δυνάμεώς τε καὶ ἐνεργείας ἑτέρου φαίνηται τὸ κατόρθωμα, καθάπερ ὑπηρέτης ὑπουργῷ κατ' [d] ἐπιτροπὴν αὐτῷ συγχωρούμενον, ἀλλ' ἵνα φύσεως ἰδίας ἐπιδείξῃ καρπὸν, τὸ καὶ αὐτὸν δύνασθαι κατεξου-

[d] καὶ Cod.

σιάζειν τῶν τοῦ θανάτου δεσμῶν, καὶ ἐφ᾽ ὅπερ ἂν βούλοιτο μετατρέπειν εὐκόλως τῶν πραγμάτων τὰς φύσεις· ὅπερ ἐστὶν ἴδιον ὄντως τοῦ κατὰ φύσιν Θεοῦ.

Συμφρονοῦντα καὶ συνεθέλοντα πρὸς τοῦτο δείκνυσι καὶ τὸν Πατέρα, καὶ ὡς ἀπὸ μιᾶς γνώμης εἰς τοῦτο παρελθεῖν ὁμολογεῖ, εἰ καὶ αὐτός ἐστιν ἡ βουλὴ τοῦ Θεοῦ καὶ Πατρός. Ἁρμόσει δὲ τοῦτο καὶ τῇ μετὰ σαρκὸς οἰκονομίᾳ. ἡ ἐντολὴ δηλοῖ τὴν ὁμόνοιαν τὴν πρὸς τὸν Πατέρα, εἰ καὶ ταπεινῶς λαλεῖ· ἡ δὲ ἐντολή ἐστιν ἀποθανεῖν ὑπὲρ τοῦ κόσμου.

Ἀγαπᾶται παρὰ τοῦ Πατρὸς ὁ Υἱὸς, οὐχ ὡς ἔξω τῆς ἀγάπης διαμένων, εἰ μὴ συνέβη τὸ καθ᾽ ἡμᾶς, ἦν γὰρ ἀεὶ καὶ διὰ παντὸς ἀγαπώμενος· ἀλλ᾽ ἐπείπερ εἶδε τὸν ἴδιον Υἱὸν, διὰ τοῦ χαρακτῆρος ἠγάπησεν εἰκότως, οὐ μισθὸν, ὥσπερ τινὰ τῶν εἰς ἡμᾶς γεγονότων, τὴν ἀγάπην δωρούμενος, ἀλλὰ τῆς οὐσίας τῆς ἑαυτοῦ τὸ γνήσιον ἐν Υἱῷ θεωρῶν, καὶ φύσεως ὥσπερ τισὶν ἀναγκαίοις καὶ ἀπαραιτήτοις ὅλκοις, πρὸς τοῦτο καλούμενον ἀγάπης ἔργον τὸ καὶ παθεῖν ἑλέσθαι, καὶ τοῦτο ἀδόξως, διὰ τήν τινων σωτηρίαν, καὶ οὐχ ὅπως τεθνᾶναι μόνον, ἀλλὰ καὶ αὖθις τὴν τεθεῖσαν ψυχὴν λαβεῖν, ἵνα νεκρώσῃ τὸν θάνατον.

22 Περὶ τῶν ἐγκαινίων, ὧν μνημονεύει νῦν ὁ Εὐαγγελιστὴς λέγων, ὅτι "ἐγένοντο τὰ ἐγκαίνια ἐν Ἱεροσολύμοις," καὶ τὰ ἑξῆς, χρὴ γιγνώσκειν ὅτι μεγάλη τις ἦν αὕτη ἡ ἑορτὴ καὶ δημοτελής. Τὴν γὰρ ἡμέραν καθ᾽ ἣν ὁ ναὸς ᾠκοδομήθη ἐπανελθόντων αὐτῶν ἀπὸ τῆς μακρᾶς αἰχμαλωσίας τῆς ἐν Περσίδι, ταύτην ἤγοντο μετὰ πολλῆς τῆς σπουδῆς. ἐν ταύτῃ οὖν παρῆν καὶ ὁ Χριστὸς τῇ ἑορτῇ, λοιπὸν γὰρ τῇ Ἰουδαίᾳ συνεχῶς ἐπεχωρίαζεν, ἐπειδὴ τὸ πάθος ἦν ἐπὶ θύραις. Τὸ μὲν οὖν κυκλῶσαι αὐτὸν τοὺς Ἰουδαίους καὶ εἰπεῖν, "ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις," καὶ τὰ ἑξῆς, δοκεῖ πόθου τινὸς εἶναι καὶ φιλομαθίας. Ἡ δὲ διάνοια, μεθ᾽ ἧς ἠρωτων, διεφθαρμένη τε ἦν καὶ ὕπουλος· τῶν γὰρ ἔργων βοώντων αὐτὸν εἶναι τὸν Χριστὸν, διὰ ῥημάτων ἐζήτουν τοῦτο ἀκοῦσαι, ἐπιστομίζειν αὐτὸν ἀπὸ τῶν λόγων βουλόμενοι. καὶ ὁ τρόπος δὲ τῆς ἐρωτήσεως, πολλῆς ἔγεμεν ἀπειθείας.

25 "Εἰπὲ" γὰρ "ἡμῖν," φησὶν, "παρρησίᾳ," καίτοιγε μετὰ παρρησίας λέγοντος αὐτοῦ, καὶ ἐν ταῖς ἑορταῖς ἐπιχωριάζοντος ἀεὶ, καὶ

οὐδὲν ἐν τῷ κρυπτῷ λαλοῦντος. αὐτὸς δὲ ἐλέγχων αὐτῶν τὴν πονη-
ρίαν, φησὶ, "πολλάκις εἶπον ὑμῖν καὶ οὐ πιστεύετέ μοι. τὰ ἔργα
"ἃ ποιῶ ἐν τῷ ὀνόματι τοῦ Πατρός μου, ταῦτα μαρτυρεῖ περὶ
"ἐμοῦ." ὅπερ καὶ οἱ εὐγνωμονέστεροι αὐτῶν ἔλεγον, "μὴ δύνα-
"ται ἄνθρωπος ἁμαρτωλὸς ταῦτα σημεῖα ποιεῖν;" ἐπεὶ προσε-
ποιοῦντο τότε ἀπὸ ψιλοῦ πείθεσθαι ῥήματος, οἱ τοσούτοις μὴ
πεισθέντες ἔργοις, ἐλέγχει τὴν πονηρίαν αὐτῶν, ὡσανεὶ λέγων, ὅτι
ἔργοις οὐ πιστεύετε, πῶς τοῖς ῥήμασι πιστεύετε; διὰ τοῦτο δέ
φησιν, "ὑμεῖς οὐ πιστεύετέ μοι, ὅτι οὐκ ἐστὲ ἐκ τῶν προβάτων
"τῶν ἐμῶν." Ἐγὼ μὲν γὰρ ὡς καλὸς ποιμὴν, ἅπερ ποιῆσαι ἐχρῆν,
ἐποίησα. Εἰ δὲ μὴ ἀκολουθῆτέ μοι, οὐκ ἐπειδὴ οὐκ εἰμὶ ποιμὴν,
τοῦτο ποιεῖτε, ἀλλ' ἐπειδὴ ὑμεῖς οὐκ ἐστὲ πρόβατα· "προτρεπό-
μενος δὲ αὐτοὺς ὥστε γενέσθαι πρόβατα ἐπήγαγε λέγων, "τὰ
"πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει καὶ ἀκολουθοῦσί μοι·"
εἶτα παρακνίζων αὐτοὺς λέγει καὶ ὧν τεύξονται. Φησὶ γὰρ,
"ζωὴν αἰώνιον δίδωμι αὐτοῖς, καὶ οὐ μὴ ἀπόλωνται εἰς τὸν αἰῶνα,"
καὶ τὰ ἑξῆς. Διὰ τῶν ῥημάτων τούτων διεγείρων αὐτοὺς, καὶ εἰς
ἐπιθυμίαν ἐμβάλλων. Διὰ τὸ εἰπεῖν αὐτὸν ἀνωτέρω, ὅτι "οὐδεὶς
ἁρπάζει αὐτὰ ἐκ τῆς χειρός μου," δείκνυσι τὴν ἑαυτοῦ καὶ τοῦ
Πατρὸς χεῖρα μίαν οὖσαν· διὰ τοῦτο νῦν λέγει, ὅτι "οὐδεὶς δύν-
30 "αται ἁρπάζειν αὐτὰ ἐκ τῆς χειρὸς τοῦ Πατρός μου."

Χεῖρα δὲ καλεῖ τὴν δύναμιν καὶ τὴν ἐξουσίαν, καὶ διὰ τοῦτο
εἶπεν, ἵνα μὴ πάλιν ἀντίθεον αὐτὸν εἴπωσι. Τὸ δὲ "ἐγὼ καὶ ὁ
"πατὴρ ἕν ἐσμεν," τὸ ὁμοούσιον καὶ ὁμοδύναμον σημαίνων ἔλεγεν,
ὅπερ οὖν καὶ οἱ Ἰουδαῖοι συνιδόντες, λίθοις αὐτὸν ἔβαλλον. Αὐτοῦ
γὰρ ἐρωτήσαντος αὐτοὺς τὴν αἰτίαν τῆς ἀγανακτήσεως, καὶ τῆς
τῶν λίθων βολῆς, καὶ ὧν ἐποίησεν θαυμάτων ἀναμνήσαντος, ταύ-
33 την ἔφασαν τὴν αἰτίαν εἶναι λέγοντες, "περὶ καλοῦ ἔργου οὐ
"λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, καὶ ὅτι ἄνθρωπος ὢν,
"ποιεῖς σεαυτὸν Θεόν." Διὸ καὶ αὐτὸς οὐ μόνον οὐ διορθώσατο
τὴν ὑπόνοιαν αὐτῶν καὶ εἶπεν, οὐ λέγω εἶναι Θεὸς, οὐδὲ ὁμοδύνα-
μος, οὐδὲ ὁμοούσιος τῷ Πατρὶ, ἀλλὰ τοὐναντίον ποιεῖ, βεβαιῶν
μᾶλλον τὴν ὑπόνοιαν αὐτῶν, καὶ ταῦτα ἀγριουμένων ἐκείνων. Φησὶ
γὰρ, "οὐκ ἔστι γεγραμμένον ἐν τῷ νόμῳ ὑμῶν ἐγὼ εἶπα θεοί
"ἐστε;" καὶ τὰ ἑξῆς. Ὃ δὲ λέγει τοιοῦτόν ἐστι, εἰ οἱ χάριτι

τοῦτο λαβόντες οὐκ ἐγκαλοῦνται, θεοὺς ἑαυτοὺς καλοῦντες, πῶς ἐγὼ δικαίως ἐπιτιμῶμαι, ὁ τῇ φύσει τοῦτο ἔχων; "Εἰ γὰρ οὐ "ποιῶ, φησὶ, τὰ ἔργα τοῦ Πατρός μου, μὴ πιστεύετέ μοι, εἰ "δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις μου πιστεύσατε." Ἐπειδὴ γὰρ τὴν οὐσίαν αὐτοῦ ἰδεῖν αὐτοὺς ἀμήχανον ἦν, ἀπὸ τῆς τῶν ἔργων ἰσότητός τε καὶ ταὐτότητος ἀπόδειξιν τῆς κατὰ τὴν δύναμιν ἀπαραλλαξίας παρέχεται, "ἵνα γνῶτε, φησὶ, καὶ πιστεύ-"ητε, ὅτι ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοὶ," τουτέστιν, οὐδὲν ἄλλο ἐγὼ, ἢ ὅπερ ὁ Πατὴρ μένων Υἱὸς, καὶ οὐδὲν ἄλλο ἐκεῖνος, ἢ ὅπερ ἐγὼ μένων Πατὴρ, κἂν ἐμὲ γνῷ τις, τὸν Πατέρα ἔγνω, κἂν τὸν Πατέρα γνῷ, τὸν Υἱὸν ἔμαθε.

Κυρίλλου. Τὴν πρώτην, φησὶ, ἑορτὴν, καθ' ἣν ἐπετετέλεσε τὰ ἐγκαίνια ὁ Σολομών.

Θεοδώρου Μομψουεστίας. Ἐπειδὴ κατέπεσε πολλάκις ὑπὸ τῷ πολεμίῳ ἡ πόλις, ὕστερον δὲ καὶ ὑπὸ Ἀντιόχου πᾶσαν ἐρημωθῆναι συνέβη, εἶτα ὑπὸ τῶν Μακαββαίων ἐτράπησαν μὲν οἱ πολέμιοι, πάλιν ἡ πόλις ἀπέλαβε τὸ οἰκεῖον σχῆμα τῇ τοῦ Θεοῦ βοηθείᾳ, καθ' ἣν ἀνέστη πάλιν ἡμέραν, ταύτην ἑκάστου ἔτους ἑορτάζοντες εἰς ὑπόμνησιν τῆς παρὰ πᾶσαν ἐλπίδα γεγενημένης διορθώσεως, ἐγκαίνια τῶν Ἱεροσολύμων ἐκάλουν τὴν ἡμέραν.

Ἀμμωνίου πρεσβυτέρου. Εἰ καὶ μὴ εἶπεν αὐτὸν λευκῶς Χριστὸν, ἀλλ' εἰπὼν ἑαυτὸν φῶς, ποιμένα, ὁδὸν, ἐσήμανε τοῦτο. Τούτοις γὰρ εἴωθεν ἡ γραφὴ τοῖς ὀνόμασι καλεῖν τὸν Χριστόν.

Ἰσιδώρου Πηλουσιώτου. Ἐπειδὴ γέγραφας, εἰ γέγραπται "οὐδεὶς ἁρπάζειν ἐκ τῆς χειρὸς τοῦ Πατρός μου," πῶς πολλοὶ ἀπόλλυνται; φημὶ, ὅτι ἁρπάσαι μὲν οὐδεὶς δύναται ἐκ τῆς ἀμάχου καὶ ἀηττήτου χειρὸς, τοὺς διὰ πίστεως ὀρθῆς καὶ πολιτείας ἀρίστης ἑαυτοὺς οἰκείους αὐτῆς εἶναι παρασκευάσαντας, ἀπατῆσαι δὲ δυνήσονται, τουτέστι, βίᾳ μὲν καὶ τυραννίδι ἀποσπάσαι οὐδεὶς δυνήσεται, παραλογισμοῖς δὲ καὶ ἀπάταις ἀποπλανῆσαι δυνήσονται, ἀλλ' οὐ παρὰ τὴν ἀήττητον δεξιὰν γίγνεται τοῦτο, ἀλλὰ παρὰ τὴν τῶν αὐτεξουσίων ἀνθρώπων ῥᾳθυμίαν. Οὐ γὰρ ἐκ τῆς τοῦ φυλάττοντος ἀσθενείας, ἀλλ' ἐκ τῆς τῶν φυλαττομένων εὐχερείας ἡ ἀπώλεια συμβαίνει.

Ἀμμωνίου. Ἀποδειξις τῶν τοῦ κυρίου προβάτων τὸ εὐήκοον;

τῶν δὲ ἀλλοτρίων τὸ ἀπειθές. Ἐπειδὴ καὶ Ἰούδας εἷς ἦν τῶν δοθέντων τῷ Υἱῷ μετέπεσεν εἰς κακίαν, δεικνύνται οἱ ἄνθρωποι οὐ φύσει καὶ κατ' οὐσίαν ὄντες κακοὶ, ἀλλ' ἑκουσίως τρεπόμενοι.

Οὐκ ἐμοῦ μόνον εἰσὶ τὰ ἔργα, ἀλλὰ τῆς πάσης θεότητος. Ὁ γὰρ Πατὴρ δι' Υἱοῦ ἐν Πνεύματι Ἁγίῳ πάντα ποιεῖ, διδάσκει ἡμᾶς μετριοφρονεῖν καὶ μὴ ἀλαζονεύεσθαι, ἐὰν λάβωμέν τι παρὰ Θεοῦ.

Ἀγνοοῦντες ὅτι οὐ γυμνῇ τῇ θεότητι ἔμελλεν ὁ Υἱὸς ἀποδημεῖν, ἀλλὰ σαρκούμενος ἐκ σπέρματος Δαβὶδ, βλασφημίαν ἔλεγον τὴν ὀρθὴν ὁμολογίαν. Ἐπειδὴ θεούς τινας ἐκάλεσεν ὁ Πατὴρ, εἶναι δὲ δήπου αὐτοῖς ἐπακτὸν ἀνάγκῃ τὸ ἀξίωμα. Εἷς γὰρ ὁ κατὰ φύσιν ὑπάρχει Θεὸς ἀναγκαίως, ἵνα μὴ αὐτὸς εἷς ἐκείνων ὑπάρχειν νομίζηται οὐσιώδη τὴν τῆς θεότητος περικείμενος δόξαν, προσπεπορισμένην δὲ μᾶλλον, ἐν ἴσῳ τοῖς ἄλλοις ἀντιδιαστέλλει σαφῶς ἑαυτὸν ἐκείνοις. Τοσοῦτον γὰρ τῆς ἐκείνων πτωχείας διενηνοχότα καταδεικνύει, ὡς ἐπείπερ γέγονεν αὐτὸς ἐν αὐτοῖς, διὰ ταύτην αὐτοὺς τὴν αἰτίαν κεκλῆσθαι θεούς. Αὐτὸς γάρ ἐστιν ὁ Λόγος τοῦ Θεοῦ καὶ Πατρός. Εἰ δὲ καὶ ἐξήρκεσέ τισιν ἐν αὐτοῖς, γέγονεν ὁ Λόγος εἰς τὸ καὶ ἀνθρώπους ὄντας τῇ τῆς θεότητος καταλαμπρύνεσθαι τιμῇ, πῶς οὐκ ἂν εἴη κατὰ φύσιν Θεὸς ὁ καὶ τοῖς ἄλλοις τὴν ἐπὶ τούτῳ προξενίσας φαιδρότητα.

Ἁγιασθεὶς λέγεται ὁ Υἱὸς, ἐπειδὴ ἐπέμφθη σφαγῆναι ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας. Ἅγια γάρ ἐστι τὰ ἀφοριζόμενα τῷ Θεῷ εἰς θυσίαν. "Ἐγὼ ἐν τῷ Πατρὶ εἰμὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοὶ," θεωρεῖται κατὰ τὸ ταὐτὸν τῆς φύσεως καὶ τῆς οὐσίας. Εἷς γὰρ ὁ τῆς φύσεως ὅρος, κἂν ἐν ἰδιαζούσαις ὑπάρξεσιν· οὐ μὴν τὴν Ἁγίαν Τριάδα· ὁ γὰρ Πατὴρ οὐκ ἔστιν Υἱὸς ἢ Πνεῦμα, οὔτε μὴν τὸ ἀνάπαλιν, εἰ καὶ οὐκ ἔστιν ἐν διαστάσει, διὰ τὴν πρὸς ἀλλήλους κοινωνίαν τε καὶ ἰσότητα. Εἰ γὰρ καὶ ἐφ' ἡμῶν ἡ τοῦ τεκόντος οὐσία γιγνώσκεται, καὶ ἐν τῷ τεχθέντι ὁ πατὴρ κατὰ τὸν τῆς οὐσίας λόγον, ἀλλὰ τὸ κεχωρίσθαι ἡμᾶς τοῖς σώμασιν, οὐκέτι ἕν ἐσμεν οἱ πολλοί.

40 Ἐπειδήπερ ὅταν μέγα τι καὶ ὑψηλὸν φθέγξηται, ἀναχωρεῖ ταχέως ἐνδιδοὺς αὐτῶν τῷ θυμῷ, ὥστε λωφῆσαι καὶ λῆξαι τὸ πάθος διὰ τῆς ἀπουσίας αὐτοῦ· τούτου χάριν καὶ νῦν ἀναχωρήσας

ἀπῆλθε πέραν τοῦ Ἰορδάνου, ὅπου ἦν Ἰωάννης βαπτίζων τὸ πρό-
τερον. Διὰ τοῦτο δὲ τὸν τόπον ὁ Εὐαγγελιστὴς λέγει, ἵνα
μάθωμεν ὅτι ἕνεκεν τούτου ἀπῆλθεν ἐκεῖ, ἀναμιμνήσκων αὐτοὺς
τῶν ἐκεῖ γενομένων καὶ λεχθέντων τῶν παρὰ Ἰωάννου, καὶ τῆς
αὐτοῦ μαρτυρίας τοῦ Ἰωάννου. ὅτι δὲ πολλοὺς ὤνησεν ἡ περὶ τὸν
τόπον διατριβὴ, ἐπήγαγεν ὁ Εὐαγγελιστὴς λέγων, "καὶ πολλοὶ
"ἦλθον πρὸς αὐτὸν," καὶ ἀναμνησθέντες τοῦ τόπου ἔλεγον, φησὶ,
"ὅτι Ἰωάννης μὲν σημεῖον ἐποίησεν οὐδέν." Ὃ δὲ λέγει, τοι-
οῦτόν ἐστιν· εἰ ἐκείνῳ ἐπιστεύσαμεν, μηδὲν πεποιηκότες σημεῖον,
πολλῷ μᾶλλον τούτῳ τοσαῦτα θαυματουργήσαντι. ἐπειδὴ δὲ αὐτὸς
ἦν ὁ μαρτυρήσας αὐτῷ, ἵνα μὴ διὰ τὸ πεποιηκέναι αὐτὸν σημεῖον,
δόξῃ ἀνάξιον τὴν μαρτυρίαν ἀποφαίνειν τὴν περὶ τοῦ Χριστοῦ,
ἐπήγαγον λέγοντες, "πάντα δὲ ὅσα εἶπεν ὁ Ἰωάννης περὶ τούτου,
"ἀληθῆ ἦν," οὐκ ἔτι τοῦτον ἐξ ἐκείνου, ἀλλ' ἐκεῖνον ἀφ' ὧν ὁ
Χριστὸς ἐποίησεν, ἀξιόπιστον ἀποφαίνοντες. "Διὸ καὶ πολλοὶ,
42 "φησὶν, ἐκεῖ ἐπίστευσαν εἰς αὐτόν." τὸ δὲ "ἐκεῖ" δηλοῖ, ὅτι
πολλοὺς ὁ τόπος ἐκεῖνος ὠφέλησεν. Χρὴ δὲ καὶ τοῦτο σκοπῆσαι,
ὅτι ἕνεκεν τούτου συνεχῶς ἐξάγει ὁ δεσπότης ἡμῶν Χριστὸς τοὺς
ὄχλους ἐκ τῆς τῶν πονηρῶν ἀνθρώπων συνουσίας, πρὸς τὸ μέγα
τι ἐκ τούτου καρπώσασθαι αὐτούς. Καθάπερ καὶ ἐπὶ τῆς πα-
λαίας ποιήσας φαίνεται, πόρρω τῶν Αἰγυπτίων ἐπὶ τῆς ἐρήμου
τοὺς Ἰουδαίους διαπλάττων καὶ ῥυθμίζων ἐν ἅπασιν.

Ἐξ ὧν εὐκόλως αὐτοὺς διαφεύγει, καὶ ἀκόντων αὐτῶν, δείκνυται ὅτι οὐκ ἂν εἰ μὴ ἑκών[a].

Κυρίλλου. Ἐν τόπῳ πηγὰς ἔχοντι μεθορμίζεται τὰ Ἱεροσόλυμα καταλιπὼν, ἵνα ὡς διὰ τύπου αἰνίξηται, ὡς καταλείψει μὲν τὴν Ἰουδαίαν, ἐπὶ δὲ τὴν ἐξ ἐθνῶν ἐκκλησίαν μεταβήσεται, τὴν ἔχουσαν τὰς πηγὰς τοῦ βαπτίσματος, ἔνθα καὶ προσέρχονται αὐτῷ πολλοὶ διαπεραινόμενοι τὸν Ἰορδάνην· τοῦτο γὰρ δηλοῖ τὸ ἐπέκεινα τοῦ Ἰορδάνου αὐλίζεσθαι.

Ἀμμωνίου. Οἱ περάσαντες τὸν μυστικὸν Ἰορδάνην ἀποκομίζονται πρὸς Θεὸν, ὡς καὶ ὁ Χριστὸς περάσας τὸν Ἰορδάνην, ἦλθεν εἰς τὴν τῶν ἐθνῶν ἐκκλησίαν καὶ ἔμεινεν ἐκεῖ.

[a] ἔπαθεν aut aliquid simile excidit.

ΚΕΦ. ΙΑ.

Περὶ Λαζάρου.

1 Τίνος ἕνεκεν ὑπομιμνήσκει τῆς ἱστορίας ταύτης ὁ Εὐαγγελιστὴς λέγων, "ἦν δέ τις ἀσθενῶν Λάζαρος," καὶ τὰ ἑξῆς; ἡμᾶς παιδεύων μὴ δυσχεραίνειν, ἐάν τις ἀσθένεια γένηται περὶ τοὺς σπουδαίους ἄνδρας καὶ τῷ Θεῷ φίλους. Καὶ γὰρ καὶ οὗτος φίλος ὢν τοῦ Χριστοῦ ἠσθένει. Χρὴ δὲ καὶ τοῦτο μὴ ἀγνοεῖν, ὅτι οὐκ ἦν ἡ Μαρία αὕτη, ἡ ἀδελφὴ τοῦ Λαζάρου, ἡ ἀλείψασα τὸν κύριον μύρῳ, ἡ πόρνη ἡ ἐν τῷ Ματθαίῳ, οὐδὲ ἡ ἐν τῷ Λουκᾷ, ἀλλὰ ἄλλη, οὐχὶ πόρνη καθάπερ ἐκεῖναι, ἀλλὰ σεμνὴ καὶ σπουδαία. Καὶ γὰρ περὶ τὴν ὑποδοχὴν ἐσπούδαζε τοῦ Χριστοῦ. Διὰ τί δὲ οὐκ ἐάσασαι τὸν ἀδελφὸν κάμνοντα ὡς ὁ ἑκατόνταρχος καὶ ὁ ἄρχων ὁ βασιλικὸς, ἐποίησαν καὶ αὗται, ἀλλὰ πέμπουσι λέγουσαι, "Κύριε, ἴδε, ὃν φιλεῖς, ἀσθενεῖ;" ἐπειδὴ σφόδρα ἐθάρρουν τῷ Χριστῷ, καὶ πολλὴν πρὸς αὐτὸν εἶχον οἰκείωσιν, καὶ γυναῖκες ἦσαν ἀσθενεῖς καὶ τῷ πένθει κατείχοντο· ἐπεὶ ὅτι οὐ καταφρονοῦσαι τοῦτο ἐποίουν, ἐκ τῶν μετὰ ταῦτα δῆλον.

Τὸ δὲ "ἴδε, ὃν φιλεῖς, ἀσθενεῖ," εἰς οἶκτον ἐπισπάσασθαι βουλόμεναι τὸν Χριστόν. Ἔτι γὰρ ὡς ἀνθρώπῳ προσεῖχον αὐτῷ. Τὸ δὲ "ἡ ἀσθένεια αὕτη οὐκ ἔστι πρὸς θάνατον" εἶπεν ὁ Χριστὸς καὶ τὰ ἑξῆς, τέως ἀποπέμψασθαι τοὺς ἀπαγγείλαντας αὐτῷ ὅτι ἀσθενεῖ βουλόμενος, πρὸς τὸ εἰπεῖν αὐταῖς τοῦτο, ἐφ' ᾧ καὶ θαυμάσαι ἐστὶ τὰς ἀδελφὰς αὐτοῦ, ὅτι οὐκ ἐσκανδαλίσθησαν ὡς ἀπεναντίας τοῦ πράγματος γενομένου, ἀλλὰ προσῆλθον τῷ Χριστῷ. δεῖξαι δὲ θέλων μίαν εἶναι τὴν δόξαν αὐτοῦ καὶ τοῦ Πατρὸς, ἐπαγγέλλων ἵνα δοξασθῇ ὁ Υἱὸς τοῦ Θεοῦ δι' αὐτῆς· προειπὼν γὰρ τῆς δόξης τοῦ Θεοῦ, μετὰ ταῦτα ἐπήγαγεν, ἵνα δοξασθῇ ὁ Υἱὸς τοῦ Θεοῦ. Τὸ δὲ "ἵνα" ἐνταῦθα οὐκ αἰτιολογίας ἀλλ' ἐκβάσεως ἐστί. Συνέβη μὲν γὰρ ἑτέρωθεν ἡ ἀρρωστία· ἐχρήσατο δὲ ταύτην εἰς δόξαν ὁ Θεός. Διὰ τοῦτο δὲ μετὰ τὸ ἀκοῦσαι αὐτὸν ὅτι ἀσθενεῖ, ἔμεινεν ἐν ᾧ ἦν τόπῳ δύο ἡμέρας, ἵνα ἀποπνεύσῃ καὶ ταφῇ, ἵνα μηδεῖς ἔχῃ λέγειν, ὅτι οὔπω τελευτήσαντα αὐτὸν ἀνέστησεν, ὅτι ἔκλυσις

ἦν καὶ κάρος καὶ οὐ θάνατος, καὶ τοσοῦτον ἔμεινεν, ὡς καὶ εἰπεῖν
τὴν ἀδελφὴν αὐτοῦ ὅτι ὄζει.
7 Διὰ τί οὐδαμοῦ ἄλλοτε προειπὼν ἀπελθεῖν εἰς τὴν Ἰουδαίαν
νῦν λέγει τοῖς μαθηταῖς αὐτοῦ, "ἄγωμεν εἰς τὴν Ἰουδαίαν;" διὰ
τὸ δεδοικέναι αὐτοὺς σφόδρα, ἵνα μὴ ἀθρόον αὐτοὺς ἐκεῖ παρα-
γενόμενος ταράξῃ. Ἐπεὶ οὖν ὡς μήπω ὄντες ἀπηρτισμένοι ἐφο-
βοῦντο περὶ αὐτοῦ, τὸ δὲ πλέον ὑπὲρ ἑαυτῶν, λέγουσιν αὐτῷ,
"ῥαββὶ, νῦν ἐζήτουν σε οἱ Ἰουδαῖοι λιθάσαι, καὶ πάλιν ὑπάγεις
"ἐκεῖ;" αὐτὸς παραθαρρύνων αὐτοὺς φησὶν, "οὐχὶ δώδεκά εἰσιν
"ὧραι τῆς ἡμέρας;" καὶ τὰ ἑξῆς. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν,
εἰ ὁ τὸ φῶς τοῦ κόσμου τούτου βλέπων ἐν ἀσφαλείᾳ ἐστὶ, πολλῷ
μᾶλλον ὁ μετ' ἐμοῦ ὢν διὰ πάντος τοῦ δημιουργοῦ τοῦ φωτὸς
τούτου. Εἰπὼν δὲ ὅτι "Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται," καὶ
τὰ ἑξῆς, ἐδήλωσεν ὅτι οὐχ ὡς πάλιν διαλεξόμενος τοῖς Ἰουδαίοις
ἄπεισιν, ἀλλὰ τὸν φίλον ἐξυπνίσων. Διὰ τοῦτο δὲ ἐν προθυμίᾳ
καθιστῶν τοὺς μαθητὰς, ἐκεῖνοι δὲ ἐκκόψαι βουλόμενοι τὴν ἐκεῖσε
πορείαν, λέγουσιν, "εἰ κεκοίμηται, σωθήσεται." Λέγεις, φησὶν,
ὅτι καθεύδει, καὶ βαρέως ἔχει. Οὐκοῦν οὐ κατεπείγει τὸ ἀπελ-
θεῖν. Πόθεν δὲ ὕπνον ὑπέλαβον οἱ μαθηταὶ, καὶ οὐδὲ ἀπὸ τοῦ
εἰπεῖν, "πορεύομαι ἵνα ἐξυπνίσω αὐτὸν" ἔγνωσαν θάνατον εἶναι,
καὶ γὰρ ἀνοίας ἦν, εἴ γε προσεδόκουν στάδια πέντε καὶ δέκα
πορεύεσθαι αὐτὸν, ὥστε ἐξυπνίσαι τὸν κεκοιμημένον; οὐκ ἀληθῶς
ὕπνον ἐνόμισαν, ἀλλ' αἰνίγματι λέγειν αὐτὸν, οἷα πολλὰ διελέ-
γετο. ἐπεὶ οὖν ὀκνηρότερον διέκειντο, τότε λέγει αὐτοῖς ὁ Ἰησοῦς
15 παρρησίᾳ, "Λάζαρος ἀπέθανε, καὶ χαίρω δι' ὑμᾶς, ἵνα πιστεύσητε,
"ὅτι οὐκ ἤμην ἐκεῖ, ἀλλ' ἄγωμεν πρὸς αὐτὸν," τὸ μὲν πρότερον
τὸ ἀκόμπαστον παραστῆσαι βουλόμενος ἔλεγε, "κεκοίμηται"
ἐπειδὴ δὲ οὐ συνεῖδον, τότε φησὶ, ὅτι ἀπέθανε· καὶ ὅτε μὲν ἔλεγε,
"κεκοίμηται," λέγει, "πορεύομαι ἵνα ἐξυπνίσω αὐτόν. Ὅτε δὲ
εἶπεν, ὅτι ἀπέθανεν, οὐκ ἔτι προσέθηκεν ὅτι πορεύομαι, ἵνα ἀνα-
στήσω αὐτόν. Οὐ γὰρ ἐβούλετο νῦν τοῖς ῥήμασι προλέγειν, ἃ
διὰ τῶν ἔργων ἔμελλε βεβαιοῦσθαι. Διὰ τί δέ φησι, "χαίρω
"δι' ὑμᾶς;" ὅτι προεῖπον οὐκ ὢν ἐκεῖ, ἵνα ἐπειδὰν ἀναστήσω,
μηδεμία ἔσται ἐν ὑμῖν ὑποψία· οὕτω ἀτελέστερον ἔτι διέκειντο,

καὶ οὐκ ᾔδεισαν αὐτοῦ τὴν δύναμιν, ὡς ἐχρῆν. Τοῦτο δὲ ἐποίουν οἱ μεταξὺ φόβοι ταράττοντες αὐτῶν τὰς ψυχὰς καὶ θορυβοῦντες· πάντες μὲν ἐδεδοίκεισαν τὴν τῶν Ἰουδαίων ἔφοδον, ὑπὲρ δὲ τοὺς ἄλλους ὁ Θωμᾶς. Διὸ καὶ ἔλεγεν, "ἄγωμεν ἵνα καὶ ἡμεῖς "ἀποθάνωμεν μετ' αὐτοῦ." Τινὲς μὲν οὖν φασιν, ὅτι ἐπεθύμει καὶ αὐτὸς ἀποθανεῖν μετὰ τοῦ Χριστοῦ· οὐκ ἔστι δὲ τοῦτο· δειλίας γὰρ τὸ ῥῆμα· οὐκ ἐπετιμήθη δὲ, ἐπειδὴ διεβάσταζεν αὐτῶν τὴν ἀσθένειαν ἔτι.

Εἰ ἀπὸ δεκαπέντε σταδίων ἦν ἡ Βηθανία, ὅπερ ἦν μίλια δύο, πῶς τεταρταῖος ὁ Λάζαρος ἦν· καὶ γάρ φησιν ὁ Εὐαγγελιστὴς ἐλθὼν ὁ Ἰησοῦς εὗρεν αὐτὸν τέσσαρας ἡμέρας ἔχοντα ἐν τῷ μνημείῳ, καὶ τὰ ἑξῆς; ἐπειδὴ ἔμεινεν ἐκεῖ δύο, καὶ πρὸ τῶν δύο ἦλθέ τις ἀπαγγέλλων, καθ' ἣν καὶ ἐτελεύτησε, καὶ κατ' αὐτὴν τὴν τετάρτην ἡμέραν παρεγένετο. οὐκ ἦλθε δὲ αὐτεπάγγελτος, ἵνα μή τις ὑποπτεύσῃ τὸ γεγονός. Ἐμνημόνευσε δὲ τῶν πέντε καὶ δέκα σταδίων, ὅπως ἐντεῦθεν μάθωμεν, ὅτι διὰ τὸ εἶναι ἐγγὺς τὰ Ἱεροσόλυμα, πολλοὺς ἦν εἰκὸς τῶν Ἱεροσολυμιτῶν παρεῖναι, ἵνα παραμυθήσωνται αὐτάς. Παρεμυθοῦντο δὲ οὐχ ὡς φιλουμένας ὑπὸ Χριστοῦ, καὶ γὰρ ἦσαν συνθέμενοι, ἵνα ἐάν τις αὐτὸν ὁμολογήσῃ Χριστὸν, ἀποσυνάγωγος γένηται, ἀλλ' ἢ διὰ τὴν ἀνάγκην τῆς συμφορᾶς, ἢ ὡς εὐγενεστέρας αἰδούμενοι, ἢ οἱ μὴ πονηροὶ οὗτοι
20 παρῆσαν, ὅθεν πολλοὶ ἐξ αὐτῶν ἐπίστευσαν. Διὰ τί οὐ παραλαμβάνει τὴν ἀδελφὴν μεθ' ἑαυτῆς ἡ Μάρθα, ἀλλὰ μόνη τῷ Χριστῷ ἀπήντησεν; ἐπειδὴ κατ' ἰδίαν συντυχεῖν αὐτῷ ἐβούλετο, καὶ τὸ γεγονὸς ἀπαγγεῖλαι· ὅθεν ἐπειδὴ αὐτὴν εἰς ἐλπίδας χρηστὰς ἤγαγε, τότε ἄπεισι καὶ καλεῖ τὴν ἀδελφήν· τὸ δὲ "ὅσα ἂν "αἰτήσῃ τὸν Θεὸν δώσει σοι" εἶπεν, ἐπειδὴ εἰ καὶ ἐπίστευον εἰς τὸν Χριστὸν, ἀλλ' οὐχ ὡς προσῆκε· οὐδὲ γὰρ ὅτι Θεὸς ἦν ἐπίστευον, ἀλλ' ὡς περὶ ἐναρέτου τινὸς καὶ εὐδοκίμου διέκειντο· αὐτὸς δὲ ἀνατρέπων τὴν τοιαύτην αὐτῶν ὑπόνοιαν, αὐθεντικῶς ἀποφαίνεται λέγων, "ἀναστήσεται ὁ ἀδελφός σου." Πόθεν δὲ αὕτη περὶ ἀναστάσεως ᾔδει, ὅτι εἶπεν αὐτῷ, "οἶδα ὅτι ἀναστήσεται ἐν τῇ "ἀναστάσει, ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ;" ἐκ τῆς τοῦ Χριστοῦ διδασκαλίας. Ἤκουε γὰρ αὐτοῦ πολλὰ περὶ ἀναστάσεως διαλεγομένου, ἀλλ' ὅμως ἐπόθει ὧδε πάλιν ἰδεῖν αὐτόν. Αὐτὸς δὲ δεικνὺς τὴν

θείαν αὐτοῦ δυναστείαν, φησὶ πρὸς αὐτὴν, "ἐγώ εἰμι ἡ ἀνάστασις
"καὶ ἡ ζωὴ, ὁ πιστεύων εἰς ἐμὲ, κἂν ἀποθάνῃ, ζήσεται," περὶ
τοῦ θανάτου τούτου λέγων.
26 Τὸ δὲ "οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα," διὰ τὸν θάνατον ἐκεῖνον
εἶπε. Βουλόμενος δὲ αὐτῆς ἀνεγεῖραι τὸν νοῦν, φησὶ, "πιστεύεις
"τοῦτο;" οὐ γὰρ μόνον τὸν Λάζαρον ἀναστῆναι τὸ ζητούμενον ἦν,
ἀλλ' ἔδει καὶ ταύτην καὶ τοὺς παρόντας εἰς τὴν πίστιν ὁδηγη-
θῆναι. Ἐκείνη δὲ μὴ συνιδοῦσα τὸ λεχθὲν, ἕτερον ἐρωτηθεῖσα,
ἕτερον ἀποκρίνεται, λέγουσα, "ναὶ, Κύριε, ἐγὼ πεπίστευκα ὅτι σὺ
"εἶ ὁ Χριστὸς, ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ εἰς τὸν κόσμον ἐρχόμενος."
Εἰ γὰρ καὶ μέγα τι κατενόησεν, ἀλλ' οὐ μὴν τὸ πᾶν ἐπέγνω·
τέως μέν τοι ἐκέρδανον ἐκεῖνο τὸ κωλύσαι τὸ πένθος, λάθρα δὲ
τὴν ἀδελφὴν ἐφώνησε, σφόδρα συνεχῶς διαπραξαμένη· τοῦτο γὰρ
πεποίηκε βουλομένη μὴ διαταράξαι τοὺς πρὸς αὐτὴν συνελθόντας
Ἰουδαίους· καὶ γὰρ εἰ ἔγνωσαν ὅτι διὰ τὸν Χριστὸν αὐτῇ λελάλη-
κεν, ἄρα ἂν καὶ ἀνεχώρησαν, νῦν δὲ ὡς ὀλοφυρομένῃ, πάντες
ἠκολούθησαν ἐγερθείσης αὐτῆς, καὶ εἰς συνάντησιν τοῦ Χριστοῦ
ἀπερχομένης. Τίνος ἕνεκεν ἐπεσημήνατο ὁ Εὐαγγελιστὴς, ὅτι
"οὔπω ὁ Ἰησοῦς ἐληλύθει εἰς τὴν κώμην," καὶ τὰ ἑξῆς; ἵνα δείξῃ
ὅτι σχολαιότερον ἐβάδιζεν, ὅπως μὴ δόξῃ ἐπιρρίπτειν ἑαυτὸν τῷ
σημείῳ, ἀλλ' ὡς ἀξιούμενος παρ' ἐκείνων τοῦτο πεποίηκε· καὶ
ἐπειδήπερ τὸ μέλλον γίνεσθαι θαῦμα μέγα ἦν, καὶ οἷον ὀλιγάκις
ἐποίησεν ὁ Χριστὸς, καὶ ἔμελλεν μέγα κερδαίνειν πολλοὶ δι' αὐτοῦ.
Διὰ τοῦτο πολλοὺς οἰκονομεῖ γενέσθαι μάρτυρας τοῦ θαύματος.
Φησὶ γὰρ ὁ Εὐαγγελιστὴς, ὅτι "οἱ Ἰουδαῖοι οἱ ὄντες ἐν τῇ οἰκίᾳ
"μετ' αὐτῆς, ἠκολούθησαν αὐτῇ," καὶ τὰ ἑξῆς. Θερμοτέρως δὲ
ἡ Μαρία παρὰ τὴν ἀδελφὴν Μάρθαν προσῆλθε τῷ Χριστῷ·
"ἰδοῦσα γὰρ αὐτὸν," φησὶν, "ἔπεσεν αὐτοῦ πρὸς τοὺς πόδας,"
οὐκ αἰδεσθεῖσα τὸν ὄχλον, οὐ τὴν ὑποψίαν ἣν εἶχον περὶ αὐτοῦ·
ἦσαν γὰρ πολλοὶ καὶ τῶν ἐχθρῶν, πάντα δὲ τὰ ἀνθρώπινα ἐκβα-
λοῦσα παρόντος τοῦ διδασκάλου, καὶ ἑνὸς γενομένη τῆς εἰς αὐτὸν
32 τιμῆς. Φησὶ γὰρ, "Κύριε, εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανεν ὁ ἀδελ-
"φός μου." Αὐτὸς δὲ διὰ τοῦτο οὐδὲν αὐτῇ διαλέγεται, οὐδὲ
λέγει ταῦτα, ἃ καὶ πρὸς τὴν ἀδελφὴν αὐτῆς εἶπε, διὰ τὸ παρεῖναι
πολὺν ὄχλον, καὶ μὴ εἶναι καιρὸν τῶν τοιούτων ῥημάτων· συγκα-

ταβαίνει δὲ μᾶλλον, τὴν ἀνθρωπίνην φύσιν ἀπογυμνῶν. Δακρύει γὰρ καὶ συγχεῖται ἰδὼν αὐτὴν κλαίουσαν, καὶ ἅπαντας τοὺς συνελθόντας αὐτῇ Ἰουδαίους· τὸ δὲ "ἐνεβριμήσατο τῷ πνεύματι," τοῦτο ἐστὶν, ὅτι ἐπετίμησε τῷ πένθει· διὸ καὶ ἐπισχὼν τὴν σύγχυσιν, οὕτως ἐρωτᾷ, ὥστε μὴ μετὰ ὀλοφυρμοῦ γενέσθαι τὴν ἐρώτησιν. Διὰ τί εἶπε, "ποῦ τεθείκατε αὐτόν;" οὐκ ἀγνοῶν, ἀλλὰ μὴ βουλόμενος ἑαυτὸν ἐπιρρίπτειν τῷ θαύματι, μᾶλλον δὲ πάντα παρ' ἐκείνων ποιῶν ὁμολογεῖσθαι καὶ μαρτυρεῖσθαι, ὥστε πάσης ὑποψίας ἀπαλλάξαι τὸ σημεῖον. ἐπειδὴ δὲ οὐδὲν οὐδέπω τῆς ἀναστάσεως Λαζάρου τεκμήριον ἐνδείκνυται, οὐδὲ οὕτως ἐνόμιζε τὸ ἔρχεσθαι ὡς ἀναστήσων αὐτὸν, ἀλλ' ὡς θρηνήσων, λέγουσιν
36 αὐτῷ, "Κύριε, ἔρχου καὶ ἴδε." Ἕνεκεν δὲ τίνος ἔλεγον οἱ πα-
ρόντες Ἰουδαῖοι, "οὐκ ἐδύνατο οὗτος ὁ ποιήσας ἀνοιχθῆναι τοὺς "ὀφθαλμοὺς τοῦ τυφλοῦ, ποιῆσαι ἵνα καὶ οὗτος μὴ ἀποθάνῃ;" διεφθαρμένῳ σκοπῷ, ὡς ἐνδιαβάλλοντες τὸ θαῦμα, ὡς μὴ γεγονὸς ἐκεῖνο, οὕτως οὐδὲ ἐν ταῖς συμφοραῖς τῆς πονηρίας καθυφίεσαν· ὀφείλοντες γὰρ θαυμάζειν τὸ σημεῖον ἐκεῖνο, ἀπ' ἐκείνου μᾶλλον καὶ τοῦτο ἐνδιαβάλλουσι· καὶ γὰρ μήπω ἐλθόντος αὐτοῦ εἰς τὸν τόπον, μηδὲ τεκμήριόν τι τοῦ θαύματος ἐπιδειξαμένου, προκαταλαμβάνουσι ταῖς κατηγορίαις, οὐκ ἀναμείναντες τοῦ πράγματος τὸ τέλος. οὐκ ἐπιστομίζει δὲ αὐτοὺς, ἐπειδὴ ἔμελλον διὰ τῶν ἔργων τοῦτο πάσχειν, τοῦ θαύματος ἐκπληρουμένου, ὅπερ καὶ ἀνεπαχθέστερον ἦν, καὶ μᾶλλον καταισχῦναι αὐτοὺς ἱκανόν. Τί δήποτε δὲ περισπουδάστος ὁ Εὐαγγελιστὴς ἄνω καὶ κάτω στρέφει, ὅτι ἐδάκρυσε, καὶ ὅτι ἐπετίμησε τῷ πάθει; Καὶ γάρ φησιν, "Ἰησοῦς οὖν πάλιν ἐμβριμούμενος ἐν ἑαυτῷ, ἔρχεται εἰς τὸ μνη- "μεῖον;" διὰ τὸ μαθεῖν ἡμᾶς, ὅτι ἀληθῶς τὴν φύσιν τὴν ἡμετέραν περιεβάλετο. Ἐπειδὴ γὰρ μεγάλα περὶ αὐτοῦ φθέγγεται τῶν ἄλλων μᾶλλον Εὐαγγελιστῶν, καὶ τοῦτο καὶ ἐν τοῖς σωματικοῖς πολὺ ταπεινότερα φθέγγεται, ὅθεν καὶ ἐν τῷ πένθει πολὺ τὸ ἀνθρώπινον αὐτὸν φησὶν ἔχειν, ἀπὸ τούτου δηλῶν τῆς οἰκονομίας τὴν ἀλήθειαν. ὁ μὲν γὰρ Λουκᾶς ἀπὸ τῆς ἀγωνίας καὶ τοῦ θρόμβου καὶ τοῦ ἱδρῶτος, οὗτος δὲ ἀπὸ τοῦ πένθους πιστοῦται ταύτην. τίνος ἕνεκεν οὐχὶ τοῦ λίθου ἐπικειμένου ἐποίησεν ἀναστῆναι τὸν Λάζαρον, ἀλλὰ λέγει, "ἄρατε τὸν λίθον;" Καὶ γὰρ ὁ σῶμα κινήσας

νεκρὸν τῇ φωνῇ, ὁ τὸν δεδεμένον καὶ μὴ ὁρῶντα καὶ συμπεποδισμένον διὰ τῆς φωνῆς βαδίζειν παρασκευάσας, πολλῷ μᾶλλον λίθον ἐκίνησεν ἄν. Τί δήποτε οὖν οὐκ ἐποίησε τοῦτο; ἵνα αὐτοὺς μάρτυρας ποιήσῃ τοῦ θαύματος, ἵνα μὴ πάλιν λέγωσιν, ὃ ἐπὶ τοῦ τυφλοῦ, ὅτι οὗτός ἐστιν, οὐκ ἔστιν οὗτος. Αἵ γὰρ χεῖρες καὶ τὸ παραγενέσθαι εἰς τὸν τόπον, καὶ τὸ τὸν λίθον ἆραι, καὶ τὸ ἐσπαργανωμένον ἐξελθεῖν, καὶ τὸ τοὺς φίλους τοὺς κηδεύσαντας παρόντας αὐτὸν ὁρᾷν, καὶ ἀπὸ τῶν ἱματίων ἐπιγιγνώσκειν καὶ ἡ δυσωδία δὲ, φησὶ γὰρ, "τεταρταῖός ἐστι, καὶ ἤδη ὄζει," πάντα ταῦτα ἱκανὰ ἦν ἐπιστομίσαι τοὺς ἀγνωμονοῦντας μάρτυρας γενομένους τοῦ σημείου.

40 Τὸ δὲ "ἤδη ὄζει, τεταρταῖος γάρ ἐστιν," εἶπεν ἡ Μάρθα, ὡς ἀδύνατον εἶναι νομίσασα τοῦ ἀναστῆναι τὸν ἀδελφὸν αὐτῆς λοιπὸν, διὰ τὸ μῆκος τῶν τοσούτων ἡμερῶν, οὕτως ἔτι κάτω στρέφεται· ἀναμιμνήσκων δὲ ὁ Χριστὸς ὧν διελέχθη πρὸς αὐτὴν, καὶ σχεδὸν ἐπιτιμῶν ὡς ἀμνημονούσῃ, φησὶν, "οὐκ εἶπόν σοι, ὅτι ἐὰν πιστεύσῃς, ὄψει τὴν δόξαν τοῦ Θεοῦ;" Τοῖς μὲν οὖν μαθηταῖς ἔλεγεν, "ἵνα δοξασθῇ ἐν αὐτῷ ὁ Υἱὸς τοῦ Θεοῦ," ταύτῃ δὲ "τὴν δόξαν "τοῦ Θεοῦ," περὶ τοῦ Πατρὸς λέγων. Ἡ γὰρ ἀσθένεια τῶν ἀκουόντων τῆς διαφορᾶς τῶν λεγομένων αἰτία ἦν. Διὰ τί εὔχεται, μᾶλλον δὲ τῆς εὐχῆς σχῆμα ἀνέλαβεν; αὐτοῦ λέγοντος, ἀκούσωμεν, φησὶ γὰρ, "διὰ τὸν περιεστῶτα ὄχλον εἶπον, ἵνα "πιστεύσωσιν, ὅτι σὺ μὲ ἀπέστειλας." Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, ἵνα μὴ ἀντίθεόν με νομίσωσιν, ἵνα μὴ λέγωσιν, οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, ἵνα δείξω κατὰ γνώμην σὴν τὸ ἔργον γιγνόμενον. Ὅτι γὰρ τοῦτό ἐστιν, ἴδωμεν καὶ τίς ἡ ἀρχή· "εὐχαριστῶ σοι," φησὶ, "Πάτερ, ὅτι ἤκουσάς μου." τίς δὲ οὕτως ηὔξατό ποτε; πρὶν γάρ τι εἰπεῖν, "ἤκουσάς μου," φησὶ, δεικνὺς, ὅτι οὐ δεῖται εὐχῆς. Δῆλον δὲ τοῦτο ἀφ᾽ ὧν τὰ ἄλλα χωρὶς εὐχῆς ἐποίει λέγων, "σοὶ λέγω, δαιμόνιον, ἔξελθε ἀπ᾽ αὐτοῦ," καὶ "θέλω "καθαρίσθητι, καὶ "ἀφέωνται αἱ ἁμαρτίαι σου," καὶ τῇ θαλάσσῃ,
44 "σιώπα, πεφίμωσο." Κράξας δὲ φωνῇ μεγάλῃ, "Λάζαρε, δεῦρο "ἔξω," οὐκ εἶπεν, ἐν τῷ ὀνόματι τοῦ Πατρός μου δεῦρο ἔξω, οὐ δὲ ἀνάστησον αὐτὸν, Πάτερ, ἀλλ᾽ εὐξαμένου σχῆμα λαβὼν ὡς εἴρηται, δι᾽ ἣν εἶπον αἰτίαν, τὴν αὐθεντίαν διὰ τῶν πραγμάτων

ἐνδείκνυται· ταῦτα δὲ λέγω τῶν αἱρετικῶν ἐμφράττων τὰ στόματα τῶν τὴν δόξαν τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ ἐλαττούντων, καὶ λεγόντων ὅτι ἀπὸ τῆς εὐχῆς ῥοπὴν λαβὼν τὸν Λάζαρον ἀνέστησε. Τί γὰρ ἴσον τῆς ἐξουσίας ταύτης γένοιτ' ἄν, ὅτι ὡς ζῶντι διαλεγόμενος τῷ τετελευτηκότι φησὶ, "Λάζαρε, δεῦρο ἔξω;" τοῦτο δέ ἐστιν ὃ ἔλεγεν, "ἔρχεται ὥρα ὅτε οἱ νεκροὶ ἀκούσωσι τῆς φωνῆς "τοῦ Θεοῦ, καὶ ἀκούσαντες ζήσονται." Ἵνα γὰρ μή τις νομίσῃ, ὅτι παρ' ἑτέρου ἔλαβε τὴν ἐνέργειαν, προλέγει τοῦτο, ὃ διὰ τῶν ἔργων δείξειν ἔμελλε. Δεῖξαι δὲ θέλων ὅτι τοῦ ἀναστῆναι τὸ ἐξελθεῖν δεδεμένον οὐκ ἔλαττον ἐδόκει εἶναι παράδοξον, φησὶ, "καὶ ἐξῆλθεν ὁ τεθνεὼς, δεδεμένος τοὺς πόδας καὶ τὰς χεῖρας." τοῦτο δὲ γέγονεν, ἵνα μὴ δόξῃ φάντασμα εἶναι τὸ πρᾶγμα. Κελεύει δὲ αὐτοῖς λῦσαι, ὅπως πλησίον γενόμενοι καὶ ἁψάμενοι, ἴδωσιν ὅτι οὗτος ἐκεῖνός ἐστι· τὸ δὲ "ἄφετε ὑπάγειν," τὸ ἀκόμπαστον δηλοῖ, οὐδὲ γὰρ ἐπάγεται αὐτὸν, οὐδὲ κελεύει μετ' αὐτοῦ περιπατεῖν ὥστε ἐπιδείκνυσθαι, γενομένου δὲ τοῦ θαύματος, οἱ μὲν ἐπίστευσαν τῶν θεασαμένων, οἱ δὲ ἀπήγγειλαν τοῖς Φαρισαίοις. τί οὖν ἐκεῖνοι; ὀφείλοντες ἐκπλήττεσθαι καὶ θαυμάζειν, μᾶλλον ἐβούλοντο αὐτὸν ἀνελεῖν, ὅπερ ἦν ἐσχάτης ἀνοίας, ὅτι τὸν ἐν τοῖς ἄλλων σώμασι θανάτου περιγενόμενον θανάτῳ παραδώσειν ἐνόμιζον, καὶ ἄνθρωπον αὐτὸν ἔτι ἐκάλουν λέγοντες, "τί ποιοῦμεν; ὅτι ὁ "ἄνθρωπος οὗτος σημεῖα πολλὰ ποιεῖ;" τοσαύτην λαβόντες ἀπόδειξιν τῆς αὐτοῦ θεότητος, ὅθεν καὶ πιστεῦσαι ἔδει καὶ θεραπεῦσαι, καὶ προσκυνῆσαι καὶ μηκέτι νομίζειν ἄνθρωπον.

48 *Τίνος ἕνεκεν τῶν Ῥωμαίων μνημονεύουσι, λέγοντες, ὅτι "ἐὰν "ἀφῶμεν αὐτὸν, ἔρχονται οἱ Ῥωμαῖοι καὶ αἴρουσιν ἡμῶν καὶ τὸ "ἔθνος καὶ τὴν πόλιν;" τὸν λαὸν ἐπισεῖσαι σπουδάζοντες, ὡς μέλλοντος τοῦ πλήθους τῶν Ἰουδαίων δῆθεν κινδυνεύειν, ἐπὶ ὑποψίᾳ δῆθεν τυραννίδος. ἐὰν γὰρ ὀχλαγωγοῦντά φησιν ἴδωσι τὸν Χριστὸν οἱ Ῥωμαῖοι, ἐκ τοῦ πιστεῦσαι πολλοὺς εἰς αὐτὸν, ὑποπτεύουσιν ἡμᾶς ἐπὶ τυραννίδι, καὶ καθελοῦσιν ἡμῶν τὴν πόλιν. Ταῦτα δὲ ἔλεγον οὐ προσδοκῶντες ταῦτα, ἀλλὰ βασκαίνοντες· ἵνα γὰρ μὴ δόξωσι τὸν ἑαυτῶν φθόνον δημοσιεύειν, τὴν πόλιν λέγουσι κινδυνεύειν ἅπασαν, καὶ τὸ κοινὸν ἐπιβουλεύεσθαι, καὶ περὶ τῶν ἐσχάτων αὐτοῖς εἶναι τὸν λόγον.*

3 Θεοδώρου Μομψουεστίας. Τὸ, "ἴδε, ὃν φιλεῖς ἀσθενεῖ" πολλῆς πίστεως ἀπόδειξιν ἔχει· οὕτω γὰρ ᾔδεσαν πολλὴν περιεῖναι τῷ Κυρίῳ δύναμιν, ὡς θαυμάζειν ὅτι καθήκετο ἀσθένεια ἀνδρὸς φιλουμένου παρ' αὐτοῦ.

Ἀμμωνίου πρεσβυτέρου. Οὐκ ἔστι πρὸς θάνατον, τουτέστι πρὸς διηνεκῆ, ἀλλ' εἰς μόνας τέσσαρας ἡμέρας, ἐπειδὴ ἀνέστη μετ' οὐ πολύ. πρὸς τὸ πέρας ὁρῶντες τοῦ πράγματος, λέγομεν μὴ εἶναι πρὸς θάνατον τὴν ἀσθένειαν. οὐ τοσαύτης ἦν δόξης καὶ θαύματος τὸ ἐγεῖραι τὸν Λάζαρον ἐκ τῆς νόσου, ὅσον τὸ ἀναστῆσαι αὐτὸν ἐκ νεκρῶν.

Ὠριγένους. Εἴποι δ' ἄν τις τὴν Μαριὰμ σύμβολον εἶναι τῶν ἀπὸ ἐθνῶν, τὴν δὲ Μάρθαν τῶν ἐκ περιτομῆς, τὸ δὲ ἐκ νεκρῶν ἀνιστάμενον ἀδελφὸν αὐτῶν, τῶν διά τινα ἁμαρτήματα εἰς ᾅδου καταβεβηκότων κατὰ τὸ "ἀποστραφέτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν "Ἅιδην·" καὶ οὐκ ἀπιθάνως διὰ τὴν ἐν τῷ Μωϋσέως νόμῳ πολιτείαν φησὶν εἰρῆσθαι τῇ Μάρθᾳ· "Μάρθα, Μάρθα, περὶ πολλοῦ "θορυβῇ καὶ περισπᾶσαι, ὀλίγων δέ ἐστι χρεία·" εἰς σωτηρίαν οὐ τῶν πολλῶν κατὰ τὸ γράμμα τοῦ νόμου ἐντολῶν χρεία, ἀλλ' ὀλίγων, ἐν οἷς κρέμαται ὅλος ὁ νόμος καὶ οἱ προφῆται, τῶν περὶ ἀγάπης νενομοθετημένων.

Θεοδώρου Μομψουεστίας. Ζητήσωμεν, ἐν ποίῳ τόπῳ ἦν ὁ Ἰησοῦς, ὅτε ταῦτα ἔλεγεν· ὅσον γὰρ ἀπὸ τοῦ Εὐαγγελίου οὐκ ἦν ἔξω τῆς Ἰουδαίας· πῶς οὖν λέγει τοῖς μαθηταῖς, "ἄγωμεν εἰς τὴν "Ἰουδαίαν;" εἰ μὴ ἄρα ἁπλούστερόν τις τὰ τοιαῦτα ἐξετάζων λέγοι κατὰ τὸ σιωπώμενον αὐτὸν γεγονέναι ἔξω τῆς Ἰουδαίας. Εἰπὼν οὖν, "ἄγωμεν πάλιν εἰς τὴν Ἰουδαίαν," ἀκούει ὑπὸ τῶν μαθητῶν τὸ καὶ "πάλιν ὑπάγεις ἐκεῖ."

8 Ἀμμωνίου Πρεσβυτέρου. Τὸ δὲ, "ζητοῦσί σε λιθάσαι," καὶ τὰ ἑξῆς, ὡς μήπω ὄντες ἀπηρτισμένοι, καὶ νομίζοντες ὅτι καὶ καὶ ἄκων ἔπασχεν, εἶπον τοῦτο· "οὐχὶ δώδεκα ὧραι εἰσὶ," καὶ τὰ ἑξῆς.

Ἐξ ἀνεπιγράφου. Τοῦτο εἰπεῖν βούλεται, ὅτι μηδὲν ἑαυτῷ συνειδὼς πονηρὸν οὐδὲν πείσεται δεινον, ὁ δὲ τὰ φαῦλα πράσσων πείσεται· ὥστε οὐ χρὴ δεδοικέναι· οὐδὲν γὰρ ἄξιον θανάτου ἐπράξαμεν· ἢ ὅτι ὁ τὸ φῶς τοῦ κόσμου τούτου βλέπων, ἐπ' ἀσφαλείᾳ

ἔσται. Εἰ δὲ ὁ τὸ φῶς τοῦ κόσμου τούτου βλέπων ἐπ' ἀσφαλείᾳ ἔσται, πολλῷ μᾶλλον ὁ μετ' ἐμοῦ, ἐὰν μὴ ἀποστήσῃ αὐτὸν ἐμοῦ.

Κυρίλλου. Τῇ τῆς ἡμέρας ἀεικινήτῳ φορᾷ τὴν ἀπάροιστον τῶν ἀνθρώπων ἀπεικάζει διάνοιαν, καὶ φιλόκαλόν πως ὑπάρχουσαν εἰς βουλὴν καὶ προαίρεσιν ταῖς ὥραις παραπλησίως. ἢ τοίνυν τοῦτό φησιν, ἢ καὶ τοῦτο· οὐχὶ δώδεκά εἰσιν ὧραι τῆς ἡμέρας;" τουτέστιν, ἡμέρα, φησὶ, εἰμὶ καὶ φῶς. Ὥσπερ οὖν οὐκ ἐγκαταλῆξαι τῆς ἡμέρας τὸ φῶς, μὴ οὐχὶ τὸν τεταγμένον ἀποπληρῶσαν καιρὸν, οὕτως οὐκ ἂν ἐκ τῶν λεγομένων τὴν παρ' ἐμοῦ συστελλεσθαι φωτισμὸν ἀπὸ τῶν Ἰουδαίων εἰς τὸ πρέπον τῆς φιλανθρωπίας προελθούσης μέτρον· ἡμέραν δὲ λέγει τὸν τῆς παρουσίας καιρὸν, νύκτα δὲ τὸν πρὸ ταύτης, ὡς ὅταν λέγῃ ὁ Κύριος, "ἐμὲ "δεῖ ἐργάζεσθαι τὰ ἔργα τοῦ πέμψαντός με, ἕως ἡμέρα," φησὶν, "ἐστίν."

Ἀμμωνίου. Ὥσπερ ἄστατος ἡ ἡμέρα ἀπὸ ὥρας εἰς ὥραν μεταβαίνουσα, οὕτω καὶ ἡ τῶν ἀνθρώπων γνώμη, ὅ ἐστι τῶν Ἰουδαίων. εἰ "ὁ ἐν ἡμέρᾳ περιπατῶν οὐ προσκόπτει," πῶς ἐγὼ ὁ πάντας φωτίζων ὑπομένοιμι τὰ τῶν ἀβουλήτων;

Ἀπολιναρίου. Διδάσκει ὁ Κύριος, ὅτι πρὸ τοῦ καιροῦ τοῦ πάθους οὐκ ἂν ὑπὸ Ἰουδαίων τι πάθοι· διδάσκει δὲ διὰ παραβολὴν, ἡμέραν μὲν καιρὸν τὸν πρὸ τοῦ πάθους, τὸν δὲ τοῦ πάθους νύκτα· ἐκ τούτου δῆλον ὅτι κατὰ τὴν ἄνωθεν βούλησίν ἐστι τὸ μὴ παθεῖν ἢ παθεῖν αὐτὸν, ὥσπερ κατὰ τὴν τοῦ φωτὸς παρουσίαν ἢ ἀπουσίαν, τὸ βλέπειν ἢ μὴ βλέπειν τοὺς ἀνθρώπους γίνεται· ὥστε μέχρι περ ἂν ἡ θεία καὶ οὐράνιος βουλὴ κωλύῃ τὸ πάθος, ἀδύνατον αὐτῷ γενέσθαι, ἐπειδὰν δὲ εἴκῃ καὶ παραχωρῇ, τότε συμβήσεται.

Κυρίλλου. Ὕπνον γὰρ ὀνομάζει τῆς ἀνθρωπίνης ψυχῆς τὴν ἀπὸ σώματος ἔξοδον, καὶ σφόδρα εἰκότως· θάνατον γὰρ οὐκ ἠξίωσεν εἰπεῖν ὁ κτίσας εἰς ἀφθαρσίαν τὰ πάντα κατὰ τὸ γεγραμμένον, καὶ σωτηρίους ἀναδείξας τὰς γενέσεις τοῦ κόσμου. Ἔστι γὰρ καὶ ἀληθὴς ὁ λόγος· ὕπνος γὰρ ὄντως παρὰ Θεῷ καὶ ἕτερον οὐδὲν ἢ ὁ πρόσκαιρος ἡμῶν τοῦ σώματος θάνατος· ψιλῷ καὶ μόνῳ καταργούμενος νεύματι τῆς κατὰ φύσιν ζωῆς, τουτέστι Χριστοῦ.

Ἀμμωνίου πρεσβυτέρου. Ἵνα μὴ ἀφιλόστοργοι φανῶμεν,

σπεύσωμεν ἐπὶ τὴν τοῦ φίλου ἡμῶν σωτηρίαν, ὑπερορῶντες τῶν Ἰουδαϊκῶν ἐπιβουλῶν.

Θεοδώρου Μομψουεστίας. *Χαίρω, φησὶν, ὑμῶν ἕνεκεν· τὸ γὰρ μὴ εἶναί με ἐκεῖ συντελέσει πρὸς τὴν πίστιν τὴν ὑμετέραν, ἐπείπερ εἰ μὲν παρήμην, ἀρρωστοῦντα ἐθεράπευον· μικρὸν δὲ ἦν τοῦτο τὸ θαῦμα εἰς δυνάμεως ἐπίδειξιν. Ἐπειδὴ δὲ ἐγὼ μὲν ἀπολελείμμην, ὁ δὲ θάνατος ἐπεγένετο, μέλλω δὲ αὐτὸν ἀπιὼν ἀνιστᾷν, μειζόνως εἰς τὴν πίστιν βεβαιωθήσεσθε τὴν ἐμὴν, ὅταν ἴδητέ με καὶ τοῦτο δυνάμενον, τοὺς νεκροὺς ἤδη διεφθορότας ἀνιστᾷν.*

Ἀμμωνίου πρεσβυτέρου. *Ὡς πρὸς ζῶντα λέγει ὅτι ἄγωμεν, αὐτῷ γὰρ ἔζη ὡς Θεῷ.*

Θεοδώρου Μομψουεστίας. *Καλὸν μὲν ἦν πεισθέντα μεῖναι, καὶ ἐκκλῖναι τῶν ἐχθρῶν τὴν ἐπιβουλήν· ἐπειδὴ δὲ τοῦτο δέδοκται πάντως αὐτῷ ἀπελθεῖν, συναπέλθωμεν καὶ ἡμεῖς· κρεῖττον γὰρ ἀποθνήσκοντας κοινωνῆσαι τοῦ θανάτου ἢ τῆς οἰκείας σωτηρίας προνοουμένους ἀπολειφθῆναι τοῦ διδασκάλου.*

Ὠριγένους. *Ἀναγνοὺς ὁ Θωμᾶς τὰς περὶ τοῦ σωτῆρος προφητείας, εἰκὸς δὲ ὅτι καὶ ἠκηκόει λείπεσθαι οἰκονομίαν τῷ Υἱῷ τοῦ Θεοῦ τὴν περὶ ψυχὴν ἣν ἔμελλε ποιεῖν, καταβὰς εἰς τὸ χωρίον αὐτῶν, ἵνα τοῖς ἐν φυλακῇ πνεύμασι κηρύξῃ, πορευθεὶς πρὸς αὐτὰ ἀπειθήσασί ποτε. ἀκούσας ὅτι “πορεύομαι ἵνα ἐξυπνίσω “αὐτὸν,” ᾤετο οὐκ ἄλλως ἂν ἐξυπνισθήσεσθαι καὶ ἐκ νεκρῶν ἀναστήσεσθαι τὸν Λάζαρον, ἢ τοῦ Ἰησοῦ καταβάντος εἰς τὸ τῶν ψυχῶν χωρίον· τὸ δὲ καὶ τοῦ Σωτῆρος εἰπόντος, οὐδεὶς αἴρει τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ, καὶ τὰ ὅμοια. Εἶτα ὡς γνήσιος τοῦ Σωτῆρος μαθητὴς, καὶ κρίνας αὐτῷ ἀκολουθεῖν ὅποι ποτ' ἂν ἀπίῃ, ἐβούλετο αὐτῷ καὶ τοὺς λοιποὺς μαθητὰς χάριτι τοῦ Ἰησοῦ συναποθέσθαι τὸ σῶμα.*

20 Θεοδώρου Ἡρακλείας. *Ἔξεισι μὲν οὖν ἡ Μάρθα ἀκούσασα τὴν τοῦ Κυρίου παρουσίαν οὐκ ἀνακοινωσαμένη πρὸς τὴν ἀδελφήν φησι, διὰ τὸ βούλεσθαι κεκρύφθαι τὴν παρουσίαν τοῦ Κυρίου ἀπὸ τῶν παρόντων Ἰουδαίων, ὡς ἂν ἐχθρῶν Χριστοῦ, καὶ διωκόντων αὐτὸν, ὀλιγοπιστίας δὲ ῥήματα φθέγγεται.*

Ἀμμωνίου πρεσβυτέρου. *Ζωὴν ἑαυτὸν εἶπεν ὁ Κύριος, οὐ*

ζῶον· τὸ μὲν γὰρ ζῶον δεκτικόν ἐστι ζωῆς, ἡ δὲ ζωὴ παρεκτικὴ τοῦ ζῆν· ὡς ἡ σοφία καὶ ὁ σοφός· ὁ μὲν λαμβάνει, ἡ δὲ δίδωσι.

Ἐξ ἀνεπιγράφου. Δεικνὺς ὅτι οὗτός ἐστιν ὁ χορηγὸς τῶν ἀγαθῶν, καὶ παρ' αὐτοῦ δεῖ αἰτεῖν καὶ πῶς. "Ὁ πιστεύων εἰς "ἐμὲ," ὁρᾷς πῶς αὐτῆς ἀνάγει τὸν νοῦν; οὐ γὰρ τοῦτο ἦν ζητούμενον τὸν Λάζαρον ἀναστῆσαι, ἀλλ' ἔδει καὶ ταύτην καὶ τοὺς παρόντας καὶ ἐκείνην τὴν ἀνάστασιν μαθεῖν. εἰ γὰρ ἐκείνῃ πιστεύεις, φησὶ, μηδὲ περὶ ταύτης ἀμφίβαλλε· οὐ γὰρ ἄλλος ὁ ἐκείνην ἐργαζόμενος παρ' ἐμὲ, ἀλλ' ἐγὼ κἀκείνης τοῖς ἀνθρώποις αἴτιος, ὥστε ὁ κοινῇ πάντας ἀριστῶν. Οὐ γὰρ δήπου περὶ ἑνὸς ἀνάστασιν ἄτονος εἶναι δύναμαι. Διὰ τοῦτο περὶ τῆς ἀναστάσεως φιλοσοφεῖ τῶν ῥημάτων. Εἰ δὲ ἡ ἀνάστασις αὐτός ἐστι καὶ ἡ ζωὴ, οὐ τόπῳ περικέκλεισται, ἀλλὰ πανταχοῦ παρὼν οἶδεν ἰᾶσθαι.

Θεοδώρου Μομψουεστίας. Ὥστε οὐ χρὴ φρίττειν τοῦτον τὸν θάνατον. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν, ὅτι οὔτε οὗτος τέθνηκεν, οὔτε ὑμεῖς τεθνήξεσθε, τὴν ἐλπίδα τῆς ἀναστάσεως ἔχουσαι. Ὁ γὰρ ζῶν μετὰ τῆς εἰς ἐμὲ πίστεως οὐδεπώποτε ἀποθανεῖται, ἐπειδήπερ κἂν ἀποθνήσκειν δόξῃ, οὐ νεκρός ἐστιν, ἀλλὰ ζῶν διὰ τὴν ὑπόσχεσιν, μεθ' ἧς δέχεται τοῦ τῆς φύσεως ὅρου τὴν τελευτήν. Καί τοι γε ἐν τοῖς Εὐαγγελίοις, οὐ φαίνεται ὅτι ἔλεγεν αὐτῇ ὁ Κύριος καλέσαι τὴν ἀδελφὴν, ἀλλὰ δηλονότι εἴρηται μὲν, ὁ δὲ Εὐαγγελιστὴς παρέλιπε, ἑνὸς ὢν τοῦ μόνα τὰ ἀναγκαῖα λέγειν.

Κυρίλλου. Τὴν τοῦ πράγματος ἀπαραίτητον χρείαν καὶ τὸ τῆς παρουσίας χρεωστούμενον, ἀντὶ φωνῆς δεξαμένη τοῦτό φησι. Πῶς γὰρ οὐκ ἔδει παρόντος τοῦ Χριστοῦ, πρὸς αὐτὸν ἰέναι προθύμως τὴν Μαρίαν, ἐπείπερ ἅπαν οὐ μετρίως λελυπημένην;

Ἀμμωνίου πρεσβυτέρου. Εἰ μὴ οἰκονομία τοῦ Θεοῦ τοῦτο ἐγεγόνει, οὐκ ἂν ἐμέμνητο αὐτοῦ ὁ Εὐαγγελιστής· γέγονε δὲ ἵνα καὶ ἄκοντες παραγένωνται, καὶ μαρτυρήσωσι τῷ σημείῳ.

32 Ἀπολιναρίου. Περὶ τῆς Μάρθας οὐκ εἶπεν, ὅτι τοῖς ποσὶ προσέπεσεν, ἀλλ' ὅτι ἀπήντησε μόνον, οὐδ' ὅτι ταχέως καὶ σπουδαίως προσέδραμεν· τῇ γὰρ Μαρίᾳ καὶ τοῦτο δέδωκεν ὁ Εὐαγγελιστὴς, ἐπὶ τῆς Μάρθας προειρηκὼς ψιλῶς τὸ ὅτι ὑπήντησεν αὐτῷ· τοῦ δὲ ἐλθεῖν τὸ ἀπαντῆσαι ὑποδεέστερον, ὡς φαίνεσθαι

διὰ πολλῶν τὴν Μαρίαν πλείονα τὴν ἀγάπην, τὴν περὶ τὸν Κύριον ἔχουσαν.

Ἀμμωνίου πρεσβυτέρου. Λυπηθεὶς ὁ Χριστὸς, καὶ ὁρῶν ἐν ἑαυτῷ κινηθεῖσαν τὴν λύπην, καὶ νεύουσαν τὴν σάρκα πρὸς δάκρυον, ἐπιπλήττει τῇ σαρκὶ τῇ τοῦ Ἁγίου Πνεύματος δυνάμει, ἥτις μὴ ἐνεγκοῦσα τὸ τῆς ἑνωθείσης αὐτῷ θεότητος κίνημα τρέμει, καὶ τῆς λύπης περικρατεῖ· οὐδὲ γὰρ ἥρμοζεν ἐπὶ νεκρῷ δακρύειν τῷ τὴν ἐλπίδα τῆς ἀναστάσεως εἰσάγοντι.

Θεοδώρου Μομψουεστίας. Ἐρωτᾷ, "ποῦ τεθείκατε," οὐκ ἀγνοῶν· πῶς γὰρ ὁ πόρρωθεν εἰπὼν, ὅτι τετελεύτηκεν, ἀλλ' ὥστε δοκεῖν τάξιν τινὰ τῷ πράγματι διδόναι, καὶ μὴ μετὰ ἐπιδείξεως τὸ θαῦμα ἐργάζεσθαι.

Ἰσιδώρου Πηλουσιώτου. Ἐδάκρυσεν ὡς φιλοσοφίας ἄγαλμα ὁ Χριστὸς ἐπὶ Λαζάρου· μάλιστα μὲν κἂν τούτῳ, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων, κανόνας ἡμῖν καὶ ὅρους πηγνὺς, ἵνα μὴ ἐκβακχευώμεθα ὑπὸ τῆς λύπης. Οἱ γοῦν θεασάμενοι εἶπον, "ἴδε πῶς ἐφί-"λει αὐτόν."

34 Ὠριγένους. Μακρὰν μὲν ὑπάρχων τοῦ μνημείου "ἐνεβριμή-
"σατο τῷ πνεύματι·" ὅτε δὲ ἐγγὺς γίνεται τῷ νεκρῷ, οὐκέτι
ἐμβριμᾶται τῷ πνεύματι, ἀλλὰ συνέχει ἐν ἑαυτῷ τὴν ἐμβρίμησιν,
38 διὸ λέγεται "ἐμβριμώμενος ἐν ἑαυτῷ, ἔρχεται εἰς τὸ μνημεῖον."

Κυρίλλου. Τὰ μεγάλα τῶν κατορθωμάτων ἀπιστεῖσθαι φιλεῖ, καὶ τοῖς ὑπὲρ λόγον ἀκολουθεῖ. Τὸ μὴ λίαν ἑτοίμως θαυμάζεσθαι τοῦτό μοι δοκῶ ὑπομεῖναι τὴν ἀγαθὴν Μάρθαν, παραιτεῖται γὰρ αὐτῇ τὸ εἰς πίστιν ἀσφαλὲς, ἡ τοῦ πράγματος ὑπερβολὴ, καὶ τὸ ξένον τῆς ἐλπίδος τοῦ καθήκοντος ἐξίστησι λογισμοῦ, καὶ θαυμαστὸν οὐδὲν εἰ τὴν πίστιν ὁμολογήσασα, πάλιν ὀλιγοπιστίᾳ χειμάζεται τῇ τοῦ θαύματος ὑπερβολῇ.

40 Ἀμμωνίου. Ἐν τοῖς ὑπὲρ φύσιν φαίνεται ἡ τοῦ Θεοῦ δόξα,
διὰ τὸ ἀσθένες τῶν ἀκροατῶν. τὴν τοῦ Πατρὸς δόξαν, φησὶ, διὰ τὸ ἀκενόδοξον οὐκ εἶπεν, ὄψει τὴν δόξαν μου, ἀλλὰ τὴν τοῦ Πατρός. Ἴσος ὢν τῷ Πατρὶ, εὐχαριστεῖ αὐτῷ, ἵνα ἡμεῖς τῷ ὑπὲρ ἑαυτοὺς εὐχαριστῶμεν· τοῦτο ἐπὶ φίλων λέγεται ὁμοτίμων.

Ὡς πόρρωθεν οὖσαν τὴν ψυχὴν, διὰ κραυγῆς καλεῖ, οὐ μὴν ὡς οὖσαν ἐν τῷ μνήματι, ὡς Ἑλλήνων μυθεύουσι παῖδες· ἡ κραυγὴ

τοῦ Κυρίου τῦπος ἦν τῆς μεγάλης σάλπιγγος τῆς μελλούσης ἠχῆσαι ἐν τῇ κοινῇ ἀναστάσει. θεοπρεπὲς καὶ βασιλικὸν τὸ κέλευσμα.

Βασιλείου Καισαρείας. Θαῦμα ἐν θαύματι, κειρίαις δεδεμένος τοὺς πόδας, καὶ μὴ κωλύεσθαι πρὸς τὴν κίνησιν. Μεῖζον γὰρ ἦν τὸ ἐνισχῦον τοῦ ἐμποδίζοντος. Πῶς οὖν ὁ ταῦτα ἐνεργεῖν μέλλων, δακρύων ἄξιον τὸ συμβὰν ἔκρινεν; ἢ δηλονότι πανταχόθεν ἡμῶν τὸ ἀσθενὲς ὑπερείδων μέτροις τισὶ καὶ ὅροις τὰ ἀναγκαῖα περιέλαβε πάθη· τὸ μὲν ἀσυμπαθὲς ὡς θηριῶδες ἐκκλίνων. τὸ δὲ φιλόλυπον καὶ πολύθρηνον ὡς ἀγεννὲς παραιτούμενος. διόπερ ἐπιδακρύσας τῷ φίλῳ, αὐτός τε τὴν κοινωνίαν τῆς ἀνθρωπείας φύσεως ἐπεδείξατο, καὶ ἡμᾶς τῶν ἐφ' ἑκάτερα ὑπερβολῶν ἠλευθέρωσε, μήτε καταμαλακίζεσθαι πρὸς τὰ πάθη, μήτε ἀναισθήτως ἔχειν τῶν λυπηρῶν ἐπιτρέπων.

Ἀμμωνίου πρεσβυτέρου. Οὕτω καὶ ἡ καθολικὴ μέλλει γενέσθαι ἀνάστασις, "ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ." Ὅμοιον σημεῖον σχεδὸν τῆς ἀναστάσεως τὸ δεδεμένων τῶν χειρῶν καὶ τῶν ποδῶν, καὶ τῶν ὀφθαλμῶν ἐξελθεῖν περιπατοῦντα. Διὰ τοῦ λύειν ἐμαρτύρουν, ὅτι οὐκ ἦν φάντασμα, ἀλλ' ὁ Λάζαρος ἦν. Ὡς ἀνόσιόν τι τετολμηκότα διέβαλλον, ὡς τὸν τεθαμμένον ἀνασκάψαι ἐπιτάξαντα· μετὰ τοσαύτας ἀποδείξεις, ὡς περὶ ψιλοῦ ἀνθρώπου ἔλεγον, ἀγνοοῦντες ὅτι αὐτὸς ἦν ὁ Χριστὸς ὁ τῶν σημείων δημιουργός.

Ἐὰν, φησὶν, οἱ πιστεύοντες εἰς αὐτὸν ποιήσωσιν αὐτὸν βασιλέα, ἐπέρχονται ἡμῖν ὡς τυραννήσασιν οἱ Ῥωμαῖοι, καὶ γυμνοῦσιν ἡμᾶς πάντων.

49 Τί σημᾶναι βουλόμενος ὁ Εὐαγγελιστής φησιν, "ἀρχιερεὺς "τοῦ ἐνιαυτοῦ ἐκείνου;" ὅτι μετὰ τῶν ἄλλων τοῦτο διέφθαρτο παρὰ τοῖς Ἰουδαίοις· οὐκέτι γὰρ τὸν χρόνον ἅπαντα τῆς ζωῆς, ἱεράτευον κατὰ τὸν νόμον, ἀλλ' ἐνιαυτὸν κατ' ἐνιαυτὸν, ἐξ οὗ γεγόνασιν ὠνηταὶ αἱ ἀρχαί· πλὴν ἀλλὰ καὶ οὕτως ἔτι παρῆν τὸ Πνεῦμα. Ἐπειδὴ δὲ τὰς χεῖρας ἦραν κατὰ τοῦ Χριστοῦ, τὸ τηνικαῦτα αὐτοὺς ἐγκατέλιπε, καὶ μετῆλθεν ἐπὶ τοὺς Ἀποστόλους· ὅπερ δὲ ἐκεῖνοι ἐν τάξει βουλῆς προσετίθεσαν λέγοντες, "τί ποι-

“ οὖμεν;” τοῦτο ὁ Καϊάφας ἀναισχύντως καὶ γυμνῇ τῇ κεφαλῇ μετὰ ἰταμότητος ἀνεβόησε λέγων, “ ὅτι ὑμεῖς οὐκ οἴδατε οὐδὲν, “ οὐδὲ λογίζεσθε ὅτι συμφέρει ἡμῖν ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ, “ καὶ μὴ ὅλον τὸ ἔνθος ἀπόληται.” Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· ὑμεῖς ἔτι καθῆσθε, ἔτι ὀκνηρότερον τῷ πράγματι κέχρησθε, καὶ οὐκ ἴστε ἑνὸς ἀνδρὸς σωτηρίας ὑπὲρ τοῦ κόσμου καταφρονῆσαι. Χρὴ οὖν σκοπῆσαι, πόση τοῦ Παναγίου Πνεύματος ἡ δύναμις. Ἀπὸ γὰρ διανοίας πονηρᾶς ῥήματα παρεσκεύασε προελθεῖν, προφητείας γέμοντα θαυμαστῆς. κατὰ μὲν γὰρ τὴν αὐτοῦ προαίρεσιν ἐναντίως ἐξέβη. Ἐπειδὴ γὰρ ἀπέθανε, διὰ τοῦτο τῆς μελλούσης κολάσεως ἀπηλλάγησαν πολλοί. “ Τοῦτο δὲ,” φησὶν, ὁ Εὐαγγελιστὴς “ οὐκ ἀφ' ἑαυτοῦ εἶπεν, ἀλλ' ἀρχιερεὺς ὢν τοῦ “ ἐνιαυτοῦ ἐκείνου προεφήτευσε, ὅτι ἔμελλεν ὁ Ἰησοῦς ἀποθνήσκειν “ ὑπὲρ τοῦ ἔθνους·” οὕτως ἦν τῆς ἀρχιερατικῆς ἀξίας ἡ δύναμις πολλή. Ἐπειδὴ γὰρ ὅλως ἠξίωτο τῆς ἱερωσύνης, καί τοι ἀνάξιος ὢν τοῦ πράγματος, προεφήτευσεν, οὐκ εἰδὼς ἃ ἔλεγε· καὶ τῷ στόματι μὲν ἡ χάρις ἐκέχρητο, τῆς δὲ μιαρᾶς καρδίας οὐχ ἥψατο· πολλοὶ γοῦν καὶ ἄλλοι τὰ μέλλοντα εἶπον, ἀνάξιοι ὄντες· ὁ Ναβουχοδονόσορ, ὁ Φαραὼ, ὁ Βαλαὰμ, καὶ πάντων ἡ αἰτία δήλη· “ καὶ οὐχ ὑπὲρ τοῦ ἔθνους” φησὶ “ μόνον, ἀλλ' ἵνα καὶ τὰ τέκνα “ τοῦ Θεοῦ τὰ διεκορπισμένα συναγάγῃ εἰς ἕν.” τέκνα δὲ Θεοῦ τὰ ἔθνη καλεῖ ἀπὸ τοῦ μέλλοντος ἔσεσθαι. ὥσπερ οὖν καὶ ὁ Χριστὸς ἔλεγε, “ καὶ ἄλλα πρόβατα, ἔχω,” καὶ αὐτὸς ἀπὸ τοῦ μέλλοντος αὐτὰ καλῶν.

53 Τὸ δὲ “ ἵνα συναγάγῃ εἰς ἓν” δηλοῖ, ὅπως τοὺς ἐγγὺς καὶ τοὺς μακρὰν ἓν σῶμα ποιήσῃ, ἵνα ὁ ἐν Ῥώμῃ καθήμενος τὸν Ἰνδὸν μέλος εἶναι ἑαυτοῦ πιστεύσῃ, καὶ πάντων κεφαλὴν ὁμολογῇ τὸν Χριστόν. Τὸ δὲ “ ἀπ' ἐκείνης τῆς ἡμέρας συνε- “ βουλεύσαντο οἱ Ἰουδαῖοι, ἵνα αὐτὸν ἀποκτείνωσι,” δηλοῖ ὅτι τότε τελείως ἐκύρωσαν τὴν γνώμην, καὶ ὡς ἔργῳ τῷ πράγματι κέχρηνται· τὸ γὰρ θέλειν αὐτοὺς καὶ πρὸ τούτου ἀποκτεῖναι αὐτὸν βουλαὶ καὶ ζητήσεις ὑπῆρχον· “ ἐζήτουν γὰρ αὐτὸν,” φησὶν, “ ἀποκτεῖναι,” καὶ αὐτὸς δὲ αὐτοὺς ἐλέγχων ἔλεγε, “ ζητεῖτέ με “ ἀποκτεῖναι·” ἀναχωρεῖ δὲ καὶ νῦν αὐτὸς ἐκεῖθεν, ἀνθρωπίνως

πάλιν ἑαυτὸν διασώζων, δι' ἣν πολλάκις εἶπον αἰτίαν. Θαυμάσαι δὲ αὐτῶν ἐστι τὴν ἄνοιαν, ὅτι μιαιφόνον προαίρεσιν ἔχοντες καὶ ἀνδροφόνον διάνοιαν, ἑαυτοὺς ἁγνίζειν ἐβούλοντο, καθώς φησιν ὁ Εὐαγγελιστὴς, "ὅτι αὐτοὶ δὲ ἀνέβησαν εἰς τὰ Ἱεροσόλυμα πρὸ "τοῦ Πάσχα, ἵνα ἁγνίσωσιν ἑαυτοὺς," καὶ ὅτι ἔλεγον, "τί ὑμῖν "δοκεῖ, ὅτι οὐ μὴ ἔλθῃ εἰς τὴν ἑορτήν." ὃ δὲ λέγει τοιοῦτόν ἐστιν, ἐνταῦθα αὐτὸν ἐμπεσεῖν δεῖ, τοῦ καιροῦ καλοῦντος αὐτόν· οὕτως ὑπῆρχον ἀσεβεῖς· ὅτε γὰρ πλείονος ἔδει τῆς εὐλαβείας, καὶ τοὺς ἐπὶ τοῖς ἐσχάτοις κακοῖς εἰλημμένους, ἀφιέναι διὰ τὴν ἑορτὴν, τότε τὸν οὐδὲν ἠδικηκότα θηρεῦσαι ἐπιχειροῦσι. "δεδώκεισαν δὲ, "φησὶν, οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι ἐντολὰς, ἵνα ἐάν τις γνῷ "ποῦ ἐστι, μηνύσῃ, ὅπως πιάσωσιν αὐτόν."

ΚΕΦ. ΙΒ.

Περὶ τῆς ἀλειψάσης τὸν Κύριον μύρῳ.

1 Ὁ οὖν Ἰησοῦς πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα ἦλθεν εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος ὁ τεθνηκὼς, ὃν ἤγειρεν ἐκ νεκρῶν.

Τὸ τῆς εἰλικρινοῦς οὖν ἀναστάσεως τοῦ Λαζάρου σημεῖον δεῖξαι βουλόμενος ὁ Εὐαγγελιστής φησιν, "ὁ δὲ Λάζαρος εἷς ἦν "τῶν ἀνακειμένων σὺν αὐτῷ," δηλῶν ὅτι μετὰ πολλὰς τοῦ ἀναστῆναι αὐτὸν ἔτι ἔζη· διὰ δὲ τοῦ εἰπεῖν, ὅτι "ἡ Μάρθα διηκόνει," ἐσήμανεν, ὅτι ἐν τῇ οἰκίᾳ αὐτῆς ἡ ἑστίασις ἦν. Οὐ ποιεῖται δὲ κοινὴν τὴν ὑπηρεσίαν ἡ Μαρία ἡ ἀδελφὴ Λαζάρου, ἀλλ' εἰς τὸν Χριστὸν μόνον περιΐστησι τὴν τιμήν· ἐπειδὴ οὐχ ὡς ἀνθρώπῳ πρόσεισιν, ἀλλὰ ὡς Θεῷ· τὸ γὰρ μῦρον διὰ τοῦτο ἐξέχεεν, καὶ ταῖς θριξὶ τῆς κεφαλῆς ἐξέμαξεν, ὡς οὐκ ἔχουσα περὶ αὐτοῦ τοιαύτην ὑπόληψιν, οἵαν οἱ πολλοὶ, ὡς περὶ ψιλοῦ ἀνθρώπου, ἀλλ' ὡς δεσπότου καὶ Κυρίου. Ὁ δὲ Ἰούδας προσχήματι μὲν εὐλαβείας δῆθεν ἐπετίμα τῷ γεγονότι, λέγων, "διὰ τί οὐκ ἐπράθη "τοῦτο τριακοσίων δηναρίων, καὶ ἐδόθη πτωχοῖς;" οὐκ ἀπὸ γνώμης δὲ τοιαύτης. πῶς δὲ ἄλλος Εὐαγγελιστὴς λέγει, ὅτι πάντες οἱ μαθηταὶ τοῦτο εἶπον; ὅτι καὶ πάντες μὲν, κἀκεῖνος δὲ, ἀλλ' οἱ

λοιποὶ οὐ τοιαύτῃ προαιρέσει· οὐκ ἤλεγξε δὲ αὐτὸν εὐθέως τότε ὁ Χριστὸς, οὐδὲ εἶπεν αὐτῷ τοῦτο, ὅπερ ὁ Εὐαγγελιστὴς εἶπεν, ὅτι διὰ τὴν οἰκείαν κλοπὴν ἐπετίμα τῇ γυναικὶ, ὅτι τῇ πολλῇ μακροθυμίᾳ ἐντρέψαι αὐτὸν οὐκ ἐβούλετο. Τί δήποτε δὲ κλέπτῃ ὄντι τὸ γλωσσόκομον ἐνεχείρισεν τῶν πτωχῶν, καὶ οἰκονομεῖν ἐποίησε φιλάργυρον ὄντα; ἵνα πᾶσαν αὐτοῦ ἐκκόψῃ πρόφασιν. Οὐ γὰρ εἶχεν εἰπεῖν, ὅτι διὰ χρημάτων ἔρωτα [d] προὔδωκε· καὶ γὰρ ἱκανὴν μὲν εἶχεν ἐκ τοῦ γλωσσοκόμου τῆς ἐπιθυμίας παραμυθίαν, ἀλλὰ διὰ πονηρίαν πολλὴν, ἣν καὶ ἐβούλετο κατέχειν ὁ Χριστὸς, πολλῇ συγκαταβάσει πρὸς αὐτὸν κεχρημένος. Μέμνηται δὲ καὶ ἐνταφιασμοῦ λέγων, "εἰς γὰρ τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου "τοῦτο ἐποίησε, καὶ ἐν τούτῳ τὸν προδότην ἐντρέψαι βουλόμενος πρὸς τὸ διορθωθῆναι αὐτόν. ἱκανὸν δὲ ἦν καὶ τὸ ἐπαγόμενον εἰς
8 οἶκτον αὐτὸν ἐμβαλεῖν. Φησὶ γὰρ, "ὅτι τοὺς πτωχοὺς μὲν "πάντοτε ἔχετε μεθ' ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε·" ὡσανεὶ ἔλεγεν, ἐμπαθής εἰμι καὶ φορτικὸς, ἀλλὰ ἀνάμεινον μικρὸν, καὶ ἀπελεύσομαι. Τοῦτο γὰρ κατεσκεύαζεν ἐν τῷ λέγειν, "ἐμὲ δὲ "οὐ πάντοτε ἔχετε."

Γένος τοῦ Θεοῦ πάντες ἄνθρωποι, καὶ τέκνα χρηματίζομεν, καθὸ πάντων ἐστὶ Πατὴρ, τρόπῳ δημιουργικῷ γεννήσας· πρὸς τούτοις δὲ ἔτι καὶ κατ' ἐκεῖνον τὸν λόγον, καθ' ὃν τετιμήμεθα γεγονότες ἐξ ἀρχῆς κατ' εἰκόνα τοῦ κτίσαντος, καὶ ἄρχειν λαχόντες τῶν ἐπὶ τῆς γῆς, καὶ τῆς θείας ὁμολογίας ἠξιωμένοι, καὶ τῆς ἐν παραδείσῳ διαίτης τε καὶ τρυφῆς ἀπολαύοντες, ἀλλ' ἐσκόρπισεν ὁ Σατανᾶς ἐν ταὐτῷ μεῖναι καὶ συγχωρήσας καὶ ἀποσυλήσας πολυτρόπως τῆς εἰς Θεὸν προσεδρείας τὸν ἄνθρωπον. Συνήγαγε δὲ πάλιν καὶ συνεκόμισε πάντας διὰ τῆς πίστεως ὁ Χριστὸς εἰς μίαν αὐλὴν τὴν Ἐκκλησίαν, καὶ ὑπὸ ζυγὸν ἕνα παρεσκεύασεν.

Ὠριγένους. Οὐκ εἴ τις προφητεύει, προφήτης, ἀλλ' εἴ τις προφήτης, προφητεύει. Βαλαὰμ γὰρ μάντις ὢν προφητεύει. Οὐ γὰρ εἴ τις ἰατρικόν τι ἐποίησεν, ἤδη καὶ ἰατρὸς, ἢ καὶ οἰκοδομικὸν ποιήσας, ἤδη καὶ οἰκοδόμος.

[d] ἐρώτητα Cod.

Ἀμμωνίου πρεσβυτέρου. Εἰς κατάκριμα τῶν Ἰουδαίων ἀναχωρεῖ, οὐ δειλιῶν, καὶ ἡμᾶς διδάσκων ἐν ἀκμῇ τῆς ὀργῆς μὴ ἐπιρρίπτειν ἑαυτοὺς κινδύνοις.

Ὠριγένους. Βουλομένου τοῦ λόγου ἐπιστρέφειν ἡμᾶς ἀπὸ τοῦ ἀλογώτερον ἐπιπηδᾷν τοῖς κινδύνοις, μηδ᾽ ἂν ὑπὲρ τῆς ἀληθείας ὦσιν, ἀλλὰ καταλαμβανομένους μὲν ἵστασθαι, μέλλοντας δὲ ἀναδύσεσθαι διὰ τὸ τῆς ἐκβάσεως ἄδηλον. πρὸς δὲ ἀναγωγὴν ῥητέον ὅτι Ἰησοῦς πάλαι μὲν παρρησίᾳ τοῖς Ἰουδαίοις περιεπάτει, διὰ τῶν προφητῶν, νῦν δὲ οὐκέτι· οὐ γάρ ἐστιν ἐν αὐτοῖς λόγος Θεοῦ· ἀλλ᾽ ἀπῆλθεν ἀπ᾽ αὐτῶν εἰς τὴν ἔρημον, περὶ ἧς λέγεται, ὅτι "πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν "ἄνδρα·" ἐγγὺς Ἐφραὶμ, ἥτις ἑρμηνεύεται καρποφορία, ἀδελφὸς ὢν Μανασσῆ πρεσβυτέρου, τοῦ ἀπὸ λήθης. Μετὰ γὰρ τὸν ἀπὸ λήθης λαὸν, γεγένηται ἡ ἐξ ἐθνῶν καρποφορία.

Ἀμμωνίου πρεσβυτέρου. Οἱ ἡμαρτηκότες ἑκούσια ἢ ἀκούσια πταίσματα οὐκ ἐποίουν τὸ Πάσχα, εἰ μὴ ἡγνίσθησαν τὸν συνήθη ἁγνισμόν. Οὐ φανεὶς εὐθὺς ἐπέφανεν, ἀλλ᾽ ἐπέζησεν, ἐσθίων καὶ πίνων, καὶ τὰ συνήθη πράττων, ὅπερ ὡς ἀποθαυμάζων ὁ Εὐαγγελιστὴς εἶπε.

Θεοδώρου Ἡρακλείας. Τοῦ δὲ οἴκου πληρωθέντος τῆς ἐκ τοῦ μύρου εὐωδίας, συμβολικῶς ἐπεδείκνυτο ἐκεῖνος, ὅπερ πνευματικῶς οὐκ εἰς μακρὸν ἀποτελεσθῆναι ἤμελλεν· εὐθὺς γὰρ μετὰ τὸ πάθος τῆς Χριστοῦ, εὐωδίας ἡ σύμπασα κτίσις, ὥσπερ μέγας οἶκος, ἐπληρώθη μύρου· τῷ τοίνυν αἰσθητῷ τὸν νοητὸν ἐκείνη προσεμήνυε· τοῦ γὰρ σώματος αὐτοῦ ἀλαβάστρου δίκην ἐκκεντηθέντος, ἡ τῆς γνώσεως εὐωδία τὸν ὅλον ἐπλήρωσε κόσμον.

ΚΕΦ. ΙΓ.

Περὶ ὧν εἶπεν Ἰούδας.

Ἀμμωνίου πρεσβυτέρου. Μέμφεται Ἰούδας ὅτι μύρον προσήνεγκε καὶ οὐκ ἀργύριον, ἀγνοῶν τὸ ὄντως καλόν· δεῖ γὰρ τὴν εἰς τὸν Θεὸν τιμὴν καὶ δωροφορίαν προτιμοτέραν εἶναι τῶν πτωχῶν. Ἱερόσυλος ἦν ὁ Ἰούδας, τὰ τῷ Θεῷ ἀνατιθέμενα χρήματα κλέπτων.

Εἰπὼν, "ἄφες," τὴν τοῦ Ἰούδα ὑπόκρισιν ἐλέγχει, τὰ ἄξια ἐπαίνου μεμφομένου· ἐπειδὴ δὲ ἡ τοῦ μύρου δαπάνη οὐ διὰ τρυφὴν

ἐγένετο, ἀλλὰ διὰ χρείαν μυστικὴν, ἀπολογεῖται ὑπὲρ τῆς Μαρίας, εἰ καὶ ἠγνόει τοῦ μυστηρίου τὴν οἰκονομίαν. Δι' ὧν δὲ εἶπεν ἐνταφιασμὸν, καταισχύνει τὸν Ἰούδαν, ὅτι δι' αἰσχροκερδίαν ἔμελλε προδοῦναι τὸν διδάσκαλον.

Ἀπολιναρίου. Τὸν οἶκτον τῶν πενήτων πρόσχημα τῆς ἑαυτοῦ πλεονεξίας ποιούμενος. Οὐχ ὡς πιστότερος δὲ τῶν ἄλλων τὴν διακονίαν ταύτην ἀνεδέδεκτο, ἀλλ' ὡς ἐλάττων. Τὸ γὰρ περὶ χρήματα διακονικὸν ἔλαττον τῆς ἐν λόγῳ διακονίας, ὡς καὶ οἱ δώδεκα ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων ἐδήλωσαν.

9 Δεῖξαι δὲ βουλόμενος ὁ Εὐαγγελιστὴς τὸ ἐρχόμενον τῶν Ἰουδαίων πλῆθος ὑγιαίνων, φησὶν, "ἔγνω ὄχλος πολὺς ἐκ τῶν Ἰουδαίων ὅτι ἐκεῖ ἐστι, καὶ ἦλθον οὐ διὰ τὸν Ἰησοῦν μόνον, ἀλλ' ἵνα καὶ τὸν Λάζαρον ἴδωσιν, ὃν ἤγειρεν ἐκ νεκρῶν." Διὸ καὶ τὸ θαῦμα θεασάμενοι ἐπίστευσαν πολλοί· τῶν δὲ Φαρισαίων τοσοῦτος ἦν φονικὸς ὁ τρόπος, ὅτι οὐ μόνον τὸν Ἰησοῦν, ἀλλὰ καὶ τὸν Λάζαρον ἐβουλεύσαντο ἀποκτεῖναι· οὕτως ἔγκλημα καὶ τὸ καλῶς παθεῖν παρ' αὐτοῖς ἦν· ἔδακνε δὲ αὐτοὺς ἐκ περισσοῦ, ὅτι τῆς ἑορτῆς ἑστώσης πάντες ἐπὶ τὴν Βηθανίαν ἔτρεχον· αὐτὸς δὲ κατασβέσας τὸν θυμὸν αὐτῶν τῇ εἰς τὴν ἔρημον ἀναχωρήσει, πάλιν εἰσέρχεται μετὰ παρρησίας. Διὸ καὶ "ὄχλος πολὺς ὁ ἐλθὼν εἰς τὴν ἑορτὴν ἀκούσαντες ὅτι ἔρχεται εἰς Ἱεροσόλυμα, ἔλαβον τὰ βαΐα τῶν φοινίκων, καὶ ἐξῆλθον εἰς ἀπάντησιν αὐτοῦ·" τοῦτο δὲ ἐποίουν, δεικνύντες ὅτι μείζονα λοιπὸν ἢ περὶ προφήτου δόξαν εἶχον περὶ αὐτοῦ· ὅθεν καὶ ἔλεγον, "ὡσαννὰ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, βασιλεὺς τοῦ Ἰσραὴλ," ὅπερ ἦν πιστευόντων, ὅτι οὐκ ἔστιν ἀντίθεος, ἀλλ' ὅτι παρὰ τοῦ Πατρὸς ἀποσταλεὶς ἦλθε. Σημαίνει δὲ τὸ "ὡσαννὰ," σῶσον δή.

ΚΕΦ. ΙΔ.

Περὶ τοῦ ὄνου.

Πῶς οἱ μὲν ἄλλοι Εὐαγγελισταὶ ὅτι καὶ ἔπεμψε καὶ εἶπε, "λύσατε τὸν πῶλον καὶ τὸν ὄνον·" οὗτος δὲ οὐδὲν τοιοῦτον, ἀλλ' ὅτι ὀνάριον εὑρὼν ἐκάθισεν; ἐπειδὴ ἀμφότερα γενέσθαι εἰκὸς ἦν, καὶ μετὰ τὸ λυθῆναι τὸν ὄνον ὑπὸ τῶν μαθητῶν εὑρόντα αὐτὸν ἐπικαθίσαι. Ἐποίει δὲ τοῦτο, προφητείαν τὴν μὲν τυπῶν, τὴν δὲ πληρῶν· καὶ τὸ

αὐτὸ τῆς μὲν ἐγένετο ἀρχῆς, τῆς δὲ τέλος, τὴν μὲν τὸ "χαῖρε,
"ὅτι ὁ βασιλεύς σου ἔρχεται," προφητείαν πληροῦντος ἦν. Τὸ δὲ
ὄνον καθίσαι μέλλον πρᾶγμα προανατυποῦντος, ὅτι τὸ ἀκάθαρτον
τῶν ἐθνῶν γένος ἔμελλεν ὑποχείριον ἔχειν.
15 Τί δέ ἐστι, "μὴ φοβοῦ, θύγατερ Σιών;" ἐπειδὴ πάντες αὐτῶν
οἱ βασιλεῖς ὡς ἐπὶ τὸ πολὺ ἄδικοί τινες ἦσαν καὶ πλεονέκται, καὶ
τὸ πλῆθος διαστρέφοντες, καὶ τοῖς ἐχθροῖς παραδιδόντες, θάρρει,
φησὶν, οὗτος οὐ τοιοῦτος, ἀλλὰ πρᾷος καὶ ἐπιεικής· καὶ δείκνυται
ἀπὸ τοῦ ὄνου. Οὐ γὰρ στρατόπεδον ἐπισυρόμενον εἰσῆλθεν, ἀλλ' ὄνῳ
ἐποχούμενος· οὐκ ἐπαισχύνεται δὲ ὁ πάνσοφος Εὐαγγελιστὴς τὴν
προτέραν ἄγνοιαν τῶν Ἀποστόλων ἐκπομπεῦσαι· "ταῦτα γὰρ," φη-
σὶν, "οὐκ ἔγνωσαν οἱ μαθηταὶ αὐτοῦ τὸ πρότερον, ἀλλ' ὅτε Ἰησοῦς
"ἐδοξάσθη, τότε ἐμνήσθησαν, ὅτι ταῦτα ἦν ἐπ' αὐτῷ γεγραμ-
"μένα." ὅτι μὲν γὰρ ἐγέγραπτο ᾔδεσαν, ὅτι δὲ ἐπ' αὐτῷ ἐγέ-
γραπτο, οὐκ ᾔδεισαν· καὶ γὰρ ἂν ἐσκανδάλισεν αὐτοὺς, εἴγε
βασιλεὺς ὢν τοιαῦτα μέλλει πάσχειν· τὸ δὲ "ἐμαρτύρει ὁ ὄχλος
"ὅτε ἀνέστησε τὸν Λάζαρον ἐκ νεκρῶν," καὶ τὰ ἑξῆς· τοῦτο δηλοῖ,
ὅτι οὐ τοσοῦτοι ἐξαίφνης μετέθεντο, εἰ μὴ ἐπίστευσαν τῷ σημείῳ.
19 Χρὴ δὲ γιγνώσκειν ὅτι οἱ εἰπόντες Φαρισαῖοι πρὸς ἑαυτοὺς, "θεω-
"ρεῖτε ὅτι οὐκ ὠφελεῖτε οὐδὲν, ἴδε ὁ κόσμος ὀπίσω αὐτοῦ ὑπάγει"
τῶν πιστευόντων μὲν ἦσαν, οὐ τολμώντων δὲ παρρησιάσασθαι· ἀπὸ
τῆς ἐκβάσεως δὲ κατεῖχον τοὺς λοιποὺς, ὡς ἀνόνητον ἐπιχειροῦν-
τας. κόσμον δὲ ἐνταῦθα τὸν ὄχλον φησὶν, οἶδε γὰρ ἡ γραφὴ
κόσμον καὶ τὴν κτίσιν καλεῖν, ὡς ὅταν λέγει "ὁ ἐκφέρων κατὰ
"ἀριθμὸν τὸν κόσμον αὐτοῦ," καὶ πάλιν τοὺς ἐν πονηρίᾳ ζῶντας,
ὡς ὅταν λέγει, "ὁ κόσμος ὑμᾶς οὐ μισεῖ, ἐμὲ δὲ μισεῖ."

Σετηρου Ἀντιοχείας. Ὁ φοῖνιξ οὐράνιος ἐδείκνυ τὸν εὐφη-
μούμενον καὶ ὑψόθεν[e] ἥκοντα· μόνος γὰρ τῶν ἄλλων δένδρων ἀνα-
τείνεται μὲν πρὸς αὐτὸν τὸν οὐρανὸν, καὶ ἐν ὕψει κομᾷ, θαλλοὺς
φέρων ἐπὶ τῆς κόμης λευκοὺς, ἐν δὲ τῷ στελέχει καὶ τοῖς μέσοις
μέχρι τῆς κορυφῆς τραχύς ἐστι καὶ ἀνάντης καὶ δυσανόδευτος,
καὶ τοὺς ἐπὶ τῶν κλάδων σκόλοπας προβαλλόμενος. οὕτω καὶ ὁ
πρὸς τὴν Χριστοῦ γνῶσιν ἐλαύνων, τραχεῖαν εὑρήσει καὶ ἀνάντη[f]
διὰ τῶν πόῃ[g] ὁδεύων τῆς ἀρετῆς. πρὸς δὲ τὸ ὕψος αὐτῆς ἀφικό-
μενος ὡς ἀνθρώποις ἐφικτὸν, ἐντεύξεται τῷ λαμπροτάτῳ τῆς

[e] ἰψόθην Cod. [f] κἂν ἄντη Cod. [g] Fors. leg. πόνων.

θεολογίας φωτὶ, καὶ τῇ ἀποκαλύψει τῶν ἀπορρήτων, καθάπερ τοῖς τοῦ φοίνικος λευκοτάτοις θαλλοῖς.

Ἀμμωνίου πρεσβυτέρου. Ὡς νενικηκότι τὸν θάνατον ὑπήντησαν αὐτῷ μετὰ βαΐων. Ἡ Δαβὶδ προφητεία διὰ τούτου πληροῦται. Τύπος ἐστὶ τοῦ νόμου τὰ ἔθνη, οὓς ὁ Κύριος ὄντας ἀκαθάρτους πεποίηκεν ὑποχειρίους· τύπος δέ ἐστι ὁ πῶλος τῶν ἐθνῶν, ὃν ὁ Κύριος καθίσας ἀνάγει εἰς τὴν ἄνω Ἱερουσαλὴμ, ἧς τύπος ἡ ἐπίγειος· πῶλον δὲ αὐτοὺς καλεῖ, ἐπειδὴ ἀγύμναστοι ἦσαν τῆς κατ' εὐσέβειαν πίστεως.

Ἀπολιναρίου. Αὐτόθεν μὲν ἔχει τὸ μέτριον καὶ εὐτελὲς ἡ ἐπὶ τοῦ ὀναρίου καθέδρα, κεκρυμμένον δὲ ἐν αὐτῷ τὸ σύμβολον τοῦ μήπω καθαροῦ τότε λαοῦ, τοῦ μέλλοντος δέξασθαι τὴν ἐπίβασιν τοῦ Κυρίου· ὄνος γὰρ οὐ καθαρὸν κατὰ τὸν νόμον. ἐβόα δὲ ὁ προφήτης Ζαχαρίας, τῇ μὲν Σιὼν εὐαγγελιζόμενος τὸν βασιλέα πάντων ἀπαλλάττοντα φόβων καὶ λυτρούμενον αὐτὴν ἐχθρῶν δυναστῶν, τῷ δὲ συμβόλῳ δεικνὺς τῶν ἐθνῶν ἡγούμενον, καὶ νέῳ λαῷ χρησόμενον, ὅτι καὶ πῶλος ἐφ' ᾧ καθεζόμενος εἴσεισιν.

Ἀναγκαίως ἄρα τῇ τάξει τελευταῖον τὸ κατὰ τὸν Λάζαρον ὁ Κύριος ἐθαυματούργησεν, ἵνα ἐπὶ προσφάτῳ τούτῳ γεγονοτι τιμηθείη μὲν ἐπιφανέστερον ὑπὸ τοῦ πλήθους· τῆς δὲ τιμῆς ἕνεκεν ὑπεραλγήσαντες οἱ Φαρισαῖοι ἐβουλεύσαιντο κατ' αὐτοῦ, καὶ οὕτως ἐπιτελεσθείη τὸ πάθος, ὅπερ καὶ γίνεται.

Ὁρῶσιν ὅτι μάτην ἀντιλέγουσι πρὸς τὴν πίστιν τὴν εἰς Χριστὸν, μάτην ἀφορίζουσι τοὺς πιστεύοντας, μάτην ἀποτρέπουσι τοὺς λοιποὺς, τὰ μὲν διαλεγόμενοι, τὰ δὲ καὶ ἀπειλοῦντες· πάντα οὖν ἀνωφελῆ φασιν εἶναι, εἰ μὴ πρὸς ἀναίρεσιν αὐτοῦ τράποιντο.

ΚΕΦ. ΙΕ.

Περὶ τῶν προσελθόντων Ἑλλήνων.

20 Τίνες ἦσαν "οἱ Ἕλληνες οἱ ἀναβάντες, ἵνα προσκυνήσωσιν ἐν "τῇ ἑορτῇ," οἵτινες προσῆλθον τῷ Φιλίππῳ; οἱ ἐγγὺς ὄντες λοιπὸν τοῦ προσήλυτοι γενέσθαι, τουτέστι τῷ Ἰουδαϊσμῷ προσελθεῖν· τῆς φήμης οὖν διαδοθείσης λέγουσι τῷ Φιλίππῳ, "θέλομεν τὸν "Ἰησοῦν ἰδεῖν·" ὁ δὲ Φίλιππος παραχωρεῖ τῷ Ἀνδρέᾳ, ἅτε πρὸ αὐτοῦ ὄντι, καὶ τὸ πρᾶγμα αὐτῷ κοινοῦται, ἀλλ' οὐδὲ οὕτως ἁπλῶς αὐθεντεῖ· ἤκουσε γὰρ ὅτι "εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθετε, καὶ εἰς

“ πόλιν,” καὶ τὰ ἑξῆς, πᾶσαν ἐκκόπτων πρόφασιν ἀγνωμοσύνης, ἀναφέρει τῷ διδασκάλῳ· ὁ δὲ Ἰησοῦς ἔφη αὐτοῖς, “ ἐλήλυθεν ἡ ὥρα “ ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώπου.” Τί ἐστιν, “ ἦλθεν ἡ ὥρα ;” ἐπειδὴ ἔλεγεν, “ εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε,” πᾶσαν ἐκκόπτων πρόφασιν ἀγνωμοσύνης Ἰουδαίοις· ἐπέμενον δὲ οὗτοι ἀπειθοῦντες, ἐκεῖνοι δὲ, τουτέστι τὰ ἔθνη, ἐβούλοντο προσελθεῖν· καιρὸς οὖν, φησὶν, ἐπὶ τὸ πάθος προσελθεῖν, πάντων πεπληρωμένων· ἵνα δὲ μὴ θορυβηθῶσιν, ἐννοοῦντες ὅτι ὅτε καὶ Ἕλληνες προσῆλθον, τότε ἀνῃρέθη, λέγει, “ ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν ἐπὶ τὴν “ γῆν ἀποθάνῃ,” καὶ τὰ ἑξῆς. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, ὅτι αὐτὸ μὲν γὰρ τοῦτο αὐτοὺς ποιήσει προσελθεῖν, καὶ αὐξήσει τὸ κήρυγμα τὸ ἐμόν. Εἰ γὰρ ἐν τοῖς σπέρμασι τοῦτο γίνεται, καὶ ὅταν ἀποθάνῃ, πολὺν φέρει καρπὸν, πολλῷ μᾶλλον ἐμοί.

Ἀμμωνίου πρεσβυτέρου. Καὶ μὴ χρώμενοι τῷ νόμῳ, ἀνέπεσαν προσκυνήσοντες εἰς τὸν νόμον, ὡς εἰς σεπτὸν τόπον διὰ τὰ γενόμενα θαύματα περὶ Ἰουδαίων. Δόξαν καλεῖ τὴν ἀνάστασιν, μεθ᾽ ἣν ὡς Υἱὸς Θεοῦ ἐδοξάσθη.

Καιρὸς τοῦ μεταβῆναι τοὺς μαθητὰς τὰ ἔθνη, εἰ καὶ κατὰ τὴν ἀρχὴν οὐκ ἐποίησαν τοῦτο, ἵνα μὴ σκανδαλισθῶσιν οἱ Ἰουδαῖοι.

Θεοδώρου Μομψουεστίας. Καιρὸς λοιπόν ἐστιν ἐπὶ τὸ πάθος ἐλθεῖν, πάντων πεπληρωμένων· εἰ γὰρ μέλλοιμεν τούτοις μὲν ἀπειθοῦσι προσεδρεύειν, ἐκείνους δὲ καὶ βουλομένους μὴ προσίεσθαι, ἀνάξια τῆς ἡμετέρας ἔσται ταῦτα κηδεμονίας. Ἐπειδὴ οὖν ἔμελλεν ἀφήσειν τοὺς μαθητὰς ἐπὶ τὰ ἔθνη λοιπὸν ἰέναι μετὰ τὸν σταυρὸν, ὁρᾷ δὲ αὐτοὺς προπηδῶντας, φησὶ, καιρὸς ἐπὶ τὸν σταυρὸν ἐλθεῖν. Οὐ πρότερον γὰρ αὐτοὺς εἴασεν, ἵνα ᾖ εἰς μαρτύριον αὐτοῖς. ἕως γὰρ διὰ τῶν ἔργων αὐτὸν διεκρούσαντο, ἕως αὐτὸν ἐσταύρωσαν, οὐκ εἶπε, “ πορευθέντες μαθητεύσατε πάντα τὰ “ ἔθνη,” ἀλλ᾽ “ εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε,” καὶ, “ οὐκ ἀπεστάλην, “ εἰ μὴ εἰς τὰ ἀπολωλότα οἴκου Ἰσραὴλ,” καὶ, “ οὐκ ἔστι λαβεῖν “ τὸν ἄρτον τῶν τέκνων καὶ βαλεῖν τοῖς κυναρίοις.” ἐπειδὴ δὲ ἐμίσησαν αὐτὸν, καὶ οὕτως ἐμίσησαν, ὡς ἀνελεῖν, περιττὸν ἦν προσεδρεύειν, διακρουομένων ἐκείνων, καὶ παραιτήσαντο λέγον- “ τες, οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα,” τότε δὴ λοιπὸν αὐτοὺς ἀφῆκεν. Αὕτη ἡ διάλεκτος γέγονε τῇ δευτέρᾳ καὶ τῇ

τρίτῃ τῆς ἑβδομάδος, ὡς ἄλλοι λέγουσιν Εὐαγγελισταὶ, καὶ τῇ τετράδι ὁ Ἰούδας συνέθετο τοῖς Ἰουδαίοις παραδοῦναι αὐτοῖς τὸν Κύριον.

Ἀμμωνίου πρεσβυτέρου. *Μὴ θορυβεῖσθε ἐὰν ἀποθάνω· τότε γὰρ μᾶλλον αὔξει τὸ κήρυγμα, καὶ οἱ ἐξ ἐθνῶν πιστεύουσι· καὶ μὴ ἀπιστεῖτε, καὶ γὰρ ἐν τῷ σίτῳ τούτῳ γίνεται· ὅταν παθὼν ἀποθάνω, ἀνίσταμαι μετὰ πλείονος δόξης, μέλλουσι γὰρ πάντες πιστεύειν εἰς ἐμὲ ὡς Θεόν.*

Θεοδώρου Μομψουεστίας. *Ἐπειδὴ γὰρ ἀπὸ λόγων οὐχ οὕτως ἔπειθεν, ἀπὸ τῆς τῶν πραγμάτων αὐτὸ πείρας μεθοδεύει λέγων, ἐπεὶ καὶ ἐν τῷ σίτῳ τοῦτο γίνεται, μᾶλλον φέρει καρπὸν, ὅταν ἀποθάνῃ, εἰ δὲ ἐν τῷ σπέρματι τοῦτο, πολλῷ μᾶλλον ἐμοί. Ἀλλ' οὐκ ᾔδεισαν οἱ μαθηταὶ τὰ λεγόμενα.*

Τί ἐστιν ὅπερ εἶπεν "ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ;" ὁ τὰς ἐπιθυμίας αὐτῆς ποιῶν τὰς ἀτόπους, οὗτος ἀπολέσει αὐτήν· ὁ δὲ μισῶν αὐτὴν ἐν τῷ κόσμῳ τούτῳ, σώσει αὐτήν. Τίς δέ ἐστιν ὁ μισῶν; ὁ μὴ εἴκων αὐτῇ τὰ βλάπτοντα κελευούσῃ. Οὐκ εἶπε δὲ ὁ μὴ εἴκων, ἀλλ' ὁ μισῶν αὐτὴν, τὴν μετὰ σφοδρότητος ἀποστροφὴν δηλῶν· λέγει δὲ νῦν τοῦτο, ἐγγὺς ὢν τοῦ πάθους, ἐπειδὴ ᾔδει αὐτοὺς κατηφείας πλήρεις ἐσομένους, διὰ τοῦτο ὑπερβολὴν ἐποιήσατο.

25 *Τί λέγω, φησὶν, ἐὰν μὴ τὸν ἐμὸν θάνατον γενναίως ἐνέγκητε; ἐὰν γὰρ καὶ ὑμεῖς αὐτοὶ μὴ ἀποθάνητε, οὐδ' ὑμῖν ἐστι κέρδος· τὸ δὲ οὐ προσθῆναι τὸ "ἐν τῷ κόσμῳ τούτῳ" τὸ φονικὸν καὶ ἐπαχθὲς παραμυθεῖται τοῦ λόγου, τὸ δὲ "ἐμοὶ" ὁ "διακονῶν ἐμοὶ ἀκολουθείτω" περὶ τοῦ θανάτου εἶπε· τὴν γὰρ διὰ τῶν ἔργων ὑπακοὴν ἀπαιτεῖ, καὶ ἐπειδὴ φορτικὰ εἶπε, τὸ ἔπαθλον τίθησι λέγων, "καὶ ὅπου εἰμὶ ἐγὼ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται." Ποῦ δέ ἐστιν ὁ Χριστός; ἐν οὐρανοῖς. "καὶ ἐάν τις ἐμοὶ διακονεῖ," φησὶν, οὐκ εἶπε, τιμήσω αὐτὸν ἐγὼ, ἀλλ' ὁ Πατὴρ τὸ γνήσιον παριστᾷ, ὡς γὰρ γνησίου παιδὸς διάκονος, οὕτως ὁ Πατὴρ ἀποδέξεται. Ἴσως ἐρεῖ τις περὶ τοῦ "νῦν ἡ ψυχή μου τετάρακται, καὶ τί εἴπω; "Πάτερ σῶσόν με ἐκ τῆς ὥρας ταύτης," ὅτι οὐκ ἔστι τοῦτο θανάτου προτρεπομένου καταφρονεῖν. μάλιστα μὲν οὖν προτρεπομένου ἐστίν. Ἵνα γὰρ μὴ λέγωσιν, ὅτι αὐτὸς ἔξω ὢν τῶν ἀνθρω-*

πίνων παθῶν, εὐκόλως περὶ θανάτου φιλοσοφεῖ, καὶ ἡμῖν ἐξ ἀκινδύνου παραινεῖ· δείκνυσιν ὅτι καί τοι ἀθυμιῶν αὐτὸν, ὅμως διὰ τὸ χρήσιμον οὐ παραιτεῖται· ταῦτα δέ ἐστι τῆς οἰκονομίας, οὐ τῆς θεότητος· διὸ καὶ εἶπεν, "ἡ ψυχή μου τετάρακται," καὶ ἀπαλλαγῆναι αἰτεῖν, ἀνθρωπίνης φύσεώς ἐστιν ἐλαττώματα, "ἀλλὰ "διὰ τοῦτο," φησὶν, "ἦλθον εἰς τὴν ὥραν ταύτην." ὡσανεὶ ἔλεγε, κἂν ταραττώμεθα, κἂν θορυβώμεθα, μὴ φεύγωμεν τὸν θάνατον, ἐπεὶ κἀγὼ νῦν ταράττομαι, οὐ λέγω ὥστε φυγεῖν, δεῖ γὰρ φέρειν τὸ ἐπιόν· διὸ καὶ λέγει, "Πάτερ δόξασόν σου τὸ ὄνομα," τουτέστιν, ἄγαγε λοιπὸν ἐπὶ τὸν σταυρόν· διὰ δὲ τοῦτο παιδεύει, ἵνα εἴποτε ἐν ἀγῶνι κατασταῖεν καὶ δειλίᾳ, μήτε οὕτως ἀποπηδήσωσι τῶν προκειμένων. τὸ δὲ εἰπεῖν, "δόξασόν σου τὸ ὄνομα," δείκνυσιν ὅτι ὑπὲρ ἀληθείας ἀποθνήσκει, εἰς τὸν Θεὸν τὸ πρᾶγμα καλῶν· τὸ δὲ εἰπεῖν τὴν φωνὴν "ἐδόξασα, καὶ πάλιν δοξάσω," σημαίνει, ὅτι ἐδόξασε μὲν ἐν τοῖς πρὸ τούτου, δοξάσει δὲ μετὰ τὸν σταυρόν.

29 Διὰ τί "ὁ ὄχλος ἀκούσας τῆς φωνῆς ἔλεγε, βροντὴν γεγο-"νέναι;" καὶ γὰρ τρανὴ καὶ εὔσημος ἦν ἡ φωνή· διὰ τὸ ταχέως αὐτῶν ταύτην ἀποπτῆναι· διὸ ἅτε παχυτέρων ὄντων καὶ σαρκικῶν καὶ ῥαθύμων οὕτως ἐνομίσθη, καὶ οὗτοι μὲν τὸν ἦχον κατεῖχον μόνον, οἱ δὲ εἰπόντες, "ὅτι Ἄγγελος αὐτῷ λελαληκε," ἔναρθρον μὲν τὴν φωνὴν ᾔδεσαν· τί δὲ ἐσήμανεν, οὐκέτι. ὁ δὲ Χριστὸς πρὸς ἐκεῖνο ἱστάμενος ὃ ἔλεγον ἐκεῖνοι ἀεὶ, ὅτι οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, φησὶ πρὸς αὐτοὺς, "οὐ δι' ἐμὲ ἡ φωνὴ αὕτη γέγονεν, ἀλλὰ δι' "ὑμᾶς·" ὁ γὰρ ἐκ τοῦ Θεοῦ δοξαζόμενος, πῶς οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, οὗ τὸ ὄνομα δι' αὐτὸν δοξάζεται; ὅθεν χρὴ σκοπεῖν, ὅτι τὰ ταπεινὰ δι' αὐτοὺς γίνεται, καὶ οὐχ ὡς τοῦ υἱοῦ ἐσομένου[h] βοηθείας· τὸ δὲ "νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου, νῦν ὁ ἄρχων "τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω," δηλοῖ ὅτι δικαστήριον ἔσται καὶ ἐκδίκησις, πῶς καὶ τίνι τρόπῳ ἐκεῖνος ἀνεῖλε τὸν ἄνθρωπον ὑπεύθυνον λαβὼν τῇ ἁμαρτίᾳ. Διὰ οὖν τῆς ἁμαρτίας εἰσῆλθεν ὁ θάνατος, ἐν ἐμοὶ τοῦτο οὐχ εὑρών. ὡσανεὶ ἔλεγεν ὁ Χριστὸς, τίνος ἕνεκεν ἐπεπήδησεν εἰς ἐμὲ, καὶ θανάτῳ παρέδωκεν· οὐκ οὖν δι' ἐμὲ ἐκδικηθήσεται ὁ κόσμος ὅλος· τὸ δὲ "ὅταν ὑψωθῶ "ἐκ τῆς γῆς," περὶ τοῦ σταυροῦ λέγει· τὸ δὲ, "πάντας ἑλκύσω

[h] Leg. δεομένου.

“ πρὸς ἐμαυτὸν,” καὶ τοὺς ἐκ τῶν ἐθνῶν σημαίνει· οὐ λέγει δὲ τὴν ἀνάστασιν, ἀλλ᾽ ὃ τῆς ἀναστάσεως πλέον ἐστὶν, ὅτι καὶ πάντας ἑλκύσει πρὸς ἑαυτόν· “ ἑλκύσω” δὲ εἶπεν, ἅτε ὑπὸ τοῦ ἐχθροῦ κατεχομένους, καὶ ἀφ᾽ ἑαυτῶν μόνον οὐ δυναμένους προσελθεῖν. ἀλλαχοῦ δὲ τοῦτο ἁρπαγὴν καλεῖ. βουλόμενος δὲ ὁ ὄχλος ἐπιστομίζειν αὐτὸν καὶ δεικνῦναι οὐκ ὄντα Χριστὸν, ὁμολογοῦσιν ὅτι ὁ Χριστὸς εἰς τὸν αἰῶνα μένει· καὶ οὐκ εἶπαν ὅτι ἡμεῖς ἠκούσαμεν ὅτι ὁ Χριστὸς οὐδὲν πάσχει, οὐδὲ σταυροῦται, ἀλλ᾽ ὅτι μένει εἰς τὸν αἰῶνα, καὶ τοῦτο δὲ κακούργως· ᾔδεσαν γὰρ τὰς γραφὰς λεγούσας ὁμοῦ καὶ περὶ τοῦ πάθους καὶ τῆς ἀναστάσεως· καὶ γὰρ Ἠσαΐας ἅμα ταῦτα τίθησιν, “ ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη,” λέγει, καὶ τὰ ἑξῆς, καὶ ὁ Δαβὶδ ἐν τῷ δευτέρῳ ψαλμῷ, καὶ ἀλλαχοῦ πολλαχοῦ συνάπτει ταῦτα ἀμφότερα, καὶ ὁ πατριάρχης δὲ εἰπὼν, “ ἀναπεσὼν ἐκοιμήθη ὡς λέων, τις ἐγερεῖ αὐτόν;” ὁμοῦ καὶ τὸ πάθος καὶ τὴν ἀνάστασιν ἐνδείκνυται, καὶ τοῦτο δὲ οὐ κακούργως εἰπὼν, “ καὶ τίς ἐστιν οὗτος ὁ υἱὸς τοῦ ἀνθρώπου;” ὡσανεὶ ἔλεγε, μὴ γὰρ δὴ νομίσῃς, ὅτι περὶ σοῦ τοῦτο λέγομεν, καὶ εἴπῃς, ὅτι δι᾽ ἀπέχθειαν ἐναντιούμεθα· ἰδοὺ γὰρ, οὐκ οἴδαμεν περὶ τίνος λέγεις, καὶ ὅμως ἀποφαινόμεθα. τὸ δὲ “ ἔτι μικρὸν χρόνον “ τὸ φῶς μεθ᾽ ὑμῶν ἐστι,” τοῦτο σημαίνει, ὅτι μεθ᾽ ὑμῶν ἐστι τὸ φῶς, καὶ γὰρ τὸ φῶς τὸ ἡλιακὸν οὐκ ἀναιρεῖται, ἀλλὰ μικρὸν ὑποχωρῆσαν πάλιν φαίνεται· περιπατεῖτε δὲ, εἶπεν, “ ὡς τὸ φῶς “ ἔχετε,” καὶ τὴν πρὸ τοῦ σταυροῦ, καὶ μετὰ τὸν σταυρὸν ἐπί-
35 στευσαν. Λέγει δὲ ταῦτα κατεπείγων αὐτοὺς εἰς τὴν πίστιν. “ ὁ περιπατῶν,” φησὶν, “ ἐν τῇ σκοτίᾳ· οὐκ οἶδε ποῦ ὑπάγει.” πόσα γὰρ πράττουσιν Ἰουδαῖοι νῦν, καὶ οὐκ ἴσασι τί πράττουσιν, ἀλλ᾽ ὡς ἐν σκότῳ βαδίζοντες δοκοῦσι μὲν τὴν ὀρθὴν ὁδεύειν ὁδὸν, τὴν δὲ ἐναντίαν βαδίζουσιν. Εἰπὼν δὲ “ ἵνα υἱοὶ φωτὸς γένησθε,” περὶ ἑαυτοῦ εἶπε, τουτέστιν, ἐμοὶ υἱοί.

Θεοδώρου Μομψουεστίας. Ταῦτα δέ φησιν, οὐχ ὡς τῆς ψυχῆς ἐνταῦθά τι πασχούσης, ἀλλὰ τῆς ψυχῆς φιλίαν καλέσας τὸ δοκεῖν αὐτὴν κατέχειν, καὶ ὥσπερ σωτήριον οὐ προδιδόντα τοῖς συμβαίνουσι κινδύνοις τὸ σῶμα.

Κυρίλλου. Οὐκ ἐν ἑτέροις εἶναι προσῆκον ἂν εἴη τὸν ὑπηρέτην τοῦ Χριστοῦ, ἢ ἐν οἷσπερ ἐστὶν αὐτὸς, καὶ οὐχὶ πάντως φημὶ τοῖς

θεοπρεπέσι καὶ ὑπὲρ ἄνθρωπον ἀξιώμασι· τίς γὰρ ἐν τούτοις τὸν ἀληθῶς καὶ φύσει Θεὸν μιμήσαιτο; ἀλλ' ἐφ' οἷς ἂν δέχηται τὴν τοῦ ἀνθρώπου διαπρέπειν δύνασθαι φύσιν.

Θεοδώρου Ἡρακλείας. Ἀνθρωπίναις ἐνταῦθα καὶ ταπεινοτέραις ἐχρήσατο λέξεσιν, ἐκ τούτων δεικνὺς ὅτι ὄντως τῆς ἀνθρωπίνης ἐκοινώνησε φύσεως, ἢ ἴσως προορῶν τὴν πτῶσιν τῶν ἀπίστων, καὶ τῶν τέως νομιζομένων εἶναι οἰκετῶν τὴν μέλλουσαν ἀπαλλοτρίωσιν, ἐταράσσετο φειδόμενος αὐτῶν τῆς ἀχαρίστου γενεᾶς. Οὐ γὰρ δεδιὼς τὸν θάνατον, ὡς οἴονταί τινες, τὴν λεγομένην ὑπέμεινε ταραχήν· οὐ γὰρ ἠγνόει τίνος ἕνεκεν τὴν πρὸς ἡμᾶς ἐποιήσατο ἄφιξιν, ὡς ἐγγύθεν ἔδειξεν εἰπὼν, "διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν "ταύτην," εἰ γὰρ ἐταράσσετο διὰ φόβον θανάτου, πῶς ἂν ἐδίδαξε τοὺς ἄλλους τούτου καταφρονεῖν, λέγων, "μὴ φοβηθῆτε "ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων "ἀποκτεῖναι;" μέλλων τοιγαροῦν ἐφάπτεσθαι τῆς τῶν προειρημένων πείρας, ἐπεκαλεῖτο τὸν δι' αὐτὸ τοῦτο αὐτὸν ἀποστείλαντα· [i] ξένης δὲ τίς παρ' ἡμῖν συνήθης φωνῆς ἐπακούσαντες, ἀμφίβολον ἐξ ἀνάγκης ἔσχον τὴν διάνοιαν.

Ἀμμωνίου πρεσβυτέρου. Φῶς καλεῖ τὴν εὐαγγελικὴν διδασκαλίαν, σκότος δὲ τὴν ἄγνοιαν, ἢ τὴν τῶν ἀσεβῶν κατάκρισιν.

36 Διὰ τί ταῦτα εἰπὼν ἀπελθὼν ἐκρύβη ἀπ' αὐτῶν; οὐδὲ γὰρ λίθους ἦραν κατ' αὐτοῦ, οὐδὲ ἐβλασφήμησάν τι τοιοῦτον, οἷον ἔμπροσθεν· τίνος οὖν ἕνεκεν ἐκρύβη; τὰς καρδίας ἐμβατεύων, ᾔδει τὸν θυμὸν αὐτοῖς ἀγριαίνοντα, εἰ καὶ μηδὲν ἐφθέγγοντο· κρύπτεται οὖν παραμυθούμενος αὐτῶν τὸν φθόνον· χρὴ γὰρ σκοπῆσαι πῶς αὐτὸν ᾐνίξατο ὁ Εὐαγγελιστὴς, εὐθέως ἐπαγαγὼν, "τοσαῦτα "δὲ σημεῖα αὐτοῦ πεποιηκότος οὐκ ἐπίστευον εἰς αὐτὸν," ποῖα; τοσαῦτα ἃ παρέλιπεν ὁ Εὐαγγελιστὴς οὗτος.

38 Τὸ δὲ, "ἵνα πληρωθῇ ὁ λόγος, ὃν εἶπεν Ἡσαΐας," καὶ τὰ ἑξῆς, δηλοῖ ὅτι οὐχὶ αἰτιολογίας ἐστὶ τὸ "ἵνα," ἀλλ' ἐκβάσεως· οὐδὲ γὰρ ἐπειδὴ οὐκ ἔμελλον πιστεύειν, διὰ τοῦτο εἶπεν Ἡσαΐας, καὶ τὸ "οὐκ ἐδύναντο δὲ πιστεύειν," καθὼς καὶ τοῦτο εἶπεν Ἡσαΐας, "διότι ἐτύφλωσεν αὐτῶν τοὺς ὀφθαλμοὺς," καὶ τὰ ἑξῆς, τὴν αὐτὴν ἔχει ἔννοιαν· διὰ πάντων γὰρ τούτων βούλεται παραστῆσαι

[i] Leg. vid. ξένης δὲ τῆς παρ' ἡμῖν συνήθους φ.

τὸ τῆς γραφῆς ἀψευδὲς, καὶ ὅτι ἃ προεφήτευσεν, οὐχ ἑτέρως ἐξέβη, ἀλλ' ὡς εἶπεν, ἵνα γὰρ μή τις λέγῃ, καὶ τίνος ἕνεκεν ἦλθεν ὁ Χριστός; οὐκ ᾔδει ὅτι οὐκ ἔμελλον αὐτῷ προσέχειν; καὶ τοὺς προφήτας εἰσάγει τοῦτο εἰδότας. Διὰ τοῦτο δὲ ἦλθεν, ἵνα πρόφασιν μὴ ἔχωσι περὶ τῆς ἁμαρτίας αὐτῶν· τὸ δὲ "οὐκ ἐδύ-"ναντο" ἀντὶ τοῦ, οὐκ ἤθελον, κεῖται, καὶ πολλαχοῦ τῆς γραφῆς τοῦτο εὑρήσεις, ὡς τὸ "οὐ δύναται ὁ κόσμος μισεῖν ὑμᾶς."

Θεοδώρου Ἡρακλείας. "Ἐκρύβη," οὐ δειλίας ἕνεκεν, οὐδὲ ἀφανῆ ἑαυτὸν παντελῶς καθιστῶν, ἀλλ' ὑπερώρει χρησίμως, ἵνα σχολὴν αὐτοῖς ἐνδιδόναι δόξῃ εἰς ἐπίσκεψιν τῶν εἰρημένων, οὕτω γὰρ ἐπὶ συννοίας γενόμενοι, καὶ τοὺς λόγους αὐτοῦ μετὰ τῶν πράξεων ἀκριβῶς ἀναπεμπαζόμενοι, εἰς αἴσθησιν ἐλθεῖν ἠδύναντο τοῦ ἀξιώματος αὐτοῦ, εἴγε ἐβούλοντο εὐγνωμόνως συνορᾶν τὰ πράγματα· εἰ γὰρ καὶ τὰ μάλιστα προῄδει αὐτῶν τὴν ἀπιστίαν, ἀλλ' ὅμως τὸ παρ' ἑαυτοῦ διὰ φιλανθρωπίαν ἐποίει.

Ἀμμωνίου καὶ Ἰωάννου. Οὐχ ὁ Θεὸς ἐπώρωσεν αὐτῶν τὴν καρδίαν, ἢ γὰρ ἂν οὐκ ἂν ἀπῄτησεν αὐτοὺς εὐθύνας, ὅπου γε καὶ τὰ ἀκούσια πταίσματα συγχωρεῖ, τοὺς δὲ συστρόπους τυφλωθέντας ὑπὸ τοῦ διαβόλου παραδίδωσιν εἰς πάθος καὶ ἀδόκιμον νοῦν· ἐν ᾧ γὰρ τοιοῦτοί εἰσιν, οὐ δίκαιον αὐτοὺς γνῶναι τοῦ μυστηρίου τὸ βάθος, τοὺς τῆς διανοίας αὐτῶν μύσαντας ὀφθαλμούς.

Ἀπολιναρίου. Πώρωσιν δὲ καρδίας καὶ σκληρισμὸν ἐπαγόμενον ὑπὸ Θεοῦ, μὴ τῆς ἁγίας δυνάμεως ἐνέργημα εἶναι νομίσωμεν, ἀλλὰ συγχώρησιν μὲν τῆς θείας κρίσεως, ἐνέργημα δὲ τῆς
41 πονηρᾶς καὶ ἀντικειμένης δυνάμεως. "Ταῦτα δὲ," φησὶν, ὁ
Εὐαγγελιστὴς "εἶπεν, ὅτε εἶδε τὴν δόξαν αὐτοῦ." τίνος; τοῦ Πατρός· οὐ γὰρ Ἰωάννης περὶ τοῦ Υἱοῦ λέγει, ὁ δὲ Παῦλος περὶ τοῦ Ἁγίου Πνεύματος· οὐχ ὡς συναλείφοντες τὰς ὑποστάσεις, ἀλλὰ μίαν ἀξίαν δηλοῦντες· δόξαν δὲ ἐνταῦθά φησι τὴν ἐν ὄψει, ἐκεῖνον τὸν καπνὸν, τὸ ἀκοῦσαι μυστηρίων ἀπορρήτων, τὸ ἰδεῖν τὰ Σεφαρείμ· τί δὲ ἐλάλησεν, "ὅτι τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλ-"μοὺς, καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν," καὶ τὰ ἑξῆς; ἰδίωμα δὲ τοῦτό ἐστι τῆς γραφῆς, ὡς τὸ, "παρέδωκεν αὐτοὺς εἰς ἀδόκιμον "νοῦν," τοῦτ' ἔστι, συνεχώρησεν, ἀφῆκεν, οὐχὶ γὰρ ἐνεργοῦντα αὐτὸν

ἐνταῦθα εἰσάγει, ἀλλ' ἐκ τῆς αὐτῶν πονηρίας ταῦτα γιγνόμενα δεί-
κνυσιν· ὥσπερ γὰρ ὁ ἥλιος τῶν ἀσθενῶν πλήττει τὰς ὄψεις, οὐ παρὰ
τὴν οἰκείαν φύσιν, οὕτω καὶ ἐπὶ τῶν μὴ προσεχόντων τοῖς τοῦ Θεοῦ
λόγοις, ἀλλὰ φιλονεικούντων, γίνεται· ὅπερ δὲ ἄνωθεν καὶ ἐξ
ἀρχῆς ὁ Χριστὸς ἔλεγε, "πῶς δύνασθε πιστεύειν, δόξαν παρὰ ἀλ-
"λήλων λαμβάνοντες, καὶ οὐ τὴν δόξαν τὴν παρὰ τοῦ Θεοῦ μόνου
"ζητοῦντες," τοῦτο νῦν ὁ Εὐαγγελιστὴς παθόντας αὐτοὺς δείκνυσι.
Φησὶ γὰρ, "ὅτι καὶ ἐκ τῶν ἀρχόντων πολλοὶ ἐπίστευσαν εἰς αὐ-
"τὸν, ἀλλὰ διὰ τοὺς Φαρισαίους οὐχ ὡμολόγουν," καὶ τὰ ἑξῆς,
οὐχ ἄρα οὖν ἄρχοντες ἦσαν, ἀλλὰ δοῦλοι, δουλείαν τὴν ἐσχάτην
44 δουλεύοντες. Διὰ τοῦτο οὖν καὶ ὁ Χριστὸς ἔκραζε λέγων, "ὁ
"πιστεύων εἰς ἐμὲ οὐ πιστεύει εἰς ἐμὲ, ἀλλ' εἰς τὸν πέμψαντά
"με," ὡσανεὶ ἔλεγε, τί δεδοίκατε εἰς ἐμὲ πιστεῦσαι, εἰς τὸν
Θεὸν καὶ Πατέρα ἡ πίστις διαβαίνει δι' ἐμοῦ, ὥσπερ οὖν καὶ ἡ
ἀπιστία· οὐκ εἶπε δὲ ὁ πιστεύων ἐμοὶ, ἀλλ' "ὁ πιστεύων εἰς
"ἐμὲ," τὸ ἀπαράλλακτον δεικνὺς τῆς οὐσίας· ἵνα δὲ μὴ νομί-
σωσιν, ὅτι ὡς ἐπὶ ἀνθρώπου εἴρηται, ἐπάγει, "ὁ θεωρῶν ἐμὲ θεωρεῖ
"τὸν πέμψαντά με," τὴν τοῦ νοῦ θεωρίαν λέγων, οὐδὲ γὰρ σῶμά
ἐστιν ὁ Θεός· καὶ ἐντεῦθεν δὲ τὸ ὁμοούσιον δηλοῖ.

Ἵνα τί τοιοῦτον ἐννοεῖς λέγοντα· ὅταν εἰς ἐμὲ πιστεύητε, τὸν
δι' ὑμᾶς μὲν ἄνθρωπον, καθ' ὑμᾶς δὲ Θεὸν δι' ἑαυτοῦ, καὶ τὸν ἐξ
οὗπερ εἰμὶ Πατέρα, μὴ ἀνθρώπῳ τὴν πίστιν ἀνατιθέναι νομίσητε·
εἰ μὴ γὰρ οὐδὲν ἧττον κατὰ φύσιν Θεὸς, εἰ καὶ φαίνομαι καθ'
ὑμᾶς, ἔχω δὲ ἐν τῷ[k] τὸν γεννήσαντα· ἐμοῦ τοιγαροῦν ὄντος ὁμοου-
σίου τῷ γεγεννηκότι, διαβήσεται πάντως ἡ πίστις, καὶ εἰς αὐτὸν
τὸν Πατέρα.

Ἐπεὶ δὲ ὁ Πατὴρ πανταχοῦ τῆς γραφῆς φῶς καλεῖται, διὰ
46 τοῦτο καὶ περὶ ἑαυτοῦ φησιν, "ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα,"
διὸ καὶ ὁ Παῦλος ἀπαύγασμα αὐτὸν καλεῖ, ἐντεῦθεν τοῦτο μαθὼν,
πολλὴν δὲ δείκνυσι καὶ ἐκ τούτου τὴν πρὸς τὸν Πατέρα συγγέ-
νειαν, καὶ ὅτι οὐδὲν τὸ μέσον· καὶ διὰ τοῦτο δὲ φῶς ἑαυτὸν ἐκάλεσε,
διὸ τὸ τῆς πλάνης ἀπαλλάττειν, καὶ τὸ νοητὸν σκότος λύει.

Τί ἐστιν ὅπερ φησὶν, ὅτι "οὐκ ἦλθον κρῖναι τὸν κόσμον;" οὐκ

[k] Leg. vid. ἐν ἐμαυτῷ.

εἰμὶ, φησὶ, τῆς ἀπειθείας τῶν καταφρονούντων αἴτιος· αὐτοκατάκριτοι γὰρ ἐκ τοῦ μὴ πιστεύειν εἰσί. καὶ ἵνα δείξῃ ὅτι ὁ ἀπιστῶν κολάζεται, φοβερὸν ἔστησε δικαστήριον λέγων, "ὁ ἀθετῶν ἐμὲ, "καὶ μὴ λαμβάνων τὰ ῥήματά μου, ἔχει τὸν κρίνοντα αὐτόν·" τίνα; εἰ γὰρ ὁ Πατὴρ οὐδένα κρίνει, καὶ σὺ οὐκ ἦλθες κρῖναι τὸν κόσμον, τίς κρίνει τὸν μὴ πιστεύοντα; "ὁ λόγος," φησὶν, "ὃν ἐλάλησεν ἐκεῖνος, κρινεῖ αὐτόν·" ποῖον δὲ ἐλάλησε λόγον; ὅτι "ἐγὼ ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα, ἀλλ' ὁ πέμψας με Πατὴρ, ἐκεῖνός μοι ἐντολὴν δέδωκε, τί εἴπω καὶ τί λαλήσω." εἰ ὅτε ἐπέμπετο, τότε ἐλάμβανεν ἐντολὴν τί εἴπῃ, καὶ πρὶν πεμφθῆναι οὐκ ᾔδει. Τί ταύτης ἀσεβέστερον τῆς ἐννοίας τῶν οὕτως ἐκλαμβανομένων ταῦτα τὰ ῥήματα, καὶ μὴ καταμανθανόντων τῆς ταπεινώσεως τὴν πρόφασιν, δι' ἣν ταῦτα ἔλεγεν.

Αὕτη δὲ ἦν ἵνα κἀκείνους ἐπισπάσηται, καὶ τοὺς μετὰ ταῦτα
αἱρετικοὺς ἐπιστομίσῃ· πρὸς δὲ τοὺς πλάνον αὐτὸν ἀποκαλοῦντάς
φησι, "καὶ οἶδα ὅτι ἡ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστι," τὸ δὲ, "ἃ
50 "ἐγὼ λαλῶ, καθὼς εἴρηκέ μοι, ὁ πατὴρ οὕτω λαλῶ" σημαίνει,
ὅτι οὐκ ἔστιν ἕτερα μὲν ἐκεῖνον λέγειν, ἕτερα δὲ ἐμὲ φθέγγεσθαι,
ἀλλ' ὥσπερ τοὺς ἐντολὴν πληρῶσιν, οὕτως οὐδ' ἐμὲ ἄλλό τι πρᾶξαι
ἢ εἰπεῖν δυνατὸν, ἀλλ' ἢ ὅπερ ὁ Πατὴρ βούλεται. δεῖξαι δὲ θέλων
ἑαυτὸν πανταχοῦ συνημμένον τῷ γεγεννηκότι, καὶ ὅτι οὐδὲν μέσον
ἐστὶ, ἃ γὰρ ἐγὼ ποιῶ, ἐκεῖνος ποιεῖ, ὅτι μετ' ἐμοῦ ἐστι, καὶ οὐκ
ἀφῆκέ με μόνον ὁ Πατήρ.

Ἀμμωνίου πρεσβυτέρου. Ὡς οὖν ὁ Πατὴρ φῶς, οὕτω καὶ Υἱός· διὸ δεῖξαι θέλων ὁ Παῦλος τὴν πολλὴν ἐμφέρειαν "ἀπαύ-"γασμα" καλεῖ τοῦ Πατρὸς τὸν Υἱὸν, ὥσπερ τὸ φῶς φανὲν, καὶ ἑαυτὸν δῆλον ποιεῖ καὶ τὰ ὁρώμενα. Οὕτως ὁ Υἱὸς φῶς ὢν, καὶ ἐλθὼν, καὶ ἑαυτὸν ἡμῖν ἐγνώρισε καὶ τὸν Πατέρα. Ὁ σκοπὸς τῆς νῦν παρουσίας γέγονεν οὐ διὰ τὸ κρῖναι, ἀλλὰ διὰ τὸ σῶσαι τοὺς πιστούς· ἵνα μὴ δῷ αὐτοῖς ἀφορμὴν ἀπιστίας, ἐπὶ τὸν Πατέρα ἀνάγει τὴν αἰτίαν εἰς αὐτὸν ἀπιστίας. Ὁ λόγος τῆς ταπεινοφροσύνης αὐτοῦ, κατακρίνει αὐτοὺς, αὐτὸς ὁ Υἱὸς μέλλει κρίνειν τοὺς ἀπειθεῖς, οὐ μὴν ὁ λόγος· αἰνιγματωδῶς γὰρ λαλεῖ. ἐν ἡμέρᾳ κρίσεως, ὁ πρὸς σωτηρίαν ἡμᾶς καλέσας λόγος, ἐκπειθήσας τιμω-

ρεῖται. Λόγος ὢν τοῦ Πατρὸς, αὐτὸς ἑρμηνεύει τὰ ἐν τῷ Πατρὶ καὶ φανεροποιεῖ· διὸ καὶ ἐντολὴν αὐτὸν εἰληφέναι λέγει· οὕτω γὰρ καὶ ἐν ἡμῖν λόγος δημοσιεύει τὰ ἐν τῷ νῷ.

Ἀπολιναρίου. Αὐτοῦ τὰ ῥήματα μετ' ἐξουσίας λαλούμενα, ὅτι καὶ δημιουργὸς καὶ τοῖς δημιουργήμασι τοῖς αὐτοῦ νομοθέτης, καθὸ Λόγος ἐστὶν ὁ τοῦ Θεοῦ, δι' οὗ τὰ πάντα ἐγένετο, ὃς εἰς τὰ ἴδια ἥκει καὶ διαλέγεται μετ' ἐξουσίας, οὐχ ὡς ἄν τις διάκονος τῶν παρὰ Θεοῦ δεδομένων λόγων. Οὐδενὶ γὰρ τῶν τοιούτων ἁρμόσειε τὸ, "ἐγὼ λέγω ὑμῖν," καὶ τὸ ἐν παραθέσει [τῆς] πρὸς τοὺς Θεοῦ νόμους. παρατιθεὶς γὰρ πρὸς τὸ εἰρημένον ἐκ θείου προσώπου τὸ, "οὐ φονεύσεις" καὶ τὸ "οὐ μοιχεύσεις," ἐπιφέρει καθ' ἕκαστον τόδε, "ἐγὼ λέγω ὑμῖν." οὐδὲ ἀλλοτρία Σωτῆρος ἡ νομοθεσία, οὐδὲ ἐξ ἀποκαλύψεως καλεῖ, οὐδὲ προστεταγμένον διαλέγεται, ἐὰν κατὰ θεότητα νοῶμεν αὐτὸν, τὴν ἰδίαν αὐτοῦ καὶ τὴν πρὸς αἰώνιον αὐτοῦ ὕπαρξιν.

Ἀμμωνίου πρεσβυτέρου. Ὡς ἐκ Πατρὸς λέγει ταῦτα ποιεῖν, ἐπείπερ ἑώρων αὐτὸν οἱ Ἰουδαῖοι τὴν τοῦ νόμου σκιὰν μεταπλάττοντα ἐπὶ τὸ πνευματικώτερον.

Ἰωάννου. Ἐπειδὴ γὰρ ἔλεγεν, ὅτι οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, τοῦτό φησιν, ὅτι γὰρ οὐ δυνήσονται ταῦτα λέγειν· τὰ γὰρ ῥήματα ἃ ἐλάλησε νῦν, ἐν τάξει στήσεται κατηγόρου ἐλέγχοντα αὐτοὺς, καὶ πᾶσαν διακόπτοντα ἀπολογίαν.

ΚΕΦ. ΙϚ.

Περὶ τοῦ νιπτῆρος.

1 Οὐχ ὡς τότε εἰδότος τοῦ Χριστοῦ ὅτι ἦλθεν αὐτοῦ ἡ ὥρα, τοῦτό φησιν ὁ Εὐαγγελιστὴς περὶ αὐτοῦ, ἀλλ' ὅτι τότε ἐποίησεν, ὅπερ ἦν εἰδὼς πάλαι· μεγαλόφωνος δὲ ὁ Εὐαγγελιστὴς μετάβασιν τὸν θάνατον καλεῖ· τὸ δὲ "εἰς τέλος ἠγάπησεν αὐτοὺς," τοῦτό ἐστιν, ὅτι οὐδὲν ἐνέλιπεν ὧν τὸ σφόδρα ἀγαπῶντα ποιῆσαι εἰκὸς ἦν· ἰδίους δὲ αὐτοὺς λέγει, κατὰ τὸν τῆς οἰκειώσεως λόγον, ἐπεὶ καὶ ἄλλους ἰδίους λέγει κατὰ τὸν τῆς δημιουργίας, ὡς ὅταν λέγῃ, "οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον." τοὺς "ἐν τῷ κόσμῳ" δὲ εἶπεν,

ἐπειδὴ ἦσαν αὐτοῦ ἴδιοι καὶ οἱ τετελευτηκότες, οἱ περὶ τὸν Ἀβραὰμ καὶ κατ' ἐκεῖνον, ἀλλ' οὐκ ἐν τῷ κόσμῳ ἦσαν ἐκεῖ.

Ἐκπληττόμενος δὲ ὁ Εὐαγγελιστὴς ὅτι ἤδη τὸν προδοῦναι ἑλόμενον τὸν Χριστὸν ἔνιψεν αὐτὸν, φησὶ, " καὶ δείπνου γενομένου, " τοῦ διαβόλου ἤδη βεβληκότος," καὶ τὰ ἑξῆς. Δείκνυσι δὲ καὶ τοῦ Ἰούδα τὴν πολλὴν πονηρίαν, ὅτι οὐδὲ τῶν ἄλλων ἡ κοινωνία κατέσχεν· ὃ μάλιστα οἶδε ἐπέχειν πονηρίαν.

3 *Τὸ δὲ, " πάντα δέδωκεν αὐτῷ ὁ Πατὴρ εἰς τὰς χεῖρας," δηλοῖ ἐνταῦθα τὴν τῶν πιστῶν σωτηρίαν, ὥσπερ δὲ ὁ Πατὴρ αὐτῷ παραδίδωσιν, οὕτως καὶ αὐτὸς τῷ Πατρὶ, καθὼς Παῦλος λέγει, " ὅτε " παραδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρί."*

Τί δὲ " ἀπὸ τοῦ Θεοῦ ἐξῆλθε καὶ πρὸς τὸν Θεὸν ὑπάγει ;" τοῦτο σημαίνει, ὅτι ὁ τοσοῦτος καὶ τηλικοῦτος, ὁ παρὰ Θεοῦ ἐλθὼν, καὶ πρὸς αὐτὸν ἀπιὼν, ὁ πάντων κρατῶν, τοὺς τῶν μαθητῶν νίπτει πόδας, καὶ τοῦτο ποιῆσαι οὐκ ἀπηξίωσε. Βουλόμενος δὲ ὁ Εὐαγγελιστὴς οὐκ ἐκ τοῦ νίψαι μόνον, ἀλλὰ καὶ ἑτέρως τὸ ταπεινὸν δεῖξαι τῆς τοῦ δεσπότου ἡμῶν καὶ Θεοῦ καὶ Σωτῆρος συγκαταβάσεως, φησὶν, " ἐγείρεται ἐκ τοῦ δείπνου·" οὐδὲ γὰρ πρινὴ κατακληθῆναι, ἀλλὰ μετὰ τὸ ἀναπεσεῖν πάντας, τότε ἀνέστη· ἔπειτα οὐδὲ ἁπλῶς νίπτει, ἀλλὰ τὰ ἱμάτια ἀποτιθέμενος, καὶ λέντιον διαζωννύμενος, καὶ οὐδὲ μεχρὶ τούτου ἔστη, ἀλλὰ καὶ αὐτὸς ἐγέμισεν, οὐχ ἑτέρῳ τοῦτο ἐπιτρέψας, διὰ πάντων δεικνὺς, ὅτι οὐχὶ ἀφοσιωμένους δεῖ ποιεῖν τὰ τοιαῦτα ὅταν ποιῶμεν, ἀλλὰ μετὰ πάσης προθυμίας. Διὰ τί δὲ οὐκ ἐξ ἀρχῆς τοῦτο ἐποίησεν, ἐπειδὴ τὰ μείζονα ὕστερον ἐργάζεται ; ὥστε αὐτῶν ἐπιτεῖναι τὴν οἰκείωσιν, καὶ πολλὴν αὐτοῖς προαπεθέσθαι τὴν παράκλησιν πρὸς τὰ μέλλοντα ἐπιέναι δεινά. Ἐπειδὴ γὰρ ἔμελλον ὀδυνᾶσθαι σφόδρα, ἀντίρροπον αὐτοῖς διὰ τούτων ἐπεισάγει τὴν παραμυθίαν.

6 *Ἐν δὲ τῷ εἰπεῖν, " ὅτι ἔρχεται πρὸς Σίμωνα Πέτρον," ὑπόνοιαν δίδωσιν, ὅτι τοῦ προδότου πρῶτον ἔνιψε τοὺς πόδας. Ἤρξατο γὰρ, φησὶ, νίπτειν, καὶ τότε ἦλθε πρὸς τὸν Πέτρον, καὶ οὐδὲ τοῦτο ᾐδέσθη ὁ ταλαίπωρος ἐκεῖνος καὶ ἄθλιος, ἀλλ' ἔμεινεν ἔτι ἀναισθητῶν, ἀκαμπῆ καὶ ἀμείλικτον ὡς ὁ διάβολος κεκτημένος τὴν διάνοιαν.*

Τὸ δὲ, "Κύριε σύ μου νίπτεις τοὺς πόδας;" τοῦτό ἐστι, ταῖς χερσὶ ταύταις, φησὶν, ἐν αἷς ὀφθαλμοὺς ἀνέῳξας, καὶ λεπροὺς ἐκάθαρας, καὶ νεκροὺς ἀνέστησας, τοὺς ἐμοὺς νίπτεις πόδας; τὸ γὰρ, "σὺ" καὶ καθ' ἑαυτὸν πάντα ἐνδείκνυται. Διὰ τί δὲ αὐτὸν οὐδεὶς τῶν ἄλλων ἐκώλυσεν, ἀλλ' ὁ Πέτρος μόνος; ἐπειδὴ ὡς ἐμοὶ δοκεῖ, πρῶτον ἔνιψε τὸν προδότην πρὸ τοῦ κορυφαίου διὰ πολλὴν ἰταμότητα κατακλιθέντα, καὶ τότε πρὸς Πέτρον ἦλθε δεύτερον ὄντα τῇ κατακλίσει, ὅθεν οἱ λοιποὶ ὑπὸ τῆς ἀγανακτήσεως τῆς ἐπὶ Πέτρῳ γενομένης παιδευθέντες, λοιπὸν ἀνέσχοντο· τὸ δὲ, "ὃ ἐγὼ ποιῶ, σὺ οὐκ οἶδας ἄρτι," τὴν ἐκ τοῦ νίψαι σημαίνει ὠφέλειαν, τοῦτό ἐστιν, εἰς πᾶσαν ἄγει ταπεινοφροσύνην ὑμᾶς· μετὰ δὲ ταῦτα πότε γνώσῃ, ὅταν ἐν τῷ ἐμῷ ὀνόματι δαιμόνια ἐκβάλλῃς, ὅταν ἴδῃς εἰς τὸν οὐρανὸν ἀναλαμβανόμενον.

Κυρίλλου. Οὐκ ἠγνοηκὼς ὅτι πάντων ἔχει τὴν ἐξουσίαν, "καὶ "ὅτι ἀπὸ Θεοῦ ἐξῆλθε," τοῦτό ἐστιν, ἐκ τῆς οὐσίας ἐγεννήθη τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ πρὸς αὐτὸν ὑπάγει, τοῦτό ἐστιν, πάλιν ἄνεισιν εἰς οὐρανοὺς, συνεδρεύων δηλονότι τῷ ἰδίῳ γεννήτορι, τοσαύτην ὑπέστη τὴν ταπείνωσιν, ὡς λεντίῳ μὲν ἀποζώσασθαι, τῶν δὲ μαθητῶν ἀπονίπτειν τοὺς πόδας.

Ὠριγένους. Ἄριστον μὲν ἐστὶν ἡ πρώτη, καὶ ἡ πρὸ τῆς συντελείας τῆς ἐν τῷ βίῳ τούτῳ ἡμέρας πνευματικὴ τοῖς εἰσαγομένοις ἁρμόζουσα τροφή. Δεῖπνον δὲ ἡ τελευταῖα, καὶ τοῖς ἤδη ἐπὶ πλέον προκεκωφόσι παρατιθεμένη κατὰ λόγων, καὶ ἄλλως δὲ ἐάν τις εἴποι, ἄριστον μὲν εἶναι τὸν νοῦν τῶν παλαιῶν γραμμάτων· δεῖπνον δὲ τὰ ἐναποκεκρυμμένα τῇ καινῇ διαθήκῃ μυστήρια.

8 Εἰπόντος δὲ τοῦ Πέτρου, ὅτι "οὐ μὴ νίψῃς μου τοὺς πόδας "εἰς τὸν αἰῶνα," ἀφεὶς τὴν περὶ ταπεινοφροσύνης αἰτίαν ὁ Χριστὸς εἰπεῖν αὐτῷ· ὑπέσχετο γὰρ ἂν μυριάκις ταύτην φυλάττειν ὁ Πέτρος, ὑπὲρ τοῦ μὴ τὸν δεσπότην αὐτὸν νίψαι. Ὅπερ δὲ μάλιστα ἐδεδοίκει καὶ ἔτρεμε, τοῦτό φησιν, "ὅτι ἐὰν μὴ νίψω "σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ." Ὥσπερ δὲ ἐν τῇ παραιτήσει σφοδρὸς ἦν, οὕτῳ καὶ ἐν τῷ συγχωρήσει σφοδρότερος, λέγει, "Κύριε, μὴ τοὺς πόδας μόνον, ἀλλὰ καὶ τὰς χεῖρας καὶ τὴν "κεφαλήν·" ἑκάτερα δὲ ἐξ ἀγάπης εἰργάζετο.

Ἀμμωνίου. Ἐὰν μὴ καταδείξῃ τὸ τῆς ταπεινοφροσύνης μά-

θημα, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ, ἤτοι ἐὰν μή τις ἀπονίψηται τὸν τῆς ἁμαρτίας ῥῦπον, διὰ τῆς Χριστοῦ χάριτος, οὐ τυγχάνει τῆς ζωῆς, οὔτε ἀπολαύει τῆς τῶν οὐρανῶν βασιλείας.

Ὠριγένους. Εὐκόλως δὲ χρησώμεθα τὸ "οὐ μὴ νίψῃς μου "τοὺς πόδας εἰς αἰῶνα" καὶ τοῖς πρὸς τὸ λεχθεῖσιν ἐπὶ τῶν προπετεστέρων, καὶ ἀκρίτως εἰπόντων τί ποιήσει, ὅπερ αὐτοῖς μὴ λυσιτελῆ ἐμμένουσι τῷ κακῶς κεκριμένῳ, κἂν μετὰ ὅρκον διὰ πολλὴν προπέτειαν τὸ τοιοῦτον ποτὲ γίγνεται. καὶ φήσομεν ὥσπερ ὁ εἰπὼν Πέτρος, "οὐ μὴ νίψῃς μου τοὺς πόδας εἰς αἰῶνα," κωλύεται ἐμμένειν τῇ τοῦ λελουμένου[h] ὁμολογίᾳ, ἵνα ἔχῃ μετὰ Χριστοῦ μέρος· οὕτω καὶ σὺ ὁ δεῖνα, ἀκρίτως ἐπαγγειλάμενος, τὸ δὲ βέλτιον ποιήσεις, μεταθέμενος ἐπὶ τὸ ἐν πράξει εὐλογώτερον, ἀπὸ τοῦ ἐμμένειν τῷ κακῶς κριθέντι. Ἐκ τοῦ καθ' ἡμᾶς δὲ πράγματος ποιῶν τὸ παράγγελμα, εὐαφόρμως ὁ Χριστὸς ποιεῖται τὸν ἔλεγχον τῷ προδότῃ. Φησὶ γὰρ πρὸς τὸν Πέτρον, "ὁ λελου-"μένος οὐ χρείαν ἔχει, εἰ μὴ τοὺς πόδας νίψασθαι μόνον," καὶ τὰ ἑξῆς· διὰ τούτων μεταβουλεύεσθαι διδάσκων αὐτὸν καὶ τῆς πονηρᾶς γνώμης ἀφίστασθαι, λέγει δὴ τῆς προδοσίας. Πῶς δὲ καθαροὶ ἦσαν οἱ Ἀπόστολοι, οὐδέπω τῶν ἁμαρτημάτων ἀπηλλαγμένοι, οὐδὲ Πνεύματος ἠξιωμένοι, καὶ τοῦ ἱερείου μηδέπω προσανεχθέντος; ἐκ τοῦ τὸ φῶς ἤδη δέξασθαι αὐτοὺς, καὶ τῆς πλάνης ἀπαναχωρῆσαι τῆς Ἰουδαϊκῆς. Λέγει γὰρ ὁ προφητὴς, "λούσασθε καὶ καθαροὶ γένεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν "ψυχῶν ὑμῶν," ὥστε ὁ τοιοῦτος λέλουται καὶ καθαρός ἐστιν. Ἐπεὶ οὖν πᾶσαν πονηρίαν ἀπέρριψαν ἀπὸ τῆς ψυχῆς, καὶ μετὰ εἰλικρινοῦς διανοίας συνῆσαν αὐτῷ, διὰ τοῦτό φησι, κατὰ τὸν
12 προφητικὸν λόγον, ἤδη "ὑμεῖς καθαροί ἐστε." Λαβὼν δὲ τὰ ἱμάτια αὐτοῦ καὶ ἀναπεσὼν, οὐκέτι πρὸς Πέτρον μόνον, ἀλλὰ πρὸς ἅπαντας διαλέγεται, καὶ τὴν αἰτίαν ἐκκαλύπτει τοῦ πράγματος, καί φησιν, "ὑμεῖς φωνεῖτέ με ὁ διδάσκαλος, καὶ ὁ Κύριος," καὶ τὰ ἑξῆς. Ἐπειδὴ γὰρ ἔμελλον λοιπὸν τιμῆς ἀπολαύσεσθαι, οἱ μὲν πλείονος, οἱ δὲ ἐλάττονος, ἵνα μὴ κατ' ἀλλήλων ἐπαίρωνται, πάντων αὐτῶν κατασπᾷ τὰ φρονήματα, ὡσανεὶ λέγων, ὅτι κἂν σφόδρα ᾖς μέγας, ὀφείλεις ἐπὶ τοῦ ἀδελφοῦ μηδὲν μέγα φρονεῖν,

[h] λελογμένου Cod.

ἐμοῦ τοῦ Κυρίου καὶ διδασκάλου νίψαντος ὑμῶν τοὺς πόδας, τῶν
ἐμῶν δούλων καὶ μαθητῶν. “Οὐδὲ γὰρ ἐστὶ,” φησὶ, “δοῦλος
“μείζων τοῦ Κυρίου αὐτοῦ, οὐδὲ Ἀπόστολος μείζων τοῦ πέμψαν-
“τος αὐτόν.” Εἶπε δὲ τοῦτο, ἵν' εἴ ποτε ἢ παρ' οἰκετῶν, ἢ παρά
τινων εὐτελεστέρων πάθοι τις κακῶς, μὴ σκανδαλίζοιτο, εἰς τὸ
κατὰ τὸν Ἰούδαν ἀφορῶν παράδειγμα, ὃς μυρίων ἀπολαύσας ἀγα-
θῶν τοῖς ἐναντίοις ἠμείβετο τὸν εὐεργέτην. Ἐπειδὴ δὲ τὸ μὲν
εἰδέναι πολλῶν ἐστι, τὸ δὲ ποιεῖν ὀλίγων, ἐπήγαγε λέγων, “εἰ
“ταῦτα οἴδατε, μακάριοί ἐστε, ἐὰν ποιῆτε αὐτὰ,” εἰς τὸ ἔργον
ἐκβιβάζων ἡμᾶς. ἵνα δὲ μὴ εἰς πάντας περιστήσῃ τὸ δέος, απο-
σχίζει τὸν προδότην λοιπὸν, καὶ συσκιάζων τὸ πρᾶγμα, τοῦτον
18 ἐλέγχει. Φησὶ γὰρ, “οὐ περὶ πάντων ὑμῶν λέγω,” καὶ τὰ ἑξῆς·
καὶ συσκιάζει μὲν ἐνδιδοὺς αὐτῷ μετανοίας χώραν, ἐλέγχει δὲ,
δεικνὺς τῷ ταλαιπώρῳ, ὅτι οὐκ ἀγνοῶν προσλαμβάνεται αὐτὸν,
ἀλλὰ καὶ σφόδρα εἰδώς. οὐκ εἶπε δὲ, παραδίδωσιν, ἀλλ' “ἐπῆρεν
“ἐπ' ἐμὲ πτερνισμὸν,” τὸ δολερὸν καὶ ὕπουλον καὶ λαθραῖον τῆς
ἐπιβουλῆς παραστῆσαι βουλόμενος.

Ἀμμωνίου πρεσβυτέρου. Οὐχ ὅτι ῥυπαροὶ ἦσαν, ἔνιπτεν αὐτοὺς, ἀλλ' ἵνα διδάξῃ μετριάζειν. οὐ λουτροῦ τάξιν ἐπέχει ὁ νιπτὴρ, οὐδὲ ἁμαρτήματα κουφίζει, ἀλλ' εἰς τελείαν ἀρετὴν ὁδηγεῖ.

Ἀπολιναρίου καὶ Θεοδώρου Ἡρακλείας. Ἡ τῶν ποδῶν νίψις ἐνταῦθα αἰνίττεται τὸ βαθύτερον τοῦ πράγματος, ὅπερ ἔοικεν εἶναι παρασκευὴ τῶν ἀποστολικῶν ποδῶν εἰς τὸ τῆς ἀποστολῆς ἔργον. κεκαθαρμένους γὰρ αὐτοὺς τοῖς ποσὶν ἀποστέλλει διὰ τῆς παρ' ἑαυτοῦ διδομένης καθαρότητος, ἵνα δὴ καὶ διαδραμεῖν δυνηθῶσι τὸν κόσμον, ἀπαγγέλλοντες τὰ τῆς σωτηρίας εὐαγγέλια κατὰ τὸ λεγόμενον, “ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων “εἰρήνην.” καθαροὺς οὖν ὄντας αὐτοὺς τὸ σῶμα, λοιπὸν δεῖσθαι τῆς τῶν ποδῶν καθάρσεως ἔφη, τουτέστιν, ἵνα μὴ μόνον εἶεν καθαροὶ καθ' ἑαυτοὺς, ἀλλὰ καὶ περὶ τὸν δρόμον εἶεν καθαροὶ, διακομίζοντες πᾶσιν ἀνθρώποις τὴν καθαρότητα. εἶναι δὲ αὐτοὺς ἅπαντας καθαροὺς, διὰ τὸν δωδέκατον ἐν αὐτοῖς τὴν ἐν αὐτῷ ἅπασαν ἀκαθαρσίαν ἔχοντα.

Ὠριγένους. Σύμβολόν ἐστι τὸ νίψασθαι ὑμῶν τοὺς πόδας

ὑπ' ἐμοῦ τὸ καθαρθῆναι τὰς βάσεις τῶν ψυχῶν ὑμῶν, ἵνα γένωνται ὡραῖοι καὶ δυνηθεῖεν καθαροὶ ἐπιβαίνειν τὰς τῶν ἀνθρώπων ψυχάς.

ΚΥΡΙΛΛΟΥ. *Ἀναγκαίως εἰσφέρει τοῦ οἰκείου προσώπου τὸ περιφανές· ἐν γὰρ τοιούτῳ θεωρῆσαι τις ἂν τὸ τῆς ταπεινοφροσύνης ἀσύγκριτον μέγεθος. Ὅτε τοίνυν ὁ μέγας ἐν δόξῃ καὶ τοσοῦτος ἐγὼ πρὸς τὴν οὕτω μικροπρεπῆ καθικνεῖσθαι ταπείνωσιν οὐκ ἀποκνήσας φαίνομαι, ὡς καὶ τοὺς ὑμῶν ἀπονίψαι πόδας, πῶς ἂν ἔτι καὶ ὑμεῖς, φησὶ, παραιτεῖσθε ἀλλήλοις ποιεῖν;*

ἈΜΜΩΝΙΟΥ. *Εἰπὼν δὲ τὸ, " εἰμὶ," ἔδειξεν, ὅτι φύσει Θεός ἐστι καὶ διδάσκαλος.*

ΘΕΟΔΩΡΟΥ ἩΡΑΚΛΕΙΑΣ. *Ὅτι γὰρ μὴ οἷόν τε ὑμᾶς δούλους τε ὄντας καὶ Ἀποστόλους ἐμοὺς, μείζονας εἶναι τοῦ πέμψαντος δεσπότου, εὔδηλον. ἐπείπερ ὅ τε δοῦλος, μέχρις ἂν δοῦλος ᾖ, ἔλαττον πολὺ τοῦ κυρίου καθέστηκεν, ὅ τε ἀπεσταλμένος μέχρις ἂν τὴν τοῦ ἀπεσταλμένου τάξιν ἐπέχῃ, οὐδαμῶς ὁμότιμος εἶναι τῷ πεπεμφότι δύναται.*

ἈΜΜΩΝΙΟΥ. *Οὐδὲ τὸ ἀποβῆναι τοὺς τοῦ Πνεύματος λόγους ἠναγκάσθη ὁ Ἰούδας προδοῦναι, ὅπερ ἐστὶ πάσης βλασφημίας ἀνάμεστον, ἀλλ' ἵνα γνῶμεν, ὅτι περὶ ἐκείνου εἶπεν ἡ γραφὴ, ὃν ὁρῶμεν ποιήσαντα τὸ προλεχθέν· εἰ δὲ ὁ κύριος ἐξελέξατο τὸν Ἰούδαν, καὶ παρέβη, οὐδὲν ἐκ τούτου, καλὸν γὰρ ὄντα αὐτὸν ἐξελέξατο, καὶ μετεβλήθη ὡς ὁ Ἀδὰμ καὶ ὁ Σαούλ. τὸ γὰρ αὐτεξούσιον οὐκ ἀναιρεῖ ὁ Θεὸς, ἀλλὰ συγχωρεῖ ἕκαστον καθὼς βούλεται πράττειν, ἵνα καὶ οἱ κακοὶ κολασθῶσι, καὶ οἱ ἐνάρετοι στεφανωθῶσι.*

20 *Ποία δὲ ἀκολουθία πρὸς τὰ ἔμπροσθεν εἰρημένα τὸ εἰπεῖν αὐτὸν, " ὁ λαμβάνων ἐάν τινα ἀποπέμψω, ἐμὲ λαμβάνει," καὶ τὰ ἑξῆς; μεγίστη μὲν οὖν· ἐπειδὴ γὰρ ἔμελλον ἐξιέναι, καὶ πολλὰ πάσχειν δεινὰ δύσι τρόποις αὐτοῖς παραμυθεῖται, ἑνὶ μὲν τῷ παρ' ἑαυτῷ, ἑτέρῳ δὲ τῷ παρ' ἑτέρων· τῷ παρ' ἑαυτῷ μὲν, ὅτι ἐὰν μετὰ τοῦ φιλοσοφεῖν ἐννοῶσιν ἅπερ ἔπαθεν αὐτὸς, καὶ ἅπερ ἐποίησεν, ἅπαντα οἴσουσι ῥᾳδίως τὰ δεινά· τῷ παρ' ἑτέρῳ δὲ, ἐκ τοῦ πολλῆς ἀπολαύειν θεραπείας· τὰς γὰρ πάντων αὐτοῖς ἀνέῳξεν οἰκίας.*

Διὰ τί ταῦτα εἰπὼν ἐταράχθη τῷ πνεύματι; ἐννοῶν ὅτι ὁ

προδότης ἑκατέρων ἀπεστέρηται, καὶ τῆς ἐν τοῖς πόνοις ὑπομονῆς, καὶ τῆς τῶν ὑποδεχομένων θεραπείας. Ὅτι γὰρ τοῦτό ἐστι, δῆλον ἐξ ὧν ἐπήγαγεν ὁ Εὐαγγελιστὴς λέγων, "καὶ ἐμαρτύρησεν "ὁ Ἰησοῦς καὶ εἶπεν, εἷς ἐξ ὑμῶν παραδώσει με." Πάντες δὲ φόβῳ συσχεθέντες ἐπὶ τῷ ῥήματι τούτῳ, συνεταράσσοντο, καὶ ἔβλεπον εἰς ἀλλήλους ἀπορούμενοι περὶ τίνος λέγει. Εἰ γὰρ καὶ μηδὲν ἑαυτοῖς συνεγίγνωσκον πονηρὸν, ὅμως τῶν οἰκείων λογισμῶν τὴν ἀπόφασιν τοῦ Χριστοῦ πιστοτέραν ἡγοῦντο. Διὸ καὶ ἔβλεπον εἰς ἀλλήλους ἀπορούμενοι.

Τί δή ποτε πάντων ἀγωνιούντων καὶ αὐτοῦ τοῦ κορυφαίου τρέμοντος, ὁ Ἰωάννης ὥσπερ ἐντρυφῶν ἀνάκειται εἰς τὸν κόλπον τοῦ Ἰησοῦ; καὶ οὐχ ὅτι ἀνάκειται μόνον, ἄξιον ζητῆσαι, ἀλλ' ὅτι καὶ περὶ ἑαυτοῦ λέγει, "ὃν ἠγάπα ὁ Ἰησοῦς;" Τί οὖν ἐστιν εἰπεῖν; ἀνέκειτο μὲν, ἀλλότριον αὐτὸν τοῦ ἐγκλήματος δεῖξαι βουλόμενος, διὰ τοῦ παρρησιάζεσθαι καὶ θαρρεῖν. Ἀπέκρυψε δὲ τὸ οἰκεῖον ὄνομα διὰ ταπεινοφροσύνης ὑπερβολήν. Ἔτι δὲ καὶ διὰ τοῦτο εἶπεν ἀνακεῖσθαι ἐν τῷ κόλπῳ, τὸν ἀκροατὴν προτρεπόμενος· προσέθηκε δὲ "ὃν ἠγάπα ὁ Ἰησοῦς," ἵν' ὅταν ἀκούσωμεν ὅτι τούτῳ ἔνευσεν ὁ Πέτρος μαθεῖν, μὴ ἀπορήσωμεν ζητοῦντες τὴν αἰτίαν, καὶ νομίζωμεν ὅτι ὡς μείζονι ἔνευσεν, ἀλλὰ διὰ τὴν πολλὴν ἀγάπην. Διὰ τί δὲ οὐχ ὁ Πέτρος ἠρώτησε τὸν Κύριον, ἀλλὰ τῷ Ἰωάννῃ νεύει τοῦτο ποιῆσαι; ἐπειδὴ ἀπὸ πολλοῦ πόθου εὑρίσκεται πολλαχοῦ μὲν ὁρμῶν, ἐγκαλούμενος δὲ, τούτου χάριν δεδοικὼς, διὰ μέσου τοῦ Ἰωάννου βούλεται μαθεῖν. Τίνος δὲ ἕνεκεν συγχωρεῖ τῷ Ἰωάννῃ ὁ Κύριος ἀναπεσεῖν εἰς τὸ στῆθος αὐτοῦ; τὴν ἀθυμίαν ἴσως καταπραΰνων αὐτοῦ· καὶ γὰρ εἰκὸς ὑπῆρχον τῇ ὄψει τότε κατηφεῖς, καὶ οὐδὲ τότε ὀνομαστὶ ἐλέγχει τὸν προδότην, ἀλλὰ ψωμίον ἐπιδιδοὺς, ὃ καὶ μᾶλλον ἐντρέψαι αὐτὸν ἠδύνατο, καὶ ἕως μὲν ἦ τοῦ Χριστοῦ, οὐκ ἐτόλμα ὁ Σατανᾶς ἐπιπηδῆσαι, ἀλλ' ἔξωθεν προσέβαλλεν· ἐπειδὰν δὲ δῆλον αὐτὸν ἐποίησε καὶ ἀφώρισεν, ἐπεπήδησε λοιπὸν μετὰ ἀδείας.

27 Ὅπερ δὲ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, "ὅ τι ποιεῖς, ποίησον τάχιον," οὐχὶ προστάττοντος ἦν, ἀλλ' ὀνειδίζοντος καὶ δεικνύντος, ὅτι αὐτὸς μὲν ἐβούλετο διορθώσασθαι· ἐπειδὴ δὲ ἀδιόρθωτον ἔσχεν, ἀφίησιν αὐτόν. Τὸ δὲ εἰπεῖν τὸν Εὐαγγελιστὴν, ὅτι "τοῦτο οὐδεὶς ἔγνω

" τῶν ἀνακειμένων, πρὸς τί εἶπεν αὐτῷ," πολλὴν ἄν τις ἐνταῦθα ἀπορίαν εὕροι, εἴ γε ἐρωτηθέντος τοῦ Κυρίου τίς ἐστιν, εἶπεν, ὅτι " ᾧ βάψας τὸ ψωμίον ἐπιδώσω," καὶ οὐδὲ οὕτω συνῆκαν, πλὴν εἰ μὴ λάθρα εἴρηκεν, ὥστε μὴ ἀκοῦσαί τινα· καὶ γὰρ ὁ Ἰωάννης διὰ τοῦτο πρὸς τὸ στῆθος ἀναπεσὼν ἐρωτᾷ πρὸς τὸ οὖς, ὥστε μὴ γενέσθαι φανερὸν, διὸ οὐδὲ συνίεσαν. Τάχα γὰρ αὐτὸν καὶ διεσπάσαντο, τάχα ἂν ὁ Πέτρος ἀνεῖλεν αὐτὸν, διὰ τοῦτο οὖν οὐδεὶς ἔγνω τῶν ἀνακειμένων.

Πῶς αὐτὸς κελεύων μὴ πήραν, μὴ χαλκὸν, μὴ ῥάβδον ἐπι-
φέρεσθαι, γλωσσόκομον ἐπεφέρετο; Καὶ γὰρ, φησὶν ὁ Εὐαγ-
γελιστὴς, " τινὲς γὰρ ἐδόκουν ἐπεὶ τὸ γλωσσόκομον εἶχεν ὁ
" Ἰούδας," καὶ τὰ ἑξῆς. Διὰ τί οὖν ἐπεφέρετο γλωσσόκομον
ὁ Χριστός; ἵνα μάθωμεν ὅτι καὶ τὸν σφόδρα ἀκτήμονα καὶ
ἐσταυρωμένον πολλὴν διακονίαν τῶν πενήτων ποιεῖσθαι δεῖ, καὶ
πολλὴν τοῦ μέρους τούτου ποιεῖσθαι τὴν πρόνοιαν· ὅθεν διὰ τοῦτο
ὑπώπτευσαν οἱ μαθηταὶ, πολλὴν γὰρ ἐποιεῖτο τῶν πτωχῶν ὁ
Χριστὸς τὴν ἐπιμέλειαν. Διὰ τί γὰρ τὸν καιρὸν ὁ Εὐαγγελι-
30 στὴς λέγει, ὅτι δὲ " ἦν νὺξ, ὅτε ἐξῆλθεν ὁ Ἰούδας;" ἵνα μάθωμεν
αὐτοῦ τὴν ἰταμότητα, ὅτι οὐδὲ ὁ καιρὸς αὐτὸν ἐπέσχε τῆς ὁρμῆς.

Ἀμμωνίου. Διὰ τοῦ ψωμίου ἐπλήρωσεν ὁ Κύριος τὴν προφητείαν τὴν λέγουσαν, " ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνεν ἐπ' ἐμὲ " πτερνισμόν."

Κυρίλλου. Μηδεὶς οἰέσθω τοῦ δέχεσθαι τοῦ ψωμίου τὸν Σατανᾶν τῷ προδότῃ γενέσθαι παραίτιον. Οὐ γὰρ εἰς τοσοῦτον εἰσόδου πρόφασιν δίδοσθαι τῷ πονηρῷ τὴν εὐλογίαν ὑπονοῆσαι, ἐκεῖνο δὲ μᾶλλον ἐροῦμεν. Ἐπειδὴ γὰρ ἁπάσης ἀγάπης εἰς αὐτὸν τετελεσμένης, τῶν αὐτῶν ἠνείχετο σπουδασμάτων, χειρόνως διψήσας τῆς δυσσεβείας τὸ πέρας, εἰσῆλθε λοιπὸν ὁ Σατανᾶς, καθάπερ τινὰ πύλην τῆς τοῦ φυλάττοντος ἐρήμην νήψεως, ἀναπετασθεῖσαν αὐτοῦ τὴν καρδίαν εὑρὼν, καὶ ἀθύρωτον ὄντα θεωρήσας τὸν νοῦν.

Ἀμμωνίου. Τῇ τετράδι ἐνέβαλεν ὁ Σατανᾶς τὸν Ἰούδαν, ἵνα προδῷ τὸν Κύριον, καὶ ἐλάλησε τοῦτο τοῖς Ἰουδαίοις τῇ πέμπτῃ ἑσπέρᾳ. ἐπειδὴ εἶδε τὸν Ἰούδαν θέλοντα ἔργῳ παραδοῦναι τὸν Κύριον, καὶ σπεύδοντα εἰς τοῦτο, τότε εἰσῆλθεν εἰς αὐτόν. ἄλλο οὖν ἐστι

τὸ ἐμβαλεῖν, καὶ ἄλλο τὸ εἰσελθεῖν εἰς αὐτὸν, ὥσπερ ἄλλο ἐστὶ τὸ πλῆξαί τινα χειρὶ ἔξωθεν, καὶ ἄλλο τὸ δοῦναι τινὶ καιρίαν καὶ εἰσωθῆναι τὸ ξίφος.

ʼΩριγένους. Οὐ μόνον δὲ τὸ κατὰ ἁπλούστερον ἐξῆλθεν ἐκ τοῦ τόπου, ἐν ᾧ τὸ δεῖπνον ἐγίνετο, ἀλλὰ καὶ πλέον ἐξῆλθεν ἀπὸ τοῦ Ἰησοῦ, ἀνάλογον τὸ ἐξῆλθεν ἀφʼ ἡμῶν. Εἰ δὲ χρὴ ὡς μὴ εἰκῇ παρερριμμένον ὑπὸ τοῦ Εὐαγγελίου ἐξετάσαι καὶ τὸ, "ἦν δὲ "νὺξ," λεκτέον, ὅτι συμβολικῶς τότε, εἰ ἡ αἰσθητὴ νὺξ ἦν εἰκὼν τυγχάνουσα τῆς γενομένης ἐν τῇ ψυχῇ Ἰούδα νυκτὸς, ἧς νυκτὸς, φησὶν ὁ Παῦλος, "οὐκ ἐσμὲν νυκτὸς τέκνα, οὐδὲ σκότους," καὶ τὸ "ἡμεῖς δὲ ἡμέρα ὄντες νήφωμεν." Ἐπειδὴ δὲ κατέπεσον τῶν
31 μαθητῶν οἱ λογισμοὶ, ἀνίστησιν αὐτοὺς λέγων, "νῦν ἐδοξάσθη "ὁ υἱὸς τοῦ ἀνθρώπου," πείθων μὴ μόνον μὴ κατηφεῖν, ἀλλὰ καὶ χαίρειν· δόξαν τὸ πρᾶγμα καλῶν. Τί δέ ἐστιν "ἐν αὐτῷ;" τοῦτό ἐστι, διʼ ἑαυτοῦ δοξάσει αὐτὸν, οὐ διʼ ἑτέρου· τὸ δὲ "εὐθὺς" ἅμα τῷ σταυρῷ, ὅτε ὁ ἥλιος ἀπεστράφη, καὶ αἱ πέτραι ἀπερράγησαν, καὶ τὸ καταπέτασμα ἐσχίσθη, καὶ τὰ ἄλλα πάντα ἐγένοντο τεράστια. Ἔτι δὲ οὐδὲ μακρὸν μετὰ τὴν ἀνάστασιν γέγονε χρόνος τοῦ ἐπὶ πλεῖον δοξασθῆναι αὐτόν. τεσσαράκοντα γὰρ ἡμέραι παρῆλθον, καὶ ἡ τοῦ Πνεύματος τοῦ Ἁγίου ἦλθε χορηγία, καὶ πάντες αὐτὴν ἀνεκήρυττον. Ἐπειδὴ δὲ ἔμελλον μικρὸν ὕστερον τὰ λυπηρὰ ἐπιστήσεσθαι, ἄρχεται λοιπὸν ταῦτα λέγειν αὐτοῖς, ὥστε ἔχειν αὐτὰ ἐν μνήμῃ. Φησὶ γὰρ, "τεκνία, ἔτι μικρὸν "χρόνον μεθʼ ὑμῶν εἰμι, ζητήσετέ με·" συνετέλει δὲ τοῦτο πρὸς τὴν τοῦ Χριστοῦ δόξαν τὰ μέγιστα, τὸ σαφῶς εἰδέναι ταῦτα, ὑπομιμνησκομένους, ὅτι ταῦτα πάλαι ἦσαν ἀκηκοότες ὑπʼ αὐτοῦ. "τὸ δὲ καθὼς εἶπον τοῖς Ἰουδαίοις, ὅπου ἐγὼ ὑπάγω," καὶ τὰ ἑξῆς, τοῦτο σημαίνει, ὅτι οὐχὶ νῦν ἀπὸ τῆς τῶν δεινῶν παρουσίας ταῦτα λέγω, ἀλλὰ ἄνωθεν αὐτὰ προεῖπον.

33 Διὰ δὲ τοῦ εἰπεῖν, "ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν," δείκνυσιν ὅτι ὁ θάνατος αὐτοῦ μετάστασίς ἐστι καὶ μετάθεσις ἀμείνων εἰς τόπον σώματα οὐ δεχόμενον φθαρτά· καὶ τοῖς μὲν Ἰουδαίοις τὸν φόβον, τοῖς δὲ μαθηταῖς τὸν πόθον ἐξάπτων, ταῦτα ἔλεγε. Διὸ καὶ τὸ "τεκνία" προσέθηκεν, ἵνα μὴ νομίσωσι καὶ πρὸς αὐτοὺς ὥσπερ πρὸς τοὺς Ἰουδαίους ὁμοίως εἰρῆσθαι τὸ εἰρημένον.

Καὶ ἐπειδὴ εἰς θόρυβον αὐτοὺς ἐμπεσεῖν εἰκὸς ἦν, ἐν τούτοις ὡς ἐρήμους μέλλοντας ἔσεσθαι παραμυθεῖται αὐτοὺς, τὴν πάντων ἀγαθῶν ῥίζαν καὶ ἀσφάλειαν περιβάλλων αὐτοῖς τὴν ἀγάπην,
34 λέγων, "ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους," ὡσανεὶ ἔλεγεν, ἀλγεῖτε ἀπιόντος, ἀλλ' ἐὰν ἀγαπᾶτε ἀλλήλους, ἔσεσθε ἰσχυροί. Τὸ δὲ, "καθὼς ἠγάπησα ὑμᾶς, ἵνα καὶ ὑμεῖς "ἀγαπᾶτε ἀλλήλους," δηλοῖ, ὅτι ὥσπερ ἐγὼ, φησὶν, οὐ προυπηργμένων ὑμῖν κατορθωμάτων ὄφλημα ὑμῖν ἐπέδωκα τὸν θάνατον, ἀλλ' αὐτὸς κατῆρξα, οὕτω καὶ ὑμᾶς εὐεργετεῖν τοὺς φιλτάτους χρὴ, καὶ μὴ ὀφείλοντας αὐτοῖς. Καὶ ἀφεὶς τὰ θαύματα ἃ ἔμελλον ποιεῖν, ἀπὸ τῆς ἀγάπης αὐτοὺς χαρακτηρίζει λέγων, "ἐν "τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε "ἀλλήλους." Τοῦτο γάρ ἐστι μάλιστα τὸ δεικνύον ἀνθρώπους ἁγίους· πολλοὶ γὰρ θαύματα ποιήσαντες μέλλουσιν ἀκούειν παρὰ τοῦ Χριστοῦ, "οὐκ οἶδα ὑμᾶς."

36 Τίνος ἕνεκεν εἶπεν αὐτῷ ὁ Πέτρος, "Κύριε, ποῦ ὑπάγεις;" οὐ τοσοῦτον μαθεῖν βουλόμενος ὡς ἀκολουθῆσαι ἐπιθυμῶν. Διὸ καὶ ἀκούσας ὅτι "ὅπου ἐγὼ ὑπάγω, οὐ δύνασθέ μοι νῦν ἀκολουθῆσαι" καὶ τὰ ἑξῆς. Οὕτως ἐπείγεται ὡς εἰπεῖν, ἄρτι τὴν ψυχήν μου ὑπέρ σου θήσω· τοῦτο δὲ εἶπε τῶν ἄκρων ἐφικνεῖσθαι βουλόμενος· ἤκουσε γὰρ τοῦ Κυρίου λέγοντος, "ὅτι μείζονα ταύτης "ἀγάπην οὐδεὶς ἔχει, ἵνα τὴν ψυχὴν αὐτοῦ θῇ τις ὑπὲρ τῶν φίλων αὐτοῦ." Ὁ δὲ Χριστὸς δεικνὺς αὐτῷ ὅτι αὐτοῦ μόνου ἐστὶ, καὶ οὐκ ἀνθρώπου τινὸς, τὰ τοιαῦτα μετὰ αὐθεντείας ἀπαγγέλλεσθαι, φησὶ πρὸς αὐτὸν, "πρὶν ἀλέκτωρ φωνήσει, τρὶς ἀπαρνήσει με," τοῦτ' ἔστι νῦν, οὐ γὰρ ἦν πολὺ τὸ διάστημα, ἀωρὶ γὰρ τῶν νυκτῶν διελέγετο, καὶ πρώτη καὶ δευτέρα ἦν φυλακὴ διελθοῦσα· τὴν μὲν γὰρ ἀγάπην ἀπεδέξατο τοῦ Πέτρου, τὴν δὲ ἐξ αὐτῆς τικτομένην ἀντιλογίαν περικόπτει, γυμνῶν αὐτὸν τῆς ἄνωθεν βοηθείας. Εἰ γὰρ ἀγαπᾷς, φησὶν, ὀφείλεις τῷ ἠγαπημένῳ πείθεσθαι· εἶπόν σοι, οὐ δύνασαι, ἔδει σε ἐκ τούτου πεισθῆναι. Ἐπειδὴ δὲ οὐ θέλεις, ἀλλὰ φιλονεικεῖς, διὰ τῆς ἀρνήσεως εἴσῃ σαφῶς, ὅτι οὐχ οἷόν τε μὴ γενέσθαι ὃ λέγω.

Ἀμμωνίου πρεσβυτέρου. Μηδεὶς λεγέτω ὅτι ὁ Πέτρος διὰ τοῦτο ἠρνήσατο, ὅτι εἶπεν ὁ Χριστός· οὐ γὰρ ἀνάγκην ἐπέθηκεν

αὐτῷ, ὥστε ἐλθεῖν αὐτὸν εἰς ἄρνησιν, ἀλλ' ὅπερ ἤμελλε πάντως
ἔσεσθαι, προλέγει τῷ μαθητῇ ὡς Θεός· οὐκ ἐξ ἀπίστου δὲ ψυχῆς
γέγονεν ἡ ἄρνησις, ἀλλ' ἐξ ἀσθενείας.
1 Ἀπιστήσας πῶς τοῖς εἰρημένοις ὁ Πέτρος διαπυνθάνεται, οὕτω
καὶ ὑπεραποθανεῖν αὐτοῦ ὑπισχνεῖται. Εἶπε δὲ αὐτοῖς, "μὴ
"ταρασσέσθω ὑμῶν ἡ καρδία," τῆς θεότητος αὐτοῦ τὴν δύναμιν
ἐνδεικνύμενος, ὅτι ἃ κατὰ ψυχὴν εἶχον, ταῦτα ἐγίγνωσκεν, ἅμα δὲ
καὶ παραμυθούμενος αὐτοῖς. Καὶ γὰρ εἰκὸς ἦν αὐτοὺς ἀκούσαν-
τας περὶ Πέτρου ταράσσεσθαι. Εἰ γὰρ ὁ κορυφαῖος καὶ οὕτω
διάπυρος πρὸ ἀλέκτορος τρὶς ἔμελλεν ἀπαρνήσεσθαι, μὴ μεγάλην
τινὰ προσδοκᾷν αὐτοὺς περίστασιν ὑποστήσεσθαι εἰκὸς ἦν. Τί
ἐστι "πιστεύετε εἰς τὸν Θεὸν, καὶ εἰς ἐμὲ πιστεύετε;" πάντα
φησὶ παρελθεῖν δεῖται τὰ δεινά. Ἡ γὰρ εἰς τὸν γεγεννηκότα καὶ
εἰς ἐμὲ πίστις δυνατωτέρα τυγχάνει τῶν ἐπιόντων, καὶ οὐδὲν ἐάσει
κρατῆσαι τῶν δυσχερῶν. Ἵνα δὲ μὴ νομίσωσι τῷ Πέτρῳ μόνῳ
τὴν ἐπαγγελίαν δεδόσθαι, τὸ ἀκολουθήσεις ὕστερον ὑποφαίνει καὶ
2 τοῦτο τοῖς ταύτην τὴν ἐλπίδα λέγειν "ἐν τῇ οἰκίᾳ τοῦ Πατρός
"μου μοναὶ πολλαί εἰσι" καὶ τὰ ἑξῆς, τουτέστι καὶ ὑμᾶς ὁ
χῶρος ὁ αὐτὸς ὑποδέξεται ὁ καὶ τὸν Πέτρον· ἀφθονίαν γὰρ ἐστὶ
καταγωγίων ἐκεῖ, ὥστε χρὴ θαρρεῖν ὑπὸ τούτου· τοσαύτη γὰρ,
φησὶν, ὑπὲρ τοῦ πράγματος τούτου πεποίημαι τὴν σπουδὴν, ὅτι
ἤδη ἂν τούτου ἐγενόμην, εἰ μὴ πάλαι ὑμῖν παρεσκεύαστο. Καὶ
ἐπειδὴ συνεῖδεν αὐτῶν ζητοῦσαν τὴν ψυχὴν μαθεῖν τοῦτο ὅπερ
εἶπεν, "ἵνα ὅπου εἰμὶ, καὶ ὑμεῖς ἦτε," δίδωσιν αὐτοῖς τοῦ ἐρω-
τῆσαι πρόφασιν, λέγων, "καὶ ὅπου ἐγὼ ὑπάγω, οἴδατε, καὶ τὴν
"ὁδὸν οἴδατε." Διὸ καὶ ὁ Θωμᾶς λέγει αὐτῷ "Κύριε, οὐκ
"οἴδαμεν ποῦ ὑπάγεις, καὶ πῶς δυνάμεθα τὴν ὁδὸν εἰδέναι;" καὶ
ὁ μὲν Πέτρος ἀπὸ φιλοστοργίας τὸ ποῦ ὑπάγεις εἶπε, Θωμᾶς
6 δὲ ἀπὸ δειλίας. Τί οὖν ὁ Χριστός; "ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ
"ἀλήθεια καὶ ἡ ζωή·" ὁδὸς μὲν, ὅτι δι' ἐμοῦ ἔρχεσθε πρὸς τὸν
Πατέρα, καὶ οὐ δεηθήσεσθε χειραγωγοῦντος ἑτέρου· ἀλήθεια δὲ,
ὅτι οὐδὲν παρ' ἐμοῦ ψεῦδος, ζωὴ δὲ, ὅτι οὐδὲ αὐτὸς ὁ θάνατος ὑμᾶς
κωλῦσαι δυνήσεται ἐλθεῖν· κἂν γὰρ ἀποθάνητε, τεύξεσθε τῶν
εἰρημένων.

ΚΕΦ. ΙΖ.

Περὶ τοῦ παρακλήτου.

7 Δεῖξαι δὲ θέλων τὸ ἰσοστάσιον τῆς ἑαυτοῦ καὶ τῆς τοῦ Πατρὸς ἐξουσίας, ἐπήγαγεν, "οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα, εἰ μὴ "δι' ἐμοῦ." Ἐγὼ γάρ εἰμι, φησὶ, κύριος τοῦ πρὸς τὸν Πατέρα ἀγαγεῖν, ὡς ὁμοούσιος αὐτοῦ. Ἐπειδὴ δὲ ᾔδεσαν μὲν τὸν Πατέρα, οὐχ οὕτως δὲ ὡς ἐχρῆν, Θεὸν μὲν γὰρ ᾔδεσαν αὐτὸν, Πατέρα δὲ οὐδέπω· ὕστερον δὲ τὸ Ἅγιον Πνεῦμα ἐπελθὸν πᾶσαν αὐτοῖς ἐνέθηκε τὴν γνῶσιν. Διὰ τοῦτό φησιν, "εἰ ἐγνώκειτέ με, καὶ "τὸν Πατέρα μου ἐγνώκειτε ἄν." Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν, εἰ ᾔδειτε ἐμὴν οὐσίαν, καὶ τοῦ Πατρὸς ᾔδειτε ἄν. Τὸ δὲ "ἀπάρτι "γινώσκετε αὐτὸν, καὶ ἑωράκατε αὐτὸν," τοῦτο δηλοῖ, ὅτι δι' ἐμοῦ τὴν εἰς αὐτὸν ἐπίγνωσιν ἐσχήκατε. Ὄψιν λέγει τὴν κατὰ διάνοιαν γνῶσιν. Ὥσπερ γὰρ ὁ εἰπὼν, "ὤφθη Ἀγγέλοις," οὐ περὶ τῆς οὐσίας αὐτῆς ἔφη, ἀλλ' ὡς ἐκείνοις ἰδεῖν ᾖ δυνατόν· οὕτω καὶ ἐνταῦθα χρὴ λογίζεσθαι.

Ἐπειδὴ δὲ ὁ Πέτρος προηρώτησε καὶ ὁ Θωμᾶς, καὶ οἱ Ἰουδαῖοι, καὶ οὐδεὶς οὐδὲν ἔμαθε σαφὲς, ἀλλ' ἔτι ἠγνοεῖτο τὰ λεγόμενα, ἵνα μὴ δόξῃ πρὸς κορῆς εἶναι ὁ Φίλιππος, διὰ τοῦτο μετὰ τὸ εἰπεῖν αὐτὸν, "δεῖξον ἡμῖν τὸν Πατέρα," ἐπήγαγε καὶ τὸ "ἀρκεῖ ἡμῖν·" ἐκεῖνος δὲ τοῖς σωματικοῖς ὀφθαλμοῖς ἐβούλετο ἰδεῖν αὐτόν· ἀλλ' ὁ Χριστὸς τοῦ τοιούτου φρονήματος ἐκκόπτων αὐτὸν, φησὶ, "τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμὶ, καὶ οὐκ ἔγνωκάς "με, Φίλιππε;" οὐκ εἶπεν, οὐκ εἶδές με, ἀλλ' "οὐκ ἔγνωκάς με·" τοῦτο γάρ ἐστιν αὐτὸς, ὅπερ ἐστὶν ὁ Πατὴρ, μένων Υἱός.

9 Διαιρῶν δὲ τὴν ὑπόστασιν λέγει, "ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν "Πατέρα." Ὃ δὲ λέγει τοῦτό ἐστιν· ἐπειδὴ τοῖς σωματικοῖς ὀφθαλμοῖς βούλει ἰδεῖν τὸν Πατέρα, γίγνωσκε ὅτι οὔτε ἐμὲ, οὔτε ἐκεῖνον δυνατόν ἐστιν οὕτως ἰδεῖν· οὐδὲ γὰρ ἐμὲ αὐτὸν οἶδας, ὡς σὺ νομίζεις· σῶμα γὰρ περιβέβλημαι[1], καὶ τοῦτο θεωρεῖς. Εἰ γὰρ ἐμὲ εἶδες, ὡς εἰμὶ, τῇ θεότητι ἐν ἐμοὶ ἐκεῖνον ἔγνως ἄν. Δεικνὺς δὲ τὸ ὁμοούσιον καὶ τὸ ἀπαράλλακτον μετὰ τῆς τῶν προσώπων διαιρέσεως ἐπήγαγε λέγων, "οὐ πιστεύεις ὅτι ἐγὼ ἐν

[1] περιβέβηναι Cod.

"τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστι," καὶ τὰ ἑξῆς, καὶ ἐνταῦθα δὲ τὸ ταὐτὸν ἐνδείκνυται λέγων, "ὁ δὲ Πατὴρ ὁ ἐν ἐμοὶ "μένων, αὐτὸς ποιεῖ τὰ ἔργα," τουτέστι, ὅτι οὐκ ἂν ἄλλως ἐποίησε ὁ Πατὴρ, καὶ ἄλλως ἐγώ. Ὅπερ δὲ μετὰ τὸ εἰπεῖν "πι"στεύετέ μοι, ὅτι ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοὶ," ἐπήγαγε λέγων, "εἰ δὲ μὴ, διὰ τὰ ἔργα αὐτὰ πιστεύετέ μοι," τοῦτό ἐστιν, ὅτι ἔδει μὲν ὑμᾶς, φησὶν, ἀκούοντας Πατέρα καὶ Υἱὸν, μηδὲν ἕτερον ζητεῖν, εἰς παράστασιν τῆς κατὰ τὴν οὐσίαν συγγενείας. Εἰ δὲ ὑμῖν οὐκ ἀρκεῖ τοῦτο πρὸς τὸ δεῖξαι τὸ ὁμότιμον καὶ ὁμοούσιον, κἂν ἀπὸ τῶν ἔργων μάθετε.

12 Διὰ δὲ τοῦ εἰπεῖν, "ὅτι μείζονα ὧν ἐγὼ ποιῶ ποιήσει ὁ "πιστεύων εἰς ἐμὲ," δείκνυσιν ὅτι οὐ ταῦτα δύναται μόνον, ἀλλὰ καὶ ἕτερα τούτων πολλῷ μείζονα. Ὁ γὰρ ἄλλοις παρέχων εἰς τὸ ποιεῖν, πρόδηλον ὅτι αὐτὸς μᾶλλον ἰσχύει ποιῆσαι.

Εἰπὼν δὲ, ὅτι "πρὸς τὸν Πατέρα πορεύομαι," ἐμφαίνει αὐτοῖς, ὅτι αὐτῶν ἐστι λοιπὸν τὸ θαυματουργεῖν, αὐτοῦ ἀπερχομένου.

Ἀμμωνίου. Ὡς τὸν Υἱὸν εἰδὼς ἀκριβῶς εἶπε τοῦτο, οἰόμενος τάχα ὀφθαλμοφανῶς δύνασθαι ἰδεῖν τὸν Θεόν.

Οὐδὲν, φησὶν, ἕτερόν ἐστιν ὁ Υἱὸς, εἰ μὴ ὅπερ ἐστὶ μένων Υἱός. Εἰ γὰρ καὶ ὡς ἔτυχε, λέγεις, ὦ Φίλιππε, ὅτι σε οἶδα, ὁ Υἱὸς εἶ, ἀλλ' οὐκ ἐπέγνως με, ὅτι ὅλον ἔχων ἐν ἑαυτῷ τὸν Πατέρα, μένων πάλιν Υἱὸς ὤν.

Θεοδώρου Ἡρακλείας. Ὁ μὲν γὰρ ὀφθαλμὸς ὁρῶν οὐ πολλοῦ χρόνου δεῖται πρὸς τὴν τοῦ τυγχάνοντος θέαν· ὁ δὲ νοητὸς[k] γνῶναι βουλόμενος, χρόνου δεῖται οὐκ ὀλίγου, καὶ πολλῆς τῆς σκέψεως πρὸς τὴν τοῦ ἀσωμάτου κατάληψιν· ἐχρῆν οὐ δή πω[l] καὶ τὸν Φίλιππον πολλῷ τῷ παρελθόντι χρόνῳ τὰς δυνάμεις τοῦ Κυρίου θεωρήσαντα ἐγκαταλήψει ἤδη ὑπάρχειν, καὶ σαφῶς ἐγνωκέναι τὴν θεότητα τοῦ Κυρίου· προσδιδάξας τοιγαροῦν, ὅτι τῆς ψυχῆς τὴν γνῶσιν ἐπιζητεῖ, ἀκολούθως ἐπισυνῆψε περὶ τῆς ὁράσεως, ὅτε ὑποπτεύεσθαι ἐδύνατο σωματικὴν ὅρασιν ἐπιζητεῖν λέγων, "ὁ "ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα," ἐξ οὗ παρίσταται, ὅτι τὴν κατὰ διάνοιαν ὅρασιν ἔλεγεν.

k νητὸς Cod. l Leg. vid. οὖν δήπου.

Ἀπολιναρίου. Ποιεῖ Χριστὸς ὅσα αἰτοῦσιν Ἀπόστολοι· εἴρηκε γὰρ ὅτι "ποιήσω, ὃ ἐὰν αἰτήσητε ἐν τῷ ὀνόματί μου." ἴδιον δὲ αὐτοῦ τὸ ἔργον ἐνδείκνυται, ἐν τούτῳ δοξάζεσθαι, φησὶν, ἐν ἑαυτῷ τὸν Πατέρα, αὐτοῦ μὲν ἐργαζομένου, τοῦ δὲ Πατρὸς διὰ τῆς τοῦ Υἱοῦ ἐνεργείας ἐκφαινομένου· οὐ γὰρ ἐστὶν ἑτέρα πρὸς Πατέρα εἴσοδος, ἢ δι' Υἱοῦ, οὔτε πάλαι, οὔτε νῦν, οὔτε αὖθις, ἀλλ' οἰκειότερον ἡ διὰ Υἱοῦ εἴσοδος ἔσχηκε δὲ νῦν, ὅτι πλησιέστερον ἡμῖν καθέστη σαρκωθείς.

13 Ὅπερ δὲ λέγει αὐτοῖς "ὅτι ἐὰν αἰτήσητε ἐν τῷ ὀνόματί μου," καὶ τὰ ἑξῆς, τοῦτό ἐστιν, ὅπερ οἱ Ἀπόστολοι μετὰ ταῦτα ἔλεγον, "ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, ἔγειρε καὶ περιπάτει," καὶ τὰ ἄλλα σημεῖα ἅπερ ἐποίησαν αὐτοῦ συνεργοῦντος. Δεύτερον δὲ "ὅτι ἐὰν αἰτήσητε," καὶ τὰ ἑξῆς, λέγει αὐτοῖς βεβαιῶν τὸν λόγον τὸν ἑαυτοῦ, ἅμα δὲ καὶ παραμυθούμενος αὐτοὺς τῇ θλίψει συνεχομένους· ἵνα δὲ μὴ νομίσωσιν ἁπλῶς τὴν αἴτησιν ἰσχύειν, ἐπήγαγε τὸ, "ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολάς μου τηρήσητε," ἀξιοπιστότερον δὲ τὸν λόγον ποιῆσαι βουλόμενος, συγκαταβάσεως λόγους φθέγγεται λέγων, "ἐρωτήσω τὸν Πατέρα·" διὰ δὲ τοῦ εἰπεῖν "καὶ ἄλλον Παράκλητον" καταισχύνει τοὺς τὰ Σαβελλίου νοσοῦντας, καὶ τοὺς περὶ τοῦ Ἁγίου Πνεύματος οὐ τὴν προσήκουσαν δόξαν ἔχοντας· μιᾷ γὰρ πληγῇ τὰς ἐκ διαμέτρου ἑστώσας αἱρέσεις κατήνεγκε· τὸ μὲν γὰρ εἰπεῖν "ἄλλον," δείκνυσι τῆς ὑποστάσεως διαφοράν· τὸ δὲ εἰπεῖν "Παράκλητον," τῆς οὐσίας τὴν συγγένειαν.

17 Εἰπὼν δὲ, "ἵνα μένῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα," ἐσήμανεν, ὅτι οὐδὲ μετὰ τελευτὴν ἀφίσταται τῶν ἀξίων αὐτοῦ. Ἵνα δὲ μὴ ἀκούσαντες "ἄλλον Παράκλητον" πάλιν σάρκωσιν ἑτέραν ὑποπτεύσωσι, τοῦτο διορθούμενος φησὶν, "ὁ δὲ κόσμος οὐ δύναται," φησὶ, "λαβεῖν," καὶ τὰ ἑξῆς.

Θεωρίαν δὲ ἐνταῦθα τὴν γνῶσιν ἔλεγεν· ἐπήγαγεν οὖν "οὐδὲ "γιγνώσκει αὐτό·" οὐδὲ γὰρ ἐπὶ τῆς ἀκριβοῦς γνώσεως θεωρίαν λέγειν. Ἐπειδὴ γὰρ τῶν αἰσθήσεων τρανοτέρα ἐστὶν ἡ ὄψις, διὰ ταύτην ἀεὶ τὴν ἀκριβῆ παρίστησι γνῶσιν. Κόσμον δὲ ἐνταῦθα τοὺς πονηροὺς φησίν.

18 Τὸ δὲ, "παρ' ὑμῖν μένει, καὶ ἐν ὑμῖν ἐστι," δηλοῖ, ὅτι οὐχ

οὕτω φησὶν, ὑμῖν συνέσται ὥσπερ ἐγὼ, ἀλλ' ἐν αὐταῖς οἰκήσει
ταῖς ὑμετέραις ψυχαῖς. Χρὴ δὲ σκοπῆσαι πόσοις ἐπῆρε τὸν περὶ
τοῦ Πνεύματος τοῦ Ἁγίου λόγον. Εἶπεν ὅτι ἄλλος ἐγώ ἐστιν, εἶπεν
ὅτι οὐκ ἀφήσει ὑμᾶς, εἶπεν ὅτι πρὸς ὑμᾶς μόνον ἔρχεται. Ὥσπερ
οὖν ἐγὼ, εἶπεν ὅτι ἐν ὑμῖν μένει. Ἀλλ' οὐδὲ οὕτως τὴν ἀθυμίαν
αὐτῶν ἐξέβαλεν, αὐτὸν γὰρ ἐζήτουν ἔτι. Διὸ τοῦτο θεραπεύων
ἐπήγαγε λέγων, " οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς·" οὐδὲ τοῦτο εἶπον,
φησὶν, ἄλλον Παράκλητον πέμπειν, ὡς αὐτὸς ἐγὼ ὑμῶν εἰς τέλος
ἀπανιστάμενος καὶ οὐκέτι ὀψόμενος ὑμᾶς. Καὶ γὰρ ἐγὼ αὐτὸς
" ἔρχομαι πρὸς ὑμᾶς," ὅπερ μάλιστα ἐζήτουν. Ἐπειδὴ δὲ εἴρηκεν
ὅτι " ἔρχομαι πρὸς ὑμᾶς," ἵνα μὴ παρουσίαν πάλιν τοιαύτην ἐπιζη-
τῶσιν οἵαν καὶ πρότερον. Διὰ τοῦτο ἐπήγαγε λέγων, " ἔτι μικρὸν
" καιρὸν καὶ ὁ κόσμος με οὐκέτι θεωρεῖ· ὑμεῖς δὲ θεωρεῖτέ με,"
ὡσανεὶ ἔλεγεν, ἔρχομαι μὲν πρὸς ὑμᾶς, οὐ μὴν ὁμοίως ὡς πρότερον.
Εἰπὼν δὲ ὅτι " ἐγὼ ζῶ καὶ ὑμεῖς ζήσεσθε," οὐχὶ τὴν παροῦσαν,
20 *ἀλλὰ τὴν μέλλουσαν λέγει ζωήν. Τὸ δὲ, " ἐν ἐκείνῃ τῇ ἡμέρᾳ*
" γνώσεσθε," καὶ τὰ ἑξῆς, δηλοῖ ὅτι ὅταν ἀναστῶ, φησὶ, γνώσε-
σθε, ὅτι οὐκ ἀπέσχισμαι τοῦ Πατρὸς, ἀλλὰ τὴν αὐτὴν ἔχω
δύναμιν, καὶ ὅτι μεθ' ὑμῶν εἰμι διηνεκῶς, τῶν πραγμάτων ἀνα-
κηρυττόντων τὴν περὶ ὑμᾶς βοήθειαν παρ' ἐμοῦ γενομένην. συγ-
καταβαίνων δὲ πάλιν τοῖς ῥήμασι, φησὶ, " καθὼς ἀπέστειλέ με ὁ
" Πατὴρ, κἀγὼ ἀποστέλλω ὑμᾶς." Εἰ γὰρ μὴ τοῦτο οὕτως
ἐκλαβώμεθα, οὐδὲν ἔσονται διεστηκότες οἱ Ἀπόστολοι τοῦ Χριστοῦ.
Τί ἐστιν " ὁ ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν αὐτὰς, ἐκεῖνός
" ἐστιν ὁ ἀγαπῶν με ;" ὅτι οὐκ ἀρκεῖ τὸ ἐχόμενον, ἀλλὰ καὶ
φυλακῆς ἡμῖν δεῖ τούτων ἀκριβοῦς. Τὸ δὲ ἔπαθλον ὅσον ἔσται
21 *ἐπήγαγε λέγων, " ὁ δὲ ἀγαπῶν με, ἀγαπηθήσεται ὑπὸ τοῦ Πατρός*
" μου" καὶ τὰ ἑξῆς.

Ἀμμωνίου πρεσβυτέρου. *Οὐδέποτε μὲν εἴασεν αὐτοὺς ἐρήμους τῆς αὐτοῦ προνοίας, πλὴν ὤφθη αὐτοῖς καὶ μετὰ τὴν ἀνάστασιν. ἐπειδὴ ἐλθὼν ἐκάλεσεν αὐτοὺς " τεκνία," μέλλων ἀπιέναι, εἶπεν " ὀρφανούς." Ὅτι ἤμελλε μόνοις αὐτοῖς ὠφθῆναι μετὰ τὴν ἀνάστασιν, πᾶσιν εἶπε " μικρόν." μικρὸν χρόνον λέγει τὸν ἕως τῆς δευτέρας παρουσίας, μικρὸν γὰρ Θεῷ καὶ ὁ μακρὸς χρόνος. ὑμεῖς δὲ οἱ ἅγιοι διὰ τῆς τοῦ Πνεύματος ἐνοικήσεως γνώσεσθέ με, οὐ μὴν οἱ*

τὰ τοῦ κόσμου ἀγαπῶντες. Ἀρραβὼν τῆς μελλούσης ζωῆς ἔχετε λαβεῖν, ἐστιν ἡ ἐμὴ ἀνάστασις.

Θεοδώρου Μομψουεστίας. Τότε ἀπ' αὐτῶν μαθήσεσθε τῶν πραγμάτων ὅτι ἀληθῆ τὰ παρ' ἐμοῦ λεγόμενα. περὶ ὧν δὲ νῦν ἀμφιβάλλειν ἔτι δοκεῖτε, καὶ ὅτι ἐγὼ μὲν ἐν τῷ Πατρὶ, διὰ τῆς πρὸς αὐτὸν ὁμοιότητος καὶ συναφείας, ὑμεῖς δὲ ἐν ἐμοὶ, διὰ τῆς εἰς ἐμὲ πίστεώς τε καὶ ἀγάπης· ἔτι δὲ τῆς τοῦ Πνεύματος δόσεως τὴν πρὸς ἐμὲ κοινωνίαν λαμβάνοντες· κἀγὼ δὲ ἐν ὑμῖν ὡς εἰκός. Ἡ γὰρ συνάφεια τοῦτο παρασκευάζει, ὥστε ἀναγεννηθέντων ὑμῶν τῇ δυνάμει τοῦ Πνεύματος, καὶ ἐν τάξει μοι σώματος γενομένων, καὶ κεφαλῆς χώραν ὑμῖν ἐπέχειν ἐπ' ἐμέ.

Κυρίλλου. Τουτέστιν ὁ πίστει καὶ πράξει διαφανεὶς, τὸν δὲ δὴ τοιοῦτον ἀγαπήσει μὲν ὁ Πατὴρ, ἀγαπήσει δὲ οὐδὲν ἧττον αὐτὸς ὁ Υἱός. Ὥσπερ γάρ ἐστιν ὁμοούσιος, οὕτω καὶ συνθελητὴς τῷ ἰδίῳ γεννήτορι.

22 Ἀμμωνίου. Μετὰ τὴν ἀνάστασιν οἱ ὀρθῶς πιστεύοντες τελείως γνώσονται· "νῦν γὰρ ἐκ μέρους γιγνώσκομεν," ὅτι πολλοῖς κρατηθεὶς ὁ Ἀπόστολος Ἰούδας φησιν, "Κύριε, καὶ τί γέγονεν, ὅτι ἡμῖν "μέλλεις ἐμφανίζειν σεαυτὸν, καὶ οὐχὶ τῷ κόσμῳ;" καὶ γὰρ ἐνόμιζεν ὅτι ὥσπερ τοὺς νεκροὺς ὁρῶμεν κατ' ὄναρ, οὕτω καὶ αὐτὸν μέλλειν ὁρᾶσθαι. Διὸ ἵνα μὴ τοῦτο μέχρι πολλοῦ νομίζωσι, λέγει αὐτοῖς, "ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει, καὶ ὁ Πατήρ "μου ἀγαπήσει αὐτὸν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν "παρ' αὐτῷ ποιήσομεν," μονονουχὶ λέγων, ὥσπερ ὁ Πατὴρ ἐμφανίζει ἑαυτὸν, οὕτω καὶ ἐγὼ ἐν ἀληθείᾳ, καὶ οὐ κατὰ φαντασίαν, ὥστε οὐκ ἐμὲ μόνον, ἀλλ' οὐδὲ τὸν Πατέρα ἀγαπᾷ, ὁ μὴ τούτῳ μου πιστεύων τῷ λόγῳ· τὸ γὰρ αὐτὸ ἐμφαίνει, καὶ ὅπερ ἐπήγαγε λέγων, ὅτι ὁ μὴ ἀγαπῶν με, τοὺς λόγους μου οὐ τηρεῖ, τοῦτό ἐστιν, οὓς εἶπον, ὅτι ἐκ νεκρῶν ἐν ἀληθείᾳ ἐγείρομαι. Ταῦτα δὲ πάντα συνεχῶς λέγει, ἵνα μὴ μετὰ τὴν ἀνάστασιν φάντασμα αὐτὸν εἶναι νομίσωσιν. Εἰ γὰρ ἐπὶ τῶν ὑδάτων ἰδόντες αὐτὸν, τοῦτο ἐνόμισαν, τί ἂν οὐχ ὑπώπτευσαν ἂν, θεασάμενοι αὐτὸν ἀναστάντα, ὃν εἶδον κατεχόμενον καὶ σταυρούμενον καὶ θαπτόμενον; Ἐν δὲ τῷ εἰπεῖν, "ὁ λόγος ὃν ἠκούσατε, οὐκ ἔστιν "ἐμὸς, ἀλλὰ τοῦ πέμψαντός μου Πατρὸς," δείκνυσιν ὅτι οὐδὲν

ἔξω τοῦ Πατρὸς φθέγγεται, οὐδὲ ἴδιόν τι παρὰ τὸ δοκοῦν ἐκείνῳ.

Θεοδώρου Ἡρακλείας Ἀπολιναρίου καὶ Κυρίλλου. Ἐβούλετο ἐκεῖνος διὰ τὴν προσοῦσαν φιλανθρωπίαν μὴ μόνον τοῖς μαθηταῖς τὴν ἐκ τῆς ἐπιφανείας ὑπάρξαι ὠφέλειαν, ἀλλ' ὁμοῦ, εἰ οἷόν τε ἦν, παντὶ τῷ κόσμῳ. ὁ δέ γε Σωτὴρ βουλόμενος δεῖξαι, ὅτι οὐ πάντων ἐστὶ καταξιοῦσθαι τῶν τοιούτων, διὰ τῆς ἀποκρίσεως παρίστησιν, ὡς μόνοι οἱ φυλάσσοντες αὐτοῦ τὰς ἐντολὰς, ἄξιοι φανήσονται τῆς τε αὐτοῦ ἐπιφανείας καὶ τῆς τοῦ Πατρὸς ἀγάπης. Ὁ δὲ μὴ πιστεύων, μηδὲ τηρῶν αὐτοῦ τοὺς λόγους, ἀλλότριος παντελῶς τῆς ἀγάπης αὐτοῦ καθέστηκε. τὸν δὲ λόγον τῆς διδασκαλίας οὐκ ἴδιον, ἀλλὰ τοῦ πέμψαντος αὐτὸν Πάτρος εἶναι εἰρηκὼς, σαφῶς δὲ ἐκ τούτου τὸ διάφορον τῶν προσώπων ὑπέδειξεν.

Ἀμμωνίου πρεσβυτέρου. Διδάσκει ὅτι μόνοις τοῖς μαθηταῖς ἐξαιρέτως καὶ ὑπὲρ λόγον ἔσται ἡ ἔλλαμψις, ὑπὲρ ὧν τηροῦσι τὰς ἐντολάς.

Ὁ Πατὴρ ἐν τῷ Υἱῷ ἐστι φυσικῶς, ἡμῖν δὲ σχετικῶς· καὶ ὅταν ἀκούσωμεν ἕνωσιν Πατρὸς καὶ Υἱοῦ, τὴν φυσικὴν νοοῦμεν, ὅταν ἕνωσιν Θεοῦ καὶ ἀνθρώπων σχετικὴν νοοῦμεν τὴν ἐκ πί-
στεως προσγινομένην τοῖς ἁγίοις, καὶ τοῖς ἀπὸ τῆς τοῦ Πατρὸς
25 μετοχῆς κοινωνίαν. "Ταῦτα δὲ λελάληκα ὑμῖν, παρ' ὑμῖν μένων,"
φησι, ταῦτα, ποία; ἅπερ ἀσαφῆ αὐτοῖς ἐφαίνετο τέως. Διὸ καὶ
ἐπήγαγεν, "ὁ δὲ Παράκλητος, τὸ Πνεῦμα τὸ Ἅγιον, ὃ πέμψει ὁ
"Πατὴρ" καὶ τὰ ἑξῆς, τουτέστι, σαφὴς ἔσται διδάσκαλος ὑμῶν.
Ἐπειδὴ δὲ καὶ ταῦτα ἀκούοντες ἐταράσσοντο, ἐπήγαγε λέγων,
"εἰρήνην ἀφίημι ὑμῖν," καὶ τὰ ἑξῆς, μονονουχὶ λέγων, ὅτι οὐδὲν
βλάπτεσθε ἀπὸ τῆς τοῦ κόσμου ταραχῆς, ἕως ἂν εἰρηνεύετε
27 πρός με. "Οὐ γὰρ καθὼς ὁ κόσμος δίδωσι," φησὶν, "ἐγὼ δί-
"δωμι ὑμῖν," ἐκείνη μὲν γὰρ καὶ ἐπὶ κακῷ γίνεται πολλάκις καὶ
ἀνόνητος. Ἐγὼ δὲ δίδωμι τοιαύτην, ἥτις ὑμᾶς ἰσχυροτάτους
ποιεῖ. Αὕτη δέ ἐστιν, ἵνα μετ' ἀλλήλων εἰρηνεύητε· ἀλλ' ἐπειδὴ
πάλιν ἀναχωροῦντος ἦν, καὶ ἱκανὸν αὐτοὺς συγχεῖν, διὰ τοῦτό
φησι, "μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία μηδὲ δειλιάτω·" ὅθεν

χρὴ σκοπεῖν ὅτι τὰ μὲν ὑπὸ φιλοστοργίας, τὰ δὲ ὑπὸ δειλίας ἔπασχον.

Ποίαν χαρὰν ἔμελλε φέρειν αὐτοῖς ὅτι εἶπεν, "ἐχάρητε ἄν, "ὅτι πορεύομαι πρὸς τὸν Πατέρα," ἢ ποίαν παραμυθίαν; τὴν τῆς ἀναστάσεως τελείαν πληροφορίαν· οὐδέπω γὰρ περὶ ταύτης ᾔδεσαν ἀκριβῶς, οὐδὲ οἵαν ἐχρῆν περὶ αὐτοῦ δόξαν εἶχον· διὸ καὶ πρὸς ὅπερ ἐνόμιζον ἐκεῖνοι τὸν Πατέρα μέγαν εἶναι, συγκαταβαίνων ἐγήγαγε λέγων, "ὁ Πατήρ μου μείζων μοῦ ἐστι," ὅπως τοῦτο νομίζοντες καὶ ἀκούσαντες ὅτι πρὸς τὸν Πατέρα τὸν δυνατὸν ἀπέρχεται, τὸν λῦσαι πάντα δεινὰ ἰσχύοντα, παραμυθίαν ἐντεῦθεν λάβωσι.

Τίνα λέγει "ἄρχοντα κόσμου;" τὸν διάβολον, διὰ τὸ τῶν πονηρῶν ἄρχειν ἀνθρώπων. οὐ γὰρ οὐρανοῦ ἄρχει καὶ γῆς, ἐπεὶ ἀνέτρεψεν ἂν ἅπαντα καὶ κατέβαλεν· ἄρχει δὲ τῶν ἑαυτοὺς παραδιδόντων αὐτῷ.

Οὗτος οὖν, φησὶν, "ἐν ἐμοὶ ἔχει οὐδέν." Οὐ γὰρ ὑπεύθυνος ὢν θανάτῳ, ἀλλὰ δι' οἰκείαν φιλανθρωπίαν ὑπομένω αὐτὸν, καὶ διὰ τὴν ἀγάπην τὴν πρὸς τὸν Πατέρα. Τοῦτο γὰρ σημαίνων ἐπήγαγεν, "ἵνα γνῷ ὁ κόσμος, ὅτι ἀγαπῶ τὸν Πατέρα," καὶ τὰ ἑξῆς.

Ἀμμωνίου. Μὴ θορυβεῖσθε, ἀκούσαντες ὅτι μέλλω πάσχειν, πολὺ γὰρ ἐκ τούτου κέρδος.

Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν.

Θεοδώρου Ἡρακλείας. Αὕτη συνάπτει μὲν τοὺς ἐν ἕξει αὐτῆς γινομένους τῷ Πατρὶ, τῶν δὲ ἁγίων ἓν τὸ φρόνημα ἀπεργάζεται· οὐ μόνον δὲ πάντας κοινῇ πρὸς ἀλλήλους συνάπτει, ἀλλὰ καὶ ἰδίᾳ ἕκαστον ἑαυτῷ σύμφωνον ἀποτελεῖ. Ἐπειδὴ γὰρ, οἶμαι, ἡ ἀνθρωπίνη φύσις ἐξ ἐπιβουλῆς τοῦ ἐναντίου πρὸς ἑαυτὴν διέστη τὸ πρὶν, καὶ ὥσπερ ἐμφύλιον πόλεμον εἰς ἑαυτὴν ἐδέξατο τοῦ πονηροῦ ἐπαναστήσαντος τὸ χεῖρον τῷ κρείττονι, καὶ ἐπιτειχίσαντος τὴν σάρκα τῷ Πνεύματι, ἐδεῖτο τῆς παρὰ τοῦ Κυρίου εἰρήνης, ὅπως ἡ ψυχὴ εὐήνιον πάλιν τὴν σάρκα καὶ πειθήνιον τὸ σῶμα ἀπολαβοῦσα, ἐμφυλίου στάσεως ἀπαλλαγῆναι δυνηθῇ.

Ἀμμωνίου. Ἐπάνοδον λέγει τὸν καιρὸν τῆς ἀναστάσεως, οὐ

τὸ μείζονα εἶναι τὸν Πατέρα ποιεῖ αὐτὸν ἑτέρας οὐσίας, ὡς αἱρετικοί φασιν, ὅτι ἦν ἐπὶ γῆς ὡς ἄνθρωπος, μείζονα εἶπε τὸν Πατέρα. Τοῦτο διὰ τὸ φαινόμενον σῶμα λέγει, ἐπεὶ καθόλου Θεὸς, οὐδὲ ἧττον ἐστὶ τοῦ Πατρὸς, οὔτε εἰς οὐρανοὺς ἀνάγεται ὁ τὰ πάντα πληρῶν καὶ ἀχώριστος ὢν τοῦ Πατρός.

Διὰ τὴν πρὸς Θεὸν ἀγάπην ἀποθνήσκων ἑκὼν, ὅπερ οὐδὲν ἔχει βλάβος, ἐπεὶ οὐκ ἂν τοῦτο ἠβούλετο ὁ ἀγαπῶν αὐτὸν Πατήρ.
31 Διὰ τί εἶπεν, "ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν;" ἀναπνεῦσαι διδῶν αὐτοῖς. Καὶ γὰρ εἰκὸς ἦν αὐτοὺς ἅτε ἐν καταδήλῳ χωρίῳ ὄντας, τρέμειν καὶ δεδοικέναι ἀπό τε τοῦ καιροῦ, ἀπό τε τοῦ τόπου· καὶ γὰρ νὺξ ἦν βαθυτάτη, καὶ μηδὲν προσέχειν τοῖς λεγομένοις, ἀλλ' ἀεὶ περιστρέφεσθαι καὶ φαντάζεσθαι τοὺς ἐπιστησομένους. Ἐπεὶ οὖν ὡς αὐτίκα μάλα ἁλωσόμενοι ἐθορυβοῦντο, ἄγει αὐτοὺς εἰς ἕτερον τόπον, ἵνα νομίσαντες ἐν ἀσφαλείᾳ εἶναι, μετὰ ἀδείας λοιπὸν ἀκούσωσι· καὶ γὰρ ἔμελλον μεγάλων ἀκούσεσθαι δογμάτων.

Γρηγορίου Ναζιάνζου. Διεγείρει αὐτοὺς μεταστῆναι ἀπὸ γῆς εἰς οὐρανὸν, τὸ πᾶσαν γεώδη φαντασίαν καταλιπεῖν καὶ τὰ οὐράνια μόνα φρονεῖν.

Κυρίλλου. Ὅταν λέγει τὸ, "ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν," οὐχ ὡς ὑπαίτιος τοῖς ἀνθρωπίνοις πάθεσιν, ἀλλ' ὡς ἀρχηγὸς καὶ προστάτης καὶ καθηγητὴς τῆς εἰς ἀφθαρσίαν ὁδοῦ, καὶ εἰς ζωὴν τὴν ἐν ἁγιασμῷ, τοῦτό φησι.

Ἀπολιναρίου καὶ Θεοδώρου Ἡρακλείας. Δοκεῖ μὲν ἀναχώρησις εἶναι τὸ πρᾶγμα, ἔκδοσις δέ ἐστιν ἑκούσιος, ὅτι τοιοῦτον μεταδιώκει τόπον, ἐν ᾧ γνωσθήσεται ὑπὸ τοῦ προδότου, καὶ προδοθήσεται.

1 Εἰπὼν, "ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινὴ," διὰ τῆς παραβολῆς ταύτης ᾐνίξατο, ὅτι τὸν μὴ προσέχοντα τοῖς λεγομένοις ζῆν τὴν αἰώνιον ζωὴν οὐκ ἔνι, καὶ ὅτι τὰ μέλλοντα γίνεσθαι σημεῖα ἀπὸ τῆς αὐτοῦ γίνεται δυνάμεως. Τὸ δὲ, "ὁ Πατήρ μου ὁ γεωργός "ἐστι," δηλοῖ, ὅτι τῆς τοῦ γεωργοῦ ἐπιμελείας οὐχ ἡ ῥίζα ἤγουν ἡ ἄμπελος, τοῦτ' ἔστι ὁ Υἱὸς ἀπολαύει, οὐδὲ γὰρ δεῖται, ἀλλὰ τὰ κλήματα, τοῦτο γὰρ σαφέστερον καὶ διὰ τῶν ἑξῆς ἐσήμανεν. ἡ ῥίζα δὲ δι' οὐδὲν ἕτερον παρείληπται ἐνταῦθα, ἀλλ' ἵνα μάθωσιν,

ὅτι τῆς αὐτοῦ δυνάμεως χωρὶς οὐδὲν ἐργάζεσθαι δύνανται, καὶ ὅτι οὕτως αὐτοὺς ἡνῶσθαι δεῖ τῇ εἰς αὐτὸν πίστει, ὡς τὸ κλῆμα τῇ ἀμπέλῳ.

2 Δεικνὺς δὲ ὅτι χωρὶς ἔργων οὐκ ἔστιν εἶναί τινα ἐν αὐτῷ, ἐπήγαγε, "πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπὸν, αἴρει αὐτὸ," τὸ δὲ φέρον καρπὸν, φησὶ, πολλῆς ἐπιμελείας ἀπολαύειν ποιεῖ, καθαίρων αὐτὸ, τὴν παρ' αὐτοῦ βοήθειαν δεικνὺς, ἑαυτὸν δὲ δεικνὺς τὸν ἐπιμελούμενον τῶν κλημάτων, ἐπήγαγε λέγων, "ἤδη ὑμεῖς καθαροί "ἐστε διὰ τὸν λόγον ὃν λελάληκα ὑμῖν·" ἐγὼ γὰρ ὑμᾶς ἐκάθηρα, φησὶ, διὰ τῆς ἐμῆς διδασκαλίας, καίτοιγε ἀνωτέρω δείκνυσι τὸν Πατέρα τοῦτο ποιοῦντα, ἀλλ' οὐδὲν μέσον Πατρὸς καὶ Υἱοῦ.

4 Τὸ δὲ "μείνατε ἐν ἐμοὶ," δηλοῖ ὅτι αὐτὸς μὲν τῶν παρ' ἑαυτοῦ οὐδὲν ἐνέλιπε, δεῖ δὲ ὑπάρξαι λοιπὸν καὶ τὰ παρ' ἐκείνων· ἵνα δὲ μὴ ἀπὸ τῆς δειλίας ἀποσχισθῶσι, χαυνωθεῖσαν αὐτῶν τῷ φόβῳ τὴν ψυχὴν ἐπισφίγγει, καὶ ἑαυτῷ συγκολλᾷ λέγων, "ὥσπερ τὸ "κλῆμα οὐ δύναται ἀφ' ἑαυτοῦ καρπὸν φέρειν, ἐὰν μὴ μείνῃ ἐν τῇ ἀμπέλῳ, οὕτως οὐδὲ ὁ ἐν ἐμοὶ μὴ μένων," καὶ τὰ ἑξῆς· καὶ δείξας τὴν τούτων ἀπώλειαν, δείκνυσι λοιπὸν τὴν σωτηρίαν τῶν μενόντων ἐν αὐτῷ, λέγων, "ἐὰν μείνητε ἐν ἐμοὶ, καὶ τὰ ῥήματά "μου ἐν ὑμῖν μείνῃ," τουτέστι διὰ τῶν ἔργων ἐκπληροῦντες αὐτὰ, ὅτι ἐὰν θέλητε, αἰτήσασθε, καὶ δοθήσεται ὑμῖν.

Κυρίλλου. Ἄμπελος τοίνυν ὁ Χριστὸς, κλήματα δὲ ἡμεῖς, ἅτε δὴ καὶ τῆς πρὸς αὐτὸν ἐχόμενοι κοινωνίας, διὰ τὸ καὶ ὁμοφυεῖς ἡμᾶς εἶναι τῇ ἀμπέλῳ κατὰ τὴν σάρκα. Ἴστε δὲ ὅτι συνενούμενοι διὰ μόνης τῆς πίστεως αὐτῷ, καὶ ἐν ψιλαῖς καὶ μόναις ὁμολογίαις, οὐ μὴν καὶ διὰ τῆς τηρήσεως τῶν ἐντολῶν νεκρὰ γινόμεθα κλήματα. "Ἡ γὰρ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστι," δηλονότι καὶ ἄκαρπος.

Ἀπόδειξιν ἀναμφίλογον τῆς τοῦ καθαίροντος αὐτοὺς τέχνης ποιεῖται τοὺς μαθητάς. Ἤδη γὰρ αὐτοὺς διακεκαθάρθαι φησὶ διὰ μόνον τὸν πρὸς αὐτοὺς λαληθέντα λόγον τουτέστι τὸν Εὐαγγελιστὴν καὶ παρὰ Θεοῦ.

Θεοδώρου Ἡρακλείας. Δείκνυσιν ἐκ τῶν εἰρημένων, ὡς ἕκαστος τῶν ἐπιεικῶς ζῆν βουλομένων προαιρέσει οἰκείᾳ μένει ἐν

τῇ ἀμπέλῳ, ἑνούμενός τε αὐτῇ διὰ τῆς ἀγάπης, καὶ Πνεύματι κολλώμενος, ἢ τοὐναντίον ἀφίσταται οἰκείᾳ προαιρέσει, ἀλλοτριούμενος αὐτῆς.

Ἀμμωνίου πρεσβυτέρου. Διὰ τὸ μὴ δύνασθαι καρποφορεῖν, εἰ μὴ μόνους τοὺς προσηλωμένους αὐτῷ, καλεῖ ἑαυτὸν ἄμπελον, ὡς ἐξ αὐτοῦ δυναμουμένους.

Ἀπολιναρίου. Ὅστις οὖν ἑαυτὸν χωρίζει τοῦ Κυρίου πρὸς σαρκικὰ πράγματα, ἀπηλλοτρίωσεν ἑαυτὸν τῆς ἀμπέλου, καὶ ξηρὸς καθίσταται, τὴν ζωοποιὸν μηκέτι δεχόμενος ἰκμάδα· ὁ δὲ τοιοῦτος εἰς τὴν αἰώνιον φυλαχθήσεται κρίσιν, ὥσπερ εἰς τὸ πῦρ τὰ ξηρὰ κλήματα.

Ἀμμωνίου. Ἀντὶ τοῦ, χαίρει ὁ Πατὴρ, ὅταν ἐν ἐμοὶ μένετε, δι' ὧν ποιεῖται, εὐφημεῖται ὁ Πατήρ.

8 Θεοδώρου Ἡρακλείας. Ἐν γὰρ τῷ πολὺν καρπὸν ἐνεγκεῖν τοὺς μαθητὰς δεδοξάσθαι τὸν Πατέρα φησίν. Ὁ γὰρ καρπὸς τῶν μαθητῶν διαφόρως νοεῖται· ποτὲ μὲν ἐπὶ τῶν ἔργων τῆς κατὰ τὴν πολιτείαν δικαιοσύνης λαμβανόμενον, ποτὲ δὲ ἐπὶ τῶν ἐθνῶν τῶν εἰς ἐπίγνωσιν Θεοῦ εἰσερχομένων διὰ τῆς ἀποστολικῆς αὐτῶν χάριτος καὶ διδασκαλίας, ἀμφότερα ὑπὸ τῶν μαθητῶν κατορθωθέντα εἰς δόξαν Θεοῦ.

Θεοδώρου Μομψουεστίας. Τί ἐστιν, "ἐν τούτῳ ἐδοξάσθη "ὁ Πατήρ;" τουτέστι, χαίρει, ὅταν ἐν ἐμοὶ μένητε καρπὸν φέροντες.

9 Πάλιν δὲ ἀνθρωπινώτερον διαλεγόμενός φησιν, "καθὼς ἠγάπησέ με ὁ Πατὴρ," καὶ τὰ ἑξῆς. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· εἰς ἐμὲ βλέπετε ὅτι ἠγάπημαι παρὰ τοῦ Πατρὸς, οὐδὲ ὑμᾶς οὖν θορυβεῖσθαι χρὴ, κἂν μέλλητε θλίβεσθαι καὶ διώκεσθαι. Ἂν γὰρ ἐπὶ τῆς ἀγάπης μείνητε τῆς ἐμῆς, οὐδὲν ὑμᾶς ταῦτα τὰ δεινὰ παραβλάψαι δυνήσεται εἰς τὸν τῆς ἀγάπης λόγον. Μείνατε οὖν ἐν τῇ ἀγάπῃ τῇ ἐμῇ, φησίν· τούτου γὰρ ὑμεῖς ἐστε κύριοι. Πῶς δὲ τοῦτο ἔσται; "ἐὰν τὰς ἐντολάς μου, φησὶ, τηρήσητε," καὶ τὰ ἑξῆς. διὰ πάντων δὲ τούτων δεικνύει, ὅτι τότε ἐν ἀσφαλείᾳ ἔσονται, ὅταν βίον ἐπιδείξωνται καθαρόν. Πάλιν δὲ ἀνθρωπινώτερον διαλεγόμενός φησι, "καθὼς ἐγὼ τὰς ἐντολὰς τοῦ Πατρός "μου τετήρηκα," καὶ τὰ ἑξῆς. Οὐ γὰρ δήπου ὁ νομοθέτης ὑπὸ

ἐντολὰς ἔμελλε κεῖσθαι. Ἐπειδὴ δὲ ἔχαιρον οἱ Ἀπόστολοι καὶ σὺν αὐτῷ ὄντες, ἐλυποῦντο δὲ ἀναχωροῦντες, διὰ τοῦτο ἐπήγαγε λέγων, "ταῦτα λελάληκα ὑμῖν, ἵνα ἡ χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν μένῃ," καὶ τὰ ἑξῆς. Δεῖξαι δὲ θέλων τὴν ἑαυτοῦ ἀγάπην συμπεπλεγμένην τῇ ἡμετέρᾳ, καὶ ὥσπερ τινὰ σειρὰν συνημμένην, φησὶν, "αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμὴ, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἠγάπησα ὑμᾶς." ἡ δὲ ἀγάπη ἀπὸ τῆς τῶν ἐντολῶν τηρήσεως γίνεται. Ἡ δὲ ἐντολή ἐστιν, ἵνα ἀγαπῶμεν ἀλλήλους· οὐχ ἁπλῶς δὲ εἶπεν ἀγάπην, ἀλλὰ καὶ τὸν τρόπον, "καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς."

13 Δεικνὺς δὲ πάλιν, ὅτι οὐχὶ μίσους ἐστὶν αὕτη ἡ ἀναχώ-
ρησις, ἀλλὰ γὰρ, φιλῶ ὑμᾶς, φησὶν, ὅτι ὑπὲρ ὑμῶν τὴν ψυ-
χήν μου τίθημι· οὕτω δὲ καὶ πᾶς τὴν ψυχὴν ὑπὲρ τῶν φίλων
αὐτοῦ τιθέτω. καὶ ἐπειδὴ τοῦτο μάλιστα δοκεῖ φίλον εἶναι, τὸ
τὰ ἀπόρρητα λέγειν, καὶ ταύτης, φησὶν, ἠξιώθητε τῆς κοινω-
νίας· τοῦτο γὰρ δηλοῖ, ὅπερ εἶπεν "ὅτι ὁ δοῦλος οὐκ οἶδε τί
"ποιεῖ ὁ κύριος αὐτοῦ," καὶ τὰ ἑξῆς. καὶ εἰ πάντα ὅσα ἤκουσε
παρὰ τοῦ Πατρὸς ἐγνώρισεν αὐτοῖς, πῶς λέγει· "πολλὰ ἔχω
"λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι;" Τί οὖν ἐστι
τοῦτο; οὐδὲν ἄλλο διὰ τοῦ πάντα καὶ τοῦ ἀκοῦσαι κατασκευάζει,
ἢ ὅτι οὐδὲν ἀλλότριον φθέγγεται, ἀλλ' ἢ τὰ τοῦ Πατρὸς, καὶ
ἄλλο δὲ τεκμήριον οὐ τὸ τυχεῖν φιλίας τιθεὶς, φησὶν, "οὐχ ὑμεῖς
16 "ἐμὲ ἐξελέξασθε." Τοῦτο ἔστιν, ἐγὼ τῇ φιλίᾳ ἐπέδραμον τῇ
ὑμετέρᾳ· τὸ δὲ, "ἔθηκα ὑμᾶς" ἀντὶ τοῦ ἐφύτευσα ὑμᾶς ἐστι.
Λέγει δὲ ταῦτα τῇ μεταφορᾷ κεχρημένος τῆς ἀμπέλου ἔτι, "ἵνα
"ὑμεῖς," φησὶν, "ὑπάγητε καὶ καρπὸν φέρητε, καὶ ὁ καρπὸς
"ὑμῶν μένῃ." οὐ γὰρ ἐφύτευσα ὑμᾶς μόνον, φησὶν, ἀλλὰ καὶ
τὰ μέγιστα εὐεργέτησα, πανταχοῦ τῆς οἰκουμένης ἐκτείνων ὑμῶν
τὰ κλήματα. Ἵνα δὲ μάθωμεν, ὅτι οὐκ ἔλαττόν ἐστι τοῦ Πατρὸς
ὁ Υἱὸς, ἐπήγαγε λέγων, "ἵνα ὃ ἐὰν αἰτήσητε ἐν τῷ ὀνόματί μου
"τὸν Πατέρα, δώῃ ὑμῖν," καὶ ἵνα μὴ ὑπολάβωσιν ὅτι ὀνειδίζων
εἶπε, τὴν ψυχήν μου τίθημι, καὶ ὅτι πρῶτος ὑμῶν ὑπέδραμον,
φησὶ, "ταῦτα λελάληκα ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους," τοῦτό
ἐστι, διὰ τοῦτο εἶπον ταῦτα, ὅπως εἰς τὴν πρὸς ἀλλήλους ὑμᾶς
φιλίαν βεβαιώσω.

Ἀμμωνίου πρεσβυτέρου. Ὡς διδάσκαλος τῆς οἰκουμένης

παραδίδωσιν αὐτοῖς ταῦτα. ὁ Χριστὸς, ὅτι ἡ ἀγάπη κεφάλαιόν ἐστι τῶν ἀρετῶν, ἡ ἐντολὴ αὐτοῦ τὸ ὑπεραποθνήσκειν τῶν φίλων, καὶ τὸ, ὑπὲρ αὐτῶν ἀγαπᾶτε τοὺς φίλους.

Διὰ τὴν ἀρετὴν τὸ τῶν Ἰουδαίων ὑπερβάντες μέτρον γεγόνασι φίλοι· ἀνακομίζει τοὺς δούλους ἐπὶ τὴν ὑπὲρ φύσιν δόξαν, ἐὰν ἀκουσίως ποιῶσι τὰ τῷ Θεῷ ἀρεστά.

Ἀντὶ τοῦ ὅσα ἐχρῆν ἀκοῦσαι αὐτούς· ὃ λέγει αἰνιγματωδῶς, τοῦτό ἐστιν, οὐχ ὡς δούλοις εἶπον ὑμῖν τὰ ἀπόρρητα, ἀλλ' ὡς φίλοις καὶ κοινωνοῖς τῶν ἀγαθῶν.

Οὐ τοιαύτην ἀκοὴν δήπουθεν λέγει, οἵαν τὴν τῶν ἀνθρώπων, ὥσπερ οὐδὲ ἀγάπην τοιαύτην, οὐδὲ ἐντολῆς τήρησιν ὁμοίαν, οὐ γὰρ ῥῆμα εἰς ἀκοὴν ὠτίων φερόμενον, ἐκ Πατρὸς ἐνήνεκται, μηνύον τὰ τοῦ Πατρὸς βουλήματα, ἀλλὰ τὴν πρόγνωσιν εἴρηκε, ἀκοὴν οὐ προσγινομένην αὐτοῖς κατά τινα καιρὸν, ἀλλὰ συνοῦσαν ἀεί. Οὐ γὰρ ἐξ ἀγνοίας εἰς γνῶσιν ἡ σοφία πρόεισιν, οὐδὲ ἕτερόν τι παρὰ τὴν σοφίαν ἡ γνῶσις ἐστὶν, ἣν ὑποδέξηται αὐτὴν, ὡς οὐκ αὐτὸν γιγνώσκουσα, ἀλλὰ χρὴ διὰ τῶν συνήθων καὶ τῶν ἀνθρωπίνων ῥημάτων σφραγιζομένην τὴν θείαν ὑπεροχὴν οἰκείως Θεῷ νοεῖν, καὶ μὴ κατὰ τὴν ἀνθρωπίνην ταπεινότητα, ἐπεὶ καὶ πᾶς ὁ περὶ Θεοῦ λόγος τοιοῦτος ἐσχημάτισται σχήματος ἀνθρωπίνου καὶ τῶν παθημάτων ὀνόμασι τῶν ἡμετέρων ἀσώματον τὸν ἀσχημάτιστον καὶ ἀπαθῆ Θεὸν ἑρμηνεύων.

18 Ἀπολιναρίου. *Ὡς μελλόντων μισεῖσθαι παρὰ πάντων παραγγέλλει αὐτοὺς ἀγαπᾷν ἀλλήλους· ἐπειδὴ δὲ διώκεσθαι παρὰ πολλῶν χαλεπὸν καὶ ἀνήκεστόν ἐστι, καὶ ἱκανὸν καὶ τὴν ὑψηλὴν ταπεινῶσαι ψυχὴν, διὰ τοῦτο μυρία προειπὼν, τότε εἰς τοῦτο καθέστηκεν ὁ Χριστὸς, καὶ αὐτὰ ἐκ περιουσίας δεικνὺς ὑπὲρ αὐτῶν ὄντα, ὥσπερ καὶ τὰ ἄλλα ὑπέδειξε. Διὸ καί φησιν, "εἰ "ὁ κόσμος ὑμᾶς μισεῖ," καὶ τὰ ἑξῆς. Οὐκ εἶπε δὲ, ὅτι οὐκ οἶδα ὅτι λυπηρόν ἐστι τὸ πρᾶγμα, ἀλλ' ὅτι δι' ἐμὲ ὑπομένετε ταῦτα καὶ πάσχετε, εἰς προθυμίαν μείζονα προκαλούμενος αὐτούς· κόσμον δὲ ἐνταῦθα τοὺς πονηροὺς ἀνθρώπους καλεῖ· θέλων δὲ αὐτοὺς μειζόνως παραμυθήσασθαι ἐπήγαγεν, "εἰ ἐκ τοῦ κόσμου ἦτε," τουτέστι, τῆς ὑμετέρας ἀγάπης καὶ ἀρετῆς τοῦτο τεκμήριον ἔσται τὸ μισεῖσθαι. Καὶ γὰρ τοὐναντίον ἀλγεῖν ἐχρῆν, εἰ*

μὴ ἐμισεῖσθε, εἰ γὰρ ἐφιλεῖσθε, εὔδηλον ὅτι πονηρίας ἐξεφέρετο δεῖγμα· βουλόμενος δὲ ἐπὶ πλεῖον ζηλωτὰς αὐτοῦ γενέσθαι φησὶν, "οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ." Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐ χρὴ ὑμᾶς ἐν τούτῳ θορυβεῖσθαι, οὐ γὰρ ὑμεῖς ἐμοῦ κρείττους, μᾶλλον μὲν οὖν καὶ χαίρειν ὀφείλετε κοινωνοὶ γενόμενοι δι' ἐμῶν παθημάτων· καὶ ἑτέρως δὲ παραμυθεῖται αὐτοὺς, δεικνὺς ὅτι καὶ τὸν Πατέρα, ἐξ ὧν εἰς αὐτὸν οἱ Ἰουδαῖοι διαπράττωνται καὶ ἐνυβρίζωσι, λέγει, "ἀλλὰ ταῦτα πάντα ποιήσουσι διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με." Ὅτι δὲ ἀδίκως καὶ τὰ εἰς αὐτὸν καὶ τὰ εἰς ἐκείνους εἰργάσαντο, φησὶν, "εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον, νῦν δὲ "πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν." Τίνος γὰρ τῶν λεχθέντων ἢ πραχθέντων ἐπιλαβέσθαι ἔχοντες οὐκ ἐδέξαντό με; ἐπειδὴ δὲ ἄνω καὶ κάτω προφασίζοντο, ὅτι διὰ τὸν Πατέρα αὐτὸν ἐδίωκον, ἀναιρῶν αὐτῶν καὶ τὴν ἀπολογίαν, φησὶν, "ὁ ἐμὲ "μισῶν καὶ τὸν Πατέρα μου μισεῖ."

24 Δεικνὺς δὲ ὅτι τὴν διδασκαλίαν παρέσχε, καὶ ταύτῃ προσ-
έθηκε τὰ διὰ τῶν ἔργων θαύματα, ἐπήγαγε λέγων, "εἰ τὰ ἔργα
"μὴ ἐποίησα ἐν αὐτοῖς, ἃ οὐδεὶς ἄλλος πεποίηκε," καὶ τὰ ἑξῆς.
ποῖα δέ εἰσι ταῦτα; τὸ ἀνοῖξαι ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου,
τὸ ἀναστῆσαι τὸν Λάζαρον τετραήμερον, καὶ ἕτερα τούτοις ὅμοια·
ἐπάγει δὲ καὶ τὸν προφήτην, δεικνὺς αὐτὸν ἄνωθεν προαναφω-
νοῦντα, "ὅτι ἐμίσησάν με δωρεάν·" ὃ καὶ Παῦλος ἐποίει. Πολ-
λῶν γὰρ θαυμαζόντων πῶς Ἰουδαῖοι οὐκ ἐπίστευσαν, προφήτας
εἰσάγει προλέγοντας ἄνωθεν, καὶ τὴν αἰτίαν δηλοῦντας, ὅτι ἡ
πονηρία αὐτῶν καὶ ἡ ἀπόνοια τῆς ἀπιστίας αἰτία. Ἵνα μὴ θορυ-
βῶνται καὶ λέγουσιν, ὅτι εἰ τὸν σὸν λόγον οὐκ ἐτήρησαν, καίτοιγε
σημεῖα τοιαῦτα ἰδόντες, καὶ εἰ τὸν Πατέρα σου μισοῦσι, καὶ σὲ
μετ' ἐκείνου, πῶς τὸν ἡμέτερον λόγον τηρήσουσιν, ἢ πῶς ἡμεῖς
26 ἀξιόπιστοι ἐσόμεθα; φησὶν, "ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, ὃν
"ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρός μου," καὶ τὰ ἑξῆς, ὡσανεὶ
ἔλεγεν, ἐκεῖνος ἀξιόπιστος ἔσται· Πνεῦμα γὰρ ἀληθείας ἐστιν. Ὃ
δὲ "παρὰ τοῦ Πατρὸς ἐκπορεύεται," εἶπεν, ἀντὶ τοῦ, πάντα οἶδεν
ἀκριβῶς. Τὸ δὲ εἰπεῖν "ὃν ἐγὼ πέμψω," δείκνυσιν, ὅτι οὐ μόνος
ὁ Πατήρ ἐστιν ὁ πέμπων, ἀλλὰ καὶ αὐτός. Τὸ δὲ, "ὑμεῖς μαρ-

"τυρεῖτε ὅτι ἀπαρχῆς μετ' ἐμοῦ ἐστε," δηλοῖ ὅτι ἔχετε, φησὶ, καὶ ὑμεῖς τὸ ἀξιόπιστον, σὺν ἐμοὶ γενόμενοι, καὶ μὴ παρ' ἑτέρων ἀκηκοότες· ὅθεν καὶ οἱ Ἀπόστολοι ἐκ τούτου διϊσχυρίζοντο λέγοντες, "οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ.

Κυρίλλου. Ἐπειδὴ οὐκ ἔφη νυνὶ, ὅτι οὐκ οἴδασι τὸν Πατέρα μου, ἀλλὰ "τὸν πέμψαντά με," δοκῶ τι τοιοῦτον αὐτὸν ὑπαινίττεσθαι. εἰ γὰρ ἔπεμψε, φησὶ, τὸν ἴδιον Υἱὸν ἐπιστρέψαι τὸ πεπλανημένον, καὶ ἰάσασθαι τὸ συντετριμμένον, κατορθώσαντά τε τοῖς ἐν κόσμῳ τὸ ζῆν, ἀνεξεισάγουσι δὲ ἀντιπράττοντες ἀσεβῶς τοῖς διακηρύττειν ἐθέλουσι τὸν τούτων κατορθωτὴν, πῶς οὐ λίαν ἐναργῶς ἠγνοηκότες ἁλώσονται, καὶ αὐτῷ μαχόμενοι τῷ πέμψαντί με; Διὰ γὰρ τοῦ πέμπεσθαι λέγειν, ὅλην ἡμῖν τὴν μετὰ σαρκὸς οἰκονομίαν ἐκκομίζει τὴν δήλωσιν, ὁ δὲ ἠγνοηκὼς τὸν πέμψαντα, καὶ Θεὸν ἠγνόηκεν ἐν ταὐτῷ, καὶ αὐτὸ τὸ τῆς ἀποστολῆς ἀτιμάζει μυστήριον.

Οὐ διὰ τοῦτο δὲ φαμὲν προειπεῖν ἐκεῖνα τὸν νόμον, ἵνα τὸ τῶν Ἰουδαίων ἐξάπτοι τὸ μῖσος ἀδίκως κατά τε τοῦ Υἱοῦ καὶ Πατρὸς, ἀλλ' ἐπείπερ ἔμελλεν ἔσεσθαι, πρὸ αὐτῶν προαναφώνηκεν ὁ θεῖος καὶ ἱερὸς νόμος, οὐδὲν τῶν ἐσομένων τὸ Πνεῦμα δεικνὺς ἠγνοημένον.

Ἀμμωνίου. Εἰ ἐγὼ ὑπὲρ τῶν δούλων πάντα ἔπαθον, ὅταν ὑμεῖς οἱ δοῦλοι ὑπὲρ τοῦ δεσπότου πάσχητε τὰ ὅμοια, οὐκ ὀφείλετε βαρέως φέρειν· εἰ τὰ ὅμοιά μου πάθητε, μὴ θορυβεῖσθε· οὕτω γὰρ γίνεσθε κοινωνοὶ τῶν ἐμῶν παθημάτων. Εἰ καὶ πρὸς ἐμὴν ὕβριν τοῦτο ποιοῦσιν, ἀλλὰ δι' ἐμοῦ καὶ τὸν Πατέρα ὑβρίζουσιν.

Οὐδέν φησί, παρέλειψα τῶν εἰς ὠφέλειαν τῶν Ἰουδαίων συντεινόντων, οὐκ ἐν λόγοις, οὐκ ἐν ἔργοις, ὧν μὴ εἶδέ τις ὅμοια.

Καὶ διὰ τοῦ προφήτου ἔδειξεν, ὅτι ἄλογον ἦν τὸ κατ' αὐτοῦ μῖσος· πονηρία τῶν Ἰουδαίων ἐπλήρωσε τὸ προφητευθέν.

Θεοδώρου Μομψουεστίας. Ὅτι οὐδὲν πρὸς χάριν εἴρηται ἐπιμαρτυρεῖ τὸ Πνεῦμα τοῖς λεγομένοις, ὃ ἐξ αὐτῆς τῆς οὐσίας ἔχει τὴν ὕπαρξιν. Εἰ γὰρ μὴ τὴν φυσικὴν ἐκεῖθεν πρόοδον ἔλεγε διὰ τοῦ "ἐκπορεύεται," ἀλλὰ τινὰ ἀποστολὴν ἔξωθεν γινομένην, ἄπορον περὶ τίνος λέγει, πολλῶν ὄντων κοινῶς τῶν κατὰ διακονίαν

ἀποστελλομένων πνευμάτων, ὡς Παῦλος ὁ Ἀπόστολός φησιν, "οὐχὶ
"πάντες εἰσὶ λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλό-
"μενα;" ἐνταῦθα δὲ ἰδικόν τί φησι· καὶ ὡς ἂν ἐκείνῳ γνωρίσαι
ἱκανὸν, ὃ μόνον ἐκ τοῦ Πατρὸς ἐκπορεύεται τῇ τοῦ Πατρὸς φωνῇ
κυρίως καλούμενον τῇ θείᾳ γραφῇ· "καὶ ὑμεῖς δὲ μαρτυρεῖτέ
"φησιν, ὅτι ἀπ' ἀρχῆς μετ' ἐμοῦ ἐστε·" ἐκ γὰρ τοῦ συνεῖναι
πάντοτε, ἀξιόπιστον ἀνάγκη τὴν μαρτυρίαν καθεστάναι, ὑμῶν μὲν
φθεγγομένων, τοῦ δὲ Πνεύματος ἐπιμαρτυροῦντος τοῖς λεγομένοις
διὰ τῶν ἐπιτελουμένων θαυμάτων.

1 Καὶ ἐπειδὴ ἦσαν συνθέμενοι οἱ Ἰουδαῖοι, ἵνα ἐάν τις ὁμολογῇ
Χριστὸν αὐτὸν εἶναι, ἀποσυνάγωγος γένηται, πρὸς τὸ μὴ σκανδαλι-
σθῆναι τοὺς Ἀποστόλους καὶ ταραχθῆναι, τούτου μέλλοντος συμ-
βαίνειν αὐτοῖς, φησὶ, "ταῦτα λελάληκα ὑμῖν, ἵνα μὴ σκανδα-
"λισθῆτε, ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς," καὶ οὕτω, φησὶ,
τὸν ὑμέτερον διώξουσι φόνον, ὡς πρᾶγμα εὐσεβὲς καὶ Θεῷ
ἀρέσκον αὐτὸ λογιζόμενοι· τοῦτο γὰρ σημαίνει τὸ, "ἵνα πᾶς ὁ
"ἀποκτείνας ὑμᾶς, δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ." Παρα-
μυθούμενος δὲ αὐτοὺς, ἐπήγαγε λέγων, "καὶ ταῦτα ποιήσουσιν,
"ὅτι οὐκ ἔγνωσαν τὸν Πατέρα, οὐδὲ ἐμέ." Ἀρκεῖ, φησὶν, ὑμῖν
ἡ αἰτία τῶν γενομένων εἰς παράκλησιν τὸ δι' ἐμὲ καὶ τὸν Πατέρα
ταῦτα πάσχειν, διὸ καὶ συνεχῶς αὐτὸ περιστρέφει λέγων, οὐκ
ἔγνωσάν με, καὶ ὅτι δι' ἐμὲ ποιήσουσι, καὶ διὰ τὸ ὄνομά μου, καὶ
διὰ τὸν Πατέρα μου· καὶ ὅτι ἐγὼ πρῶτον ἔπαθον, καὶ ὅτι οὐκ ἀπὸ
δικαίας αἰτίας ταῦτα τολμῶσι· τὸ δὲ, "ταῦτα λελάληκα ὑμῖν,
"ἵνα ὅταν ἔλθῃ ἡ ὥρα αὐτῶν μνημονεύητε," ὅτι ἐγὼ εἶπον ὑμῖν,
δηλοῖ ὥστε ἀπὸ τούτων καὶ τὰ λοιπὰ πιστὰ ἡγοῦνται, οὐ γὰρ
ἕξετέ, φησι, λέγειν ὅτι κολακεύων ὑμᾶς τὰ πρὸς χάριν ἔλεγον μόνον,
οὐδ' ὅτι ἀπάτης ἦν τὰ εἰρημένα. Οὐ γὰρ ἂν ὁ μέλλων ἀπατᾷν
καὶ ταῦτα προσεῖπε τὰ ἀποτρέποντα. Διὰ τοῦτο οὖν προεῖπον,
ἵνα μὴ ἀπροσδόκητα ἐμπεσόντα διαταράξῃ ὑμᾶς, καὶ ἵνα μὴ
5 λέγητε ὅτι οὐ προείδημεν ἐσόμενα ταῦτα. "Ἐξαρχῆς δὲ,"
φησὶν, "οὐκ εἶπον ὑμῖν," ὡς οὐκ ἀγνοῶν, ἀλλ' "ὅτι μεθ' ὑμῶν
"ἤμην," ὡσανεὶ ἔλεγεν, ὅτι ἐν ἀσφαλείᾳ ἦτε, καὶ ἐπ' ἐμὲ ὁ
πόλεμος ἅπας ἀνερριπίζετο, καὶ περιττὸν εἰπεῖν ταῦτα ἐξ ἀρχῆς
τότε.

1 Καὶ μὴν καλέσας τοὺς δώδεκα ἔλεγεν αὐτοῖς πρὸ τούτου, “ὅτι
“ἐπὶ ἡγεμόνας καὶ βασιλεῖς ἀχθήσεσθε, καὶ μαστιγώσουσιν ὑμᾶς
“ἐν ταῖς συναγωγαῖς αὐτῶν,” προανεφώνησε μὲν, οὐ μὴν ὅτι οὕτω
δόξῃ ὁ θάνατος αὐτῶν εἶναι περισπούδαστος, ὡς καὶ “λατρείαν” τὸ
πρᾶγμα νομίζεσθαι. Τοῦτο γὰρ πάντων ἱκανὸν ἦν αὐτοὺς κατα-
πλῆξαι, εἴ γε ἔμελλον ὡς ἀσεβεῖς κρίνεσθαι. Τίνος οὖν ἕνεκεν
εἶπεν αὐτοῖς, ὅτι “ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν;”
ἐπειδὴ οὐ μικρὰ καὶ αὐτὴ παραμυθία τὸ μαθεῖν αὐτοὺς, ὅτι ᾔδει
τῆς ἀθυμίας αὐτῶν τὴν ὑπερβολὴν, ἣν εἶχον διὰ τὴν ἐρημίαν
αὐτοῦ. Παραμυθούμενος οὖν αὐτοὺς, τοῦτό φησι, καὶ τὰ ἐπαγό-
μενα γὰρ τοῦτο δηλοῖ, “ἀλλ᾽ ἐγὼ τὴν ἀλήθειαν λέγω ὑμῖν,”
τουτέστιν, οὐ τὰ πρὸς χάριν λέγω, ἀλλὰ κἂν μυριάκις λυπηθῆτε,
τὸ συμφέρον ἀκοῦσαι χρή.
7 Προσέχειν οὖν ἐστι καὶ τὸ ἐπαγόμενον “ὅτι συμφέρει ὑμῖν
“ἵνα ἐγὼ ἀπέλθω· ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ὁ Παράκλητος οὐκ
“ἐλεύσεται πρὸς ὑμᾶς.” Τί φήσουσιν οἱ τὴν προσήκουσαν περὶ τοῦ
Πνεύματος τοῦ Ἁγίου οὐκ ἔχοντες δόξαν; ἆρα συμφέρει δεσπό-
την παρελθεῖν καὶ δοῦλον παραγενέσθαι; ὅθεν πρόδηλόν ἐστιν, ὅτι
πολλὴ τοῦ Ἁγίου Πνεύματος ἡ ἀξία. Δεῖξαι δὲ θέλων, ὅτι οὐκ
ἀτιμωρητὶ ταῦτα πράξουσιν οἱ Ἰουδαῖοι, λέγει, “κἀκεῖνος ἐλθὼν
“ἐλέγξει τὸν κόσμον,” καὶ τὰ ἑξῆς. Ἱκανὰ μὲν γὰρ, φησὶ, καὶ
τὰ ἤδη γεγενημένα ἐπιστομίσαι αὐτοὺς, ὅταν δὲ καὶ δι᾽ ἐκείνου
ταῦτα γένηται, καὶ διδάγματα τελειότερα, καὶ σημεῖα μείζονα
θεάσονται, πολλῷ μᾶλλον κατακριθήσονται· “περὶ ἁμαρτίας μὲν,
“ὅτι οὐκ ἐπίστευσαν εἰς ἐμὲ,” τουτέστι, πᾶσαν ἀπολογίαν αὐτῶν
ἐκκόψει, καὶ δείξει πεπλημμεληκότας ἀσύγγνωστα· ὅταν γὰρ
ἴδωσι θάνατον λυόμενον, χωλείαν φύσεως διορθουμένην, δαίμονας
ἐλαυνομένους, Πνεύματος Ἁγίου χορηγίαν ἄφατον, καὶ ταῦτα πάντα
10 ἐν τῷ ὀνόματί μου γινόμενα, τί ἐροῦσι; “περὶ δικαιοσύνης δὲ,
“ὅτι πρὸς τὸν Πατέρα μου ὑπάγω, καὶ οὐκ ἔτι θεωρεῖτέ με,”
τουτέστιν ὅτι ἀνεπίληπτον παρεσχόμην βίον, καὶ τούτου τεκμήριον
τὸ πρὸς τὸν Πατέρα πορεύεσθαί με. Ἐπειδὴ γὰρ ἀεὶ τοῦτο αὐτὸ
ἐνεκάλουν, ὅτι οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, καὶ διὰ τοῦτο ἁμαρτωλὸν
αὐτὸν ἔλεγον, καὶ παράνομον, ταύτην ἀναιρῶν τὴν πρόφασιν τοῦτο
εἶπε, καὶ τὸ ἐπαγόμενον δὲ περὶ δικαιοσύνης ἀνίττεται, λέγων,

11 "περὶ δὲ κρίσεως, ὅτι ὁ ἄρχων τοῦ κόσμου τούτου κέκριται," τουτέστιν, ὅτι κατεπάλαισε[l] τὸν ἀντίδικον, οὐκ ἂν δὲ ἁμαρτωλὸς ὢν κατεπάλαισε[m].

Κυρίλλου. Δεῖ γὰρ πάντας ἡμᾶς κοινωνοὺς καὶ μετόχους γενέσθαι τῆς θείας αὐτοῦ φύσεως, εἴπερ ἔδει τὴν οἰκείαν ἀφέντες ζωὴν εἰς ἑτέραν μετασκευάζεσθαι· ἀλλ' ἣν οὐχ ἑτέρως τούτου δύνασθαι τυχεῖν, εἰ μὴ διὰ τῆς τοῦ Ἁγίου Πνεύματος κοινωνίας τε καὶ μετουσίας· ὅγε μὴν οἰκεῖος τούτου καιρὸς μετὰ τὴν τοῦ Σωτῆρος ἐπιδημίαν ἐστί. Συνὼν γὰρ ἔτι μετὰ σαρκὸς τοῖς πιστεύουσιν εἰς αὐτὸν, παντὸς οἶμαι χορηγὸς ἀγαθοῦ ἀνεδείκνυτο. Ἐπειδὴ τοῦτον ἀναβαίνειν καιρὸς ἐν τοῖς πρὸς τὸν ἐν οὐρανοῖς Πατέρα. Πῶς οὐκ ἔδει συνεῖναι διὰ τοῦ Πνεύματος τοῖς σεβομένοις αὐτὸν, καὶ ἐνοικεῖν ἐν ταῖς καρδίαις ἡμῶν διὰ τῆς πίστεως; ἵνα αὐτὸν ἔχοντες ἐν ἑαυτοῖς, μετὰ παρρησίας κράζωμεν, "ἀββᾶ "ὁ Πατὴρ," καὶ πρὸς πᾶσαν εὐκόλως ἴοιμεν ἀρετήν.

Ἀμμωνίου. Ἐὰν μὴ πάθω, οὐκ ἐπιφοιτᾷ ὑμῖν τὸ Πνεῦμα, τὸ πάσης δόσεως ἀγαθῆς αἴτιον.

Θεοδώρου Μομψουεστίας. Οὕτω φοβερὰ τίς ἐστιν, φησὶ, τοῦ Ἁγίου Πνεύματος ἡ κάθοδος, ὡς ἐπιφοιτήσαντος τοῖς ἀνθρώποις, φανῆναι τῶν ἐπιβεβουλευκότων ἐμοὶ τὴν ἁμαρτίαν.

Ἀπολιναρίου. Ἐλέγξει τὸν κόσμον, ὡς ὑπὸ ἁμαρτίαν κατακεκριμμένον διὰ τὴν ἀπιστίαν· ἡ γὰρ πίστις ἁμαρτίαν λέλυκεν· ἀπιστίαν δὲ δέδεκε, καὶ φαινόμενον ἐν τοῖς πιστεύουσι τὸ Πνεῦμα κατάκρισις ἦν τῶν ἀπιστούντων· ἐστερημένοι γὰρ τῆς δωρεᾶς, ἐξηλέγχοντο τῆς παρούσης τοῖς πεπιστευκόσι, καὶ τοῦτο ἐδείκνυεν αὐτοὺς ἐναγῆ σκεύη καὶ ἀνεπιτήδεια τῷ Πνεύματι.

Θεοδώρου Ἡρακλείας. Ἐλθόντος γὰρ αὐτοῦ ἐπ' ἀνατροπῇ τῆς κατεχούσης τὸν κόσμον ἁμαρτίας, καὶ τὸν ἱλασμὸν παρασχόντος πᾶσι τοῖς ἀσμένως αὐτοῦ δεξαμένοις τὴν παρουσίαν, οἱ ἐν ἀπιστίᾳ διαμείναντες, ἀναφαίρετον καὶ ὥσπερ ἐσφραγισμένην ἔσχον τὴν ἁμαρτίαν.

Ἀμμωνίου. Ὡς ἄδικος ὁ μὴ πιστεύσας εἰς τὸν δίκαιον τὸν διὰ τὴν δικαιοσύνην αὐτοῦ ἀναληφθέντα εἰς οὐρανοὺς καὶ ἀφανῆ

[l] κατεπάλεσε Cod. [m] κατεπάλεσε Cod.

γεγονότα τοῖς ἀνθρώποις· ὡς ῥᾴθυμος, ὅτι κατακλασθέντος τοῦ Σατανᾶ, οὐδὲ οὕτως αὐτὸν ἠθέλησε νικῆσαι.

Ὅταν τὸ Πνεῦμα διδάξει ὑμᾶς, τότε δυνήσεσθε τῶν νομικῶν ἀποστῆναι τύπων, καὶ τὴν ἐν πνεύματι καὶ ἀληθείᾳ ποιῆσαι λατρείαν.

Οὐ μεῖζον τοῦ Υἱοῦ τὸ Πνεῦμα, φησὶ, διὸ "οὐδὲν ἀφ' ἑαυτοῦ "λαλήσει," ἀλλὰ "ἀκούει·" ἃ γὰρ ἐγὼ, κἀκεῖνος ἐρεῖ· τὸ Πνεῦμα διδάξει τοὺς ἀνθρώπους τὰ τῆς Υἱοῦ θεότητος καὶ δόξης, καὶ τῆς πρὸς τὸν Πατέρα ἰσότητος.

Τὸ δὲ εἰπεῖν, ὅτι "ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν ἀλήθειαν," λέγει,
ἣν ἔμελλε τὸ Πνεῦμα τὸ Ἅγιον ὁδηγεῖν αὐτούς· ἣν αὐτὸς μὲν διὰ τὸ
μὴ βούλεσθαι μεγάλα φθέγγεσθαι, συνεχῶς περὶ αὐτοῦ ἀπεσιώπα,
διά τε τὸ σάρκα περικεῖσθαι, καὶ διὰ τὸ μὴ δόξαν περὶ αὐτοῦ
λέγειν, ἔμελλε δὲ μετὰ τὴν τοῦ Ἁγίου Πνεύματος παρουσίαν ὑπὸ
13 τῆς αὐτοῦ ἐνεργείας γνωρίζεσθαι. Τί ἐστι τὸ "οὐ γὰρ λαλήσει
"ἀφ' ἑαυτοῦ, ἀλλ' ὅσα ἂν ἀκούει, λαλήσει;" ὥσπερ εἶπε περὶ
ἑαυτοῦ ὁ Χριστὸς, ὅτι "ἀπ' ἐμαυτοῦ οὐ λαλῶ."

Δεῖξαι δὲ θέλων, "ὅτι οὐδὲν ἐκτὸς τῶν τοῦ Πατρὸς, οὐδὲ ἴδιόν τι παρ' ἐκεῖνον καὶ ἀλλότριον καλεῖ, οὕτω καὶ ἐπὶ τοῦ Πνεύματος τοῦ Ἁγίου, φησὶν, ὅτι οὐδὲν ἐναντίον οὐδὲ ἴδιον παρὰ τὰ ἐμὰ ἐρεῖ. Ὅτι γὰρ οὐ δεῖται διδασκαλίας τὸ Πνεῦμα τὸ Ἅγιον, ὁ Παῦλος οὕτω φησὶν, "ὥσπερ τὰ τοῦ ἀνθρώπου οὐδεὶς οἶδεν, εἰ "μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου, οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς "οἶδεν, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ." Καὶ ἐπειδὴ πρὸς οὐδὲν οὕτω λίχνον τὸ ἀνθρώπινον γένος ὡς πρὸς τὸ μανθάνειν τὰ μέλλοντα, ἐπῆρεν αὐτῶν τὴν διάνοιαν λέγων, "καὶ τὰ ἐρχόμενα ἀναγ-"γελεῖ ὑμῖν·" τοῦτο δὲ εἶπε διὰ τὸ συνεχῶς ἐρωτᾷν αὐτοὺς, "ποῦ ὑπάγεις, καὶ τίς ἐστιν ἡ ὁδός;" ταύτης οὖν αὐτοὺς ἀπαλλάττων τῆς φροντίδος λέγει, ὅτι πάντα ὑμῖν προερεῖ ὥστε μὴ ἐκπεσεῖν ἀφυλάκτως, ἅμα δὲ καὶ δείκνυσιν ἐνταῦθα μάλιστα τοῦ Πνεύματος τοῦ Ἁγίου τὸ ἀξίωμα, ὅτι Θεός ἐστι. Θεοῦ γὰρ ἴδιον τὸ λέγειν τὰ μέλλοντα.

Ἐπειδὴ δὲ εἶπεν, ὅτι ἐκεῖνος ὑμᾶς διδάξει καὶ ἀναμνήσει, καὶ συμφέρει ἐμὲ ἀπελθεῖν, κακεῖνον ἐλθεῖν, καὶ ὅτι ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν ἀλήθειαν· ἵνα οὖν μὴ ταῦτα ἀκούοντες μείζονα τὸ

Πνεῦμα τὸ Ἅγιον νομίσωσιν εἶναι, καὶ εἰς ἀσεβείας ὑπόθεσιν
ἐσχάτην ἐμπέσωσιν, ἐπήγαγε λέγων, "ἐκεῖνος ἐμὲ δοξάσει, καὶ
"ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν," καὶ τὰ ἑξῆς,
τουτέστι ἅπερ ἂν εἴπω ἐγὼ, ταῦτα κἀκεῖνος ἐρεῖ. Πῶς δὲ
14 "ἐκεῖνος ἐμὲ δοξάσει;" ὅτι ἐν τῷ ὀνόματί μου δώσει τὰς ἐνερ-
γείας. ἐπειδὴ γὰρ μείζονα ἔμελλον ποιεῖν σημεῖα, παραγενομένου
τοῦ Πνεύματος τοῦ Ἁγίου, διὰ τοῦτο πάλιν τὴν ἰσοτιμίαν εἰσάγων,
φησὶν, "ἐκεῖνος ἐμὲ δοξάσει," καὶ ἐπειδὴ ἔλεγεν, εἷς ἐστιν ἐξ
ὑμῶν ὁ διδάσκαλος ὁ Χριστὸς, ἵνα μὴ νομίσωσι παρακούειν ἐκείνῳ
πειθόμενοι λέγοντι ὅτι μία ἡ ἐμὴ καὶ ἡ τοῦ Παρακλήτου καὶ Ἁγίου
Πνεύματος διδασκαλία· καὶ γὰρ ἐξ ὧν ἔμελλον ἐγὼ διδάσκειν, ἐκ
τῶν αὐτῶν καὶ αὐτὸς ἐρεῖ· μὴ νομίσητε ἕτερα εἶναι τὰ ἐκείνου·
καὶ γὰρ κἀκεῖνα ἐμά ἐστι, καὶ τὴν ἐμὴν συκροτεῖ δόξαν.
16 Ὅτε δὲ αὐτοὺς ἀνεκτήσατο διὰ τῶν περὶ τοῦ Πνεύματος λόγων,
τότε πάλιν καταβάλλει αὐτῶν τὰ φρονήματα, λέγων, "μικρὸν,
"καὶ οὐκ ἔτι θεωρεῖτέ με, καὶ πάλιν μικρὸν, καὶ ὄψεσθέ με,"
τοῦτο δὲ ποιεῖ, βασανίζων αὐτῶν τὴν διάνοιαν καὶ δοκιμωτέραν
ἀπεργαζόμενος, καὶ συνεθίζων γενναίως ἐνεγκεῖν αὐτοῦ τὸν χωρισ-
μόν· συνέπλεξε δὲ καὶ παραμυθίαν ἐν τῷ εἰπεῖν ὅτι ἐπανήξω, καὶ
ὅτι πρὸς ὀλίγον ἐστὶν ὁ χωρισμὸς, καὶ διηνεκὴς ἡ μετ' αὐτῶν
συνουσία. ἀλλὰ τοῦτο μὲν οὐ συνεῖδον ἐκεῖνοι· διὸ καὶ εἶπον ἐκ
τῶν μαθητῶν αὐτοῦ, φησὶ, "τί ἐστι τοῦτο ὃ λέγει ἡμῖν," φησὶν,
"ὅτι μικρὸν, καὶ οὐ θεωρεῖτέ με," καὶ τὰ ἑξῆς; διὸ καὶ εἰκότως
ἄν τις θαυμάσειε, πῶς πολλάκις ταῦτα ἀκούοντες, ὡς μηδὲν
ἀκηκοότες οὕτως ἀμφιβάλλουσι. Πόθεν οὖν οὐ συνίεσαν; ἢ διὰ
τὴν λύπην, ὡς ἔγωγε οἶμαι, αὕτη γὰρ ἐξέβαλλε τῆς διανοίας
αὐτῶν τὰ λεγόμενα, ἢ διὰ τὴν ἀσάφειαν τῶν λεγομένων· διὸ
βουλόμενος αὐτοῖς ἐμπῆξαι τὸ περὶ τοῦ θανάτου αὐτοῦ δόγμα
φησὶν, "ἀμὴν, ἀμὴν, λέγω ὑμῖν, ὅτι κλαύσετε καὶ θρηνήσετε,"
ὅτι ἀποθανοῦμαι, ἡ λύπη δὲ αὕτη εἰς χαρὰν γενήσεται διὰ τὸ
ἀναστῆναί με, καὶ ὅτι ἡ μὲν λύπη βραχεῖα, ἡ δὲ ἡδονὴ ἀπέραν-
τος· ὅθεν τοῦτο βεβαιῶν καὶ ἐπὶ παράδειγμα ἦλθε κοσμικὸν λέγων,
21 "ἡ γυνὴ ὅταν τίκτῃ, λύπην ἔχει, ὅτι ἦλθεν ἡ ὥρα αὐτῆς." ταύτῃ
δὲ τῇ παραβολῇ καὶ οἱ προφῆται κέχρηνται συνεχῶς τῇ ὑπερβολῇ
τῶν ὠδίνων τὴν ἀθυμίαν παραβάλλοντες· ὃ δὲ λέγει, τοιοῦτόν

ἐστιν, ὠδῖνες λήψονται ὑμᾶς, ἀλλ' ἡ ὠδίνη τοῦ τόκου γίγνεται αἰτία· ἅμα καὶ τὸν περὶ τῆς ἀναστάσεως λόγον πιστούμενος, καὶ δεικνὺς ὅτι τὸ ἐντεῦθεν ἀπελθεῖν ὅμοιόν ἐστι τῷ[1] ἀπὸ μήτρας ἐξελθεῖν εἰς τὸ φῶς, ὡσανεὶ ἔλεγε, μὴ θαυμάσητε, ὅτι διὰ λύπης τοσαύτης ἐπὶ τὰ συμφέροντα ὑμᾶς ἄγω, ἐπεὶ καὶ ἡ μήτηρ ἐπὶ τὸ γενέσθαι μήτηρ, οὕτως ἔρχεται διὰ λύπης. αἰνίττεται δέ τι ἐνταῦθα μυστικὸν, ὅτι ἔλυεν αὐτὸς τὰς ὠδῖνας τοῦ θανάτου, καὶ νέον ἄνθρωπον ἀπογεννηθῆναι ἐποίησε.

Δεῖξαι δὲ θέλων τῆς χαρᾶς τὴν ὑπερβολὴν, ἣν ἔμελλον ἔχειν διὰ τῆς αὐτοῦ ἀναστάσεως, οὐκ εἶπεν ὅτι παρελεύσεται ἡ θλίψις μόνον, ἀλλ' ὅτι οὐδὲ μέμνηται αὐτῆς ἡ τίκτουσα. Καὶ γὰρ "ὅταν γεννήσῃ," φησὶ, "τὸ παιδίον, οὐκ ἔτι μνημονεύει τῆς "θλίψεως διὰ τὴν χαρὰν, ὅτι ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον." Καὶ μὴν οὐκ ἐπειδὴ ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον, χαίρει ἡ γυνὴ, ἀλλ' ὅτι παιδίον αὐτῇ ἐτέχθη· ἐπεὶ εἰ διὰ τοῦτο ἔχαιρεν, οὐδὲν ἐκώλυσε, καὶ ἐφ' ἑτέρᾳ γυναικὶ τικτούσῃ, τὰς μὴ τικτούσας χαίρειν. Τίνος οὖν ἕνεκεν οὕτως εἶπεν; ὅτι εἰς τοῦτο μόνον παρέλαβε τὸ παράδειγμα εἰς τὸ δεῖξαι πρόσκαιρον μὲν τὴν λύπην, διηνεκῆ δὲ τὴν χαρὰν, καὶ ἀπὸ τῆς λύπης τὴν χαρὰν καὶ εἰς τὸ μετάστασιν εἶναι πρὸς ζωὴν, καὶ ἔστι μέγα τῶν ὠδίνων τὸ κέρδος· καὶ οὐκ εἶπεν, ἐτέχθη αὐτῇ παιδίον, ἀλλὰ "ἄνθρωπος·" ἐνταῦθα γάρ μοι τὴν ἀνάστασιν αἰνίττεται τὴν αὐτοῦ, καὶ ὅτι οὐκ ἐκείνῳ τῷ ὠδίναντι θανάτῳ, ἀλλὰ τῇ βασιλείᾳ τίκτεσθαι ἔμελλεν. ὅθεν καὶ δεῖξαι βουλόμενος, ὅτι οὐ θάνατος ὁ κοινὸς, ἀλλὰ μετάστασίς ἐστιν αὐτοῦ τὸ πάθος, ἐπήγαγε λέγων, "καὶ ὑμεῖς οὖν λύπην "ἕξετε, πάλιν δὲ ὄψομαι ὑμᾶς" καὶ τὰ ἑξῆς. Τὸ δὲ "ἐν ἐκείνῃ "τῇ ἡμέρᾳ ἐμὲ οὐκ ἐρωτήσετε οὐδὲν," δηλοῖ, ὅτι οὐκ ἐρεῖτε, "δεῖξον ἡμῖν τὸν Πατέρα σου," καὶ "ποῦ ὑπάγεις," πᾶσαν γὰρ εἴσεσθε τὴν γνῶσιν, καὶ διακείσεται πρὸς ὑμᾶς ὁ Πατὴρ ὥσπερ ἐγώ.

Ἀπολιναρίου καὶ Θεοδώρου Ἡρακλείας. Λυπηρὸν μὲν τοῖς μαθηταῖς ἡ μέλλουσα ἀναχώρησις αὐτοῦ, τερπνὸν δὲ ἡ ἀνάστασις, ἑκατέρα δὲ ἐν βραχεῖ καιρῷ γίνεται. Ὅμοιόν τι ταῖς τῶν γυναικῶν ὠδῖσι τὸ πρᾶγμα φανήσεται· ὡς γὰρ ὠδίνει μὲν

[1] τὸ Cod.

γυνὴ πρὸ τοῦ τοκετοῦ, ἀπὸ δὲ τῶν ὠδίνων ὁ τοκετὸς, καὶ τὸ ἐπί-
πονον εἰς τέρψιν καταλήγει, καὶ ἡ τέρψις ἀναιρεῖ τῆς λύπης τὴν
μνήμην, οὕτως ἀποβήσεται ὑμῖν ἐπὶ τοῦ καινοῦ[m] καὶ θαυμασίου
τούτου τοκετοῦ· νῦν γὰρ ὡς ἀληθῶς ἄνθρωπος εἰς τὸν κόσμον γεν-
νᾶται, ἐκ παραδόξων ὠδίνων· καὶ λύπην μὲν ὑμῖν αἱ περὶ τὸ πάθος
ὠδῖνες προσοίσουσι, χαρὰν δὲ ἡ μετὰ τὸ πάθος ἀνάστασις· χαρὰν
οὐδαμῶς ἔτι μεταβαλλομένην, οὐδὲ ἀφαιρετὴν ὑπὸ ἀνθρώπου, ἢ
τινος ἄλλου, ὅτε διὰ τῆς ἀναστάσεως τοῦ νέου ἀνθρώπου νέοι
καταστάντες, εἰς τὴν πρὸς Θεὸν ἥξετε παρρησίαν· χαρήσεσθε γὰρ,
23 ὅταν ἴδητε ξένον τῷ κόσμῳ παιδίον ἀποτεχθὲν, ἄφθαρτόν τε καὶ
ἀνώλεθρον, ἑαυτὸν δὲ δηλονότι φησί. Πάλιν δὲ δεῖξαι θέλων,
ὅτι ἀπὸ τοῦ Θεοῦ ἐστι, φησὶν, "ἀμὴν, ἀμὴν, λέγω ὑμῖν, ὅσα ἂν
"αἰτήσητε τὸν Πατέρα μου ἐν τῷ ὀνόματί μου, δώσει ὑμῖν." ὃ
δὲ λέγει τοῦτό ἐστιν, οὐ δεηθήσεσθε μεσίτου, ἀλλ' ἀρκεῖ τὸ ὄνομα
μόνον εἰπόντος τὸ ἐμὸν λαβεῖν πάντα, δείκνυσι τοῦ ὀνόματος τὴν
δύναμιν, εἴ γε μὴ ὁρώμενος, μηδὲ καλούμενος, ἀλλ' ὀνομαζόμενος
μόνον, καὶ παρὰ τῷ Πατρὶ ποιεῖ αὐτοὺς θαυμαστούς.

Πεῖσαι δὲ αὐτοὺς πάλιν θέλων ὅτι συμφέρει αὐτὸν ἀπελθεῖν
λέγει, "ἕως ἄρτι οὐκ ᾐτήσασθε οὐδὲν ἐν τῷ ὀνόματί μου· αἰτεῖτε,
"καὶ λήψεσθε," καὶ τὰ ἑξῆς. Εἰ γὰρ ἕως μὲν τοῦ νῦν οὐδὲν
ᾐτήσατε, φησὶ, τότε δὲ αἰτήσαντες λήψεσθε· τοῦτο συμφέρει
ὑμῖν· μὴ γὰρ ἐπειδὴ λοιπὸν οὐ συνέσομαι ὑμῖν, νομίσητε ἐγκατα-
λελείφθαι· τὸ γὰρ ὄνομα μείζονα ὑμῖν δώσει παρρησίαν.

Ἀμμωνίου. Ὡς γὰρ ἐν παροιμίαις λαλεῖ ταῦτα ὁ Χριστὸς,
ὡς παρακατιὼν λέγει, οὐ γὰρ δύναται κατὰ τὸ γράμμα νοεῖσθαι·
ἐκεῖνος δὲ αἰτεῖ καὶ λαμβάνει ὁ τὰ λυσιτελῆ αἰτῶν πρὸς βελ-
τίωσιν ψυχαῖς. Παροιμίαν λέγει τὸν ἀσαφῆ καὶ κεκαλυμμένον
λόγον· διὰ τὴν νηπιότητα αὐτῶν ἐπεσκιασμένως λέγει· ὅταν προ-
κόψητε, τότε ἀποκαλύπτω ὑμῖν τὴν τοῦ Πατρὸς δόξαν· μετὰ τὴν
25 ἀνάστασιν σαφῶς ὑμῖν ἐρῶ τὰ[n] περὶ τοῦ Πατρός. Περὶ ποίας
ὥρας λέγει "ὅτι ἔρχεται ὥρα, ὅτε οὐκέτι ἐν παροιμίαις λαλήσω
"ὑμῖν," καὶ τὰ ἑξῆς, τὸν τῆς ἀναστάσεως αὐτοῦ χρόνον· καὶ γὰρ
ἐπὶ τεσσαράκοντα ἡμέρας σὺν αὐτοῖς διελέχθη, συναλιζόμενος καὶ
λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ· καὶ ἐπειδὴ, φησὶ, τὴν

[m] καιροῦ Cod. [n] ἐρωτᾷ Cod.

εἰς ἐμὲ πίστιν βεβαίαν ἕξετε, "οὐκ ἐρωτήσω τὸν Πατέρα περὶ "ὑμῶν· αὐτὸς γὰρ ὁ Πατὴρ φιλεῖ ὑμᾶς," καὶ τὰ ἑξῆς· ἀρκεῖ γὰρ ἡ εἰς ἐμὴ ἀγάπη πρὸς τὴν ὑμῶν· καὶ ἐπειδὴ οὐχ ὡς ἔτυχεν αὐτοὺς παρεμυθεῖτο τὸ ἀκούειν ὅτι "παρὰ Θεοῦ ἐξῆλθον καὶ ἐκεῖ "ὑπάγω," συνεχῶς αὐτὸ περιστρέφει· ὅθεν τοῦτο ἀκούσαντες, καὶ ὅτι τῷ Πατρὶ ἔσονται φίλοι, σφόδρα ἀνέπνευσαν· διὸ καὶ εἶπον, "νῦν οἴδαμεν ὅτι οἶδας πάντα, καὶ ὅτι ἀπὸ Θεοῦ ἐξῆλθες·" ὃ δὲ λέγουσι, τοῦτό ἐστι· πρινὴ ἀκοῦσαί σε, εἶδες τὰ σκανδαλίζοντα ἡμᾶς ὡς Θεὸς, καὶ ἀνέπαυσας ἡμᾶς εἰς ταῦτα. οὕτως ἔτι ἀτελῶς εἶχον, καὶ ἐπειδὴ ἐδόκουν ὥσπερ τινὰ χάριν αὐτῷ προσέχοντες λέγειν ταῦτα, φησὶ πρὸς αὐτοὺς, "ἄρτι πιστεύετε; ἰδοὺ "ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ἵνα σκορπισθῆτε ἕκαστος εἰς τὰ "ἴδια, καὶ ἐμ ἐμόνοναφ ἦτε," καὶ τὰ ἑξῆς. Ἐπειδὴ γὰρ εἶπον, "νῦν ἔγνωμεν," δείκνυσιν ὅτι οὐδὲν οὐδέπω κατόρθωσαν· προδώσετε γάρ με τοῖς ἐχθροῖς, φησὶ, καὶ τοσοῦτο ὑμῶν κρατήσει φόβος, ὡς μηδὲ μετ᾽ ἀλλήλων δυνηθῆναι ἀναχωρῆσαι, ἀλλ᾽ οὐδὲν ἐκ τούτου πάθω δεινόν. Ὁ γὰρ Πατὴρ μετ᾽ ἐμοῦ ἐστι, καὶ τοῦτο δὲ πάλιν δι᾽ αὐτοὺς τέθεικε· τοῦτο γὰρ, ἄνω καὶ κάτω βούλονται μαθεῖν. Ὅπερ δὲ εἶπεν, "ὅτι λελάληκα ὑμῖν ἵνα ἐν ἐμοὶ εἰρή"νην ἔχητε," τοῦτό ἐστιν, ἵνα μὴ ἐκβάλητέ με, φησὶν, ἀπὸ τῆς διανοίας ὑμῶν, ἀλλὰ παραδέξησθε ἐπὶ πλεῖον.

33 Εἰπὼν δὲ ὅτι "ἐν τῷ κόσμῳ θλίψιν ἕξετε," καὶ τὰ ἑξῆς, οὐ περὶ τῆς τότε μόνον θλίψεως εἶπεν, ἀλλ᾽ ὅτι καὶ μετὰ ταῦτα θλιβήσονται, ἀλλὰ διανάστητε, φησὶ, τῷ λογισμῷ· οὐδὲν γὰρ πάθητε δεινόν· ἐμοῦ τοῦ διδασκάλου ὑμῶν περιγενομένου τοῦ ἐχθροῦ. Νενίκηκα δὲ τὸν κόσμον, τὸν ἄρχοντα αὐτοῦ καταβαλὼν κάτω, καθὼς προεῖπεν, "ὅτι ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου," καὶ τὰ ἑξῆς, γνώσεσθε δὲ ὕστερον καὶ τοῦτο πάντων εἰκόντων ὑμῖν καὶ παραχωρούντων.

Κυρίλλου. Εἴ τι, φησὶν, ἂν θέλοιεν προσιόντες αἰτεῖν, λήψονται παρὰ τοῦ Πατρὸς, τοῦτο γάρ ἐστι τὸ "ἐν τῷ ὀνόματί μου." πρόσειμεν γὰρ οὐχ ἑτέρως τῷ Πατρὶ καὶ Θεῷ, εἰ μὴ δι᾽ Υἱοῦ· δι᾽ αὐτοῦ γὰρ τὴν προσαγωγὴν ἐσχήκαμεν ἐν Πνεύματι κατὰ τὸ γεγραμμένον· εἰ μὲν γάρ ἐστιν Υἱὸς καὶ Θεὸς, ὁμοῦ τῷ Πατρὶ

χορηγεῖ τοῖς ἁγίοις τὰ ἀγαθὰ, καὶ διὰ τοῦτο διδάσκων ὁ μακάριος Παῦλος φησὶ, "χάρις ὑμῖν καὶ εἰρήνη, ἀπὸ Θεοῦ καὶ "Πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ." Εἰ δὲ μεσίτης καὶ ἀρχιερεὺς καὶ Παράκλητος ὀνομάζεται, προσκομίζει τῷ Πατρὶ τὰς ὑπὲρ ἡμῶν ἱκετηρίας· ὀνόματι τοίνυν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τὰς δεήσεις ποιητέον· οὕτω γὰρ ἐπινεύσει ὁ Πατὴρ, ἐπιδώσει δὲ τοῖς αἰτοῦσι τὰ ἀγαθά.

Τὸ δὲ "ἐξῆλθον παρὰ τοῦ Θεοῦ" ἐνταῦθα δὴ πάλιν οἰκησόμεθα δηλοῖ, ὅτι γεγέννημαι καὶ ἐξέλαμψα, τῆς οὐσίας αὐτοῦ κατὰ πρόοδον μὲν τὴν εἰς εἶναί τε καὶ νοεῖσθαι τυχὸν ἰδιοσυστάτως, οὐ μὴν εἰς ἅπαν διῃρημένως· ἐστὶ γὰρ ἐν Υἱῷ μὲν ὁ Πατὴρ, ἐν Πατρὶ δ' αὖ πάλιν κατὰ φύσιν ὁ Υἱός· ἢ τὸ "ἐξῆλθον" ἀντὶ τοῦ γέγονα καθ' ὑμᾶς ἄνθρωπος, δηλονότι τὴν ἡμετέραν μορφήν τε καὶ φύσιν ὑποδύς· τόπος γὰρ ὥσπερ ἑκάστου τῶν ὄντων ἡ ἰδία φύσις, ἀφ' ἧς ἂν ἐξίοι πρὸς ἕτερόν τι μεταχωροῦν, καὶ ὅπερ οὐκ ἦν γενόμενον. Ὁ δὲ τοῦ Θεοῦ Λόγος μεμενηκὼς ὅπερ ἦν, γέγονεν ἄνθρωπος· ἐκβεβηκέναι δέ πως νοεῖται, κατά γε τὸν ἐν θεωρίαις ἐκβαίνοντα λόγον.

2 Ἀμμωνίου πρεσβυτέρου. Δύναται μὲν ὡς Θεὸς δοῦναι, πλὴν ὡς ἤδη εἶπον τὸ "αὐτῷ" οἰκονομικῶς. ἄνθρωπος ἐνέμεινε τῷ λόγῳ.

Θεοδώρου Μομψουεστίας. Ἴσως τοῦτο γνώσονται, ὅτι Πατήρ ἐστιν ἐξ αὐτοῦ γεννήσας Υἱὸν, ὅπερ οὔπω τότε ἐπίστανται, ἀλλ' οὐδὲ συνίεσαν Πατέρα αὐτοῦ κατὰ κηδεμονίαν νομίζοντες, ὡς καὶ τῶν λοιπῶν ἀνθρώπων ἐλέγετο.

Ἀμμωνίου πρεσβυτέρου. Τὸ "ἄρτι πιστεύετε," ἀνθρωπινώτερον τοῦτο λέγει· καθὸ γὰρ Θεὸς ὑπάρχω ἐν τῷ Θεῷ καὶ Πατρὶ εἰμὶ φυσικῶς καὶ ἀδιαστάτως. διὰ συγκατάβασιν εἶπε τοῦτο, ἐπειδὴ οἱ μαθηταὶ ἤθελον ἀκούειν τοῦτο. Κρείττων καὶ δυνατώτερος ὤφθη ὁ Κύριος πάσης κοσμικῆς ἁμαρτίας, καὶ δίδωσι καὶ τοῖς πιστοῖς τὸ νικᾷν· ἢ ὅτι ὁ Χριστὸς ἐξ ἡμῶν γεγονὼς καθὸ ἄνθρωπος, κρεῖττον ἐφάνη θάνατου καὶ φθορᾶς, καὶ εἰς ἡμᾶς ἡ χάρις διαβαίνει, καὶ τούτῳ ὀφείλομεν θεωρεῖν ὅτι ληψόμεθα, ἐπειδὴ ὡς ἄνθρωπος νενίκηκε, καὶ ἡμεῖς δοκοῦμεν ἐν αὐτῷ νενικηκέναι. Εἰ γὰρ ὡς Θεὸς ἐνίκησε, πρὸς ἡμᾶς οὐδέν.

Ἀπολιναρίου. Μέλλων ἀπιέναι, φησὶν, ἀναγκαίως διὰ τῶν νῦν εἰρημένων καθίστημι τὰς ψυχὰς ὑμῶν εἰς τὸ μὴ ταράσσεσθαι, ἀλλὰ τῇ πίστει πρὸς τὰς περιστάσεις ἀντέχειν· πολλὰ μὲν γὰρ παρὰ ἀνθρώποις τὰ θλίβοντα, μεγάλη δὲ παρὰ τοῦ νενικηκότος τὰς θλίψεις ἡ τοῦ θεωρεῖν ἐπικουρία· οὐ γὰρ ἐκ τῆς ὑμετέρας ἀνδρείας τὸ θαρσεῖν ἔσται βεβαίως ποτὲ, ὅτι μηδὲν ἐν ἀνθρώπῳ στερρὸν καὶ ἄτρεπτον ἀγαθὸν, ἀλλ' ἐκ τῆς ἐμῆς ἀηττήτου δυνάμεως ἀσφαλὲς τὸ θάρσος τοῖς ἐμοῖς μετόχοις ὑπάρξει. Μετὰ τὴν παραίνεσιν ἐπὶ τὴν ἀρχὴν τρέπεται. Ἐπειδὴ γὰρ εἶπεν, ὅτι ἐν τῷ κόσμῳ θλίψιν ἕξετε, καὶ κατέσεισεν αὐτῶν τὰς ψυχὰς, ἀνίστησι πάλιν διὰ τῆς εὐχῆς, παιδεύων ἡμᾶς ἐν τοῖς πειρασμοῖς πάντα ἀφέντας ἐπὶ τὸν Θεὸν καταφεύγειν· ἄλλως δὲ οὐδὲ εὐχὴν ὁ Εὐαγγελιστὴς τὸ πρᾶγμα καλεῖ, ἀλλὰ διάλεξιν πρὸς τὸν Πατέρα μᾶλλον αὐτὸ εἶναι λέγων· "ἦρε γὰρ φησὶ, τοὺς ὀφθαλμοὺς "αὐτοῦ εἰς τὸν οὐρανὸν," καὶ τὰ ἑξῆς. Εἰ δὲ ἀλλαχοῦ λέγει εὐχόμενον δείκνυσιν αὐτὸν ἐπὶ γόνατα καμπτόμενον, μὴ θαυμάσῃς. Ἦλθε γὰρ ὁ Χριστὸς οὐ μόνον ἑαυτὸν φανερώσων, ἀλλὰ καὶ ἀρετὴν παιδεύων ἅπασαν· τὸν δὲ παιδεύοντα οὐ διὰ ῥημάτων μόνον, ἀλλὰ καὶ διὰ πραγμάτων παιδεύειν χρή.

1 Δεῖξαι δὲ θέλων ὅτι οὐκ ἄκων ἐπὶ τὸ πάθος ἔρχεται, ἀλλ' ἑκὼν, φησὶ, "Πάτερ ἐλήλυθεν ἡ ὥρα, δόξασόν σου τὸν Υἱὸν," καὶ τὰ ἑξῆς· ἰδοὺ γὰρ εὔχεται τοῦτό γενέσθαι, καὶ δόξαν τὸ πρᾶγμα καλεῖ, οὐκ αὐτοῦ μόνον τοῦ σταυρουμένου, ἀλλὰ καὶ τοῦ Πατρὸς, ὅπερ καὶ γέγονεν. Οὐ γὰρ ὁ Υἱὸς μόνον, ἀλλὰ καὶ ὁ Πατὴρ ἐδοξάσθη· πρὸ μὲν γὰρ τοῦ σταυροῦ οὐδὲ Ἰουδαῖοι αὐτὸν ᾔδεσαν. "Ἰσραὴλ γάρ με," φησὶν, "οὐκ ἔγνω," μετὰ δὲ τὸν σταυρὸν ἡ οἰκουμένη πᾶσα προσέδραμε. Τὸ δὲ "καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν "πάσης σαρκὸς," καὶ τὰ ἑξῆς, τοῦτο δηλοῖ μετὰ τὸ σταυρωθῆναι καὶ ἀναστῆναι, καὶ ὅτι οὐκ εἰς Ἰουδαίους μόνον τὰ τοῦ κηρύγματός ἐστι συνεσταλμένον, ἀλλ' εἰς τὴν οἰκουμένην λοιπὸν ἐκτείνεται πᾶσαν. Εἶπε δὲ τοῦτο, ὅτι ἔμελλεν αὐτοὺς πέμπειν εἰς τὰ ἔθνη· ἵνα οὖν μὴ νομίσωσι καινοτομίαν εἶναι, δείκνυσι καὶ τῷ Πατρὶ τοῦτο δοκεῖν· πρὸ τούτου γὰρ ἔλεγεν αὐτοῖς, "εἰς ὁδὸν ἐθνῶν
3 "μὴ ἀπέλθητε." "Ἵνα γιγνώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν,"
καὶ τὰ ἑξῆς· εἶπε δὲ "μόνον ἀληθινὸν Θεὸν" πρὸς ἀντιδιαστολὴν

τῶν οὐκ ὄντων θεῶν. Καὶ γὰρ εἰς τὰ ἔθνη αὐτοὺς πέμπειν ἔμελλεν. Εἰ δὲ οἱ αἱρετικοὶ οὐκ ἀνέξονται, ἀλλὰ διὰ τὸ μόνον ἐκβάλλουσι τοῦ εἶναι ἀληθινὸν Θεὸν τὸν Υἱόν. Οὕτω καὶ τὸ εἶναι Θεὸν ἐκβάλλουσι, φησὶ γὰρ, "τὴν παρὰ μόνου Θεοῦ δόξαν οὐ "ζητεῖτε·" τί οὖν; οὐκ ἔστι Θεὸς ὁ Υἱός; εἰ δὲ καὶ Θεὸς, καὶ μόνου τοῦ Πατρὸς λεγομένου, εὔδηλον ὅτι καὶ ἀληθινὸς, καὶ μόνου αὐτοῦ ἀληθινοῦ λεγομένου.

Σχόλιον Καισαρίου[k] ἀδελφοῦ Θεολόγου. Φασὶν οἱ τοῦ Ἀρείου ὑπασπισταὶ, ὅτι, φησὶν, εἰ ἴσος ὁ Υἱὸς τῷ Πατρὶ, διὰ τί μὴ πρόσκειται τοῖς Ἰωάννου τοῦ Ἀποστόλου γράμμασιν, ὡς ἐπὶ τοῦ Πατρὸς, τὸ Θεὸς ἀληθινὸς, ἀλλὰ μόνον Θεός; ἡμεῖς δέ φαμεν πρὸς αὐτοὺς, καὶ πῶς οἴεσθε ἀποκρύψασθαι τὴν καθολικὴν τοῦ αὐτοῦ Ἰωάννου Ἐπιστολὴν ἐν τῷ τέλει βοῶσαν, ὅτι "Ἰησοῦς ὁ "Χριστὸς, οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς καὶ ζωὴ ἡ αἰώνιος;" Πάλιν δὲ ὁ αὐτὸς περὶ τοῦ Πνεύματος φησὶν "οἴδαμεν δὲ καὶ "ἀναγγέλομεν ὑμῖν ὅτι ὁ Θεὸς φῶς ἐστι," καὶ οὐ προσέθηκεν ὡς περὶ τοῦ Υἱοῦ, ὅτι ἀληθινός· ἆρ' οὖν τολμητέον, φησὶ, μὴ εἶναι τὸν Πατέρα ἴσα τῷ παιδὶ, φῶς ἀληθινὸν, καθὼς καὶ ὁ Κύριος ἐν ἄλλῳ τόπῳ ἔλεξε, φησὶν "ἐγώ εἰμι ἡ ἀλήθεια," καὶ οὐκ ἂν ψεῦδος ἐγένετο ποτέ; τοίνυν εἰ τὸν σκοπὸν τοῦ εὐαγγελικοῦ ῥητοῦ καταμαθεῖν ἐθέλοις ἀκριβῶς, οὕτως ἀνάγνωθι τὸ ῥητόν· "αὕτη δὲ "ἐστὶν ἡ αἰώνιος ζωὴ, ἵνα γιγνώσκωσί σε, καὶ ὃν ἀπέστειλας "Ἰησοῦν Χριστὸν, τὸν μόνον ἀληθινὸν Θεόν·" τὸ γὰρ "ἵνα" σύνδεσμός ἐστι τῶν προειρημένων ῥημάτων, καὶ τῶν ἐνσαχθέντων (sic) οἱ τὰ θεῖα σαφῶς πεπαιδευμένοι ἐν τῷ λέγειν τὸ "σὲ τὸν μόνον "ἀληθινὸν Θεόν."

4 Καλῶς δὲ εἶπεν, "ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς·" ἐν γὰρ τῷ οὐρανῷ δεδόξαστο, ἔν τε τῇ φύσει τὴν δόξαν ἔχων, καὶ παρὰ τῶν Ἀγγέλων προσκυνούμενος· οὐ τοίνυν τὴν δόξαν ἐκείνην λέγει, ἀλλὰ ταύτην, ἀπὸ τῆς τῶν ἀνθρώπων λατρείας γινομένην· οὐκοῦν καὶ "τὸ δόξασόν με" τοιοῦτόν ἐστι. Πῶς δὲ τὸ ἔργον ἐτελείωσε; καθώς φησι, "τὸ ἔργον ἐτελείωσα, ὃ δέδωκάς μοι ἵνα ποιήσω," καί τοι γε ἀρχὴν ἔτι τὸ πρᾶγμα εἶχε, μᾶλλον δὲ οὐδὲ ἀρχὴν, πῶς οὖν λέγει, "ἐτελείωσα;" ἢ ὅτι τὸ ἐμαυτοῦ πᾶν ἐποίησα, ἢ τὸ ἐσόμενον ὡς γεγενημένον λέγει.

[k] ΚΕΣΑΡΙΟΥ Cod.

5 Τί ἐστιν ὅ φησι "καὶ νῦν, δόξασόν με σὺ Πάτερ παρὰ
"σεαυτῷ," καὶ τὰ ἑξῆς· καὶ γὰρ ἴσως ἄδοξος μὲν ἦν παρὰ τοῖς
ἀνθρώποις διὰ τὸ παρακείμενον ἔνδυμα τῆς σαρκὸς, πῶς καὶ παρὰ
τῷ Πατρὶ δοξασθῆναι ζητεῖ; Τί οὖν ἐστι; τὴν ἀθυμίαν ὑποτέμνεται τῶν μαθητῶν, τὴν ἀπὸ τοῦ σταυροῦ γενησομένην αὐτοῖς, εἴγε διὰ τοῦτο μέλλοι ἐπὶ τὴν οἰκείαν ἐπανήξειν δόξαν καὶ ἀξίαν. Διὰ τοῦτο οὐκ εἶπεν, ἐπὶ τῆς γῆς, ἀλλὰ "παρὰ σοὶ," τουτέστιν, ἀπολαύσει τῆς ἀφθαρσίας ἡ σὰρξ αὕτη, κοινωνήσει τοῦ θρόνου τοῦ βασιλικοῦ.

Ἀμμωνίου πρεσβυτέρου. Οἰκονομικῶς ἐν τάξει προσευχῆς λέγει, δεῖξόν με τίς εἰμι τοῖς ἀνθρώποις, ἵνα μὴ διὰ τοῦ πάθους τῆς ἐμῆς σαρκὸς μείνωσιν οἱ ἄνθρωποι μηδὲν ἄξιον λογιζόμενοι.

Τοῦ Χρυσοστόμου. Δεῖξαι δὲ θέλων ὅτι καὶ ἐν τοῖς ἔθνεσιν αὐτὸν ἐφανέρωσεν, οὐ Θεὸν μόνον, ἀλλὰ καὶ Πατέρα, φησὶν, "ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις," ὅθεν καὶ "μεγάλης "βουλῆς Ἄγγελος λέγεται." Δύο δὲ ταῦτα κατασκευάσαι βουλόμενος, ὅτι τε οὐκ ἔστιν ἐναντίος τῷ Πατρὶ, καὶ ὅτι βούλημα αὐτοῦ ἐστι τὸ πιστεῦσαι αὐτοὺς τῷ Υἱῷ, ἐπήγαγε λέγων, "οὓς "δέδωκάς μοι ἐκ τοῦ κόσμου σοὶ ἦσαν, καὶ ἐμοὶ αὐτοὺς δέδωκας, "καὶ τὸν λόγον σου τετηρήκασι."

Τινὲς τὸ ἐπαγόμενον "νῦν ἔγνων" λέγουσιν, ὅτι περὶ ἑαυτοῦ εἶπεν, ἀλλ' οὐκ ἂν ἔχοι τοῦτο λόγον· πῶς γὰρ ἔμελλεν ὁ Υἱὸς τὰ τοῦ Πατρὸς ἀγνοεῖν, ἀλλὰ περὶ τῶν μαθητῶν εἴρηται· ἐξ οὗ γὰρ ταῦτα εἶπον, φησὶν, ἔμαθον τί, ὅτι πάντα ὅσα δέδωκάς μοι παρὰ σοῦ ἐστί· τουτέστιν οὐδὲν ἀλλότριον, οὐδὲ ἴδιον ἐν ἐμοὶ παρὰ σέ. Ἔγνωσαν οὖν ὅτι καὶ πάντα ὅσα ἂν διδάξω, σά ἐστι καὶ διδάγματα καὶ δόγματα, καὶ "ὅτι παρὰ σοῦ ἐξῆλθον, καὶ ὅτι σύ με ἀπέ- "στειλας·" τοῦτο γὰρ διὰ παντὸς ἐσπούδαζε κατασκευάσαι τοῦ Εὐαγγελίου[1]· δεικνὺς δὲ ὅτι δι' οὐδὲν ἕτερον ταῦτα πρὸς τὸν
Πατέρα ἔλεγεν, ἀλλ' ἵνα μάθωσι τὴν ἀγάπην ἣν ἔχει εἰς αὐτοὺς,
9 φησὶν, "ἐγὼ περὶ αὐτῶν ἐρωτῶ· οὐ περὶ τοῦ κόσμου ἐρωτῶ, ἀλλὰ
"περὶ ὧν δέδωκάς μοι, ὅτι σοί εἰσιν." οὐ γὰρ μὴ μόνον τὰ παρ' ἑαυτοῦ παρέχων, ἀλλὰ καὶ ἕτερον ἐπὶ τοῦτο παρακαλῶν, δείκνυσι πλείονα τὸν πόθον· συνεχῶς δὲ τίθησι τὸ "ἔδωκας," ἵνα μάθωσιν,

[1] Εὐαγγελιστοῦ Cod.

ὅτι τῷ Πατρὶ τοῦτο δοκεῖ. καὶ ἐπειδὴ συνεχῶς εἶπε “σοί εἰσι,” καὶ “σύ μοι αὐτοὺς δέδωκας,” ἵνα μή τις νομίσῃ πρόσφατον αὐτοῦ εἶναι τὴν ἀρχὴν, ἀναιρῶν τὴν πονηρὰν ταύτην ὑποψίαν, ἐπήγαγε λέγων, “καὶ τὰ ἐμὰ πάντα σά ἐστι, καὶ τὰ σὰ ἐμὰ, καὶ “δεδόξασμαι ἐν αὐτοῖς,” ὅπερ μεγίστην ἰσοτιμίαν δηλοῖ.

11 Τὸ “δεδόξασμαι ἐν αὐτοῖς” τοῦτό ἐστιν,” ἢ ὅτι ἐξουσίαν αὐτῶν ἔχω, ἢ ὅτι δοξάσουσιν ἐμὲ, σοὶ πιστεύοντες, καὶ ἐμοί.

Τίνος ἕνεκεν συνεχῶς λέγει, ὅτι “ἐν τῷ κόσμῳ οὐκ εἰμὶ,” καὶ σοὶ αὐτοὺς παρακατατίθεμαι, καὶ ὅτι “ὅτε ἤμην ἐν τῷ κόσμῳ “ἐτήρουν αὐτούς;” ἀνθρωπίνως τὰ πολλὰ διαλέγεται πρὸς τὴν αὐτῶν διάνοιαν, νομιζόντων ὅτι πλείονα εἶχον ἀσφάλειαν ἀπὸ τῆς παρουσίας αὐτοῦ. Τὸ δὲ, “ἐγὼ ἔρχομαι πρός σε,” ὡσανεὶ ἔλεγεν, ἐπειδὴ πρὸς ἑαυτόν με σὺ καλεῖς, κατάστησον αὐτοὺς ἐν ἀσφαλείᾳ. Διὰ τί εἶπε, “Πάτερ Ἅγιε, τήρησον αὐτοὺς ἐν τῷ ὀνόματι “σου;” τί γὰρ αὐτὸς οὐκ ἠδύνατο τηρεῖν αὐτούς; ναὶ, ἀλλὰ συγκαταβαίνων αὐτοῖς τοῦτο εἶπεν.

Εἰ γὰρ εἶπεν, ὅτι ἐγὼ τηρῶ αὐτοὺς, οὐκ ἂν οὕτως ἐπίστευσαν. τὸ δὲ “ἐν τῷ ὀνόματί σου,” τουτέστι, διὰ τῆς σῆς βοηθείας.

12 Καὶ τὸ ἐπαγόμενον δὲ πρὸς τὴν ἐκείνων ὑπόνοιαν διαλέγεται, ὅτι “ὅτε ἤμην μετ᾽ αὐτῶν ἐν τῷ κόσμῳ, ἐγὼ ἐτήρουν αὐτοὺς ἐν “τῷ ὀνόματί σου,” ἵνα μικρὸν ἀναπνεύσωσιν ἀκούοντες αὐτοῦ παρατιθεμένου αὐτοὺς τῷ Πατρὶ, καὶ τὴν εἰς αὐτοὺς στοργὴν ἐνδεικνυμένου· εἰ μὴ γὰρ τοῦτό ἐστι, πῶς ἔλεγε “μεθ᾽ ὑμῶν εἰμι “ἕως τῆς συντελείας τοῦ αἰῶνος;” τὸ δὲ εἰπεῖν, “ἐν τῷ ὀνόματί “σου,” πάλιν ὡς ἄνθρωπος διαλέγεται, καὶ ὡς προφήτης, ἐπεὶ οὐδαμοῦ φαίνεται ἐν τῷ ὀνόματι τοῦ Πατρὸς πεποιηκώς τι, ἀλλὰ πάντων τῶν τοιούτων ἡ λύσις, τὸ πρὸς τὴν ἀσθένειαν αὐτῶν λέγεσθαι τὰ λεγόμενα. Τὸ δὲ “οὓς δέδωκάς μοι, ἐφύλαξα, καὶ οὐδεὶς “ἐξ αὐτῶν ἀπώλετο,” καὶ τὰ ἑξῆς, δηλοῖ ὅτι ἀφ᾽ ἑαυτοῦ ἀπεπήδησεν ὁ προδότης· πρὸς ἀνάγκην γὰρ, φησὶν, οὐχ ἕλκω, οὔτε αὐτὸν, οὔτε ἑτέρους ἀποπηδῶντας, ἐρχομένους μέντοι πρός με, οὐκ ἐκβάλλω ἔξω, οὐδὲ ἀπωθοῦμαι, οὐδὲ ἐγκαταλιμπάνω τοὺς τοιούτους ἐμμένοντας πρός με.

13 Καὶ τὸ ἐπαγόμενον δὲ ὅτι “πρὸς σὲ ἔρχομαι,” καὶ τὰ ἑξῆς, διὰ τὴν ἐκείνων χαρὰν καὶ ἀνάπαυσιν εἶπε. Δεικνὺς δὲ τὴν αἰτίαν δι᾽

ἣν ἄξιοί εἰσι πολλῆς παρὰ τοῦ πατρὸς ἐπιμελείας τυχεῖν, λέγει, "ἐγὼ δέδωκα αὐτοῖς τὸν λόγον σου, καὶ ὁ κόσμος ἐμίσησεν "αὐτοὺς," καὶ τὰ ἑξῆς· διὰ γὰρ σὲ ἐμισήθησαν, φησὶ, καὶ τὸν λόγον τὸν σὸν, ὥστε δίκαιοι ἂν εἶεν πάσης ἀπολαῦσαι προνοίας. Ἐμφαίνων δὲ πάλιν ὅτι πολλὴν αὐτῶν ποιεῖται κηδεμονίαν, ἐπάγει λέγων, "οὐκ ἐρωτῶ ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ κόσμου, ἀλλ' ἵνα "τηρήσῃς αὐτοὺς ἐκ τοῦ πονηροῦ·" διὰ τοῦτο οὖν ὑπὲρ αὐτῶν παρακαλεῖ, συγκαταβαίνων αὐτοῖς.

16 Πῶς ἀλλαχοῦ μὲν, φησὶν, "οὓς δέδωκάς μοι ἐκ τοῦ κόσμου," ἐνταῦθα δὲ "ἐκ τοῦ κόσμου οὐκ εἰσίν;" ἐκεῖ μὲν περὶ τῆς φύσεως ἔλεγεν, ἐνταῦθα δὲ περὶ πράξεων πονηρῶν, ἀντὶ τοῦ οὐδὲν κοινὸν πρὸς τὴν γῆν ἐστιν αὐτοῖς, ἀλλὰ τῶν οὐρανῶν γεγόνασι πολῖται· εἰ δὲ λέγει "καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου," οὐ χρὴ θορυβεῖσθαι· τὸ γὰρ "καθὼς" οὐκ ἔστιν ἐνταῦθα, οὐκ ἔστιν ἀπαραλλάκτου ἀκριβείας. Ὅταν μὲν γὰρ ἐπ' αὐτοῦ καὶ τοῦ Πατρὸς κεῖται τὸ καθὼς, πολλὴν ἰσότητα διὰ τὴν τῆς φύσεως συγγένειαν σημαίνει· ὅταν δὲ ἐφ' ἡμῶν καὶ αὐτοῦ, πολὺ τὸ μέσον διὰ τὸ ἄπειρον εἶναι τὸ μέσον ἑκατέρας τῆς φύσεως, καὶ τοῦτο ὡς συγκαταβατικῶς εἴρηται παρ' αὐτοῦ.

17 "Ἁγίασον[m] αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου," τουτό ἐστιν, ἁγίους ποίησον αὐτοὺς, διὰ τῆς τοῦ Πνεύματος δόσεως, παίδευσον καὶ δίδαξον αὐτοὺς τὴν ἀλήθειαν. "Καὶ γὰρ ὁ λόγος ὁ σὸς ἀλήθειά "ἐστι," φησὶ, τουτέστιν, οὐδὲν ψεῦδος ἐν αὐτῷ, παντὸς γὰρ ἐκβῆναι δεῖ τὰ εἰρήμενα πάντα, καὶ ὅτι οὐδὲν τυπικὸν δηλοῖ πάλιν, οὐδὲ σωματικὸν, καὶ ἐνταῦθα δὲ πάλιν τὸ "καθὼς ἐμὲ "ἀπέστειλας εἰς τὸν κόσμον," οὐχ ὁμοίως ἐπ' αὐτοῦ καὶ τῶν Ἀποστόλων κεῖται, πῶς γάρ; ἀλλ' ὡς ἦν ἐγχωροῦν ἀνθρώποις ἀποσταλῆναι· αὐτοὶ μὲν γὰρ παρ' αὐτοῦ ἀπεστάλησαν, αὐτὸς δὲ θεοπρεπῶς παρὰ τοῦ Πατρός. Εἰ δὲ καὶ εἶπε, "ἀπέστειλες "αὐτοὺς," ἔθος αὐτῷ καὶ τὸ μέλλον ὡς γεγονὸς λέγειν.

19 Τὸ δὲ "ὑπὲρ αὐτῶν ἁγιάζω ἐμαυτὸν," τουτό ἐστι, προσφέρω σοι θυσίαν ἐμαυτὸν, αἱ γὰρ θυσίαι ἅγιαι λέγονται, καὶ κυρίως ἅγια τὰ τῷ Θεῷ ἀνακείμενα.

Τὸ δὲ "ἵνα ὦσιν ἡγιασμένοι ἐν ἀληθείᾳ" δηλοῖ ὅτι οὐχ ὡς ἐν

m δόξασον Cod.

τύπῳ τὸ παλαιὸν ὁ ἁγιασμὸς ἐν τῷ προβάτῳ ἦν οὕτω καὶ νῦν, ἀλλ' ἐν αὐτῇ τῇ ἀληθείᾳ· καὶ γὰρ καὶ αὐτοὺς συνανατίθημι, φησὶ, καὶ ποιῶ προσφορὰν, διὸ καὶ ὁ Ἀπόστολος πρὸς τοῦτό φησι, "παραστήσατε τὰ μέλη ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν." Ἵνα δὲ μή τις νομίσῃ ὑπὲρ τῶν Ἀποστόλων μόνον αὐτὸν προσφέρειν ἑαυτὸν, ἐπήγαγε, "οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πι-"στευόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ·" ἀνέστησε δὲ καὶ ἐντεῦθεν αὐτῶν τὰς ψυχὰς, δείξας αὐτοῖς ἐσομένους πολλοὺς μαθητάς.

21 Εἰπὼν περὶ τῆς σωτηρίας αὐτῶν καὶ τοῦ ἁγιασθῆναι τῇ πίστει καὶ τῇ θυσίᾳ, λέγει λοιπὸν καὶ περὶ τῆς ὁμονοίας, "ἵνα πάντες," φησὶν, "ἓν ὦσι, καθὼς σὺ, Πάτερ, ἐν ἐμοὶ, κἀγὼ ἐν σοὶ, ἵνα καὶ "αὐτοὶ ἐν ἡμῖν ἓν ὦσι," καὶ εἰς τοῦτο κατακλείει τὸν λόγον, πάλιν δὲ τὸ "καθὼς" οὐκ ἀκριβῶς ἐξίσωσεν ἐπ' αὐτοῖς· οὐδὲ γὰρ δυνατὸν, ἀλλ' ὥσπερ ὅταν λέγει "γίνεσθε οἰκτίρμονες ὡς ὁ "Πατὴρ ὑμῶν·" οὕτω καὶ ἐνταῦθα. Τί δέ ἐστιν, "ἐν ἡμῖν;" ἐν τῇ πίστει τῇ εἰς ἡμᾶς· σημαίνει δὲ τὸ ἵνα ὁ κόσμος πιστεύσῃ ὅτι σύ με ἀπέστειλας, ὅτι ἐὰν τὴν εἰς ἀλλήλους ἀγάπην τηρήσωσι, φησὶ, γνώσονται τὸν διδάσκαλον ἀπὸ τῶν μαθητῶν ἅπαντες. Ἂν δὲ μάχονται, οὐκ ἐροῦσιν εἰρηνικοῦ Θεοῦ εἶναι μαθητὰς, νομίζοντες δὲ μὴ εἶναι εἰρηνικὸν, οὐχ ὁμολογήσουσιν ἀπεστάλθαι με παρὰ Θεοῦ.

Χρὴ δὲ σκοπῆσαι πῶς διὰ πάντων κατασκευάζει τὸ πρὸς τὸν Πατέρα ὁμονοητικόν. Ποίαν δόξαν λέγει, "ἣν δέδωκάς μοι;" ὅτι δέδωκα αὐτοῖς τὴν διὰ τῶν σημείων, τὴν διὰ τῶν διδαγμάτων, καὶ ἵνα ὁμόψυχοι ὦσι· διὸ καὶ ἐπάγει "ἵνα ὦσιν ἓν, καθὼς ἡμεῖς "ἕν ἐσμεν·" αὕτη γὰρ ἡ δόξα καὶ τῶν σημείων μείζων· ὥσπερ γὰρ τὸν Θεὸν θαυμάζομεν, ὅτι οὐκ ἔστι στάσις οὐδὲ μάχη παρὰ τῇ φύσει ἐκείνῃ, ἀλλὰ μεγίστη αὕτη δόξα ἐστὶν, οὕτω καὶ οὗτοι, φησὶν, ἐντεῦθεν γενέσθωσαν λαμπροί.

23 Τὸ δὲ "ἐγὼ ἐν αὐτοῖς, καὶ σὺ ἐν ἐμοὶ," οὕτω χρὴ νοεῖν, ὅτι ἔδωκε τὴν δόξαν αὐτοῖς ἐν αὐτοῖς γενόμενος, καὶ τὸν Πατέρα ἔχων μεθ' ἑαυτοῦ, ὥστε αὐτοὺς συγκροτεῖν. Ἀλλαχοῦ δὲ οὐχ οὕτως φησὶν, οὐ γὰρ δι' αὐτοῦ τὸν Πατέρα παραγενέσθαι καὶ μονὴν παρ' αὐτῷ ποιεῖν· ἐκεῖ μὲν τὰ Σαβελλίων ἐπιστομίζων στόματα, ἐνταῦθα δὲ τὴν Ἀρείου ὑπόνοιαν ἀναιρῶν.

Δεικνὺς δὲ τῶν σημείων μᾶλλον τὴν εἰρήνην τοὺς ἀνθρώπους

δυναμουμένην ἐπισπάσασθαι, πάλιν φησὶν, " ἵνα ὦσι τετελειωμένοι εἰς ἓν, καὶ ἵνα γιγνώσκῃ ὁ κόσμος ὅτι σύ με ἀπέστειλας." Ὥσπερ γὰρ ἡ ἔρις διαλυτικὸν, οὕτω ἡ συμφωνία συγκροτικόν. Εἰπὼν δὲ " ὅτι ἠγάπησας αὐτοὺς, καθὼς ἐμὲ ἠγάπησας," πάλιν τὸ " καθὼς" ὡς ἀνθρώπους ἀγαπηθῆναι ἐγχωρεῖν, νοῆσαι ἡμῖν δίδωσιν. Ὅπερ δὲ ἐζήτουν ἀεὶ, ἐπάγει λέγων, " Πάτερ οὓς δέδωκάς μοι θέλω, ἵνα ὅπου ἐγώ εἰμι, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ·" οὐχ ὡς μέλλων δὲ αὐτὸ λαμβάνειν διὰ τῆς αἰτήσεως τοῦτο φησὶν, ἄπαγε, ἀλλὰ συγκαταβαίνων αὐτοῖς, καὶ τὴν εἰς αὐτοὺς ἀγάπην ἐνδεικνύμενος· καὶ τὸ ἐπαγόμενον δὲ " ἣν ἔδωκάς μοι" λέγει, συγκαταβάσεως ἦν· οὐ γὰρ ἦν ποτὲ, ὅτε ἦν ἄδοξος ὁ Υἱός. Διὸ χρὴ νοεῖν τὸ " ἔδωκας," ὅτι γεγέννηκάς ἐστι.

25 Δεικνὺς δὲ ἐνταῦθα μηδένα εἰδέναι τὸν Πατέρα ἢ μόνους τοὺς τὸν Υἱὸν ἐπεγνωκότας, φησὶ, " Πάτερ δίκαιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω, ἐγὼ δέ σε ἔγνων." Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐβούλου μὲν, τούτου ἅπαντας εἶναι, ἀλλ' οὐκ ἔγνωσάν σε, καί τοι οὐδὲν ἔχοντες ἐγκαλεῖν· τοῦτο γάρ ἐστι, " Πάτερ δίκαιε." Δοκεῖ δέ μοι καὶ δυσχεραίνων ταῦτα λέγειν, ὅτι τὸν οὕτως ἀγαθὸν καὶ δίκαιον ἐπιγνῶναι οὐκ ἠθέλησαν. Οὐ τοίνυν τοῦτό ἐστιν, ὅπερ φασὶν οἱ Ἰουδαῖοι, ὅτι αὐτοὶ μέν σε γιγνώσκουσιν, ἐγὼ δὲ σὲ ἀγνοῶ, ἀλλὰ τοὐναντίον· ἐγὼ μὲν σὲ οἶδα, αὐτοὶ δὲ σὲ οὐκ ἔγνωσαν, καὶ εἰς τὸ ἐπαγόμενον δὲ, " ὅτι οὗτοι δὲ ἔγνωσάν, ὅτι σύ με ἀπέστειλας," ἐκείνους αἰνίττεται τοὺς λέγοντας μὴ εἶναι αὐτὸν ἐκ τοῦ Θεοῦ, καὶ πρὸς τοῦτο τὸν λόγον ἀνακεφαλαιοῦται πάντα.

Πῶς εἰπὼν τοῦ Ἁγίου Πνεύματος τὴν τελείαν γνῶσιν τοῖς Ἀποστόλοις παρέχειν, νῦν λέγει, " καὶ ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σου, καὶ γνωρίσω;" ἵνα δείξῃ ὅτι καὶ τὰ τοῦ Ἁγίου Πνεύματος αὐτοῦ ἐστι. Ὅπως δὲ εἰς καλὸν τέλος καταπαύσῃ τὸν λόγον τὴν
26 ἀγάπην τὴν πάντων μητέρα τῶν ἀγαθῶν, ἐπήγαγεν, " ἵνα ἡ ἀγάπη
" ἣν ἠγάπησάς με, ἐν αὐτοῖς ᾖ, κἀγὼ ἐν αὐτοῖς."

1 Διὰ τί μετὰ τὸ εἰπεῖν αὐτὸν ταῦτα, μέσον νυκτῶν ὁδοιπορεῖ, καὶ ποταμὸν διαβαίνει, καὶ ἐπείγεται πρὸς τὸν τῷ προδότῃ γνώριμον τόπον ἐλθεῖν; " ταῦτα γὰρ," φησὶν, " εἰπὼν ὁ Ἰησοῦς ἐξῆλθε σὺν τοῖς μαθηταῖς αὐτοῦ πέραν τοῦ χειμάρρου," καὶ τὰ ἑξῆς· ἐκκόπτων

[n] πῶς Cod.

τοῖς ἐπιβουλεύουσι τὸν πόνον, καὶ δεικνὺς τοῖς μαθηταῖς, ὅτι ἑκὼν ἐπὶ τὸ πρᾶγμα ἔρχεται, ὅπερ ἦν ἱκανὸν αὐτοὺς μάλιστα παραμυθήσασθαι· καὶ καθέστησεν ἑαυτὸν ὥσπερ ἐν δεσμωτηρίῳ τῷ κήπῳ· ἵνα δὲ μὴ ἀκούσαντες κῆπον, κρύπτεσθαι αὐτόν τις νομίσῃ, ἐπήγαγεν, "εἶδε δὲ καὶ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν τὸν τόπον, ὅτι "πολλάκις συνήχθη ὁ Ἰησοῦς ἐκεῖ μετὰ τῶν μαθητῶν αὐτοῦ." Μανθάνομεν δὲ ἐντεῦθεν καὶ τοῦτο, ὅτι τὰ πολλὰ ἔξω διενυκτέρευσε, τοῖς μαθηταῖς ἰδίᾳ περὶ ἀναγκαίων διαλεγόμενος· ἐποίει δὲ τοῦτο καὶ ἐν ὄρεσι καὶ ἐν κήποις μάλιστα, καθαρὸν θορύβων χωρίον ἐπιζητῶν ἀεὶ, ὥστε μὴ τὴν διάνοιαν ἐκκρούεσθαι τῶν ἀκροωμένων. "Ὁ οὖν Ἰούδας παραλαβὼν," φησὶ, "τὴν σπεῖραν," καὶ τὰ ἑξῆς· καὶ ἡ μὲν σπεῖρα ἐπείσθη, ἐπειδὴ ἦσαν ἄνδρες στρατιῶται, χρημάτων ἕνεκα πάντα ποιεῖν μεμελετηκότων· ἐπέρχονται μετὰ ὅπλων, δεδοικότες τοὺς ἑπομένους αὐτῷ· διὰ τοῦτο καὶ ἀωρὶ τῶν νυκτῶν ἐπέστησαν.

Ἐν παραδείσῳ τῶν καθ' ἡμᾶς σκυθρωπῶν συμβέβηκεν ἡ ἀρχὴ, ἐν κήπῳ δὲ καὶ τὸ Χριστοῦ πάθος δέχεται τὴν ἀρχὴν, ἁπάντων ἡμῶν τῶν πάλαι συμβεβηκότων εἰσφέρει τὴν ἐπανόρθωσιν.

5 Τίνος ἕνεκεν αὐτὸς, "ἐξελθὼν εἶπεν αὐτοῖς, Τίνα ζητεῖτε;" δεῖξαι θέλων ὅτι οὐκ ἀπὸ τῆς παρουσίας τῆς ἐκείνων παριέμενε μαθεῖν τὰ ἐρχόμενα ἐπ' αὐτὸν, ἀλλ' ἀταράχως, καί τοι πάντα εἰδὼς ἠρώτα· εἰπόντων δὲ αὐτῶν ὅτι, "Ἰησοῦν τὸν Ναζωραῖον," καὶ αὐτοῦ εἰπόντος, ὅτι "ἐγώ εἰμι," τότε δείκνυσιν αὐτοῦ τὴν ἄμαχον δύναμιν, πηρώσας τοὺς ὀφθαλμοὺς αὐτῶν τε καὶ τοῦ προδότου. Καὶ γὰρ κἀκεῖνος εἱστήκει σὺν αὐτοῖς, ὅθεν καὶ μετ' αὐτῶν ἔπεσεν ὕπτιος. Ὅτι γὰρ οὐ τὸ σκότος αἴτιον ἦν τοῦ μὴ ἐπιγνῶναι αὐτοὺς αὐτὸν, ἐδήλωσεν ὁ Εὐαγγελιστὴς εἰπὼν, ὅτι καὶ λαμπάδας εἶχον· ἐνδειξάμενος τοίνυν πάντα, ἅπερ ἦν ἱκανὰ αὐτοὺς τῆς ἐγχειρήσεως αὐτῶν ἀνακρούσασθαι, ἐπειδὴ ἐπέμενον τῇ κακίᾳ, τότε λοιπὸν ἑαυτὸν παραδίδωσι.

Κυρίλλου. Σημεῖον δ' ἂν εἴη τῆς καθ' ὅλου νοουμένης τοῦ ἔθνους καταπτώσεως, τὸ μερικὸν τὸ τοῖς ἐπὶ σύλληψιν ἐλθοῦσι συμβεβηκός· καὶ γοῦν ὁ προφήτης Ἱερεμίας τοὺς Ἰουδαίους κατολοφύρεται, λέγων, "οἶκος Ἰσραὴλ ἔπεσεν, οὐκ ἔστιν ὁ ἀναστή-"σων." Διδάσκει δὲ ὅτι καὶ παντὶ τῷ πονηρεύεσθαι κατὰ

Χριστοῦ μελετήσαντι πάντη τε καὶ πάντως ἀποκείσεται τὸ πεσεῖν.

Ἀμμωνίου πρεσβυτέρου. Οὐχ ὡς ἀγνοῶν ἐρωτᾷ, ἀλλ' ἵνα γνῶμεν ὅτι καὶ παρὼν οὐχ ἑωρᾶτο ἢ ἐγνωρίζετο, εἰ μὴ ἤθελεν. Ὡς εἰδὼς πάντα, ἀταράχως ὅλα ἐποίει καὶ ἐλάλει, καὶ οὔτε ἀπὸ τῆς φωνῆς, οὔτε ὁ Ἰούδας οὔτε οἱ λοιποὶ ἐπεγίγνωσκον αὐτὸν, εἰ μὴ ὅτε ἠθέλησε.

9 Δεῖξαι δὲ θέλων τὴν μέχρις ἐσχάτης ὥρας εἰς τοὺς μαθητὰς αὐτοῦ φιλίαν, λέγει, "εἰ οὖν ἐμὲ ζητεῖτε, ἄφετε τούτους ὑπά-"γειν." Τὸ δὲ "ἵνα πληρωθῇ ὁ λόγος ὃν εἶπεν, ὅτι οὓς δέδωκάς "μοι, οὐκ ἀπώλεσα ἐξ αὐτῶν." Αὐτὸς μὲν οὐ ταύτην τὴν τοῦ παρόντος θανάτου λέγει ἀπώλειαν ἀλλ' ἐκείνην τὴν αἰώνιον. Ὁ δὲ Εὐαγγελιστὴς καὶ ἐπὶ τοῦ παρόντος αὐτὴν παρέλαβεν. Ὡς δὲ ὁ κελευσθεὶς μὴ πήραν[o] ἔχειν, μὴ δύο χιτῶνας, μάχαιραν εἶχε, φησὶ γὰρ ὁ Εὐαγγελιστὴς, "Σίμων οὖν Πέτρος ἔχων "μάχαιραν," καὶ τὰ ἑξῆς, ἐμοὶ δοκεῖ τοῦτο αὐτὸ δεδοικὼς ὁ Πέτρος παρεσκευᾶσθαι πάλαι. Εἰ δὲ λέγοι τις, πῶς ὁ κελευσθεὶς μηδὲ ῥαπίζειν, ἀνδροφόνος γίνεται; μάλιστα μὲν μὴ ἀμύνασθαι προσετάχθη, ἐνταῦθα δὲ οὐχ ἑαυτῷ ἠμύνατο, ἀλλὰ τῷ διδασκάλῳ, ἔπειτα οὐδὲ τέλειοί πως ἦσαν, οὐδὲ ἀπηρτισμένοι τότε.

Ἀμμωνίου πρεσβυτέρου. Διὰ τὰς τῶν μαθητῶν ἀσθενείας ἔξω ποιεῖται αὐτοὺς πειρασμῶν, ὡς Θεὸς φυλάσσει τοὺς μαθητὰς ἀεὶ, μόνον τὸν Ἰούδαν τῇ προαιρετικῇ κακίᾳ ἐάσας ἀπολέσθαι.

10 Θέλων ὑπεραποθανεῖν τοῦ διδασκάλου ἐποίησε τοῦτο. Θαρσήσας ὁ Πέτρος οἷς ἐποίησεν ὁ Ἰησοῦς, καὶ αὐτὸς ἐποίησε τοῦτο· καὶ μὴ ὡς ἀνδροφόνος τις καταιτίασθω τὸν Πέτρον, ὅπου γε οὐχ ὡς ἑαυτῷ ἀμύνων[p], ἀλλὰ τῷ διδασκάλῳ ἐποίει τοῦτο, πλὴν καὶ ἔτι ἀτελεῖς ἦσαν. Διὰ τοῦ τύπου δείκνυσιν ὅτι πάσης δεξιᾶς ἀκοῆς ἔρημοι ἔσονται οἱ Ἰουδαῖοι.

Ἀπολιναρίου. Δοκεῖ συγχώρησις εἶναι τοῦ Κυρίου πρὸς τὸ χρήσασθαι αὐτοὺς μαχαίρᾳ. Τοῦτο γὰρ ὁ Λουκᾶς ἱστόρησεν, ὡς δηλώσαντος μὲν τοῦ Σωτῆρος ἐπιόντα πόλεμον ἐν τῷ λέγειν, ὅτι "πωλησάτω τις τὸ ἱμάτιον αὐτοῦ, καὶ ἀγορασάτω μάχαιραν·" εἰπόντων δὲ τῶν μαθητῶν, ὅτι "ἰδοὺ μάχαιραι ὧδε δύο," πρὸς

[o] πεῖραν Cod. [p] ἀμύρω Cod.

τοῦτο ἀποκριναμένου τοῦ κελεύσαντας μὴ ἀνθίστασθαι τῷ πονηρῷ, ἀλλὰ καὶ ὑπὲρ αὐτοῦ δὲ τοῦ εἰρημένου, ἵν᾽ ἔργῳ δείξειεν ὅπερ λόγῳ προεδίδαξε, καὶ χρωμένους αὐτοὺς τῇ δικαίᾳ μαχαίρᾳ πρὸς τὸ ἀμύνασθαι στήσειέν τε καὶ κωλύσει, ὥστε μηκέτι ταύτῃ προσχρήσασθαι, ὡς καὶ αὐτὸς ὁ ταῦτα εἰπὼν ἱστόρηκε μετὰ ταῦτα εἰρηκέναι τὸν Κύριον, “ἐᾶτε ἕως τούτου· τοῦτο δὴ τὸ “ἕως” ὅρον ἔχει καὶ κώλυμα τῆς κατὰ νόμον ἐφειμένης μαχαίρας, καὶ προστεθηκέ γε τῇ ἱστορίᾳ Λουκᾶς, ὅτι καὶ ἁψάμενος τοῦ ὠτίου ἰάσατο αὐτὸν, ὅπερ ἐμφανέστατον ἦν ἔργον εἰς τὸ μὴ βλάπτειν ἀνθρώπων μηδένα.

Διὰ τί δὲ καὶ ὄνομα τέθεικε τοῦ δούλου ὁ Εὐαγγελιστής; ὥστε τοῖς τότε ἀναγιγνώσκουσι ἐξεῖναι ζητῆσαι καὶ περιεργάσασθαι εἰ ὄντως γέγονε τὰ γεγενημένα.

11 Οὐχ ἁπλῶς δὲ καὶ τὸ δεξιὸν ὠτίον λέγει, ἀλλ᾽ ἐμοὶ δοκεῖ τὴν ὁρμὴν εἰπεῖν τοῦ Ἀποστόλου ὅτι ἐπ᾽ αὐτὴν ὥρμηται τὴν κεφαλήν. θαυματουργεῖ δὲ ἐνταῦθα ὁ Χριστὸς, ὁμοῦ τε παιδεύων ὅτι τοὺς ποιοῦντας κακῶς εὐεργετεῖν χρὴ, ἔτι δὲ καὶ τὴν δύναμιν ἐκκαλύπτων τὴν ἑαυτοῦ. Ὅπερ δὲ ἐπὶ τοῦ νιπτῆρος ἐποίησε, δι᾽ ἀπειλῆς τὸν τόνον χαλάσας τοῦ Πέτρου, τοῦτο καὶ ἐνταῦθα ποιεῖ εἰπὼν, “βάλε τὴν μάχαιραν εἰς τὴν θήκην, τὸ ποτήριον ὃ δέδωκέ μοι ὁ “Πατήρ μου, οὐ μὴ πίω αὐτό;” δεικνὺς ὅτι οὐ τῆς ἐκείνων δυνάμεως ἦν τὰ γινόμενα, ἀλλὰ τῆς αὐτοῦ συγχωρήσεως.

Ἀπολιναρίου. Τὸ ἀποκόπτεσθαι δούλου ἀρχιερέως ὠτάριον τὸ δεξιὸν, σκέψαιτο ἄν τις ὡς τῆς ἐπικληθείσης αὐτοῖς ἀνηκουστίας σημεῖον ἦν, καὶ τοῦ μὴ ἐξεῖναι[q] ἐν τῷ ἀκούειν οὖς· “πώρωσις γὰρ “τῷ Ἰσραὴλ γέγονε, καὶ ἀκούοντες οὐκ ἀκούουσι,” διὰ τὴν κατὰ τοῦ Σωτῆρος ἀσέβειαν ἡ τῶν ἀρχιερέων μάλιστα γέγονε. Διὸ καὶ περὶ οἰκέτην ἀρχιερέως ἦν τὸ σύμβολον τῆς τοῦ ὠτὸς ἀφαιρέσεως. εἰ δέ με δεῖ καὶ τοῦτο προσθεῖναι διὰ τὴν ἱστορίαν τὴν Λουκᾷ, καὶ τὸ περὶ τῆς ἀποκαταστάσεως τοῦ ὠτίου, φαίην ἂν δηλοῦσθαι τὴν ὕστερον ἀποκατάστασιν τῆς συνέσεως τῆς νῦν ἀφαιρουμένης τοῦ Ἰσραὴλ, ὅτε συνήσουσιν ὃν ἠγνόησαν, καὶ ἀκούσονται τυχοντες τοῦ κηρύσσοντος Ἠλιοῦ· “ἀποκατασταθήσεται γὰρ διὰ πατέρων πρὸς υἱοὺς” κατὰ τὸν Μαλαχιὴλ, “καὶ

[q] Fort. ἔξειν.

"συναφθήσονται ἡμῖν τοῖς δευτέροις ἐκείνοις πρότερον κατὰ τὸν "χρόνον ὄντες, καὶ πατέρες ἀριθμηθήσονται μετὰ υἱῶν."

Δήσαντες δὲ τὸν δεσπότην ἡμῶν οἱ παράνομοι καὶ Θεὸν, τίνος ἕνεκεν αὐτὸν πρὸς Ἄνναν ἤγαγον πρῶτον; ὑπὸ τῆς ἡδονῆς ἐμπομπεύοντες τοῖς γινομένοις, ὡς δὴ τρόπαιον στήσαντες.

14 Τῆς δὲ τοῦ Καϊάφα προφητείας μέμνηται, δεῖξαι θέλων ὅτι ὑπὲρ σωτηρίας τοῦ κόσμου ταῦτα ἐγένετο, καὶ ὅτι τοσαύτη τῆς ἀληθείας ἐστὶν ἡ ὑπερβολὴ, ὡς καὶ τοὺς ἐχθροὺς ταῦτα προαναφωνεῖν. Ἵνα γὰρ μὴ δεσμοὺς ἀκούσας ὁ ἀκροατὴς θορυβῆται, ἀναμιμνήσκει τῆς προφητείας ἐκείνης ὁ Εὐαγγελιστὴς, ὅτι ἡ σωτηρία τῆς οἰκουμένης ὁ θάνατος αὐτοῦ ἦν.

Τίνος ἕνεκεν καὶ νῦν ὁ Εὐαγγελιστὴς οὐ λέγει ἑαυτὸν ὀνομαστί; "ἠκουλήθησε γὰρ, φησὶ Πέτρος τῷ Ἰησοῦ, καὶ ὁ ἄλλος "μαθητής·" ὅτε μὲν γὰρ ἐπὶ τὸ στῆθος ἀνέπεσεν, εἰκότως ἑαυτὸν κρύπτει· νῦν δὲ τίνος ἕνεκεν; τῆς αὐτῆς χάριν αἰτίας· καὶ γὰρ ἐνταῦθα μέγιστον θαῦμα διηγεῖται, ὅτι πάντων ἀποπηδησάντων αὐτὸς ἐπηκολούθει. Διὰ τοῦτο οὖν κρύπτει ἑαυτὸν καὶ προτίθησιν ἑαυτοῦ τὸν Πέτρον. Ἠναγκάσθη δὲ καὶ ἑαυτοῦ ἐπιμνησθῆναι, ἵνα μάθωμεν ὅτι ἀκριβέστερον διηγεῖται τῶν ἄλλων τὰ κατὰ τὴν αὐλὴν, ἅτε ἔνδον ὤν. Διὰ τοῦτο δὲ καὶ μέμνηται ὅτι γνωστὸς ἦν τῷ ἀρχιερεῖ, ἵνα μή τις λέγῃ πῶς τῶν ἄλλων ἀναχωρησάντων, οὗτος ἐνδοτέρω καὶ τοῦ Σίμωνος εἰσῆλθεν, ἅμα δὲ καὶ ἵνα μὴ θαυμάζῃ αὐτόν τις διὰ τὸ συνεισελθεῖν, μηδὲ ἐπ' ἀνδρίᾳ αὐτὸν ἀνακηρύττει.

16 Τὸ δὲ θαῦμα ἐκεῖνο ἦν τὸ τοῦ Πέτρου, ὅτι οὕτω περιδεὴς ὢν, ὡς καὶ μέχρι τῆς αὐλῆς ἦλθε τῶν ἄλλων ἀναχωρησάντων· ὅθεν τὸ μὲν ἐλθεῖν ἕως ἐκεῖ πόθου ἦν· τὸ δὲ μὴ εἰσελθεῖν ἔνδον ἀγωνίας καὶ φόβου· "εἱστήκει γὰρ," φησὶ, "πρὸς τῇ θύρᾳ ἔξω."

Οὐκ εἰσήγαγε δὲ τοῦτον ὁ Ἰωάννης, ἀλλὰ τῇ θυρωρῷ εἶπε τοῦτο ποιῆσαι, ἐπειδὴ εἴχετο σφόδρα τοῦ Χριστοῦ, ἐπηκολούθησεν, ὅθεν καὶ ἡ θυρωρὸς μετὰ τὸ εἰσελθεῖν τὸν Πέτρον, εἶπε πρὸς αὐτὸν, "μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν εἶ τοῦ ἀνθρώπου τούτου;" ὁ δέ φησιν, "οὐκ εἰμὶ," καὶ οὐ μόνον ἠρνήσατο, ἀλλὰ καὶ μετὰ τῶν δούλων ὑπηρετῶν εἱστήκει θερμαινόμενος, τοῦ Χριστοῦ ἔνδον κατεχομένου· τοῦτο δὲ λέγομεν, οὐ τοῦ Πέτρου κατηγοροῦντες,

ἀλλὰ τῶν ὑπὸ τοῦ Χριστοῦ εἰρημένων τὴν ἀλήθειαν δεικνύντες, ὅτι δὲ οὐδὲ θυρωροῦ εὐτελοῦς καὶ ἀπερριμμένης ἤνεγκεν ἐρώτησιν, μηδὲ αὐτῆς θρασείας οὔσης, οὐ γὰρ εἶπε, τοῦ πλάνου, ἀλλὰ "τοῦ "ἀνθρώπου τούτου," ὅπερ ἐλεούσης μᾶλλον καὶ καμπτομένης ἦν.

Ἀμμωνίου πρεσβυτέρου. Συνεισῆλθεν ὁ Ἰωάννης τῷ Ἰησοῦ μετὰ τοῦ ὄχλου ἀγνώστως, καὶ τότε ὡς γνωστὸς εἶπε τῇ θυρωρῷ, καὶ εἰσήνεγκε τὸν Πέτρον.

Κυρίλλου. Οὐχὶ πάντως καταδείσας τῶν ἄλλων τυχὸν ἠρνήσατο ὁ Πέτρος εἰπὼν, "οὐκ εἰμὶ," ἀλλὰ πᾶν ὁτιοῦν ὑπομεῖναι θελήσας διὰ τὸ συνεῖναι Χριστῷ. ἐξ ἀγάπης οὖν ἄρα τὸ πταῖσμα, καὶ ῥίζαν πως ἔχει τὴν φιλοθείαν ἡ ἄρνησις, οὐκ ἐξ ἀκριβοῦς μὲν λίαν συμβαίνουσα λογισμοῦ, μνωμένου δ' οὖν ὅμως τοῦ συνεῖναι Χριστῷ. Ὑποκρίνεται τὰ ἐκείνων δρᾷν ὁ Πέτρος, καί τοι τῇ λύπῃ κεκακωμένος, ἵνα μὴ τῷ κατηφεῖ προσώπῳ κατάφωρος εὑρεθεὶς, ἐκ τῆς τῶν ποθουμένων ἐκπέμπηται θήρας.

19 Χρὴ δὲ θαυμάσαι τοῦ ἀρχιερέως τὴν πονηρίαν, ὅτι συνεχῶς ἀκούων τοῦ Χριστοῦ ἐν τῷ ἱερῷ δημηγοροῦντος καὶ παρρησίᾳ διδάσκοντος, νῦν ἐρωτᾷ περὶ τῶν μαθητῶν αὐτοῦ, καὶ περὶ τῆς διδαχῆς αὐτοῦ. Ἐπειδὴ γὰρ ἔγκλημα οὐδὲν εἶχε προσενεγκεῖν, περὶ τῶν μαθητῶν ἠρώτα ἴσως ποῦ εἰσι, καὶ τίνος ἕνεκεν αὐτοὺς συνέλεξε, καὶ τί βουλόμενος, καὶ ἐπὶ τίσι; τοῦτο δὲ ἔλεγεν, ὡσανεὶ στασιαστὴν καὶ νεωτεροποιὸν ἐλέγξαι θέλων, ὡς ἐργαστηρίου τινὸς ὄντος πονηροῦ. Εἰπὼν ὁ Χριστὸς, ὅτι ἐν τῷ κρυπτῷ ἐλάλησεν οὐδὲν, περὶ ὧν ἐκεῖνοι ἐνόμιζον εἶπε, στάσεις καὶ ταραχὰν ποιῆσαι θέλων, ἐπεὶ ὅσα περ τῆς τῶν πολλῶν ἀκροάσεως ἀνώτερα τὰ λεγόμενα ἦν, ἐλάλησεν ἐν τῷ κρυπτῷ.

Ἀμμωνίου πρεσβυτέρου. Ἠρώτα τί ἐδίδασκε τοῦ ἑαυτοῦ μαθητὰς, ἠρώτα αὐτὸν, εἰ συναινεῖ τοῖς διὰ Μωϋσέως, ἵνα ἐναντιουμένυς παραδῷ καὶ αὐτοὺς ὡς θεομάχους τοῖς Ἰουδαίοις.

21 Τὸ δὲ εἰπεῖν, "τί με ἐπερωτᾷς, ἐρώτησον ἀκηκοότας," καὶ τὰ ἑξῆς, οὐκ αὐθαδιαζομένου ἐστὶ τὰ ῥήματα, ἀλλὰ θαρροῦντος τῇ τῶν εἰρημένων ἀληθείᾳ. Τί γὰρ, φησὶ, περὶ τῶν ἐμῶν ἐρωτᾷς; ἐρώτησον τοὺς ἐχθροὺς, τοὺς ἐπιβούλους, οὗτοι λεγέτωσαν· αὕτη γὰρ τῆς ἀληθείας ἀναμφισβήτητος ἡ ἀπόδειξις, ὅταν τοὺς ἐχθρούς τις καλεῖ μάρτυρας ὧν λέγει· ἀλλὰ καίπερ οὕτως ἀποκριθεὶς

ῥαπίζεται, οὗ τί γένοιτ᾽ ἂν ἰταμώτερον; ἔφριξεν οὐρανὸς ἐπὶ τοῦτο, καὶ ἐξέστη ἡ γῆ ἐπὶ τῇ τοιαύτῃ τῶν δούλων ἀγνωμοσύνῃ, καὶ τῇ τοῦ δεσπότου μακροθυμίᾳ, ἀλλ᾽ ὅμως ῥαπισθεὶς καὶ δυνάμενος πάντα σεῖσαι καὶ ἀφανίσαι καὶ κατενεγκεῖν· τούτων μὲν οὐδὲν ποιεῖ· φθέγγεται δὲ ῥήματα πᾶσαν δυνάμενα θηριωδίαν ἐκλῦσαι· φησὶ γὰρ "εἰ μὲν κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ, "εἰ δὲ καλῶς, τί με δέρεις;" τουτέστιν, εἰ μὲν ἔχεις ἐπιλαβέσθαι τῶν εἰρημένων, ἀπόδειξον· εἰ δὲ οὐκ ἔχεις, τί με τύπτεις;

Κυρίλλου. Οὐχ ἑνὶ γένει τῷ ἐξ Ἰσραήλ· εἰ γὰρ καὶ μή πω τυχὸν τοῖς ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἐκπυστά πως εἰσὶ τὰ ἡμέτερα, ἀλλ᾽ ἔσται κατὰ καιρούς. "ἐγὼ πάντοτε ἐδίδαξα ἐν συνα"γωγαῖς·" εἰς ἀνάμνησιν αὐτοὺς ἄγει τῆς λεγούσης προφητείας ἐκ προσώπου Χριστοῦ, "οὐκ ἐν κρυφῇ λελάληκα, οὐδὲ ἐν τόπῳ γῆς "σκοτεινῆς."

Ἀμμωνίου πρεσβυτέρου. Ἐλέγχει αὐτὸν προσποιούμενον ἀγνοεῖν τὰ ἐν φανερῷ εἰρημένα. Εἰ δὲ πάντα φανερῶς ἐδίδαξα, τὰ λεγόμενα παρά τισι περὶ ἐμοῦ ἀπόκρυφα, οὐκ εἰσὶ δεκτά.

Τοὺς ὑπηρέτας ἐρώτησον, τοὺς πρῴην μὲν μου θαυμάσαντας τὴν διδασκαλίαν, νῦν δέ με συλλαμβανομένους.

Κυρίλλου. Εἰ γάρ, φησὶ, μὴ τεθαύμακας ποτὲ τὴν ἐμὴν διδασκαλίαν, ἴσως οὐκ ἠδίκεις, τὰ συνήθη τοῖς ὑπηρέταις διαπραττόμενος, νυνὶ δὲ μειζόνως ἀδικεῖς, ἐπ᾽ οὐδενὶ νῦν καταγνοὺς ἀτιμάζων.

Ἀμμωνίου πρεσβυτέρου. Καὶ μὴ προσταχθεὶς ὁ ὑπηρέτης ἔτυψε τὸν Χριστὸν, ἐπειδὴ αὐτὸς ὑπέδειξεν ὁ λέγων, ἴδε οὗτοι ἴσασιν οἱ ποτὲ ἀκούσαντες καὶ ἐπαινέσαντες, καὶ θέλων αὐτὸν ἀπαλλάξαι τῆς ὑποψίας, ὅτι τῶν θαυμαζόντων ἦν, αὐτὸν ἐποίησε τοῦτο. Οὐ γὰρ ἂν ἀκολούθως τι ἐποίησεν ἢ ἐλάλησεν, ἵνα ὡς ἐκ τούτου κινηθεὶς τύψῃ αὐτόν. Ἐλέγχει τὸν ὑπηρέτην ὡς ἀδικοῦντα, οὐ μόνον ὅτι ἁπλῶς αὐτὸν ἔτυψεν, ἀλλ᾽ ὅτι πρῴην θαυμάσας, νῦν δὲ ἐπ᾽ οὐδενὶ καταγνοὺς ἠτίμασεν αὐτόν.

24 Τοῦ Χρυσοστόμου. Πέμπουσι δὲ αὐτὸν δεδεμένον πρὸς Καϊάφαν διὰ τὸ μηδὲν εὑρίσκειν αἴτιον. ὁ δὲ Πέτρος ὁ θερμὸς ἐραστὴς τοσούτῳ κάρῳ κατείχετο, ὥστε ἀπαγομένου τοῦ διδασκάλου οὐδὲ κινεῖται, ἀλλ᾽ ἔτι θερμαίνεται, ἵνα μάθωμεν, πόση τῆς φύσεως

ἡμῶν ἡ ἀσθένεια, ὅταν Θεὸς ἐγκαταλείπῃ, ὥστε καὶ πάλιν ἐρωτηθεὶς ἀρνεῖται, καὶ οὐ δεύτερον μόνον, ἀλλὰ καὶ τρίτον. Τί δήποτε δὲ οἱ Εὐαγγελισταὶ ὁμοφώνως περὶ αὐτοῦ ἀνέγραψαν; οὐχὶ τοῦ μαθητοῦ κατηγοροῦντες, ἀλλ' ἡμᾶς παιδεῦσαι βουλόμενοι, πόσον κακὸν τὸ μὴ πᾶν ἐπιτρέπειν τῷ Θεῷ, ἀλλ' ἑαυτῷ θαρρεῖν.

25 Χρὴ δὲ ἡμᾶς θαυμάσαι τοῦ διδασκάλου τὴν οἰκονομίαν καὶ τὴν πολλὴν κηδεμονίαν, ὅτι κατεχόμενος καὶ δεδεμένος πολλὴν ἐποιεῖτο τοῦ μαθητοῦ πρόνοιαν, διὰ τοῦ βλέμματος αὐτοῦ κείμενον ἀνιστὰς, καὶ εἰς δάκρυα καθέλκων.

Κυρίλλου. Ἀναγκαιοτάτην τούτων ὁ θεσπέσιος Εὐαγγελιστὴς ποιεῖται τὴν μνήμην, ἀληθεύοντα πανταχοῦ δεικνὺς τὸν Χριστόν.

Ἀμμωνίου πρεσβυτέρου. Τοῦ πονηροῦ σείσαντος τὸν Πέτρον, ἡττήθη τῆς ὑποσχέσεως.

28 Διὰ τί ἄγουσιν αὐτὸν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον; ἵνα τῶν δικαστῶν τὸ πλῆθος, καὶ ἀκόντων αὐτῶν ἐπιδείξῃ τὸ βεβασανισμένον τῆς ἀληθείας· εἶπε δὲ ὁ Εὐαγγελιστὴς ὅτι "ἦν δὲ "πρωΐα," δεῖξαι θέλων ὅτι τὸ ἥμισυ τῆς νυκτὸς ἅπαν ὑπὸ τοῦ Καϊάφα ἐρωτώμενος οὐδὲν ἐξειλέγχετο.

Οὐκ ἀνεῖλον δὲ αὐτὸν αὐτοὶ, ἀλλ' ἐπὶ τὸν Πιλάτον ἤγαγον, ἐπειδὴ τὸ πολὺ τῆς ἀρχῆς αὐτῶν καὶ τῆς ἐξουσίας ὑπετέτμητο, ὑπὸ Ῥωμαίοις τῶν πραγμάτων κειμένων.

Καὶ ἄλλως δὲ ἐδεδοίκεσαν μὴ δίκην ὕστερον δώσωσι κατηγορηθέντες δι' αὐτόν.

Χρὴ δὲ σκοπῆσαι αὐτῶν καὶ τὸ καταγέλαστον, ὅτι τὸν ἀθῶον συλλαβόντες καὶ ὅπλα βαστάζοντες, εἰς τὸ πραιτώριον οὐκ εἰσέρχονται, ἵνα μὴ μιανθῶσι δῆθεν, καὶ φονῶντες μὲν ἀδίκως, οὐκ ἐνόμιζον μιαίνεσθαι, δικαστηρίου δὲ ἐπιβαίνοντες, μιαίνειν ἑαυτοὺς ἡγοῦντο. Τί δέ ἐστιν, "ἵνα φάγωσι τὸ πάσχα;" αὐτὸς γὰρ ἦν αὐτὸ πεποιηκὼς τῇ μιᾷ τῶν ἀζύμων· πάσχα τῆς ἑορτῆς λέγει.

29 Διὰ τοῦτο δὲ ἐξελθὼν ὁ Πιλάτος ἐρωτᾷ τοὺς Ἰουδαίους λέγων, "τίνα κατηγορίαν φέρετε κατὰ τοῦ ἀνθρώπου τούτου;" ὅπως δείξῃ ἑαυτὸν ἀπηλλαγμένον τῆς βασκανίας αὐτῶν· ὁρῶν γὰρ αὐτὸν δεδεμένον καὶ ὑπὸ τοσούτων ἀγόμενον, οὐκ ἐνόμισεν ἔλεγχον ἔχειν ἀναμφισβήτητον τοῦτο, ἀλλ' ἐρωτᾷ, ἄτοπον εἶναι νομίζων τὴν μὲν

κρίσιν αὐτοὺς ἁρπάσαι, τὴν δὲ κόλασιν χωρὶς κρίσεως ἐπιτρέψαι ἐκείνῳ.

31 Ἐρωτηθέντες δὲ οὐ λέγουσι, οὕτως πανταχοῦ παραιτοῦνται τὴν ἐξ εὐθείας κατηγορίαν. Εἶπε δὲ αὐτοῖς ὁ Πιλάτος, "λάβετε "αὐτὸν ὑμεῖς," καὶ τὰ ἑξῆς, ἀπαλλαγῆναι ἐπαχθείας βουλόμενος.

Ἐπεὶ δὲ ἐκεῖνοι εἶπον "ὅτι ἡμῖν οὐκ ἔξεστιν ἀποκτεῖναι οὐ-"δένα," ὅτι σταυρῶσαι αὐτοῖς οὐκ ἔξεστι, τοῦτο γὰρ ἐπεθύμουν ποιῆσαι. Πῶς δὲ τὸ λεχθὲν παρ' αὐτῶν "ὅτι ἡμῖν οὐκ ἔξεστιν "ἀποκτεῖναι," ἐπλήρου τὸν λόγον τοῦ Κυρίου ὃν εἶπε, σημαίνων ποίῳ θανάτῳ ἔμελλεν ἀποθνήσκειν; Ὅτι οὐχ ὑπ' αὐτῶν μόνον, ἀλλὰ καὶ ὑπὸ ἐθνῶν ἔμελλεν ἀναιρεῖσθαι, ἢ ὅπερ ἔφην, ὅτι ἐκείνοις σταυρῶσαι οὐκ ἐξῆν.

Ἀμμωνίου. Ἄνευ αἰτίας ἀπεφήνατο δικαίως αὐτὸν παραδεδόσθαι, αἰτίαν εὔλογον λέγουσι τὸ ὑπ' αὐτῶν συλληφθῆναι, ὡς πλατυνόμενοι μηδὲν ποιεῖν ἄδικον αὐτοί. Εἰ ὁ νόμος ὑμῶν καὶ τὸν ἀναίτιον κολάζει, κρίνατε αὐτοί. Εἰ μὲν ἑαυτοῖς ἐπιτρέπετε τὴν κρίσιν, αὐτοὶ καὶ τὴν ἐξέτασιν ὡς βούλεσθε ποιήσασθε· εἰ δ' ἐπ' ἐμοῦ βούλεσθε κριθῆναι, εἰπεῖν ἀναγκαῖον. Σαφὲς τεκμήριον ὅτι ἑκὼν ὁ Κύριος ἔπασχεν, ἐξ ὧν εἰδὼς προεῖπεν, ὅτι ἤμελλε τοῖς ἔθνεσι παραδοθῆναι ἐπὶ τὸ σταυρωθῆναι.

33 Τίνος ἕνεκεν οὐκ ἐπ' αὐτῶν ποιεῖται τὴν ἐξέτασιν, ἀλλ' ἰδίᾳ εἰς τὸ πραιτώριον; "εἰσῆλθε" γάρ, φησίν, "εἰς τὸ πραιτώριον πάλιν "ὁ Πιλάτος," καὶ τὰ ἑξῆς, ἐπεὶ μεγάλην τινὰ εἶχεν ὑπόνοιαν περὶ αὐτοῦ, καὶ ἐβούλετο μαθεῖν πάντα ἀκριβῶς, μὴ θορυβούντων τῶν Ἰουδαίων· εἶπε δὲ αὐτῷ, σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; ὅπερ ἀεὶ περιεφέρετο περὶ αὐτοῦ, τοῦτο εἰς μέσον ἄγει.

34 Ἐρωτᾷ δὲ ὁ Χριστὸς τὸν Πιλάτον, λέγων "ἀπὸ σεαυτοῦ "ταῦτα λέγεις;" καὶ τὰ ἑξῆς. τὴν πονηρὰν τῶν Ἰουδαίων ἐκκαλύψαι γνώμην θέλων, καὶ ὑπ' αὐτοῦ κατηγορηθῆναι αὐτοὺς βουλόμενος, ὅπερ ἐμφαίνων ὁ Πιλάτος φησί, "μή τι ἐγὼ Ἰουδαῖος "εἰμί;" καὶ τὰ ἑξῆς. Εἰπόντος δὲ τοῦ Χριστοῦ, "ἡ βασιλεία "ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου," ὅπερ ἐδεδοίκει τέως ὁ Πιλάτος, διέλυσε τὴν τῆς τυραννίδος ὑποψίαν· ὅτι δὲ καὶ τοῦ κόσμου τούτου κρατεῖ ἡ βασιλεία αὐτοῦ, πᾶσι δῆλον. ἀλλὰ διὰ τὸ μὴ εἶναι αὐτὴν ἐκ τῶν ἐνταῦθα, ἄνωθεν δὲ τὴν ἀρχὴν ἔχειν

τοῦτο εἶπεν, ὡσανεὶ ἔλεγε, βασιλεὺς μέν εἰμι, ἀλλ' οὐ τοιοῦτος ὃν ὑποπτεύεις, ἀλλὰ πολλῷ μείζων καὶ λαμπρότερος. Δεῖξαι δὲ θέλων τῆς παρ' ἡμῖν βασιλείας τὸ ἀσθενὲς, ὅτι ἐν τοῖς ὑπηρέταις ἔχει τὴν ἰσχὺν, ἡ δὲ ἄνω αὐτάρκης ἐστὶν ἑαυτῇ, μηδενὸς δεομένη, φησὶν, "εἰ ἐκ τοῦ κόσμου τούτου ἡ βασιλεία ἦν ἡ ἐμὴ" καὶ τὰ ἑξῆς.

Ἀμμωνίου πρεσβυτέρου. Λύει τὴν ἀγωνίαν Πιλάτου, πείθων ὅτι οὐκ ἔστιν ἀντάρτης, ἀλλὰ βασιλεὺς οὐρανοῦ καὶ γῆς· διὸ ἀναπολόγητος ὁ Πιλάτος, οὐχ ὡς βλάσφημον αὐτὸν φονεύσας, ἀλλὰ πρὸς χάριν Ἰουδαίων. οἱ Ἄγγελοι ἡσύχαζον, τοῦ βασιλέως αὐτῶν ὑβριζομένου, ἐννοοῦντες τὴν οἰκονομίαν τῆς τοῦ Χριστοῦ παρουσίας.

Τοῦ Χρυσοστόμου. Ἐρωτήσαντος τοῦ Πιλάτου καὶ εἰπόντος, οὐκοῦν βασιλεὺς εἶ σύ; καὶ αὐτοῦ εἰπόντος, ὅτι "εἰς τοῦτο "γεγένημαι," ἔδειξεν ὅτι οὐδὲν μετὰ ταῦτα προσλαβὼν ἔχει, ὥστε καὶ ὅταν ἀκούσωμεν, ὅτι "καθὼς ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτω καὶ τῷ Υἱῷ ζωὴν ἔδωκεν ἔχειν," μηδὲν ἄλλο ἢ τὴν γέννησιν νομίζωμεν, οὕτω καὶ ἐπὶ ἄλλων ὁμοίως.

37 Τὸ δὲ "εἰς τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον," καὶ τὰ ἑξῆς, δηλοῖ ὅτι ἵνα τοῦτο αὐτὸ εἴπω καὶ διδάξω καὶ πείσω πάντας, ὅτι βασιλεὺς καὶ δεσπότης καὶ Κύριός εἰμι. Ἐπισπάσασθαι δὲ θέλων διὰ τούτων τὸν Πιλάτον, καὶ πεῖσαι γενέσθαι τῶν λεγομένων ἀκροατὴν λέγει "πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας, ἀκούει μου τῆς φωνῆς·" εἴ τις γὰρ, φησὶν, ἐστὶν ἀληθὴς, καὶ τοῦτο ποθεῖ πάντως ἀκούσεται. εὐθέως αὐτὸν εἷλε τοῖς βραχέσι ῥήμασι· τοῦτο γὰρ δηλοῖ ὅπερ εἶπεν ὁ Πιλάτος, "τί ἐστιν ἀλήθεια;" ἀλλ' ἐπειδὴ πρὸς τὸ κατεπεῖγον ἵσταται, συνεῖδε γὰρ ὅτι τοῦτο μὲν ἐδεῖτο καιροῦ τὸ ἐρώτημα, ἔδει δὲ αὐτὸν ἐξαρπάσαι τέως τῆς τῶν Ἰουδαίων ὁρμῆς.
39 Διὰ τοῦτο ἐξῆλθε πρὸς αὐτοὺς, καί φησιν, "ἐγὼ οὐδεμίαν αἰτίαν "εὑρίσκω ἐν αὐτῷ," καὶ τοῦτο δὲ συνετῶς· οὐ γὰρ εἶπεν, εἰ ἥμαρτεν καὶ ἄξιός ἐστι θανάτου, ὅμως χαρίσασθαι αὐτὸν τῇ ἑορτῇ, ἀλλὰ πρῶτον αὐτὸν ἀπαλλάξας αἰτίας ἁπάσης, τότε ἀξιοῖ ἐκ περιουσίας λέγειν, "ἔστιν ὑμῖν συνήθεια, ἵνα ἕνα ὑμῖν ἀπολύσω ἐν τῷ πάσχα· εἶτα καὶ ἐντρεπτικῶς καὶ δυσωπητικῶς σφόδρα ἐπάγει, "βούλεσθε οὖν ὑμῖν τὸν βασιλέα τῶν Ἰουδαίων ἀπο-

“λύσω;” ἀλλ᾽ ὢ τῆς μιαρᾶς αὐτῶν γνώμης· τὸν μὲν ὁμότροπον καὶ ὑπεύθυνον αἰτοῦσι, τὸν δὲ ἀνεύθυνον κολάσαι κελεύουσι, κράζοντες, “μὴ τοῦτον, ἀλλὰ τὸν Βαραββᾶν.” αὕτη γὰρ αὐτοῖς ἄνωθεν ἡ συνήθεια. Ἡμᾶς δὲ χρὴ διὰ πάντων σκοπεῖν τοῦ δεσπότου τὴν ἐπιείκειαν.

Ἀμμωνίου πρεσβυτέρου. Ἐγὼ διὰ τοῦτο γέγονα ἄνθρωπος, καὶ ἐγεννήθην ἐκ Μαρίας, ἵνα τὸ ψεῦδος καὶ τὸν διάβολον ἐκ τοῦ κόσμου ἀπελάσας, βασιλεύουσαν ἀποδείξω πάντων τὴν θείαν φύσιν.

Θεοδώρου Μομψουεστίας. Οὕτως αὐτὸν εἷλε τοῖς βραχέσι ῥήμασιν, ὡς εἰπεῖν “τί ἐστιν ἡ ἀλήθεια;” σχεδὸν γὰρ ἐξ ἀνθρώπων ἠφάνιστο τὸ πρὶν καὶ ἠγνοεῖτο ὑπὸ πάντων ἔτι ἐν ἀπιστίᾳ ἐξεταζομένων.

Ἀπολιναρίου. Ἀλήθειαν λέγει τὸ ἑαυτὸν ὑποδεῖξαι τοῖς ἀνθρώποις, καὶ διὰ τῆς αὐτοῦ γνώσεως τὴν σωτηρίαν αὐτοῖς χαρίσασθαι.

Κυρίλλου. Βασιλέα τῶν Ἰουδαίων λέγων τὸν Ἰησοῦν, χαριεντίζεται ὁμοῦ καὶ ὑποχαλᾷ τῷ γελοίῳ τὴν τῶν λελυπηκότων ὀργὴν, ἐν τῷ δεικνύειν σαφῶς, ὅτι ἐπ᾽ αὐτῷ δὴ τοῦτο κατηγορεῖται μάτην· μηδὲ γὰρ ἂν ἀφέσεως ἠξίωσέ ποτε τὸν ἐπὶ τυραννίδι καὶ νεωτερισμῷ τῷ κατὰ Ῥωμαίων κατεγνωσμένον τὸν Ῥωμαίων στρατηγόν· δι᾽ ὃν οὖν ἀνεῖναι προτρέπει, μεμαρτύρηκεν αὐτῷ τὸ παντελῶς ἀνυπαίτιον. διασκεπτομένῳ δέ μοι καὶ δοκοῦντι πόθεν ἄρα γέγονε τοῖς Ἰουδαίοις ἐν ἔθει τὸ ἐξαιτεῖν ἑνὸς ἄφεσιν λῃστοῦ τινος, ἢ φονευτοῦ, λογισμὸς μὲν ἐπῆλθεν, ὡς οὐκέτι μὲν πάντα κατὰ τὸν θεῖον αὐτοῖς ἐπράττετο νόμον· ἔθεσι δὲ μᾶλλον ἰδίοις ἀποκεχρῆσθαι ἐδόκουν· πρὸς ἐξίτηλον ἐτρέποντο πολιτείαν, καὶ οὐ σφόδρα συνεῖδον τοῖς διὰ Μωϋσέως τεθεσπισμένοις. ἀλλά μοι τὴν θείαν διερευνῶντι γραφὴν, καὶ φιλοθηροῦντι πανταχόθεν τὴν τοῦ πράγματος αἰτίαν, παρέπιπτέ τι τῶν θείων λογίων, ὃ καὶ καλεῖ πως εἰς ὑποψίαν τὸν ἡμέτερον νοῦν, μὴ ἄρα τί πληροῦντες τῶν κατὰ τὸν νόμον, καίτοι δυσάγωγοι λίαν ὄντες Ἰουδαῖοι, τὴν τοῦ κακουργοῦντος ἐζήτουν ἄφεσιν. γέγραπται τοίνυν ἐπὶ τῷ βιβλίῳ τῶν Ἀριθμῶν, ὁ περὶ τοῦ φονεύοντος νόμος ἀκουσίως ἤγουν ἑκουσίως· διωρισμένης δὲ τῆς δίκης ἐναργῶς τῆς ἐπὶ τῷ καταβουλήτῳ φονευτῇ, μέτεισιν εὐθὺς ὁ λόγος εἰς τὸν περὶ τοῦ φονεύοντος ἀκουσίως, εἶτα καὶ οὕτω φησὶ μεθετέρα, “ἐὰν δὲ ἐξαπίνης οὐ δι᾽

" ἔχθραν ὤσῃ αὐτὸν, ἢ ἐπιρρίψει ἐπ' αὐτὸν πᾶν σκεῦος οὐκ ἐξ ἐν-" ἔδρου, ἢ ἐν παντὶ λίθῳ, ἐν ᾧ ἀποθανεῖται ἐν αὐτῷ, οὐκ εἰδὼς, " καὶ πέσῃ ἐπ' αὐτὸν, καὶ ἀποθάνῃ, αὐτὸς δὲ οὐκ ἐχθρὸς αὐτοῦ ἦν, " οὐδὲ ζητῶν κακοποιῆσαι αὐτὸν, καὶ κρινεῖ ἡ συναγωγὴ ἀνὰ μέσον " τοῦ πατάξαντος καὶ ἀνὰ μέσον τοῦ ἀγχιστεύοντος, τὸ αἷμα, " κατὰ τὰ κρίματα ταῦτα[p], καὶ καταστήσουσιν αὐτὸν καὶ ἡ συνα-" γωγὴ εἰς τὴν πόλιν τοῦ φυγαδευτηρίου οὗ ἔφυγε·" τοιαύτης οὖν ἀνεγειρομένης τῆς ἐντολῆς, εἶτα τινῶν ὡς εἰκὸς τοιούτοις περιπιπτόντων πταίσμασιν, ἵνα παντελῶς δικαιοῖ τῶν τῇδε τεθεσπισμένων μὴ παντελῶς ἀλογεῖν, κατὰ πληθὺν συνιόντες Ἰουδαῖοι τῶν τοιούτων ἐζήτουν ἕνα· ἔργον γὰρ ὅλης τοῦτο συναγωγῆς ὁ νόμος γενέσθαι προσέταττε, ἀπολύσειν γε μὴν ἐξῆν αὐτοῖς, κατά γε τὸ δοκοῦν τῷ νόμῳ. τοῦτο δρᾷν αἰτοῦσι Πιλάτῳ· καταδεξάμενοι γὰρ ἅπαξ τὴν Ῥωμαίων ἀρχὴν, τὰ πλεῖστα λοιπὸν τῶν καθ' ἑαυτοὺς τοῖς ἐκείνων παρεχώρουν νόμοις· καὶ γοῦν φονεύειν ἐξὸν τὸν ἐπί τισι τῶν ἀτόπων κατεγνωσμένων, ὡς ἕνα τῶν τοιούτων Πιλάτῳ προσήγαγον τὸν Ἰησοῦν.

1 Τίνος ἕνεκεν ὁ Πιλάτος λαβὼν τὸν Κύριον Ἰησοῦν ἐμαστίγωσε; τάχα ἐκλῦσαι αὐτοὺς βουλόμενος, καὶ παραμυθήσασθαι τὸν Ἰουδαϊκὸν ζῆλον. Ἐπειδὴ γὰρ διὰ τῶν ῥημάτων οὐκ ἴσχυσεν αὐτὸν ἐξελέσθαι, σπεύδων μέχρι τούτου στῆσαι τὸ δεινὸν, καὶ ἐμάστιξε, καὶ γενέσθαι τὰ γενόμενα συνεχώρησε, τὴν χλαμύδα καὶ τὸν στέφανον περιτεθῆναι, ὥστε αὐτῶν χαλάσαι τὴν ὀργήν.

Εἰ δὲ λέγοι τις, πῶς οἱ στρατιῶται πλέξαντες στέφανον ἐξ
ἀκανθῶν, ἐπέθηκαν αὐτῷ ἐπὶ τῇ κεφαλῇ, καὶ τὰ ἄλλα πάντα
ἐποίησαν, εἴγε μὴ ἐπίταγμα ἦν τοῦ ἄρχοντος τοῦτο, εἰς χάριν
τὴν Ἰουδαϊκὴν, σκοπείτω, ὅτι οὐδὲ παρὰ τὴν ἀρχὴν παρ' ἐκείνου
κελευσθέντες ἐπῆλθον νυκτὸς, ἀλλὰ τοῖς Ἰουδαίοις χρημάτων ἕνεκα
6 χαριζόμενοι, πάντα ἐτόλμων. Ἐξήγαγε δὲ αὐτὸν ὁ Πιλάτος,
λέγων, οὐδεμίαν αἰτίαν εὑρίσκω κατ' αὐτοῦ, σβέσαι διὰ τούτου
τὴν ὀργὴν αὐτῶν βουλόμενος, ἀλλ' ἐκεῖνοι οὐδὲ οὕτως ἥμεροι γεγό-
νασιν, ἀλλ' ἐβόων, "σταύρωσον, σταύρωσον." Διὰ τοῦτο ἰδὼν ὁ
Πιλᾶτος εἰκῇ πάντα γενόμενα, φησὶ, "λάβετε αὐτὸν ὑμεῖς, καὶ

p Om. Cod. καὶ ἐξελεῖται ἡ συναγωγὴ τὸν φονεύσαντα ἀπὸ τοῦ ἀγχιστεύοντος τὸ αἷμα. Num. xxxv. 25.

“ σταυρώσατε, ἐγὼ γὰρ οὐχ εὑρίσκω ἐν αὐτῷ αἰτίαν,” ὅθεν δηλονότι καὶ τὰ πρότερα διὰ τὴν ἐκείνων συνεχώρησε μανίαν· καὶ γὰρ τοῦτο ὡς ἀφοσιουμένου ἐστὶ, καὶ ἐπὶ πρᾶγμα οὐ συγκεχωρημένον αὐτοῖς ὠθοῦντος αὐτούς. Διὸ καὶ ἐν τούτῳ καταισχυνθέντες λέγουσιν, ὅτι “ ἡμεῖς νόμον ἔχομεν, καὶ κατὰ τὸν νόμον ἡμῶν “ ὀφείλει ἀποθανεῖν, ὅτι Υἱὸν Θεοῦ ἐποίησεν ἑαυτὸν,” ὅθεν τοῦτο ἀκούσας ὁ Πιλάτος μᾶλλον ἐφοβήθη, μήποτε ἀληθὲς ᾖ τὸ λεγόμενον· ἐκεῖνοι δὲ καὶ διὰ πραγμάτων τοῦτο μαθόντες οὐ πεφρίκασιν, ἀλλ᾽ ἀναιροῦσιν αὐτὸν, ὑπὲρ ὧν ἐχρῆν προσκυνεῖν· διὰ τοῦτο οὐκ ἔτι ἐρωτᾷ αὐτὸν ὁ Πιλάτος, τί ἐποίησας; ἀλλ᾽ ἄνωθεν πάλιν ποιεῖται τὴν ἐξέτασιν, ὑπὸ τοῦ φόβου κατασειόμενος λέγων, “ εἰ σὺ εἶ ὁ Χριστός;” αὐτὸς δὲ οὐκ ἀποκρίνεται αὐτῷ. διότι μαθὼν παρ᾽ αὐτοῦ ὅτι “ εἰς τοῦτο γεγέννημαι καὶ εἰς τοῦτο ἦλθον,” καὶ, “ ἡ βασιλεία μου οὐκ ἔστιν ἐντεῦθεν,” καὶ ὀφείλων ἀντιστῆναι καὶ ἐξελέσθαι αὐτόν· τοῦτο μὲν οὐκ ἐποίησεν, ἠκολούθησε δὲ τῇ Ἰουδαϊκῇ ὁρμῇ, ὅθεν καὶ ἑαυτὸν προκατέκρινε λέγων, “ ἐξουσίαν “ ἔχω σταυρῶσαί σε, καὶ ἐξουσίαν ἔχω ἀπολῦσαί σε·” εἰ γὰρ τὸ πᾶν ἐν ἑαυτῷ ἔκειτο, τίνος ἕνεκεν οὐδεμίαν αἰτίαν εὑρὼν οὐκ ἀπέλυσεν αὐτόν; αὐτὸς δὲ κατασπῶν αὐτοῦ τὸν τῦφον, φησὶν, “ οὐκ εἶχες ἐξουσίαν κατ᾽ ἐμοῦ οὐδεμίαν, εἰ μὴ ἦν σοι δεδομένον “ ἄνωθεν,” δηλῶν οὐχ ἁπλῶς κατὰ τὴν τῶν ἄλλων ἀκολουθίαν τοῦτο γινόμενον, ἀλλὰ μυστικῶς ἐπιτελούμενον. ἵνα δὲ μὴ ἀκούσας, “ εἰ μὴ ἦν σοι δεδομένον ἄνωθεν,” νομίσῃ τοῦ παντὸς ἀπηλλάχθαι ἐγκλήματος, ἐπήγαγε, “ διὰ τοῦτο ὁ παραδιδούς μέ σοι “ μείζονα ἁμαρτίαν ἔχει.” Εἰ δὲ λέγει τις, ὅτι εἰ δεδομένον ἦν, οὔτε ἐκεῖνοι, οὔτε οὗτος ὑπεύθυνοι ἐγκλημάτων εἰσίν· εἰκῆ[q] ταῦτα λέγει· τὸ γὰρ δεδομένον ἐνταῦτα τὸ συγκεχωρισμένον ἐστίν· ὡσανεὶ ἔλεγεν, εἴασα μὲν ταῦτα γενέσθαι· οὐ μὴν διὰ τοῦτο τῆς ἁμαρτίας ὑμεῖς ἐκτὸς ἔσεσθε, τοιαύτην προαίρεσιν πονηρὰν κεκτημένοι.

12 Ἐπεὶ οὖν κατέπληξεν αὐτὸν διὰ τῶν ῥημάτων καὶ σαφῆ παρέσχετο τὴν ἀπολογίαν, ἐκ τούτου ἐζήτει ὁ Πιλάτος ἀπολῦσαι αὐτόν· ἀλλ᾽ οἱ Ἰουδαῖοι, ἐπείπερ πάντοθεν ἐπεστομίσθησαν, ἐπὶ δημόσιον ἔγκλημα τὸν λόγον ἐξάγουσι λέγοντες, “ ἐὰν τοῦτον

[q] ἐκεῖ Cod.

" ἀπολύσῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος." Ἐπειδὴ γὰρ τὰ ἀπὸ τοῦ νόμου παράγοντες ἐγκλήματα, οὐδὲν ὤνησαν, κακούργως ἐπὶ τοὺς ἔξω τρέπονται νόμους, καί φασι, " πᾶς ὁ ποιῶν ἑαυτὸν βασι-" λέα ἀντιλέγει τῷ Καίσαρι." Καὶ ποῦ τυραννίδος οὗτος ἑάλω; πόθεν δὲ ἔχετε τοῦτο δεῖξαι; ἀπὸ τῆς ἀλουργίδος, ἀπὸ τοῦ διαδήματος, ἀπὸ τοῦ ὀχήματος, ἀπὸ τῶν στρατιωτῶν; οὐχὶ μετὰ τῶν ιβʹ μαθητῶν ἀεὶ ἐβάδιζε πάντα εὐτελῶς μετιὼν, καὶ τροφὴν καὶ στολὴν, καὶ οἴκημα; ἀλλ' ὢ τῆς ἀνανδρείας καὶ ἀκαίρου δειλίας. Νομίσας γὰρ ὁ Πιλάτος κινδυνεύειν λοιπὸν εἰ ἴδοι ταῦτα, ἐξέρχεται μὲν ὡς ἐξετάσων τὸ πρᾶγμα· τὸ γὰρ καθίσαι τοῦτο ἐδήλου· οὐδεμίαν δὲ ποιησάμενος ἐξέτασιν, παραδίδωσιν αὐτὸν, νομίζων δυσωπήσειν αὐτούς· ὅτι γὰρ τοῦτο αὐτὸ ἐποίει, δῆλον ἐξ ὧν φησι
15 πρὸς αὐτούς· " ἴδε ὁ βασιλεὺς ὑμῶν·" αὐτοὶ δὲ τὴν πονηρὰν ἔτι γνώμην κατέχοντες ἔκραζον, " ἆρον, ἆρον, σταύρωσον αὐτόν·" οὕτω δὲ αὐτὸν ἀνελεῖν ἐπεχείρουν, ἐπειδὴ ἐπονείδιστος οὗτος ὁ θάνατος ἦν. δεδοικότες οὖν μή τις αὐτοῦ μετὰ ταῦτα γένηται μνήμη, σπουδάζουσιν ἐπὶ τιμωρίαν ἀγαγεῖν τὴν ἐπάρατον, οὐκ εἰδότες ὅτι διὰ τῶν κωλυμάτων λαμπροτέρα γίνεται ἡ ἀλήθεια, ὑπερέβαλλον δὲ καὶ ἑαυτοὺς ἑκόντες τῇ κολάσει, εἰπόντες, " οὐκ " ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα." Διὰ τοῦτο καὶ ὁ Θεὸς αὐτοὺς παρέδωκεν, ὅτι αὐτοὶ πρῶτοι τῆς προνοίας αὐτοῦ ἐπιστασίας ἑαυτοὺς ἐξέβαλλον. σφόδρα δὲ ἀλόγως διαπραξάμενος ὁ Πιλάτος, παρέδωκεν αὐτὸν αὐτοῖς ἵνα σταυρωθῇ· δέον γὰρ ἐρωτῆσαι, εἴγε ἐσπούδασεν ὁ Χριστὸς ἐπιθέσθαι τυραννίδι.

Ἀμμωνίου πρεσβυτέρου. Κἂν ἄρχων ᾖ, ἀλλ' οὖν μὴ εὑρίσκων κατ' ἐμοῦ πταῖσμα, οὐκ ἠδυνάσο καταψηφίσασθαι, εἰ μὴ ἑκὼν ἐγὼ εὐδοκίᾳ Πατρὸς ἤγαγον ἐμαυτὸν εἰς τὸ παθεῖν.

Ἀπολιναρίου. Τὴν ἁμαρτίαν μείζονα τὴν τοῦ παραδόντος διὰ τοῦτο εἶναί φησιν, ὅτι κατὰ τὸν προφήτην, " ὃν σὺ ἐπάταξας, αὐτοὶ " κατεδίωξαν," καὶ ὡς ἀλλαχοῦ περὶ τοῦ προδότου προείρηται, " ἀνθ' ὧν οὐκ ἐμνήσθη τοῦ ποιῆσαι ἔλεον, καὶ κατεδίωξε πένητα καὶ " πτωχὸν, καὶ κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι." Τὸ γὰρ ἐν καιρῷ πόνου καὶ θλίψεως ἐπιτίθεσθαι τῷ μηδὲν ἀδικοῦντι, δεινὸν παρὰ τῷ δικαίῳ καὶ ἀγαθῷ Θεῷ· ᾧ γὰρ συμπάσχειν ἐχρῆν, τούτῳ προστιθεὶς ἀλγηδόνας, ἀνθίσταται τῷ Θεῷ.

Σευήρου Ἀντιοχείας ἐκ τῆς πρὸς Θωμᾶν ἐπίσκοπον Γερμανικίας Ἐπιστολῆς. Εὐσεβίος ὁ Καισαρεὺς ὁ Παμφίλου προσαγορευόμενος ἐν ταῖς πρὸς Μαρῖνον ἐπὶ ταῖς περὶ τοῦ θείου πάθους καὶ τῆς ἀναστάσεως ζητήσεσι καὶ ἐπιλύσεσι, καὶ τοῦτο προὔθηκεν εἰς ἐξέτασιν τὸ[p] τὸν μὲν θεῖον Εὐαγγελιστὴν Μάρκον εἰπεῖν, ὥραν εἶναι τρίτην καθ' ἣν ἐσταυρώθη ὁ Θεὸς ἡμῶν, τὸν δὲ θεολογικώτατον Ἰωάννην κατὰ τὴν ὥραν τὴν ἕκτην γράψαι προκαθεσθῆναι τὸν Πιλάτον ἐπὶ τοῦ βήματος, ἐν τῷ λιθοστρώτῳ καλουμένῳ τόπῳ, καὶ ἀνακρίνειν τὸν Ἰησοῦν· καί φησι γραφικὸν εἶναι τοῦτο σφάλμα παραγοραθὲν[q] πάντων ἐξ ἀρχῆς ἀπογραψαμένων τὰ εὐαγγέλια· τοῦ μὲν γὰρ γάμμα στοιχείου τὴν τρίτην ὥραν σημαίνοντος, τοῦτο[r] δὲ ἐπισήμου τὴν ἕκτην, καὶ πολλὴν ἐμφέρειαν[s] τρίτης ὥρας δηλωτικὸν, κυρτωθείσης τῆς ἀποτεταμένης εἰς μῆκος εὐθείας, εἰς τὴν τοῦ ἐπισήμου μεταχωρῆσαι σημασίαν, τοῦ τῆς ἕκτης ὥρας δηλωτικοῦ· τῶν γὰρ τριῶν εὐαγγελιστῶν τοῦ τε Ματθαίου καὶ Μάρκου καὶ Λουκᾶ σύμφωνον λεγόντων, ὡς ἀπὸ ἕκτης ὥρας σκότος ἐγένετο ἐφ' ὅλην τὴν γῆν ἕως ὥρας ἐνάτης, πρόδηλον ὡς ὁ Κύριος καὶ Θεὸς Ἰησοῦς πρὸ τῆς ἕκτης ὥρας πρὸ τοῦ γενέσθαι τοῦ σκότους ἐσταύρωτο, δηλαδὴ κατὰ τὴν τρίτην ὥραν, ὡς ὁ Μάρκος ἱστόρησε, καὶ τοῦ Ἰωάννου τὸν ὅμοιον τρόπον τρίτην εἶναι τὴν ὥραν ἐπισημηναμένου, καὶ τῶν ἀπογραψαμένων, τὸ γάμμα μετατεθέντων εἰς τὸ ἐπίσημον.

Τοῦ ἁγίου Ἡσυχίου πρεσβυτέρου Ἱεροσολύμων. Τίνος ἕνεκεν ὁ μὲν Μάρκος τρίτην ὥραν λέγει τὸν Χριστὸν σταυρωθῆναι, ὁ δὲ Ἰωάννης ἕκτην; Μάρκος μὲν τὴν ὥραν τῆς ἀποφάσεως τοῦ σταυροῦ σαφῶς καὶ ἀναμφιβόλως ἐκτίθεται· ἐπεὶ οὖν σταυρῶσαι καὶ τιμωρήσασθαι ἔκτοτε οἱ δικασταὶ λέγονται, ἀφ' οὗ τὴν ἀπόφασιν ἐξενέγκωσι, διὰ τὸ τὴν δύναμιν τῆς τιμωρίας καὶ τοῦ θανάτου ἐν ταῖς γλώσσαις κεκτῆσθαι, τούτου χάριν ὁ Μάρκος αὐτὸν τὴν τρίτην ὥραν σταυρωθῆναι λέγει, ἀφ' ἧς ὁ Πιλάτος τὴν ἀπόφασιν ἐξήνεγκεν· Ἰωάννης δὲ ὡς εἰρηκότος τοῦ Μάρκου τὸν καιρὸν τῆς ἀποφάσεως, αὐτὸς τὴν ὥραν ἐν ᾗ τῷ σταυρῷ προσήλωσαν τὸν Κύριον ἔφησεν. Χρὴ γὰρ σκοπῆσαι ἃ μεταξὺ τῆς παρὰ

[p] τῷ Cod. [q] Leg. vid. παραγραφθὲν ἐκ π. [r] Leg. τοῦ δὲ ἐπισήμου id. est ac σταῦ. [s] Leg. π. ἐμφ. ἔχοντος κατὰ τὸ τ. τρ.

τοῦ Πιλάτου περὶ τοῦ σταυροῦ προσελθούσης ἀποφάσεως καὶ τῆς ὥρας αὐτῆς, ἐν ᾗ εἰς τὸν σταυρὸν ὁ Κύριος ἀναβέβηκε, πέπρακται. Ταῦτα μὲν γὰρ ὁ Ἰωάννης γέγραφε. Μετὰ γὰρ τὸ ἀπολῦσαι τὸν Πιλάτον τὸν Βαραββᾶν, φραγελλῶσαι δὲ τὸν Ἰησοῦν, καὶ παραδοῦναι ἵνα σταυρωθῇ, μετ' αὐτοῦ οἱ στρατιῶται πλέξαντες στέφανον ἐξ ἀκανθῶν, ἐπέθηκαν αὐτοῦ τῇ κεφαλῇ, καὶ ἱμάτιον πορφυροῦν περιέβαλον αὐτῷ, καὶ τὰ λοιπὰ ἐπετέλουν ἐμπαίζοντες αὐτόν. Ἔτι δὲ καὶ ὁ Πιλάτος ἐξήνεγκεν αὐτὸν ἐστεφανωμένον ταῖς ἀκάνθαις, καὶ τὸ πορφυροῦν περιβεβλημένον ἱμάτιον, καὶ εἶπεν, "ἰδοὺ ὁ ἄνθρωπος·" πρόσκειται, καὶ ὅτι ἐβόησαν οἱ Ἰουδαῖοι, "ἆρον, ἆρον, σταύρωσον αὐτὸν," καὶ ὅτι τῶν Ἰουδαίων ἀποκρινομένων "ἡμεῖς νόμον ἔχομεν," καὶ τὰ ἑξῆς, πάλιν εἰσελθὼν ὁ Πιλάτος ἑτέραν ποιεῖται τοῦ Ἰησοῦ τὴν ἀνάκρισιν, ἀφ' ἧς αὐτὸν καὶ ἀπολῦσαι ἐβούλετο, καὶ τὰ ἀκόλουθα δὲ πάντα ἕως οὗ ἐν τῷ λιθοστρώτῳ πάλιν ἑτέραν ποιεῖται περὶ ἑαυτοῦ διάγνωσιν. Ταῦτα οὖν πάντα ἱκανὰ ὑπῆρχε τὸν ἀπὸ τρίτης ὥρας μέχρι τῆς ἕκτης δαπανῆσαι χρόνου, ἅπερ ὁ Ἰωάννης ἐκθέμενος, ὡς καὶ τούτοις πᾶσι παρηκολουθηκὼς, ἀναγκαίως τῆς ἕκτης ὥρας ἐμνημόνευσεν, ὅτε καὶ παρέδωκεν αὐτὸν αὐτοῖς τελείως ἵνα σταυρωθῇ, οὐκέτι μαστίξας, ἤδη γὰρ μαστιχθεὶς, ὅτε αὐτὸν τῇ ἀποφάσει σταυρωθῆναι παρέδωκε· νῦν δὲ αὐτὸ τὸ ἔργον τοῦτο γενέσθαι προσέταξε· διόπερ οὐδενὸς ἑξῆς ἄλλου πεπραγμένου μέμνηται, μόνης δὲ τῆς ἐπὶ τὸν σταυρὸν ἀπαγωγῆς· ἐὰν δὲ λέγῃ τις, ὅτι καὶ ἕνεκεν τίνος ἅπαξ ἀποφηνάμενος, πάλιν αὐτὸν ἀπολῦσαι ἐβούλετο, πρῶτον μὲν ὑπὸ τοῦ πλήθους βιασθεὶς ἔθετο τὴν ἀπόφασιν, ἔπειτα καὶ τῷ ὀνείρῳ τῆς γυναικὸς ἐνύττετο. Ἦν γὰρ αὐτῷ, ὥς φησιν ὁ Ματθαῖος μηνύσασα, "μηδέν σοι καὶ τῷ ἀνθρώπῳ τῷ δικαίῳ, καὶ τὰ ἑξῆς.

17 Τίνος χάριν ὁ μὲν Ἰωάννης βαστάσαι τὸν σταυρὸν αὐτοῦ ἱστορεῖ τὸν Κύριον, οἱ δὲ λοιποὶ Εὐαγγελισταὶ Σίμωνα τὸν Κυρηναῖον πεποιηκέναι τοῦτο συνέγραψαν; ἐπειδὴ ἑκάτερον πέπρακται. Ἅμα γὰρ τὸ ἀπαχθῆναι τὸν Κύριον ἐπὶ τῷ σταυρωθῆναι, ἐπὶ τὸν ὦμον βαστάζων τὸν σταυρὸν αὐτὸς ἐξῆλθε, τῶν στρατιωτῶν οὐκ ἀξιούντων βαστάσαι αὐτὸν, μὴ παρόντος ἑτέρου τοῦ βαστάζειν ὀφείλοντος, τῆς ὁδοῦ τότε ἀγγαρευθεὶς ὁ Σίμων ὑπὸ τῶν στρατιωτῶν,

λαβὼν αὐτὸν ὑπὸ τοῦ Κυρίου ἐβάστασεν. Ὅτι δὲ οὕτως ἔχει, αὐτὰ ὑμᾶς διδάξει τῶν Εὐαγγελιστῶν τὰ ῥήματα, ὅτι περ "ἀγ-"γαρεύουσι," φησὶ, "παράγοντα Σίμωνα Κυρηναῖον ἐρχόμενον "ἀπ' ἀγροῦ" ὅπερ δηλοῖ ὅτι τῆς ὁδοῦ ἐρχομένοις ἐπὶ τὸν Γολγαθὰ, ἐρχόμενος ἀπ' ἀγροῦ ὁ Σίμων συνήντησε· τὸ γὰρ συναντῆσαι τοῖς ὁδεύουσι γίνεται· ὅθεν τὸν σταυρὸν οὐκ ἐξ ἀρχῆς, ἀλλὰ τότε ἀγγαρευθεὶς ἐβάστασε.

Τοῦ Χρυσοστόμου. Διὰ τί βαστάζων τὸν σταυρὸν αὐτοῦ ἐξῆλθεν; ἐπειδὴ καὶ ἐν τῷ τύπῳ οὕτω γέγονε; καὶ γὰρ ὁ Ἰσαὰκ τὰ ξύλα ἐβάστασεν, εἰ καὶ τότε μὲν μέχρι τῆς γνώμης τοῦ πατρὸς ἔστη τὸ πρᾶγμα· τύπος γὰρ ἦν· νῦν δὲ καὶ ἐπὶ τῶν ἔργων ἐξῆλθεν, ἀλήθεια γὰρ ἦν· καὶ ὡς καταδίκῳ δὲ λοιπὸν, ἐπέθηκαν αὐτῷ τὸν σταυρὸν, καὶ τὸ ξύλον οἰωνίζοντο[t], καὶ οὐδὲ θίγειν ἠνείχοντο. Εἰς δὲ τὸν κρανίου τόπον σταυροῦσιν αὐτὸν,
ἐπειδὴ, φασί τινὲς τὸν Ἀδὰμ ἐκεῖ τετελευτηκέναι καὶ κεῖσθαι·
διὰ τοῦτο οὖν καὶ ὁ Κύριος ἡμῶν καὶ Θεὸς Ἰησοῦς Χριστὸς, ἔνθα
18 ὁ θάνατος ἐβασίλευσε, ἐκεῖ καὶ τὸ τρόπαιον ἔστησε. Σταυροῦσι
δὲ ἄλλους δύο μετ' αὐτοῦ, ἐντεῦθεν καὶ ἐντεῦθεν, μέσον δὲ αὐτὸν,
καὶ τοῦτο εἰ καὶ ἄκοντες, πληροῦντες προφητείαν τὴν λέγουσαν
"ὅτι μετὰ ἀνόμων ἐλογίσθη" ἃ γὰρ ὑβρίζοντες ἐποίουν οὗτοι,
ταῦτα τῇ ἀληθείᾳ συνετέλει, ἵνα μάθωμεν ὅση αὐτῆς ἡ δύναμις.
Ἐβούλετο μὲν γὰρ συσκιάσαι τὸ γινόμενον ὁ διάβολος, ἀλλ' οὐκ
ἴσχυσε. Καὶ γὰρ τριῶν σταυρωθέντων μόνος ἔλαμψεν ὁ Κύριος
ἡμῶν Ἰησοῦς.

19 Τὸ δὲ τίτλον ἔγραψεν ὁ Πιλάτος, καὶ ἐπέθηκεν ἐπὶ τοῦ σταυροῦ, ὁμοῦ μὲν τοὺς Ἰουδαίους ἀμυνόμενος, ὁμοῦ δὲ καὶ ἀπολογούμενος ὑπὲρ τοῦ Χριστοῦ. Ἐπειδὴ γὰρ ὡς φαῦλόν τινα αὐτὸν ἐξέδωκαν οἱ Ἰουδαῖοι, καὶ τὴν ψῆφον ταύτην τῇ κοινωνίᾳ τῶν λῃστῶν βεβαιῶσαι ἐπεχείρουν, ἐμφράττων αὐτῶν τὰ στόματα καὶ δεικνὺς ὅτι τῷ οἰκείῳ βασιλεῖ ἐπανέστησαν, ὥσπερ ἐπὶ στήλης τινὸς τὰ γράμματα ἔθηκε, καὶ τοῦτο οὐ μιᾷ γλώττῃ, ἀλλὰ τρισὶ δῆλον ἐποίησεν. Ἐπειδὴ γὰρ εἰκὸς πολλοὺς εἶναι μιγάδας Ἰουδαίων διὰ τὴν ἑορτὴν, ὥστε μηδένα ἀγνοεῖν τὴν ἀπολογίαν, ταῖς φωναῖς ἁπάσαις τὴν Ἰουδαίων μανίαν ἐστηλίτευσεν,

t οἰονείζοντο Cod.

ὅθεν καὶ οἱ ἀρχιερεῖς καὶ ἐσταυρωμένοι βασκαίνοντες ἔλεγον τῷ Πιλάτῳ, "μὴ γράφε βασιλεὺς τῶν Ἰουδαίων," ὡσανεὶ ἔλεγον, ὅτι τούτου γενομένου δείκνυται τῆς αὐτοῦ προπετείας καὶ ἀλαζονείας τὸ ἔγκλημα εἶναι· ἀλλ' οὐχ ὁ Πιλάτος προετράπη, ἀλλὰ φησὶν, "ὃ γέγραφα, γέγραφα." μέγα δὲ καὶ ἐντεῦθεν οἰκονομεῖται. Ἐπειδὴ γὰρ κατεχώσθη τοῦ σταυροῦ τὸ ξύλον, ὡς οὐδενὸς αὐτὸν ἀνελέσθαι σπουδάζοντος, τὸ καὶ φόβον ἐπικεῖσθαι καὶ πρὸς ἕτερα κατεπείγοντα τοὺς πιστεύοντας σπεύδειν, μέλλοντα δὲ χρόνοις ὕστερον ἐπιζητεῖσθαι, εἰκὸς δὲ τοὺς τρεῖς ὁμοῦ κεῖσθαι σταυροὺς, ἵνα μὴ ἀγνοῆται ὁ τοῦ δεσπότου, πρῶτον μὲν ἀπὸ τοῦ μέσως κεῖσθαι, ἔπειτα δὲ καὶ ἀπὸ τοῦ τίτλου δῆλος πᾶσιν ἐγένετο· οἱ γὰρ τῶν ληστῶν τίτλους οὐκ εἶχον. Χρὴ δὲ σκοπῆσαι πανταχοῦ τὰς προφητείας πληρουμένας δι' ὧν ἐκεῖνοι πονηρεύονται· καὶ γὰρ καὶ τοῦτο ἄνωθεν προείρητο, ὅπερ οἱ στρατιῶται διεπράξαντο, τὰ ἱμάτια αὐτοῦ μερισάμενοι.

23 Περὶ δὲ τοῦ χιτῶνος ὅτι "ἦν," φησὶν, "ἄρραφος ἐκ τῶν ἄνωθεν "ὑφαντὸς," οἱ μὲν φασὶν ἀλληγορίαν ἐν τούτῳ δηλοῦσθαι, ὅτι οὐχ ἁπλῶς ἄνθρωπος ἦν, ἀλλὰ καὶ ἄνωθεν τὴν θεότητα εἶχεν· οἱ δὲ αὐτὸ τὸ εἶδος τοῦ χιτωνίσκου φασὶ τὸν Εὐαγγελιστὴν ἱστορεῖν. ἐπειδὴ γὰρ ἐν τῇ Παλαιστίνῃ δύο ῥάκκη συμβάλλοντες οὕτως ὑφαίνουσι τὰ ἱμάτια, καὶ ὅτι καθάπερ ἐν τοῖς ἄλλοις ἅπασιν, οὕτω καὶ ἐν τῇ στολῇ τὸ λιτὸν ἐδίωκε σχῆμα. Εἶπον δὲ πρὸς ἀλλήλους ἐκεῖνοι, "μὴ σχίσωμεν αὐτὸν," καὶ τὰ ἑξῆς, ὅπως μάθωμεν ἡμεῖς προφητείας ἀκρίβειαν. Οὐ γὰρ ὅτι ἐμερίσαντο μόνον, ἀλλ' ὅτι καὶ οὐκ ἐμερίσαντο, εἶπεν ὁ προφήτης, τὰ μὲν γὰρ ἄλλα διενείμαντο, τὸν δὲ χιτῶνα οὐκέτι, ἀλλὰ κλήρῳ τὸ πρᾶγμα ἐπέτρεψαν.

Κυρίλλου. Εἰς τέσσαρα μέρη διελόντες τὰ τοῦ Σωτῆρος ἱμάτια, ἀμέριστον τηροῦσι τὸν ἕνα, τῆς ἀφράστου σοφίας τοῦ μονογενοῦς διοικουμένης ὥσπερ τι, καὶ διὰ τοῦτο σημεῖον μυστικῆς οἰκονομίας, δι' ἧς ἔμελλε τὰ τέσσαρα μέρη τῆς οἰκουμένης διασώζεσθαι. Ἐμερίσαντο γὰρ καὶ οἱονεί πω καὶ ἀμερίστως ἔχει τὰ τέσσαρα τῆς οἰκουμένης μέρη, τὸ ἅγιον ὄντως περίβλημα, τοῦτ' ἔστι τὸ σῶμα αὐτοῦ· κατακερματιζόμενος γὰρ ἐν τοῖς καθ' ἕνα καὶ τὴν ἑκάστου ψυχὴν ἁγιάζων μετὰ τοῦ σώματος διὰ τῆς

ἰδίας σαρκὸς ὁμογενὴς ὁλοκλήρως καὶ ἀμερίστως, ἐν ὅλοις ἐστὶν ὑπάρχων πανταχῆ, μεμέρισται γὰρ οὐδαμῶς, κατὰ τὴν τοῦ Παύλου φωνήν.

25 Τίς ἐστιν ἡ ἀδελφὴ τῆς μητρὸς τοῦ Κυρίου; τοῦ Κλεώπα μὲν ἐστὶ γυνὴ, συγγενὴς δὲ τῆς θεοτόκου, κατὰ λόγον καὶ οὐ κατὰ φύσιν, διὰ τὸ τὸν Ἰωσὴφ τὸν τῆς παρθένου μνηστῆρα ἀδελφὸν εἶναι τοῦ Κλεώπα, καθὼς φησιν Ἐπιφάνιος ὁ τῆς Κύπρου, καὶ Ἰώσηππος ἱστορεῖ. Εἰ γὰρ καὶ ἀδελφὴν εἶπεν ὁ Εὐαγγελιστὴς τῆς θεομήτορος τὴν τοῦ Κλεώπα Μαρίαν, ἀλλὰ διὰ τὴν συγγένειαν τοῦτο εἴρηκεν. ἔθος γὰρ τοῦτο τοῖς παλαιοῖς τὸ τοὺς ἀγχιστεύοντας ἀδελφοὺς καλεῖν, καθὼς φησιν Ἰσαὰκ πρὸς Ἀβιμέλεχ τὸν βασιλέα περὶ τῆς Ῥεββέκκας, ὅτι "ἀδελφή μου ἐστι," καί τοι γυνὴ αὐτοῦ ἦν· καὶ ὁ Κύριος διὰ τοῦ προφήτου πρὸς τὸν ἑαυτοῦ Πατέρα, "ἀναγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου[8]," "ὅτι προάγω ὑμᾶς εἰς τὴν Γαλιλαίαν·" οὐδαμοῦ γὰρ εὕρηται παρὰ τῇ θείᾳ γραφῇ ἐμφερόμενον τοῦτο, ὅτι γεγέννηται ἕτερον τέκνον τοῖς δικαίοις Ἰωακεὶμ καὶ Ἄννᾳ πλὴν τῆς θεόπαιδος.

Ὅτι τέσσαρες Μαρίαι ἐμφέρονται διαφόρως ἐν τοῖς θείοις Εὐαγγελισταῖς, καὶ πρώτη Μαρία ἡ θεοτόκος, ἡ παρὰ τῷ Ματθαίῳ καὶ Μάρκῳ λεγομένη Μαρία, ἡ τοῦ Ἰακὼβ τοῦ μικροῦ καὶ Ἰωσῆ μήτηρ. Λέγεται δὲ μήτηρ αὐτῶν θέσει καὶ οὐ φύσει διὰ τὸ εἶναι τὸν μνηστῆρα Ἰωσὴφ πατέρα αὐτῶν. Δευτέρα Μαρία ἡ Μαγδαλινὴ, ἀφ' ἧς ἐκβεβλήκει ὁ Κύριος ἑπτὰ δαιμόνια. τρίτη Μαρία ἡ τοῦ Κλεώπα γυνὴ, ἀδελφὴ δὲ λεγομένη παρὰ τῷ Εὐαγγελιστῇ Ἰωάννῃ τῆς θεοτόκου διὰ τὴν συγγένειαν, καὶ διὰ τὸν μνηστῆρα Ἰωσὴφ ὡς εἴρηται εἶναι ἀδελφὸν τοῦ Κλεώπα. Τετάρτη Μαρία ἡ σώφρων, ἡ τοῦ Λαζάρου ἀδελφή.

26 Παρατίθεται δὲ καίπερ σταυρώμενος τὴν μητέρα τῷ μαθητῇ, παιδεύων ἡμᾶς μέχρις ἐσχάτης ἀναπνοῆς πᾶσαν ἐπιμέλειαν ποιεῖσθαι τῶν γεγεννηκότων. κρύπτει δὲ πάλιν ἑαυτὸν ὁ Ἰωάννης εἰπὼν "καὶ τὸν μαθητὴν ὃν ἠγάπα" μετριάζων, ἐπειδὴ καὶ τὴν αἰτίαν εἶπεν ἂν, δι' ἣν ἠγαπᾶτο. Καὶ γὰρ εἰκὸς μεγάλην τινὰ εἶναι καὶ θαυμαστήν. Κατανοήσωμεν δὲ καὶ πῶς καὶ σταυρούμενος ὁ δεσπότης ἡμῶν Ἰησοῦς πάντα ἀταράχως ἔπραττε, τῷ

[8] Exciderunt quædam.

μαθητῇ διαλεγόμενος περὶ τῆς μητρὸς, προφητείας πληρῶν, τῷ
λῃστῇ χρηστὰς ὑποφαίνων ἐλπίδας, καί τοιγε πρὸ τοῦ σταυροῦ
φαίνεται ἱδρῶν, ἀγωνιῶν, δεδοικώς. Τί ποτε οὖν ἔστι τοῦτο;
οὐδὲν ἄπορον οὐδὲ ἀσαφές. Ἐκεῖ μὲν γὰρ ἡ τῆς φύσεως ἀσθέ-
νεια δείκνυται, ἐνταῦθα δὲ ἡ τῆς δυνάμεως περιουσία διαλάμπει·
ἐτίμησε δὲ καὶ μεγάλῃ τιμῇ τὸν μαθητὴν, τῇ μητρὶ τῇ ἑαυτοῦ
εἰπὼν, "ἴδε ὁ υἱός σου, καὶ τῷ μαθητῇ, ἰδοὺ ἡ μήτηρ σου."
Ταῦτα δὲ ἔλεγε συνάπτων αὐτοὺς εἰς ἀγάπην· ὅπερ οὖν καὶ ὁ
μαθητὴς συνιεὶς εἰς τὰ ἴδια αὐτὴν ἔλαβε. Τὸ δὲ "ἰδὼν ὁ Ἰησοῦς
ὅτι πάντα τετέλεσται," δηλοῖ, ὅτι οὐδὲν ἔλιπε τῇ οἰκονομίᾳ.
29 Χρὴ δὲ σκοπῆσαι καὶ τοῦτο, πῶς ἐν τῇ ἐξουσίᾳ αὐτοῦ τοῦ
μέλλοντος τελευτᾷν τὸ πᾶν ἔκειτο, ὅτι οὐ πρότερον ἐπήει[t] τῷ σώ-
ματι ἡ τελευτὴ, ἕως ὅτε αὐτὸς ἐβούλετο· ἐβούλετο δὲ μετὰ τὸ
πάντα πληρῶσαι· τούτου δὲ γεγονότος λέγει, "διψῶ," πάλιν κἀν-
ταῦθα προφητείαν πληρῶν· οἱ δὲ τὸ μιαρὸν τοῦ τρόπου αὐτῶν
πάλιν ἐνδεικνύμενοι· "πλήσαντες οὖν σπόγγον ὄξους μετὰ χολῆς
"καὶ ὑσσώπῳ περιθέντες προσήνεγκαν αὐτοῦ τῷ στόματι," μήτε
μέλλοντος αὐτοῦ λοιπὸν ἀπιέναι ἥμεροι γενόμενοι, αὐτὸς δὲ ἀτα-
ράχως καὶ μετ' ἐξουσίας πάντα πράττων, "εἶπε, τετέλεσται,"
30 καὶ τὸ ἑξῆς δὲ τοῦτο δηλοῖ. Φησὶ γὰρ, "καὶ κλίνας τὴν κεφα-
"λὴν παρέδωκε τὸ πνεῦμα," τουτέστιν, ἀπέψυξε· καί τοι οὐ
μετὰ τὸ κλῖναι τὴν κεφαλὴν τὸ ἐκπνεῦσαι γίνεται, ἀλλὰ μετὰ
τὸ ἐκπνεῦσαι τὸ κλῖναι· ἐνταῦθα δὲ τοὐναντίον, οὐδὲ γὰρ ἐπειδὴ
ἔκλινε τὴν κεφαλὴν, ἐξέπνευσε, δι' ὧν ἁπάντων ἐδήλωσεν ὁ Εὐαγ-
γελιστὴς, ὅτι τοῦ παντὸς κύριος αὐτὸς ἦν.
31 Οἱ δὲ τὴν κάμηλον καταπίνοντες καὶ τὸν κώνωπα διϋλίζοντες,
τηλικοῦτον ἐργασάμενοι τόλμημα, περὶ τῆς ἡμέρας ἀκριβολο-
γοῦνται· καὶ γάρ φησιν, "ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ
"σώματα ἐν τῷ σαββάτῳ" καὶ τὰ ἑξῆς. Ὅτι δὲ ἰσχυρὸν ἡ
ἀλήθεια, καὶ ἐν τούτῳ δείκνυται, δι' ὧν γὰρ ἐκεῖνοι σπουδάζουσι,
διὰ τοῦτο αἱ προφητεῖαι πληροῦνται· ἐλθόντες γὰρ οἱ στρατιῶται
τῶν μὲν ἄλλων κατέαξαν τὰ σκέλη, τοῦ δὲ Χριστοῦ οὐκέτι, ἀλλ'
34 ὅμως χαριζόμενοι τοῖς Ἰουδαίοις "εἷς τῶν στρατιωτῶν ἔνυξε αὐτοῦ
"τὴν πλεῦραν τῇ λογχῇ," καὶ νεκρὸν τὸ σῶμα ἐνυβρίζοντες·

[t] ἐπίει Cod.

ἐξελθὸν δὲ αἷμα καὶ ὕδωρ, οὐχ ἁπλῶς αἱ τούτων προῆλθον πηγαὶ, ἀλλ' ἐπειδὴ ἐξ ἀμφοτέρων τούτων ἡ Ἐκκλησία συνέστηκε, καὶ τοῦτο γιγνώσκουσιν οἱ πιστοὶ, δι' ὕδατος μὲν ἀναγεννηθέντες, δι' αἵματος δὲ καὶ σαρκὸς τρεφόμενοι, ἀρχὴν ἐκεῖθεν λαμβάνει τὰ μυστήρια, ἵν' ὅταν προσείης τῷ φρικτῷ μυστηρίῳ, ὡς ἀπ' αὐτῆς πίνων τῆς πλευρᾶς, οὕτω προσείης.

Κυρίλλου. Ὥρας ἤδη καλού. (sic) τοῖς εἰς τὸ καὶ αὐτοῖς ἐθέλειν τοῖς ἐν ᾅδου κηρύξαι πνεύμασιν. Ἐπεδήμησε γὰρ ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ, καὶ αὐτὸν ὑπὲρ ἡμῶν εἰσέβη τὸν θάνατον. Δῆλον δὲ ὅτι κατὰ τὴν σάρκα, καί τοι ζωὴ κατὰ φύσιν ὑπάρχων Θεὸς, ἵνα σκυλεύσας τὸν ᾅδην κατορθώσῃ τῇ ἀνθρωπίνῃ φύσει τὴν εἰς ζωὴν ἀναδρομὴν, ἀπαρχὴ τῶν κεκοιμημένων καὶ πρωτότοκος ἐκ νεκρῶν ἀναδεδειγμένος κατὰ τὰς γραφάς· κατεχρήσατο δὲ λέξεσι συνήθεσιν ὁ Εὐαγγελιστὴς εἰπὼν, "ἔκλινε τὴν "κεφαλὴν καὶ παρέδωκε τὸ πνεῦμα," τῆς καθ' ἡμᾶς συναφείας μὴ ἀφιστάμενος. Οὕτω γὰρ οἱ πολλοὶ τὸ τέθνηκε λέγουσιν, ἴσως δὲ καὶ οἰκονομικῶς λέγει τὸ "παρέδωκε τὸ πνεῦμα," εἰς χεῖρας δηλονότι τοῦ Θεοῦ καὶ Πατρὸς, κατὰ τὸ εἰρημένον ὡς παρ' αὐτοῦ "εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου," καὶ ἡμῖν δὲ αὐτοῖς ἀγαθῆς ἐλπίδος θεμέλιον ἡ τοῦ λόγου κατεβάλετο δύναμις. οὐ γὰρ ἐμφιλοχωροῦσι τοῖς μνήμασι τῶν ἁγίων αἱ ψυχαί· τρέχουσι δὲ μᾶλλον εἰς χεῖρας τοῦ πάντων Πατρὸς, τῶν ἁμαρτωλῶν εἰς τὸν τῆς κολάσεως τόπον κατασπωμένων, τουτέστιν, ᾅδην.

Ἵνα εἴπῃ τῆς Ἰουδαίων ἀσεβείας τὸ μέτρον, καὶ τῆς εἰς αὐτὸν παροινίας τὴν ὑπερβολήν.

Ἀντιόχου Πτολεμαΐδος. Ὁ δὲ Ἰησοῦς βουλόμενος τὴν πληγὴν τοῦ Ἀδὰμ θεραπεῦσαι, ἀντιτίθησι τὴν πλευρὰν τῇ πλευρᾷ, ἵνα ὅθεν ἐπήγαγε τὸ τραῦμα, ἐκεῖθεν ἀνθήσει ἡ σωτηρία. Ἐν αὐτῷ γὰρ τῷ σταυρῷ τῇ λόγχῃ παρέδωκε τὴν πλευρὰν, καὶ ἐπειδὴ ὁ Ἀδὰμ μετὰ τὸν ὕπνον ἀφῃρέθη τῆς πλευρᾶς, ὁ Σωτὴρ οὐκ ἐγρηγορὼς τῷ σώματι τὴν πλευρὰν διηνοίγει, ἀλλὰ μετὰ τὴν κοίμησιν τοῦ σώματος ἔδωκε τὴν πλευρὰν τῷ στρατιώτῃ. Διὰ τί δὲ τῇ λόγχῃ πλευρᾷ ὑπήντησεν; ἔδει ἐν τῷ σχήματι τοῦ στρατιώτου πάντα λυθῆναι τὰ κατὰ τοῦ Ἀδάμ. ἐπειδὴ γὰρ φλογίνην ῥομφαίαν ὁ Θεὸς περιέθηκε τὴν κωλύουσαν εἰσέρχεσθαι τὸν

Ἀδὰμ εἰς τὸν παράδεισον, ἡ δὲ ῥομφαία ἦν ἡ στρεφομένη, πᾶν δὲ στρεφόμενον ἐὰν μή τινι συγκρούσθῃ, οὐχ ἵσταται τοῦ ἰδίου δρόμου, ἀντιστῆναι δὲ οὐδεὶς ἐδύνατο τῇ ῥομφαίᾳ τῇ πυρίνῃ, ἐν τῇ οἰκονομίᾳ τοῦ στρατιώτου τῷ σχήματι τῆς ῥομφαίας ἀντέθηκε τὴν πλευρὰν, ἵνα διὰ τῆς αἰσθητῆς λόγχης παύσηται λοιπὸν τῆς ἀπειλῆς, καὶ μηκέτι τοῖς λοιποῖς τὴν εἴσοδον ἀποκλείσῃ τοῦ παραδείσου.

35 Ἐν δὲ τῷ εἰπεῖν ὁ "ἑωρακὼς μεμαρτύρηκε" καὶ τὰ ἑξῆς, ἐδήλωσεν ὡς οὐ παρ' ἑτέρων τοῦτο ἀκήκοεν, ἀλλ' αὐτὸς παρὼν εἶδεν, ὥστε οὐκ ἂν εἴη δίκαιον ὑποπτεῦσαι τινὰ τὸν λόγον· διὸ καὶ ἐπάγει, "ἵνα ὑμεῖς πιστεύσητε, ἐγένετο γὰρ," φησὶ, "ταῦτα, ἵνα "ἡ γραφὴ πληρωθῇ, ὀστοῦν αὐτοῦ οὐ συντριβήσεται." Εἰ γὰρ καὶ περὶ τοῦ παρὰ Ἰουδαίοις ἀμνοῦ τοῦτο εἴρηται, ἀλλὰ διὰ τὴν ἀλήθειαν ὁ τύπος προέδραμε, καὶ ἐπὶ τούτου μᾶλλον ἐξέβη· διὰ τοῦτο καὶ τὸν προφήτην εἰς μέσον ἤγαγεν. Ἐπειδὴ γὰρ ἄνω καὶ κάτω αὐτὸν εἰς μέσον φέρων οὐκ ἐδόκει ἀξιόπιστος εἶναι, παράγει τὸν Μωϋσέα ὡσανεὶ λέγων, καὶ οὐδὲ τοῦτο ἁπλῶς ἐγένετο, ἀλλ' ἄνωθεν προδιεγράφη· πληροῦται δὲ καὶ ἑτέρα προφητεία λέγουσα ὅτι "ὄψονται εἰς ὃν ἐξεκέντησαν," οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ τοῖς μέλλουσιν ἀπιστεῖν ἐγένετο πίστεως ἀπόδειξις τὸ τολμηθὲν, οἷον τῷ Θωμᾷ καὶ τοῖς κατ' ἐκεῖνον.

Ἀμμωνίου πρεσβυτέρου. Πιστοῦται ὁ Εὐαγγελιστὴς, ὅτι αὐτός ἐστιν ὁ Χριστὸς, ὁ διὰ τῶν γραφῶν προαναφωνηθεὶς, συνῳδὰ γὰρ τοῖς περὶ αὐτοῦ λεχθεῖσιν ἐξέβη τὰ πράγματα. Ὀστοῦν νοεῖται τὸ εὔτονον καὶ ἄθραυστον τοῦ μυστικοῦ λόγου. Ἐπειδὴ δὲ εἰκόνα ἔφερε τὸ πρόβατον τοῦ ἀμνοῦ τοῦ Θεοῦ, τρέφεταί τις τὴν κεφαλὴν τοῦ Χριστοῦ, τὰ περὶ τῆς θεολογίας αὐτοῦ ἐκλαμβάνων, τοὺς δὲ πόδας διδασκόμενος, τὰ περὶ τῆς ἐνσάρκου αὐτοῦ οἰκονομίας, τὰ δὲ ἐνδόσθια τὰ ἀπόκρυφα δόγματα. Ἕκαστον γὰρ τῶν περὶ Χριστοῦ δογμάτων ἀπόκρυφον ἔχει καὶ μυστικὸν λόγον. Ἐπεὶ οὖν ὀστοῦν νοεῖται τὸ εὔτονον τοῦ μυστηρίου, οἱ ἁρμοδίως καὶ συμφώνως κατέχοντες τὸ περὶ τοῦ Χριστοῦ μυστήριον, ὀστοῦν οὐ συντριβήσεται ἀπ' αὐτοῦ. Ὅτε "ἔρχεται κρῖναι, τότε ὄψον-"ται αὐτὸν καὶ θρηνήσουσι."

ΚΕΦ. ΙΗ.

Περὶ αἰτήσεως τοῦ κυριακοῦ σώματος.

38 Τίνος ἕνεκεν οὐχ εἷς τῶν ιβʹ προσῆλθε τῷ Πιλάτῳ αἰτῶν τὸ σῶμα τοῦ Κυρίου Ἰησοῦ, ἀλλ᾽ ὁ Ἰωσὴφ ἐκ τῶν ἑβδομήκοντα ὤν; Εἰ γὰρ διὰ τὸν φόβον λέγοι τις τῶν Ἰουδαίων, καὶ οὗτος τῷ αὐτῷ κατείχετο φόβῳ. "καὶ γὰρ," φησὶ, "κεκρυμμένος ἦν διὰ τὸν φόβον "τῶν Ἰουδαίων." τί οὖν ἐστιν; ἐμοὶ δοκεῖ τῶν σφόδρα ἐπισήμων εἶναι, καὶ τῷ Πιλάτῳ δῆλος, ὅθεν καὶ τὴν χάριν ἔλαβε προσελθών. Ποιοῦνται δὲ πολυτελῆ τὴν ταφὴν, ἐπειδὴ ἔτι ὡς περὶ ἀνθρώπου ὑψηλοῦ διέκειντο, καὶ τοιαῦτα φέρουσιν ἀρώματα, ἃ μάλιστα τὸ σῶμα πέφυκεν ἐπὶ πολὺ διατηρεῖν, καὶ μὴ συγχωρεῖν ταχέως ἐνδιδόναι τῇ φθορᾷ· ὅπερ οὐδὲν μέγα περὶ αὐτοῦ φανταζομένων ἦν. πλὴν ὅμως τὴν φιλοστοργίαν πολλὴν ἐπιδείκνυται, καὶ ἐνταφιάζουσιν οὐχ ὡς καταδίκου, ἀλλ᾽ ὡς ἔθος, φησὶν, ἦν τοῖς Ἰουδαίοις πολυτελῶς.

Ἐπειδὴ δὲ ὑπὸ τοῦ καιροῦ συνείχοντο, ἐνάτης γὰρ ὥρας γενο-
μένης τῆς τελευτῆς, εἶτα μεταξὺ τῷ Πιλάτῳ προσιόντων, καὶ
καθελόντων τὸ σῶμα, εἰκὸς ἦν ἑσπέραν καταλαβεῖν, ἐν ᾗ θέμις
οὐκ ἦν ἐργάσασθαι, τιθέασιν αὐτὸν εἰς τὸ πλησίον μνημεῖον.
41 "Ἦν γὰρ," φησὶν, "ἐν τῷ τόπῳ ὅπου ἐσταυρώθη, κῆπος, καὶ ἐν
"τῷ κήπῳ μνημεῖον καινὸν," καὶ τὰ ἑξῆς. Οἰκονομεῖται δὲ εἰς
καινὸν αὐτὸν τεθεῖναι μνημεῖον ἐν ᾧ οὐδεὶς ἐτέθη, ἵνα καὶ τῆς ἀνα-
στάσεως σαφὴς ἡ ἀπόδειξις γένηται, καὶ ὥστε τοὺς μαθητὰς
δυνηθῆναι μετ᾽ εὐκολίας παραγενέσθαι, καὶ θεατὰς τῶν συμβάν-
των γενέσθαι καὶ μάρτυρας, πλησίον ὄντας τοῦ τόπου καὶ τῆς
ταφῆς.

Σευήρου Ἀντιοχείας ἀπολογία. Χριστὸς ὁ Θεοῦ Λόγος, ὁ τοῦδε τοῦ παντὸς ποιητὴς, καὶ τῶν ὅλων Κύριος, οἷα δὴ ξένος καὶ πτωχὸς διὰ τῆς ἐνσάρκου παρουσίας ἡμῖν ἐπεδήμησεν, ἐπείπερ "εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον," ᾗ φησὶ τὸ γράμμα τὸ ἱερὸν, καὶ δι᾽ ἡμᾶς ἐπτώχευσε πλούσιος ὢν, ἵν᾽ ἡμεῖς τῆς ἐκείνου πτωχείᾳ πλουτήσωμεν, καὶ τοῦτον ἐπτώχευσεν, ὡς βοᾷν "αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ

" σκηνώσεις, ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν " κλῖναι," καὶ τὸ παράδοξον τὴν μετὰ τὸν σταυρὸν τὴν ἐν τάφῳ λέγει τελευταίαν κατάκλισιν. Οὐ γὰρ εἰς ἴδιον ἐτέθη μνῆμα, ἀλλ' Ἰωσὴφ ὁ ἀπ' Ἀριμαθαίας ἐν τῷ οἰκείῳ μνήματι καθάπερ ξένον αὐτὸν ὑπεδέξατο· καὶ γυμνὸν ὄντα τῷ περιβολαίῳ τῷ λινῷ περιέστειλε, καὶ παρέδωκε τῇ οὕτως οἰκονομηθείσῃ καὶ μέχρι τούτου ταπεινωθείσῃ ταφῇ.

Ἀμμωνίου. Οἱ δεδιότες φανερῶς πλησιάσαι τῷ Ἰησοῦ νῦν ὁρώντων τῶν Ἰουδαίων, αἰτοῦσι τὸ σῶμα· οὗτος οὐ τῶν ιβ' ἦν, ἀλλὰ τῶν ἑβδομήκοντα, καὶ ὡς σβεσθέντος τοῦ θυμοῦ τῶν Ἰουδαίων, ἀδεῶς προσίεσαν. Οὕτω δὲ ὠμοὶ ἦσαν οἱ Ἰουδαῖοι, ὅτι οὔτε θάψαι αὐτοῦ τὸ σῶμα ἠνέσχοντο οἱ ἐπιχώριοι, ἀλλ' ὁ ἀπ' Ἀριμαθίας ξένος.

Εἰ ἦν μετὰ ἄλλων, ἤμελλον τινὲς τῶν ἀπίστων λέγειν, ὅτι οὐ τοῦ Ἰησοῦ ἀνέστη σῶμα, ἀλλὰ ἄλλου εἰς καινὸν ἐτέθη μνημεῖον διὰ τὸ ξένον τῆς ἐκ θανάτου εἰς ζωὴν ἀναδρομῆς, καὶ τὴν καινοτομίαν[u] τὴν ἐπινοηθεῖσαν κατὰ τῆς φθορᾶς. Ὠκονομήθη ἐγγὺς εἶναι τὸν τόπον, ἵνα καὶ ψευδὴς δειχθῇ ὁ περὶ τῆς κλοπῆς λόγος.

ΚΕΦ. ΙΘ.

Περὶ τῆς ἀναστάσεως.

1 "Τῇ δὲ μιᾷ τῶν σαββάτων," φησὶ, καὶ τὰ ἑξῆς. Ἐπειδὴ γὰρ πάνυ φιλοστόργως εἶχε περὶ τὸν διδάσκαλον, παρελθόντος τοῦ σαββάτου, ἔδραμε, παραμυθίαν τινὰ εὑρεῖν ἀπὸ τοῦ τόπου βουλομένη, καὶ ἰδοῦσα τὸν λίθον ἠρμένον καὶ μετὰ πολλοῦ τοῦ τάχους ἔρχεται πρὸς Σίμωνα Πέτρον. Ἀνέστη μὲν γὰρ ὁ Κύριος ἡμῶν καὶ Θεὸς Ἰησοῦς ὁ Χριστὸς, καὶ τοῦ λίθου καὶ τῶν σημάντρων ἐπικειμένων. Ἐπειδὴ δὲ ἐχρῆν καὶ τοὺς ἄλλους πληροφορηθῆναι, ἀνοίγεται τὸ μνημεῖον μετὰ τὴν ἀνάστασιν, καὶ οὕτω πιστοῦται τὸ γεγονός. ἡ δὲ Μαρία οὐδὲν οὐδέπω περὶ ἀνάστασιν σαφὲς γιγνώσκουσα, ἀλλὰ νομίζουσα μετάθεσιν γενέσθαι τοῦ σώματος, ἀπλάστως πάντα ἀπαγγέλλει λέγουσα, ὅτι " ἦραν τὸν Κύριον ἐκ " τοῦ μνημείου, καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν." Ἀκούσαντες

[u] κενοτομίαν Cod.

δὲ οἱ μαθηταὶ μετὰ πολλῆς τῆς σπουδῆς ἐφίστανται τῷ μνημείῳ, καὶ θεωροῦσι τὰ ὀθόνια κείμενα μόνα, ὅπερ ἦν ἀναστάσεως σημεῖον· οὔτε γὰρ εἰ μετέθηκαν τινὲς, τοῦτο ἐποίησαν τὸ σῶμα γυμνώσαντες, οὔτε εἰ ἔκλεψαν τοῦτο ἐφρόντισαν, ὥστε εἶναι τὸ σουδάριον καὶ ἐντυλίξαι καὶ θάψαι εἰς ἕνα τόπον, ἀλλὰ ἁπλῶς ὡς εἶχεν, ἔλαβον τὸ σῶμα. Διὰ τοῦτο γὰρ καὶ προλαβὼν ὁ Εὐαγγελιστὴς φησὶν, ὅτι σμύρνῃ συνετάφη πολλῇ, ἣ μολύβδου οὐχ ἧττον συγκολλᾷ τῷ σώματι τὰ ὀθόνια, ἵνα ὅταν ἀκούσωμεν τὰ σουδάρια ἔκειτο ἴδια, μὴ ἀνασχώμεθα τῶν λεγόντων ὅτι ἐκλάπη· οὐ γὰρ οὕτως ἀνόητος ἦν ὁ κλέπτων, ὥστε περὶ πρᾶγμα περιττὸν τοσαύτην ἀναλίσκειν σπουδὴν, καὶ τοσοῦτον ἀναλίσκειν χρόνον, μὴ ὑφορώμενος μὴ κατάδηλος γένηται.

Ἀμμωνίου. Τοῦ Ματθαίου εἰπόντος, ἑσπέρᾳ βαθείᾳ γεγονέναι τὴν ἀνάστασιν, τοῦ δὲ Ἰωάννου πρωῒ σκοτίας οὔσης, οὐ διαφωνοῦσι περὶ τὸν τῆς ἀναστάσεως καιρὸν, ἀλλ' εἰς τὸν αὐτὸν τῶν ὡρῶν συνέδραμον καιρὸν, ὁ μὲν γὰρ ἀπὸ τοῦ τέλους, ὁ δὲ ἀπὸ τῆς ἀρχῆς εἰς αὐτὸ τὸ μεσότατον τῆς νυκτὸς χωρεῖ.

Ὁ Χριστὸς, τοῦ λίθου κειμένου καὶ τῶν σφραγίδων, ἀνέστη· ἀνοίγεται δὲ τὸ μνημεῖον, πρὸς πίστιν τῶν γεγονότων σημείων. ἄδηλος ὁ τῆς ἀναστάσεως καιρὸς, ὡς καὶ ὁ τῆς δευτέρας παρουσίας.

3 Εὐσεβίου Καισαρείας. Ἴσως ἐροῦσι τινὲς, πῶς τῆς κουστωδίας φυλαττούσης, δρομαῖοι ἤρχοντο Πέτρος καὶ Ἰωάννης, καὶ εἰσῄεσαν εἰς τὸ μνημεῖον; ἐροῦμεν ὅτι τοῦ σεισμοῦ γενομένου καὶ γενομένης τῆς ἀναστάσεως ἀνεχώρησαν οἱ στρατιῶται ἀπαγγεῖλαι τοῖς ἀρχιερεῦσιν ἅπαντα τὰ γενόμενα, καὶ οὕτω τῆς στρατιωτικῆς φρουρᾶς ἐλευθερωθέντος τοῦ μνήματος, ἠδυνήθησαν ἀπαντῆσαι[x] καὶ εἰσελθεῖν, ἀκούσαντες παρὰ Μαρίας τῆς Μαγδαληνῆς, ὡς οὐδείς ἐστιν ἐκεῖ τῶν ἐναντίων.

6 Χρὴ δὲ σκοπῆσαι καὶ ἐνταῦθα τὸ ἄτυφον τοῦ Εὐαγγελιστοῦ, πῶς τὴν ἀκρίβειαν τῆς ἐρεύνης τῷ Πέτρῳ μαρτυρεῖ· προφθάσας γὰρ αὐτὸς καὶ ἰδὼν τὰ ὀθόνια κείμενα, οὐδὲν πλέον πολυπραγμονεῖ, ἀλλ' ἀφίσταται· ἐκεῖνος δὲ ὁ θερμὸς[y] ἐνδοτέρω γενόμενος, ἅπαντα κατόπτευσεν ἀκριβῶς, καὶ τότε οὗτος μετ' ἐκεῖνον εἰσελθὼν, εἶδε τὰ ἐντάφια κείμενα καὶ διῃρημένα.

[x] ἀπατῆσαι Cod. [y] τὸ θερμὸν Cod.

Καὶ ἐπειδήπερ τὰ ὀθόνια θεασάμενοι οὗτοι καὶ πιστεύσαντες ἀπῆλθον πρὸς ἑαυτοὺς ἐκπληττόμενοι. Ἡ δὲ Μαρία εἱστήκει δακρύουσα· καὶ γὰρ εὐέμπτωτον καὶ περιπαθὲς τὸ γυναικεῖον γένος, καὶ τὸν περὶ ἀνάστασιν δὲ οὐδέπω σαφῶς ᾔδει λόγον· ἔτι δὲ καὶ ἀπὸ πολλοῦ λόγου παρέκυπτεν εἰς τὸ μνημεῖον βουλομένη τὸν τόπον θεωρεῖν, ἔνθα ἔκειτο τὸ σῶμα πρὸς πλείονα παραμυθίαν· διὰ δὴ τοῦτο τῆς πολλῆς ταύτης σπουδῆς οὐ μικρὸν λαμβάνει μισθὸν, ὃ γὰρ οὐκ εἶδεν αὐτὴ πρώτη, δύο Ἀγγέλους ἐν λευκοῖς καθεζομένους, ἕνα πρὸς τῇ κεφαλῇ καὶ ἕνα πρὸς τοῖς ποσὶν, ὅπου ἔκειτο τὸ σῶμα τοῦ Κυρίου Ἰησοῦ. Ἐπειδὴ γὰρ οὐκ ἦν ὑψηλὸν τῆς γυναικὸς ἡ διάνοια, ὡς ἀπὸ τοῦ σουδαρίου παραδέξασθαι τὴν ἀνάστασιν, γίγνεταί τι πλέον, καὶ Ἀγγέλους θεωρεῖ καθημένους ἐν φαιδρῷ τῷ σχήματι, ὥστε αὐτὴν ἀναστῆσαι [x] τοῦ πάθους τέως· διὸ καὶ οὐδὲν αὐτῇ περὶ ἀναστάσεως λέγουσιν, ἀλλ᾽ ἠρέμα αὐτὴν προσκαλοῦνται τὸ πυθέσθαι καὶ μαθεῖν λέγοντες, "γύναι, τί κλαίεις; τίνα "ζητεῖς;" ὅθεν διὰ τοῦτο καὶ καθήμενοι αὐτῇ φαίνονται εἰς ἐρώτησιν αὐτὴν ἐνάγοντες· καὶ γὰρ ἐνέφαινον ὅτι ᾔδεσαν τὸ γεγονός. ἡ δὲ θερμῶς σφόδρα καὶ φιλοστόργως λέγει, εἰ καὶ οὐδὲν οὐδέπω ὑψηλὸν κατεδέξατο δόγμα, "ὅτι ἦραν τὸν Κύριόν μου, καὶ "οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν."

14 Τίνος δὲ ἕνεκεν ταῦτα εἰποῦσα, ἐκείνη ἐστράφη εἰς τὰ ὀπίσω; ποία γὰρ αὕτη παραμυθία περὶ ἐκείνους διαλεγομένη, καὶ μηδέπω μηδὲν ἀκούσασα παρ᾽ αὐτῶν, στραφῆναι εἰς τὰ ὀπίσω; ἐμοὶ δοκεῖ ταῦτα λεγούσης αὐτῆς, ἄφνω φανέντα τὸν Χριστὸν ὄπισθεν αὐτῆς ἐκπλῆξαι τοὺς Ἀγγέλους, κἀκείνους θεασαμένους τὸν δεσπότην καὶ τῷ σχήματι καὶ τῷ βλέμματι καὶ τῷ κινήματι εὐθέως ἐμφῆναι, ὅτι τὸν Κύριον εἶδον, καὶ τοῦτο τὴν γυναῖκα ἐπιστρέψαι, καὶ εἰς τὰ ὀπίσω ἐπιστραφῆναι ἐποίησεν· ἐκείνοις μὲν οὕτως ἐφάνη, τῇ δὲ γυναικὶ οὐχ οὕτως, ὥστε αὐτὴν μὴ ἐκ πρώτης ἐκπλῆξαι τῆς ὄψεως, ἀλλ᾽ ἐν εὐτελεστέρῳ καὶ κοινῷ τῷ σχήματι· καὶ δῆλον ἐξ ὧν καὶ κηπουρὸν αὐτὸν εἶναι ἐνόμισεν. ὅθεν ἐρωτηθεῖσα παρ᾽ αὐτοῦ τί κλαίεις; τίνα ζητεῖς; οὐκ ἔτι τὸ ὄνομα τοῦ Ἰησοῦ λέγει, ἀλλ᾽ ὡς εἰδότος αὐτοῦ περὶ οὗ πυνθάνεται, φησὶ, "Κύριε, εἰ σὺ ἐβάστασας αὐτὸν," καὶ

[x] ἀναστῆτι Cod.

τὰ ἑξῆς, τουτέστιν, εἰ διὰ τὸν φόβον τῶν Ἰουδαίων αὐτὸν ἦρατε[z] ἐντεῦθεν, εἴπατέ μοι, κἀγὼ αὐτὸν λήψομαι. Πολλὴ μὲν οὖν ἡ εὔνοια καὶ ἡ φιλοστοργία τῆς γυναικὸς, ὑψηλὸν δὲ οὐδέπω παρ' αὐτῇ. Διάτοι τοῦτο καὶ ἐκάλεσε αὐτῆς τὸ ὄνομα, εἰπὼν, "Μαρία," ὀνειδίζων καὶ καθαπτόμενος ὅτι ταῦτα περὶ τοῦ ζῶντος ἐφαντάζετο.

Διὰ τί πάλιν λέγει, "στραφεῖσα ἐκείνη εἶπε πρὸς "αὐτόν;" ἐμοὶ δοκεῖ, εἰποῦσα τὸ ποῦ τεθείκατε αὐτὸν, στραφῆναι πρὸς τοὺς Ἀγγέλους πάλιν, εἶτα τὸν Χριστὸν καλέσαντα αὐτὴν ἐπιστρέψαι πρὸς ἑαυτὸν ἀπ' ἐκείνων, καὶ διὰ τῆς φωνῆς δῆλον ἑαυτὸν ποιῆσαι. Ὅτε γὰρ ἐκάλεσεν αὐτὴν Μαρία, τότε αὐτὸν ἐπέγνω, οὐκ ὄψεως ἦν οὗτος, ἀλλὰ φωνῆς ἐπίγνωσις· εἰ δὲ λέγοιεν πόθεν δῆλον ὅτι ἐξεπλάγησαν, καὶ διὰ τοῦτο ἀπεστράφη ἡ γυνὴ, καὶ ἐνταῦθα ἐροῦσι, πόθεν δῆλον ὅτι ἥψατο αὐτοῦ καὶ προσέπεσεν, ἀλλ' ὥσπερ τοῦτο δῆλον ἀπὸ τοῦ εἰπεῖν, "μή μου ἅπτου," οὕτω κἀκεῖνος ἀπὸ τοῦ εἰπεῖν ὅτι ἐστράφη· ἐπειδὴ δὲ ὡς ἐγὼ δοκῶ, ὅτι ἐβούλετο συνεῖναι αὐτῷ ὥσπερ πρότερον καὶ ὑπὸ τῆς χαρᾶς μηδὲν ἐννοῆσαι μέγα, διὰ τοῦτο ταύτης ἀπάγων αὐτὴν τῆς ἐννοίας,
17 φησὶ, "μή μου ἅπτου." Ἵνα δὲ μὴ δόξῃ πρόσαντες εἶναι τοῦτο καὶ κόμπον ἔχειν, ἐπάγει· "οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν "πατέρα," ἀνεπαχθέστερον διὰ τοῦτο ποιῶν αὐτό· ὡσανεὶ γὰρ λέγει, ὅτι ἐκεῖ σπεύδω καὶ ἐπάγομαι, τὸν δὲ ἐκεῖ μέλλοντα ἀπιέναι, καὶ μηκέτι μετὰ ἀνθρώπων στρέφεσθαι, οὐκ ἔδει μετὰ τῆς αὐτῆς ὁρᾷν διανοίας, ἧς καὶ πρὸ τούτου· καὶ ὅτι τοῦτό ἐστι, δηλοῖ τὸ ἑξῆς· καί τοι οὐκ ἔμελλεν εὐθέως τοῦτο ποιεῖν, ἀλλὰ μετὰ τεσσαράκοντα ἡμέρας.

Πῶς οὖν τοῦτό φησι; ἀναστήσειν βούλεται αὐτῆς τὴν διάνοιαν, καὶ πεῖσαι, ὅτι εἰς τοὺς οὐρανοὺς ἀνέρχεται· τὸ δὲ "Πατέρα μου καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου "καὶ Θεὸν ὑμῶν" τῆς οἰκονομίας ἐστὶν, ἐπεὶ καὶ τὸ ἀναβεβηκέναι τῆς σαρκός ἐστι. πρὸς τὴν οὐδὲν μέγα φανταζομένην ταῦτα φθέγγεται, ἑτέρως οὖν αὐτοῦ Πατὴρ καὶ ἑτέρως ἡμῶν. εἰ γὰρ τῶν δικαίων ἑτέρων Θεὸς καὶ τῶν ἄλλων ἀνθρώπων, πολλῷ μᾶλλον ἐπὶ Χριστοῦ κατὰ σάρκα καὶ ἡμῶν. Ἐπειδὴ γὰρ εἶπεν, "εἰπὲ τοῖς ἀδελφοῖς μου," ἵνα μὴ ἀπὸ τούτου ἴσον τι φαντασθῶσι, δείκνυσι τὸ ἐνηλλαγμένον αὐτοῦ· Πατὴρ μὲν γάρ ἐστι

[z] ἦρασ Cod.

φύσει, ἡμῶν δὲ χάριτι. Πάλιν δὲ Θεὸς, ἡμῶν μὲν φύσει, αὐτοῦ δὲ κατὰ τὸν τῆς οἰκονομίας λόγον. ἀπελθοῦσα δὲ ἡ Μαρία ἀπήγγειλε τοῖς μαθηταῖς καὶ τὴν ὄψιν καὶ τὰ ῥήματα, ἅπερ ἱκανὰ αὐτοὺς παραμυθήσασθαι. ἐπειδὴ δὲ εἰκὸς ἦν τοὺς μαθητὰς ταῦτα ἀκούοντας, ἢ διαπιστεῖν τῇ γυναικὶ, ἢ καὶ πιστεύσαντας ἀλγεῖν, ὅτι αὐτοὺς οὐ κατηξίωσε τῆς ὄψεως, καίτοι ἐπαγγειλάμενος ἐν τῇ Γαλιλαίᾳ φαίνεσθαι, διὰ τοῦτο οὐδὲ μίαν ἡμέραν ἀφῆκε διελθεῖν, ἀλλ' "οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ," καὶ τὰ ἑξῆς.

Σευήρου Ἀντιοχείας ἀπὸ λόγ. Τάχα δὲ οὐκ ἔξω τοῦ πρέποντος κηπουρὸν ὑπέλαβεν εἶναι τὸν Ἰησοῦν· τῷ ὄντι γὰρ ἦν αὐτὸς ὁ τοῦ παραδείσου γεωργὸς, ὁ ἀληθὴς καὶ ἀθάνατος ἐν τῷ τοῦ μνήματος κήπῳ, καθάπερ ἐν παραδείσῳ τὴν γυναῖκα καὶ τὴν ἐξ ἀπληστείας τὸν Ἀδὰμ τὸν πρῶτον κηπουρὸν ἀπατήσασαν διορθούμενος, οὕτως ἦν ἅπαντα μυστηριώδη καὶ λόγων ἔμπλεα θειοτέρων καὶ ὑψηλῶν.

Κυρίλλου ἐκ τοῦ κατὰ Ἰουλιανόν. Πρὸ μὲν γὰρ τοῦ σωτηρίου πάθους τοῖς ἐθέλουσιν ἐξῆν ἅπτεσθαί τε καὶ ἐγγίζειν αὐτοῦ· ἐπειδὴ δὲ ἀνέστη πατήσας τὸν θάνανον, καὶ δόξης ἤδη παρῆν τῆς θεοπρεποῦς ὁ καιρὸς, οὐκ ἔτι τοῖς τυχοῦσιν ἐξῆν τοῦ ἁγίου θιγγάνειν σώματος, ἀλλὰ μόνοις τοῖς ἡγιασμένοις, διὰ τὸ μεταλαβεῖν Ἁγίου Πνεύματος. Καὶ μετ' ὀλίγα—Πῶς οὖν οὐκ ἔδει τὴν Μαρίαν ἐξείργεσθαι τέως τῆς τοῦ σώματος ἐπαφῆς τοῦ ἁγίου δηλονότι, λαβοῦσα οὔπω τὸ Πνεῦμα· εἰ γὰρ καὶ ἐγήγερτο Χριστὸς ἐκ νεκρῶν, ἀλλ' οὔπω τὸ Πνεῦμα δέδοτο τῇ ἀνθρωπότητι παρὰ τοῦ Πατρὸς δι' αὐτοῦ· ἀνελθὼν γὰρ εἰς τὸν Θεὸν καὶ Πατέρα κατέπεμψεν ἡμῖν αὐτὸ, διὸ καὶ ἔλεγε, "συμφέρει ἡμῖν ἵνα ἐγὼ "ἀπέλθω," καὶ τὰ ἑξῆς.

19 Ὀψίας οὖν ἔτι οὔσης, ἐφίσταται μετὰ πολλοῦ τοῦ θαύματος διψῶσιν ἰδεῖν αὐτὸν καὶ περιφόβους οὖσιν, ὃ καὶ αὐτῶν μάλιστα τὸν πόθον ἐποίει πλείονα. πῶς δὲ αὐτὸν φάντασμα οὐκ ἐνόμισαν κεκλεισμένων εἰσελθόντα τῶν θυρῶν καὶ ἀθρόον; μάλιστα μὲν ἡ γυνὴ προλαβοῦσα πολλὴν τὴν πίστιν εἰργάσατο, ἄλλως δὲ καὶ τρανὴν καὶ ἥμερον τὴν ὄψιν αὐτοῖς ἐπιδείξαντος· οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὴν πλευρὰν καὶ τὰς χεῖρας δείξας, εἰς πλείονα αὐτοὺς ἀνήγαγε πίστιν, καὶ τῇ φωνῇ δὲ κατεστόρησεν αὐτῶν κυμαίνοντα

τὸν λογισμὸν, εἰπὼν, "εἰρήνη ὑμῖν," τοῦτ' ἔστι μὴ θορυβεῖσθε. Ἀνέμνησε δὲ αὐτοὺς καὶ ῥήματος, ὃ πρὸ τοῦ σταυροῦ πρὸς αὐτοὺς εἶπεν, "εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν," καὶ πάλιν, "εἰρήνην ἐν ἐμοὶ ἔχετε."

20 Ἐξέβησαν δὲ καὶ ἐπὶ τῶν ἔργων οἱ λόγοι, οὓς εἶπε πρὸ τοῦ σταυροῦ, ὅτι "πάλιν ὄψομαι ὑμᾶς, καὶ χαρήσεται ὑμῶν ἡ "καρδία." "Ἐχάρησαν γὰρ," φησὶν, "οἱ μαθηταὶ, ἰδόντες τὸν "Κύριον." ταῦτα δὲ πάντα εἰς πίστιν ἀνῆγεν αὐτοὺς ἀκριβεστάτην, καὶ ἐπειδὴ πόλεμον ἄσπονδον εἶχον πρὸς Ἰουδαίους, διὰ τοῦτο καὶ πάλιν φησὶ πρὸς αὐτοὺς, εἰρήνη ὑμῖν ἀνάπαλιν δίδοται τῷ πολέμῳ· τήν τε ἐκ τῆς εἰρήνης παραμυθίαν, ταῖς δὲ γυναιξὶ χαρὰν εὐαγγελίζεται, διότι ἐν λύπαις τὸ γένος ἐκεῖνο ἦν, καὶ ταύτην ἐδέξατο πρώτην τὴν ἀρχὴν, καταλλήλως οὖν τοῖς μὲν ἄνδρασι διὰ τὸν πόλεμον εἰρήνην, ταῖς γυναιξὶ διὰ τὴν λύπην εὐαγγελίζεται χαράν.

Σευήρου Ἀντιοχείας. Ἐκεῖνο δ' ἄν τις εἰκότως ἐπαπορήσειε, πῶς ὁ Σωτὴρ τοῖς μαθηταῖς ὑποσχόμενος, τοῦτο μὲν διὰ τῶν Ἀγγέλων, τοῦτο δὲ καὶ δι' οἰκείας φωνῆς εἰς τὴν Γαλιλαίαν ἀφικομένοις ὀφθήσεσθαι, φθάνει τὴν ἐπαγγελίαν καὶ ἐν Ἱερουσαλὴμ κατὰ μὲν τὸν Λουκᾶν ἐν αὐτῇ τῇ ἡμέρᾳ τῆς ἀναστάσεως συνηθροισμένοις τοῖς ἕνδεκα, κατὰ δὲ τὸν Ἰωάννην ἐν αὐτῇ καὶ ἐν τῇ ὀγδόῃ ἡμέρᾳ ποιεῖται τὴν ἐπιφανίαν, στὰς ἐν μέσῳ καὶ λέγων, "εἰρήνη ὑμῖν," καὶ τῷ Θωμᾷ ψηλαφᾷν ἐνδιδοὺς ἑαυτόν. ἀλλὰ τοῦτο φιλανθρώπου φιλοτιμίας πλοῦτον παρίστησιν, οὐ ψεύδους ἔχει κατηγορίαν. Οὐ γὰρ εἶπεν ἐν τῇ Γαλιλαίᾳ ὄψονται μόνον, οὔτε μὴν ἐν Ἱερουσαλὴμ φανεὶς, οὐκ ὤφθη κατὰ τὴν Γαλιλαίαν, ὡς ἐπηγγείλατο. Τοῦτο γὰρ ἦν τοὺς οἰκείους ψεύσασθαι λόγους. εἰ δὲ καὶ ἀμφοτέροις ἐφάνη δεομένοις τῆς ἑαυτοῦ παρακλήσεως, ἐκφεύγει πᾶσαν κατηγορίαν, ἀμφότερα γενόμενα φιλανθρώπως καὶ ἀληθῶς. ἐμοὶ δὲ δοκεῖ πολλὴν ἔμφασιν τῷ εἰρημένῳ παρὰ τῷ Ματθαίῳ περὶ τῶν μαθητῶν τὸ "ἵνα ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν "κἀκεῖ με ὄψονται," πολλῶν γὰρ αὐτοῖς ἔσεσθαι μελλουσῶν ἐπιφανειῶν, πρὸς μίαν ἐξαίρετον παρὰ τὰς ἄλλας ἀποβλέπει τὴν τῆς ἐπαγγελίας, καθ' ἣν ἔμελλεν αὐτοῖς ἐπὶ τοῦ ὄρους φανήσεσθαι. τότε γὰρ προσεληλυθόσιν αὐτῷ καὶ προσκεκυνηκόσι τῶν ἀμφιβαλλόντων μετ' ἐξουσίας ἔφθη θεοπρεποῦς, "ἐδόθη μοι πᾶσα

“ἐξουσία” καὶ τὰ ἑξῆς. ἃ γὰρ εἶχε φυσικῶς ὡς Θεὸς, ταῦτα λέγεται λαμβάνειν ὡς γενόμενος ἄνθρωπος οἰκονομικῶς. Διὸ καὶ ἔλεγε, “δόξασόν με, Πάτερ, παρὰ σεαυτῷ τῇ δόξῃ ᾗ εἶχον πρὸ “τοῦ τὸν κόσμον εἶναι παρὰ σοί.”

Εὐσεβίου Καισαρείας. Πῶς κατὰ τὸν Λουκᾶν καὶ Ἰωάννην τοσαυτάκις ὀφθέντος τοῦ Ἰησοῦ τοῖς μαθηταῖς ἐν αὐτῇ τῇ Ἱερουσαλὴμ κατὰ τὸν Μάρκον καὶ τὸν Ματθαῖον, κελεύονται οἱ αὐτοὶ διὰ τῶν γυναικῶν εἰς τὴν Γαλιλαίαν ἀπελθεῖν, ὡς ἐκεῖ αὐτὸν ὀψόμενοι, ἀλλ᾽ οὐ μέλλοντες αὐτὸν θεωρεῖν ἐν τῇ Ἱερουσαλήμ; καὶ φαμὲν, ὅτι οἱ μὲν ἄλλοι δύο Εὐαγγελισταὶ τῶν ιβʹ ἦσαν τὸν χορὸν συμπληροῦντες, καὶ ἔφασαν ὦφθαι αὐτοῖς ἐν Ἱερουσαλὴμ κεκρυμμένοις, οἱ δὲ ἕτεροι δύο, ὁ Ματθαῖος καὶ Μάρκος οὐ τοῖς ιβʹ μόνον ἀλλὰ τοῖς ἑβδομήκοντα φανῆναι ἐν τῇ Γαλιλαίᾳ, καθὼς φησι καὶ ὁ Λουκᾶς ἐν τῷ Εὐαγγελίῳ, “μετὰ δὲ ταῦτα ἀνέδειξεν ὁ “Κύριος καὶ ἑτέρους ἑβδομήκοντα.” πλείους τοίνυν αἱ ὀπτασίαι καὶ διάφοροι γεγένηνται τοῖς μαθηταῖς τοῖς μετὰ τὴν ἀνάστασιν, καὶ οἱ μὲν τάσδε, οἱ δὲ τάσδε ἀναγράφουσι, καὶ οἱ μὲν τάδε εἰρηκέναι αὐτόν φασιν, οἱ δὲ τάδε, καὶ πεπραχέναι. Ἔτι δὲ ὅτι καὶ περὶ τοῦ αὐτοῦ κεφαλαίου λέγοντες, ἀναπληροῖ τὰ ὑπὸ τοῦ πρώτου λεχθέντα ὁ δεύτερος.

21 Διὰ δὲ τοῦ εἰπεῖν, “καθὼς ἀπέσταλκέ με ὁ Πατὴρ, κἀγὼ “πέμπω ὑμᾶς,” ὑψοῖ αὐτῶν τὴν διάνοιαν, καὶ δείκνυσι πολὺ τὸ ἀξιόπιστον, εἴγε μέλλοιεν αὐτοῦ τὸ ἔργον ἀναδέχεσθαι. Χρὴ δὲ σκοπῆσαι ὅτι οὐκ ἔτι παράκλησιν πρὸς τὸν Πατέρα γίγνεται, ἀλλ᾽ αὐθεντείᾳ δίδωσιν αὐτοῖς τὴν δύναμιν. Φησὶ γὰρ, “ἐνεφύ-“σησεν αὐτοῖς καὶ λέγει, λάβετε Πνεῦμα Ἅγιον.” Πῶς οὖν εἰπὼν, ἐὰν μὴ ἀπέλθῃ, ἐκεῖνος οὐ μὴ ἔλθῃ, τὸ Πνεῦμα δίδωσι. Τινὲς μέν φασιν, ὅτι οὐ τὸ Πνεῦμα ἔδωκε, κἂν δέ τις ἁμάρτοι καὶ τότε εἰληφέναι αὐτοῖς, λέγω δὴ ἐξουσίαν τινὰ καὶ χάριν πνευματικὴν, οὐχ ὥστε νεκροὺς ἐγείρειν, ἀλλ᾽ ὥστε ἀφιέναι ἁμαρτήματα. Διὸ καὶ ἐπήγαγε, “ὧν ἂν ἀφῆτε τὰς ἁμαρτίας” καὶ τὰ ἑξῆς, δεικνὺς ποῖον εἶδος ἐνεργείας δίδωσι· νῦν μὲν γὰρ ταύτῃ τῇ δυνάμει περιβάλλει, μετὰ δὲ τεσσαράκοντα ἡμέρας τὴν τῶν σημείων ἐνέργειαν παρέχει, διό φησι, “λήψεσθε δύναμιν ἐπελθόν-“τος” καὶ τὰ ἑξῆς, μάρτυρες δὲ διὰ τῶν σημείων ἐγίνοντο.

26 Πῶς δὲ πάντων συνηγμένων ὁ Θωμᾶς ἀπελιμπάνετο μόνος; φησὶ γὰρ, "Θωμᾶς εἷς ἐκ τῶν ιβ´," καὶ τὰ ἑξῆς, εἰκὸς μὲν[a] ἦν ἀπὸ τῆς διασπορᾶς ἤδη γενομένης μηδέπω αὐτὸν ἐπανελθεῖν· εἰπόντων δὲ αὐτῶν τῷ συμμαθητῇ, "ὅτι ἑωράκαμεν τὸν Κύριον," οὐ τοσοῦτον αὐτοῖς ἀπιστεῖν εἶπεν, "ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν "αὐτοῦ" καὶ τὰ ἑξῆς, ὅσον τὸ πρᾶγμα ἡγούμενος ἀδύνατον εἶναι, τουτέστι τὴν ἐκ νεκρῶν ἀνάστασιν· διὰ τοῦτο καὶ ἐγκαλεῖται· ὥσπερ γὰρ τὸ ἁπλῶς καὶ ὡς ἔτυχε πιστεύειν εὐκολίας ἐστὶν, οὕτω καὶ τὸ παρὰ τοῦ μέτρου περιεργάζεσθαι, παχυτάτης ὑπάρχει διανοίας, καὶ οὐδὲ τοῖς ὀφθαλμοῖς ἔφη πιστεύειν. οὐ γὰρ εἶπεν, "ἐὰν μὴ ἴδω" μόνον, ἀλλὰ καὶ "ἐὰν μὴ ψηλαφήσω," φησὶ, μή πω φαντασία τὸ ὁρώμενον ἦν.

Τίνος δὲ ἕνεκεν οὐκ εὐθέως φαίνεται αὐτῷ, ἀλλὰ μεθ' ἡμέρας ὀκτώ; φησὶ γὰρ, "καὶ μεθ' ἡμέρας ὀκτὼ," καὶ τὰ ἑξῆς· ὅπως μεταξὺ κατηχούμενον αὐτὸν ὑπὸ τῶν συμμαθητῶν καὶ τὰ αὐτὰ ἀκούοντα, καὶ εἰς πλείονα ἐκκαῆναι πόθον, καὶ πιστότερον πρὸς τὸ μέλλον γενέσθαι. Δεῖξαι δὲ θέλων ὁ δεσπότης ὅτι καὶ τότε παρῆν, ἡνίκα τὰ τῆς ἀπιστίας ῥήματα ἐφθέγγετο πρὸς τοὺς συμμαθητὰς ὁ Θωμᾶς, οὐ περιμένει παρ' ἐκείνου ἀκοῦσαί τι τοιοῦτον, ἀλλ' αὐτὸς προλαβὼν ἅπερ ἐπεθύμει πληροῖ. Καὶ γὰρ τοῖς ῥήμασιν ἐχρήσατο τοῖς αὐτοῦ καὶ σφόδρα ἐπιτιμητικῶς καὶ εἰς τὸ ἑξῆς παιδευτικῶς, εἰπὼν γὰρ ὅτι "φέρε τὸν δάκτυλόν σου" καὶ τὰ ἑξῆς, ἐπήγαγε, "καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πιστὸς," ὅθεν δῆλον ὅτι ἀπιστίας ἦν ἡ ἀμφιβολία.

29 Οὐκ ἐν τούτῳ δὲ μόνον ἐπετίμησεν, ἀλλὰ καὶ διὰ τῶν ἑξῆς. Ἐπειδὴ γὰρ ἐκεῖνος ἀνέπνευσε, πληροφορηθεὶς ἀνεβόησεν "ὁ "Κύριός μου καὶ ὁ Θεός μου·" λέγει αὐτῷ "ὅτι ἑώρακάς με "πεπίστευκας" καὶ τὰ ἑξῆς· τοῦτο γάρ ἐστι πίστεως, τὸ μὴ τὰ ὁρώμενα δέξασθαι· ἐνταῦθα δὲ οὐχὶ τοὺς μαθητὰς μακαρίζει μόνους, ἀλλὰ καὶ τοὺς μετ' ἐκεῖνον πιστεύοντας. ἄξιον δὲ διαπορῆσαι, πῶς σῶμα ἄφθαρτον τοὺς τύπους ἐδείκνυτο τῶν ἥλων καὶ ἁπτὸν ἐγένετο θνητῇ χειρί· ἀλλὰ μὴ θορυβηθῶμεν· συγκαταβάσεως γὰρ ἦν τὸ γινόμενον. Τὸ γὰρ οὕτω λεπτὸν καὶ κοῦφον ὡς καὶ κεκλεισμένον εἰσελθεῖν τῶν θυρῶν, παχύτητος πάσης ἀπήλλακτο, ἀλλ' ὥστε πιστευθῆναι τὴν ἀνάστασιν ταῦτα δείκνυται.

[a] εἰ κόσμος Cod.

Διὰ τοῦτο οὖν ἀνίσταται ἔχων τὰ σημεῖα τοῦ σταυροῦ, καὶ τρώγει διὰ τοῦτο· ὅθεν οἱ Ἀπόστολοι ἄνω καὶ κάτω τοῦτο σημεῖον ἐποιοῦντο τῆς ἀναστάσεως, λέγοντες, "οἵτινες συνεφάγομεν καὶ συνε-"πίνομεν αὐτῷ." Ὥσπερ γὰρ ἐπὶ τῶν κυμάτων περιπατοῦντα θεωροῦντες πρὸ τοῦ σταυροῦ, οὐ λέγομεν ἄλλης φύσεως τὸ σῶμα ἐκεῖνο, ἀλλ' ἢ τῆς ἡμετέρας, οὕτω μετὰ τὴν ἀνάστασιν αὐτὸ ὁρῶντες τοὺς τύπους ἔχον, οὐκ ἐροῦμεν αὐτὸ φθαρτὸν εἶναι λοιπόν· διὰ γὰρ τὸν μαθητὴν ταῦτα ἐδείκνυτο.

30 Περὶ ποίων δὲ σημείων νῦν λέγει ὁ Εὐαγγελιστὴς, ὅτι "πολλὰ μὲν οὖν καὶ ἄλλα," καὶ τὰ ἑξῆς; ἐμοὶ δοκεῖ τὰ μετὰ τὴν ἀνάστασιν λέγειν σημεῖα, διὸ καί φησιν ἐνώπιον τῶν μαθητῶν αὐτοῦ, καὶ γὰρ μόνοις αὐτοῖς συναλιζόμενος ἐφαίνετο μετὰ τὴν ἀνάστασιν. οὐ μόνον δὲ τοῦτο ὁ Εὐαγγελιστὴς, ἀλλ' οὐδὲ οἱ λοιποὶ πάντες πάντα εἶπον, ἀλλ' ὅσα ἱκανὰ ἦν πρὸς πίστιν ἐφελκύσασθαι τοὺς ἀκούοντας· ὅθεν δηλονότι οὐ φιλοτιμίας ἕνεκεν ἔγραψαν ἅπερ ἔγραψαν, ἀλλὰ τοῦ χρησίμου μόνου, καθὼς καὶ τὸ ἐπαγόμενον δηλοῖ, ὅτι "ταῦτα δὲ γέγραπται, ἵνα πιστεύσητε," καὶ τὰ ἑξῆς. κοινῇ δὲ πρὸς τὴν φύσιν διαλέγεται, δηλῶν ὅτι οὐκ ἐκείνῳ τῷ πιστευομένῳ, ἀλλ' ἡμῖν αὐτοῖς τὰ μέγιστα πιστεύοντες χαριζόμεθα.

Σευήρου Ἀπολ. Μᾶλλον ὡς ἐξ ὧν εἶπε πώποτε[b] τῶν μαθητῶν αὐτοῦ ὧν ἐποίησεν αὐτοῖς μόνοις φαινόμενος μετὰ τὴν ἀνάστασιν φησίν. ὥσπερ γὰρ πρὸ τῆς ἀναστάσεως ἐποίησε πολλὰ, ἵνα πιστευθῇ ὅτι υἱὸς ἦν τοῦ Θεοῦ· οὕτως καὶ μετὰ τὴν ἀνάστασιν ἐνώπιον μόνων τῶν μαθητῶν, ἵνα πιστεύσωσιν ὅτι ἀνέστη.

1 Τίνος ἕνεκεν ἐμνήσθη τοῦ τόπου τῆς θαλάσσης, φημὶ τῆς Τιρεριάδος, ὅτι ἐκεῖ αὐτοῖς ἐφάνη; δεῖξαι θέλων ὅτι πλέον ἀφεῖλε τοῦ φόβου, ὡς λοιπὸν αὐτοὺς καὶ προσκύπτειν τῆς οἰκίας πανταχοῦ περιέναι, καὶ γὰρ ἀπέχει διάστημα ἡ θάλασσα αὕτη τῶν Ἱεροσολύμων. Δείκνυται δὲ ἐκ τούτου ὅτι οὐχ ἑωρᾶτο, εἰ μὴ συγκατέβη διὰ τὸ λοιπὸν ἄφθαρτον εἶναι τὸ σῶμα καὶ ἀκήρατον. Ἐπειδὴ δὲ οὔτε αὐτοῖς συνεχῶς συνῆν, οὔτε τὸ Πνεῦμα τὸ Ἅγιον δοθὲν ἦν, οὔτε ἐγκεχειρισμένοι τότε ἐτύγχανον· διὰ τοῦτο οὐδὲν ἔχοντες πράττειν οἱ περὶ Πέτρον καὶ Ἰωάννην τὴν οἰκείαν τέχνην

[b] Fors. ἐνώπιον. sed plura desunt.

μετίεσαν. Οἱ δὲ λοιποὶ μαθηταὶ συνείποντο διὰ τὸ συνδεδέσθαι
λοιπὸν ἀλλήλοις· ἐπιστὰς δὲ αὐτοῖς κάμνουσι καὶ ταλαιπωρουμέ-
νοις, οὐκ εὐθέως ἑαυτὸν δείκνυσι· βουλόμενος δὲ εἰς διάλεξιν ἐλθεῖν·
ὅθεν καὶ φησὶ, "παιδία, μή τι προσφάγιον ἔχετε;" ὡς μέλλων
τι ὠνήσασθαι παρ' αὐτῶν. ὡς δὲ ἀνένευσαν μηδὲν ἔχειν, καὶ ἐκέ-
λευσεν αὐτοῖς βαλεῖν εἰς τὰ δεξιὰ, καὶ βαλόντες ἐπέτυχον τῆς
ἄγρας, "λέγει ὁ μαθητὴς ἐκεῖνος ὃν ἠγάπα ὁ Ἰησοῦς τῷ Πέτρῳ,"
καὶ τὰ ἑξῆς. πάλιν οὖν διὰ τούτων τὰ ἰδιώματα τῶν μαθητῶν,
εἰπεῖν δὲ μᾶλλον τὸν οἰκεῖον ἐπιδείκνυνται τρόπον οἱ μαθηταὶ, ὅ τε
Πέτρος καὶ Ἰωάννης, ὁ μὲν γὰρ θερμότερος, ὁ δὲ ὑψηλότερος ἦν,
7 καὶ ὁ μὲν ὀξύτερος, ὁ δὲ διωρατικώτερος. Διὰ τοῦτο ὁ μὲν Ἰωάν-
νης πρῶτος ἐπέγνω τὸν Κύριον Ἰησοῦν, ὁ δὲ Πέτρος πρῶτος ἦλθε
πρὸς αὐτὸν, τὸ μὲν οὖν διασώσασθαι τὴν αἰδῶ ἐπεδείξατο, τὸ δὲ
ῥίψαι ἑαυτὸν εἰς τὴν θάλασσαν τὸν πόθον ἐνέφηνεν· οὐδὲ γὰρ ἐκαρ-
τέρησε τῷ πλοίῳ πρὸς αὐτὸν ἐλθεῖν, ἀλλὰ νηχόμενος παρεγένετο·
τὴν δὲ ἀνθρακιὰν ἣν εἶδον κειμένην, καὶ τὸ ὀψάριον τὸ ἐπικείμενον
καὶ τὸν ἄρτον, οὐκ ἐξ ὑποκειμένης ὕλης εἰργάσατο, ἀλλ' ἐπὶ τὸ
θαυμαστότερον ἄγει τὰ σημεῖα, δεικνὺς καὶ ἐξ ὕλης ὑποκειμένης,
ἡνίκα εἰργάζετο πρὸ τοῦ σταυροῦ, διά τινα οἰκονομίαν τοῦτο ἐποίει·
ἐκέλευε δὲ ἐκ τῶν ὀψαρίων ὧν ἐπίεσαν ἐνεγκεῖν· δεικνὺς ὅτι τὸ
ὁρώμενον οὐκ ἦν φάντασμα, καὶ ὅτι μὲν αὐτὸς ἦν ᾔδεσαν, τὴν δὲ
μορφὴν ἀλλοιωτέραν ἰδόντες καὶ πολλῆς ἐκπλήξεως γέμουσαν,
σφόδρα ἦσαν καταπεπληγμένοι, καὶ ἐβούλοντο μὲν ἐρωτῆσαι, οὐκ
ἐτόλμων δὲ, οὐδὲ ἐθάρρουν, οὐδὲ ἤρχοντο πρὸς αὐτὸν διὰ λόγον
λοιπὸν, ἀλλὰ μετὰ σιγῆς καὶ δέους πολλοῦ καὶ αἰδοῦς καθέζοντο,
προσέχοντες εἰς αὐτόν.

Σευήρου πρὸς Σέργιον ἀρχιεπίσκοπον Ἐπιστολῆς. Τὸ δὲ τοὺς περὶ Πέτρον καὶ Ἰωάννην, μετὰ τὴν ἀνάστασιν ἐπιφανέντος αὐτοῖς τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ προστεταχότος βαλεῖν τὸ δίκτυον εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου, καὶ σαγηνεῦσαι πλῆθος ἰχθύων μεγάλων πληρούντων τὸν ἑκατὸν πεντήκοντα τριῶν ἀριθμὸν, ὡς ἐν βραχεῖ φρᾶσαι, ταύτην ἔχει τὴν ἅπλωσιν. ἱστόρησε γὰρ τὸ Εὐαγγέλιον ὡς κατ' ἐκείνην τὴν νύκτα κεκμηκότες ἄγαν, οὐδὲν ὅλως ἐθήρευσαν, τοῦτο ὑπαινιττομένης τῆς ἱστορίας ὑμῖν εἰς πνευματικὴν καὶ νοητὴν μετατιθεμένης ἀγωγὴν, ὡς πρὸ τῆς τοῦ Σωτῆρος ἐπιδημίας, νὺξ ἦν κατὰ τόνδε τὸν βίον·

ἔρημος γὰρ ὑπῆρχε τῆς τοῦ Θεοῦ γνώσεως τὰ ἀνθρώπινα τῇ λατρείᾳ προσηλωμένα τῇ τῶν δυσωνύμων θεῶν. ἡνίκα δὲ πρωΐα τις καὶ ὄρθρος ἐγένετο τοῦ Σωτῆρος ἐπιδημήσαντος, καὶ ἀνισχόντος καὶ ἐπιλάμψαντος τοῖς ἐπὶ γῆς, οἷα δικαιοσύνης ἡλίου· τοῦτο γάρ φησι τὸ γράμμα τὸ ἱερὸν, τότε τὸ ἀποστολικὸν δίκτυον ἐχαλάσθη, καὶ πολλῶν ἀνθρώπων ἄγραν ἐθήρευσε, καὶ τὴν δεξιὰν ἐκληρώσατο διὰ τοῦτο μερίδα. Μωϋσῆς γὰρ καὶ οἱ προφῆται τὸ θηρατικὸν δίκτυον χαλάσαντες κατὰ τὴν παρῳχηκυῖαν νύκτα, τὸν Ἰσραὴλ ἓν ἔθνος ἐθήρευσαν, τοῦ δικτύου πολλάκις ἀποπηδῶντα καὶ τοῖς δαιμονίοις λατρεύοντα, καὶ ἐν ἴσῳ τοῦ μηδὲ τεθηρᾶσθαι τὸ παράπαν νοούμενον. διὸ καὶ τοῖς Ἀποστόλοις τῆς προτιμήσεως τῆς ἐκ δεξιῶν παρεχώρησαν, αὐτοὶ τὸν εὐώνυμον τόπον ἐπέχοντες, τὸν ἐκ τῆς παρ' ἡμῖν συνηθείας ὑποβεβηκότα κατὰ τιμήν.

Ἀμμωνίου πρεσβυτέρου. Ἕλκει τὴν πνευματικὴν σαγήνην
ὁ Πέτρος σὺν τοῖς ἄλλοις· προσάγων τῷ Χριστῷ τὴν ἄγραν·
νοοῦνται δὲ οἱ ἑκατὸν τὸ τῶν ἐθνῶν πλήρωμα, οὐδὲ πεντήκοντα τὸ
κατ' ἐκλογὴν τῶν ἐξ Ἰσραὴλ σωθὲν γένος· οἱ δὲ τρεῖς τῆς Ἁγίας
Τριάδος τὴν δήλωσιν ἐπαινοῦσιν, ἧς εἰς δόξαν ἡ τῶν πιστῶν ζωὴ
12 τῶν σαγηνευθέντων νοεῖται συνεξαγμένως. Τὸ "δεῦτε, ἀριστεύ-
"σατε" αἴνιγμα ἔχει ὁ λόγος, ὅτι μετὰ τοὺς πόνους διαδέξεται
τοὺς ἁγίους ἀνάπαυσις καὶ τρυφὴ καὶ ἀπόλαυσις. Οὐκ ηὔξατο
νῦν κλῶν τὸν ἄρτον, δεικνὺς ὅτι συγκαταβάσεως ἦν τὰ πρῶτα, τὰ
ἀνθρώπινα δὲ ποιεῖ πρὸ τοῦ πάθους· εἰ δὲ ὁ Λουκᾶς εἶπεν, ὅτι καὶ
αὐτὸς ἔφαγεν, οὐχ ὡς ἔτι τῆς σαρκὸς δεομένης, ἀλλὰ πρὸς ἐπί-
δειξιν τῆς ἀναστάσεως.

Ἡ θεωρία τῆς περικοπῆς ταύτης οὕτως ἔχει, οἱ πρὸ τῶν μαθητῶν ἐν σκοτοδινίᾳ ὄντες τῆς δαιμονιώδους πλάνης, οὐδένα ἔπεισαν, ἢ πάνυ ὀλίγους, ὅπερ ἐστὶν ἀντὶ οὐδενὸς, ἀλλ' οὐδὲ οἱ τύποις καὶ σκιᾷ λατρεύοντες, ὅπου καὶ αὐτοὶ τοῦ νόμου καταφρονήσαντες ἐντάλμασιν ἐπείθοντο ἀνθρωπίνοις. ἀλλὰ καὶ ἡ τῶν ἐθνῶν πληθὺς ἀσαγήνευτος ἦν, μὴ δεχομένη τὰ θεῖα μαθήματα. ὅτε δὲ ἦλθεν ὁ τῆς δικαιοσύνης ἥλιος, ὁ πεινῶν τὴν τῶν ἀνθρώπων σωτηρίαν, οὐδὲν εὗρε παρὰ τοῖς ἀνθρώποις βρώσιμον, καὶ λέγει τὸν εὐαγγελικὸν προβάλλεσθαι λόγον, ἥτις ἐστὶν ἡ δεξιὰ διδασκαλία, πρὸς ἣν ὁ νόμος καὶ οἱ προφῆται προβαλλόμενοι ἀριστερὰ νοεῖται· καὶ τῇ χάριτι τοῦ ἐπιτάξαντος εἵλκυσαν πολλούς· ὑπερβαίνει γὰρ τὸ

14 ὑπὲρ τοῦτο θαῦμα τὴν τῶν Ἀποστόλων ἰσχύν. Διὰ τί εἶπε,
"τοῦτο ἤδη τρίτον ἐφανερώθη ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ
"ἐγερθεὶς ἐκ νεκρῶν;" δεῖξαι θέλων ἐκ τούτου ὅτι οὐ συνεχῶς
ἐπεχωρίαζεν αὐτοῖς οὐδὲ ὁμοίως· καὶ ἐνταῦθα μὲν οὐ λέγει ὅτι
ἔφαγε μετ' αὐτῶν· ὁ δὲ Λουκᾶς ἀλλαχοῦ αὐτό φησιν, ὅτι συνα-
λιζόμενος αὐτοῖς ἦν· τὸ δὲ πῶς, οὐχ ἡμέτερον εἰπεῖν. τρόπῳ γάρ
τινι παραδοξοτέρῳ ταῦτα ἐγένετο, οὐχ ὡς τῆς φύσεως δεομένης
βρωμάτων, ἀλλὰ συγκαταβάσεως πρὸς ἀπόδειξιν τῆς ἀναστάσεως
γενόμενον.
15 Τίνος δὲ ἕνεκεν τοὺς ἄλλους παραδραμὼν τῷ Πέτρῳ φησὶ,
"Σίμων Ἰωνᾶ, ἀγαπᾷς με πλέον τούτων;" καὶ ἐπειδήπερ ἔγκρι-
τος τῶν Ἀποστόλων ἦν, καὶ στόμα τῶν μαθητῶν, καὶ κορυφὴ τοῦ
χοροῦ, ἅμα καὶ δεικνὺς αὐτῷ ὅτι χρὴ θαρρεῖν ὡς τῆς ἀρνήσεως
ἐξειλημμένης, καὶ τὴν μὲν ἄρνησιν οὐ προφέρει οὐδὲ ὀνειδίζει, λέγει
δὲ ὅτι εἰ φιλεῖς με, προΐστασο τῶν ἀδελφῶν, καὶ τὴν θερμὴν ἀγά-
πην ἣν διὰ πάντων ἐπεδείκνυσο, καὶ νῦν δεῖξον. Ἐπεὶ οὖν ἅπαξ
ἐρωτηθεὶς καὶ δεύτερον αὐτὸν τὸν ἀπόρρητα τῆς καρδίας εἰδότα
μάρτυρα ἐκάλεσεν· εἰς δὲ τὸ, φησὶ, "Κύριε, σὺ πάντα οἶδας, σὺ
"γιγνώσκεις ὅτι φιλῶ σε," ἐγένετο βελτίων καὶ σωφρονέστερος,
οὐκ αὐθαδιαζόμενος λοιπὸν, οὐδὲ ἀντιλέγων· διὰ γὰρ τοῦτο ἐτα-
ράχθη, μήποτε αὐτὸς μὲν νομίζει φιλεῖν, οὐ φιλεῖ δὲ, ὥσπερ καὶ
πρότερον, πολλὰ διϊσχυριζόμενος ἠλέγχετο ὕστερον. τρίτον δὲ
αὐτὸν ἐρωτᾷ καὶ τρίτον ἐπιτάττει τὰ αὐτὰ, δεικνὺς ὡς οὐ τιμᾶται
τὴν προστασίαν τῶν οἰκείων προβάτων· εἰπὼν δὲ αὐτῷ περὶ τῆς
εἰς αὐτὸν ἀγάπης προαγορεύει αὐτῷ καὶ τὸ μαρτύριον, ὅπερ ἔμελ-
λεν ὑπομένειν, λέγων "ὅτε ἦς νεώτερος," καὶ τὰ ἑξῆς· πῶς δὲ
τοῦτο θέλοντος αὐτοῦ τοῦ Πέτρου καὶ ἐπιθυμοῦντος, εἶπεν αὐτῷ ὁ
Χριστὸς τὸ "ὅπου οὐ θέλεις;" τῆς φύσεως λέγει τὸ συμπαθὲς καὶ
τῆς σαρκὸς τὴν ἀνάγκην, καὶ ὅτι ἄκουσα ἀπορρήγνυται τοῦ σώμα-
τος ἡ ψυχὴ, τοῦτο[z] τοῦ Θεοῦ οἰκονομήσαντος. διὰ δὲ τοῦ εἰπεῖν "ὅτε
"ἦς νεώτερος," καὶ πάλιν "ὅταν δὲ γηράσῃς," δείκνυσιν ὅτι οὔτε
νέος ἦν τότε οὔτε γεγηρακὼς, ἀλλὰ τέλειος ἀνήρ. οὐκ εἶπε δὲ
ποίῳ θανάτῳ ἀποθανεῖται, ἀλλὰ, "ποίῳ θανάτῳ δοξάσει τὸν Θεόν·"
ὅπως μάθωμεν, ὅτι τὸ παθεῖν ὑπὲρ Χριστοῦ, δόξα τοῦ πάσχοντός

[z] τὸ Cod.

ἐστι, καὶ τιμὴ καὶ ἔπαινος· διὰ δὲ τοῦ εἰπεῖν, "ἀκολούθει μοι," τὸ κηδεμονικὸν πάλιν αἰνίττεται καὶ τὸ σφόδρα πρὸς αὐτὸν οἰκείως διακεῖσθαι. Εἰ δὲ λέγοι τις, πῶς οὖν Ἰάκωβος τὸν θρόνον ἔλαβε τῶν Ἱεροσολύμων; ἐκεῖνο ἂν εἴποιμεν ὅτι τοῦτον τῆς οἰκουμένης ἐχειροτόνησε διδάσκαλον.

Ἰσιδώρου Πηλουσιώτου. Ἡ τριπλὴ τοῦ Κυρίου πρὸς Πέτρον περὶ ἀγάπης ἐρώτησις οὐκ ἔστιν ἀγνοίας τοῦ δεσπότου ὑπόνοια· μὴ οὕτω τινὲς παραλογιζέσθωσαν, ἀλλὰ τὸ τριπλοῦν τῆς ἀρνήσεως τῷ τριπλῷ τῆς συγκαταθέσεως ὁ ἀγαθὸς ἰατὴρ ἐξωστράκισε.

Ἀμμωνίου πρεσβυτέρου. Ἀναζωσπυρῆσαι αὐτὸν βουλόμενος ἐκ τῆς κατὰ τὴν ἄρνησιν ῥαθυμίας, ἐρωτᾷ αὐτὸν, καὶ διὰ τῶν τριῶν ἐρωτήσεων καὶ καταθέσεων ἐξαλείφει τὰς τρεῖς φωνὰς τῆς ἀρνήσεως, καὶ διὰ λόγων ἐπανορθοῖ τὰ ἐν λόγοις γενόμενα πταίσματα· ἔθος δὲ γέγονεν ἐκ τούτου τρεῖς ὁμολογίας ἀπαιτεῖσθαι τοὺς μέλλοντας βαπτισθῆναι.

Τοῦ Χρυσοστόμου. Ἐπειδὴ γὰρ ὁ Πέτρος διὰ παντὸς ἐβούλετο εἶναι ἐν τοῖς ὑπὲρ αὐτοῦ κινδύνοις, θάρρει, φησὶν, οὕτω γὰρ ἐμπλήσω σου τὴν ἐπιθυμίαν, ὥστε ἅπερ οὐκ ἔπαθες νέος ὢν, ταῦτά σε δεῖ παθεῖν γεγηρακότα.

Θεοδώρου Ἡρακλείας. Ἄξιον καὶ ἐν τούτῳ θαυμάσαι τὴν τοῦ Κυρίου πρόγνωσιν πρὸ τοσούτων ἐτῶν προειπόντος αὐτῷ, οὐ μόνον ὅτι μάρτυς [a] γενήσεται, ἀλλ' ὅτι καὶ διὰ σταυροῦ ὑποστήσεται τὴν ἀναίρεσιν. Ἡ γὰρ ἔκτασις τῶν χειρῶν, καὶ ὁ δεσμὸς τῆς ζώνης, οὐδὲν ἕτερον ἐδήλου ἢ τὸ σχῆμα τοῦ σταυροῦ. Βούλεται δὲ αὐτὸν ἀκολουθεῖν αὐτῷ, μιμούμενον αὐτοῦ ἐν πᾶσι τὴν κατ' εὐσέβειαν πολιτείαν. Οἱ γὰρ κατ' ἴχνος τῆς ἐκείνου βαίνοντες ἀρετῆς, καὶ κατὰ δύναμιν ὁμοιούμενοι αὐτοῦ τὴν τῆς δικαιοσύνης ἀκρίβειαν, οὗτοι αὐτῷ τὸ τηνικαῦτα ἀκολουθήσωσιν ὁδηγοῦντι εἰς τὴν κατ' οὐρανὸν βασιλείαν.

Ἀναστασίου Ἀντιοχείας. "Ἐπιστραφεὶς δὲ ὁ Πέτρος βλέ-"πει τὸν μαθητὴν," καὶ τὰ ἑξῆς, μεγάλων ὑπὸ τοῦ Σωτῆρος δεδωρημένων τῷ Πέτρῳ, καὶ οἷς οὐδὲν ἕτερον ἐξισωθῆναι δυνατόν ἐστι. Τί γὰρ τοῦ ἀκολουθεῖν Χριστῷ τιμιώτερον; καὶ τὸ ἐξιχνιάζειν τὰς αὐτοῦ πορείας γλυκύτερον ἢ ποθεινότερον; εἰδὼς οὖν ὁ Πέτρος

[a] μρ̄ Cod.

τὸ μέγεθος τῆς δεδομένης αὐτῷ χάριτος, καὶ μεμνημένος τῆς σχέσεως ἧς εἶχεν ὁ Ἰησοῦς πρὸς Ἰωάννην, ὅτι παρὰ πάντας ἀγαπώμενος ἐλέγετο, καὶ τοσοῦτον ὅσον μόνος ἐνόμισεν ἀναπεσεῖν ἐπὶ τὸ στῆθος τοῦ Ἰησοῦ, δειπνοῦντος οὖν αὐτοῦ αὐτοῖς πρὸ τοῦ πάθους, καὶ ἐπηρώτησεν αὐτὸν, λέγων, "τίς ἐστιν ὁ παραδιδούς "σε;" τοῦτον οὖν ὁ Πέτρος ἰδὼν ἀκολουθοῦντα, φησὶ περὶ αὐτοῦ πρὸς τὸν Ἰησοῦν, καὶ μεγάλα καὶ δεδοξασμένα περὶ ἐμοῦ λελάληκας, καὶ ὧν οὐδεὶς ἦν ἄξιος εἰ μὴ σὺ, δι' ἀγαθότητα πολλὴν ἐδωρήσω· οὗτος δὲ ὁ συμμαθητὴς, ὃν ἠγάπας; τί, ἀποκρίνεται ὁ Ἰησοῦς, καὶ λέγει αὐτῷ· "ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, "τί πρὸς σέ; σύ μοι ἀκολούθει," τὸν ἐμὸν δηλονότι μιμούμενος θάνατον, ὑπὲρ ἧς μέλλεις κηρύσσειν ἀληθείας· τοῦτον δὲ τὸν φιλούμενον μαθητὴν, "ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρός "σε;" τουτέστιν ἐν τῇ παρούσῃ ζωῇ, σὺ μοὶ ἀκολούθει.

20 Τίνος ἕνεκεν ἀνέμνησεν ἡμᾶς ὁ Εὐαγγελιστὴς τῆς ἀνακλίσεως ἐκείνης; φησὶ γὰρ, στραφεὶς ὁ Πέτρος βλέπει τὸν μαθητὴν, καὶ τὰ ἑξῆς· οὐδ' ἁπλῶς, οὐδ' ὡς ἔτυχεν, ἀλλὰ δεικνὺς, ὅσην ὁ Πέτρος ἔσχε τὴν παρρησίαν μετὰ τὴν ἄρνησιν· ὁ γὰρ πρὸ τούτου μὴ τολμῶν ἐρωτῆσαι, ἀλλ' ἑτέρῳ ταῦτα ἐπιτρέπων, οὗτος καὶ τὴν προστασίαν ἐνεπιστεύθη τῶν ἀδελφῶν, καὶ οὐ μόνον ἑτέρῳ τὰ καθ' ἑαυτὸν οὐκ ἐπιτρέπει, ἀλλὰ καὶ αὐτὸς ὑπὲρ ἑτέρου προσάγει τῷ διδασκάλῳ πεῦσιν· σφόδρα γὰρ ἐφίλει τὸν Ἰωάννην ὁ Πέτρος· καὶ τοῦτο ἐκ τῶν μετὰ ταῦτα δῆλον, καὶ διὰ τοῦ Εὐαγγελίου δὲ πάντως δείκνυται τούτων ὁ σύνδεσμος καὶ ἐν ταῖς Πράξεσιν. Ἐπεὶ οὖν μεγάλα τῷ Πέτρῳ προεῖπεν ὁ Χριστὸς, καὶ τὴν οἰκουμένην ἐνεχείρισεν αὐτῷ, καὶ τὸ μαρτύριον προανεφώνησε, βουλόμενος καὶ τοῦτον λαβεῖν κοινωνὸν, φησὶν, "οὗτος δὲ τί;" ὡσανεὶ ἔλεγεν, οὗτος αὐτὴν ἡμῖν ὁδὸν ἥξει; ὅθεν ἐπειδὴ σφόδρα κηδόμενος ταῦτα ἔλεγε, καὶ μὴ βουλόμενος αὐτοῦ διασπασθῆναι, διαιρῶν αὐτοὺς τῆς ἀκαίρου συμπαθείας, λέγει αὐτῷ, "ἐὰν αὐτὸν θέλω "μένειν ἕως ἔρχομαι, τί πρός σε;" τουτέστιν, ἔργον ἐνεχειρίσθης, αὐτὸ σκόπει καὶ ἄνυε καὶ ἄθλει. Τί γὰρ εἰ καὶ μὴ βούλομαι τοῦτον μεῖναι ἐνταῦθα, σὺ τὰ σεαυτοῦ σκόπει καὶ μερίμνα. Ἐπειδὴ γὰρ ἔμελλον τῆς οἰκουμένης ἐπιτροπὴν ἀναδέχεσθαι, οὐκ ἔδει λοιπὸν συμπεπλέχθαι ἀλλήλοις· κατανοήσωμεν δὲ κἀνταῦθα

τὸ ἄτυφον τοῦ Εὐαγγελιστοῦ· εἰπὼν γὰρ τὴν δόξαν τῶν μαθητῶν ἣν ἔσχον περὶ αὐτοῦ, τουτέστιν, ὅτι οὐκ ἀποθνήσκει, διορθοῦται αὐτὴν ὡς οὐ συνεωρακότων αὐτῷ, ὅπερ εἶπεν ὁ Χριστός· ἐπήγαγε γὰρ ὅτι “οὐκ εἶπεν αὐτῷ ὅτι οὐκ ἀποθανεῖται,” καὶ τὰ ἑξῆς.

24 Τί δήποτε τῶν ἄλλων Εὐαγγελιστῶν οὐδενὸς τοῦτο πεποιηκότος, λέγω δὴ αὐτοῦ μαρτυρήσαντος, οὗτος δεύτερον ἑαυτῷ μαρτυρεῖ λέγων, “οὗτός ἐστιν ὁ μαθητὴς ὁ μαρτυρῶν περὶ τούτων;” ὁ γὰρ γράψας ταῦτα λέγεται ὕστερος πρὸς τὸ γράφειν ἐλθεῖν, τοῦ Χριστοῦ κινήσαντος αὐτὸν ἐπὶ τοῦτο καὶ διεγείραντος. Διὰ τοῦτο οὖν καὶ δείκνυσιν αὐτοῦ τὴν ἀγάπην, συνεχῶς αἰνιττόμενος τὴν αἰτίαν, ἀφ' ἧς ἐπὶ τὸ γράφειν ὥρμησεν.

Ὁ δεσπόζων ἐν τῇ δυναστείᾳ αὐτοῦ τοῦ αἰῶνος, καὶ τῆς ζωῆς τῶν ἀνθρώπων ταμίας, τὸ ἐνδεχόμενον ἔφη περὶ Ἰωάννου πρὸς Πέτρον, οὐχ ὅτι οὐκ ἀποθνήσκει, καθὼς ἐν τοῖς ἀδελφοῖς ἠγγέλθη περιηχηθεὶς ὁ λόγος· πᾶς γὰρ ὅστις διὰ γενέσεως ῥύπος εἰσελήλυθεν εἰς τὸν κόσμον, ἀνάγκη πάντως τοῦτον διὰ θανάτου τὴν ζωὴν ἀποθέσθαι· οὐκ εἶπεν οὖν ὅτι οὐκ ἀποθνήσκει, ἀλλ' ὅτι θέλοντος αὐτοῦ, δηλονότι τοῦ Ἰησοῦ, διαρκέσει ἕως τῆς αὐτοῦ παρουσίας ὁ Ἰωάννης. Οὐδὲν γὰρ τῇ δυνάμει τοῦ πατρὸς ἀδύνατον· ἴσως δὲ καὶ περὶ αὐτοῦ λέγει, περὶ ἧς προεῖπεν αὐτοῖς, ὅτι πορεύομαι ἑτοιμάσαι τόπον ὑμῖν, καὶ πάλιν, ἔρχομαι καὶ παραλήψομαι ὑμᾶς, “ἵνα ὅπου εἰμὶ ἐγὼ, καὶ ὑμεῖς ἦτε μετ' ἐμοῦ.” τὰ γὰρ καθ' ἕκαστον τῶν ἀξίων παραγίνεται, καὶ παραλαμβάνει πρὸς ἑαυτὸν τοὺς πάντα τὸν βίον ἀνατεθεικότας αὐτῷ.

Τὸ δὲ “οἴδαμεν ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ,” φησὶν, ἐπειδὴ πᾶσι παρῆν, καὶ οὐδὲ σταυρουμένου τοῦ Χριστοῦ ἀπελιμπάνετο, ἀλλὰ γὰρ καὶ τὴν μητέρα ἐνεχειρίσθη, ἅπερ ἅπαντα σημεῖα τῆς εἰς αὐτὸν ἀγάπης ἦν, καὶ τοῦ μετὰ ἀκριβείας εἰδέναι πάντα. Εἰ γὰρ μὴ πιστεύουσιν οἱ πολλοὶ, ἔξεστιν ἀπὸ τοῦ εἰρημένου αὐτοῖς πιστεῦσαι. λέγει γὰρ, “ἔστι δὲ καὶ ἄλλα “πολλὰ ἃ ἐποίησεν ὁ Ἰησοῦς,” καὶ τὰ ἑξῆς· ὅθεν δηλονότι οὐκ ἂν ἐχαρισάμην, φησὶν, ὁ γὰρ τοσούτων ὄντων, οὐδὲ τοσαῦτα εἶπεν ὅσα οἱ λοιποὶ, ἀλλὰ τούτων μὲν τὰ πλείονα παραλιπὼν, τὰς δὲ ἐπιβουλὰς τὰς Ἰουδαϊκὰς, τὰς καταλεύσεις, τὸ μῖσος, τὰς ὕβρεις, τὰς λοιδορίας εἰς μέσον προθεὶς, εὔδηλον ὅτι οὐκ ἂν ἐχαρισάμην·

τὸν γὰρ χαριζόμενον τοὐναντίον ἔδει ποιεῖν, τὰ μὲν ἐπονείδιστα ἀποκρύπτεσθαι, τὰ δὲ λαμπρὰ προτιθέναι· εἰ δὲ τοσαῦτα ἔφησε γεγενῆσθαι, μηδεὶς θαυμαζέτω, ἀλλ᾽ ἐννοήσας τὴν ἄφατον τοῦ ποιοῦντος δύναμιν, δεχέσθω μετὰ πίστεως τὸ εἰρημένον. ὥσπερ γὰρ ἡμῖν εὔκολον φθέγγεσθαι, οὕτω τῷ δεσπότῃ Χριστῷ, μᾶλλον δὲ πολλῷ ῥᾷον, ποιεῖν ἅπερ εἰργάζετο· ἤρκει γὰρ θελῆσαι μόνον, καὶ πάντα εἵπετο. προσέχωμεν τοίνυν ἀκριβῶς τοῖς εἰρημένοις, καὶ μὴ διαλείπωμεν ἀναπτύσσοντες αὐτὰ καὶ διερευνώμενοι. Ἀπὸ γὰρ τῆς συνεχοῦς ἐντεύξεως τὸν βίον ἑαυτῶν ἐκκαθᾶραι δυνησώμεθα, ἵνα καὶ διὰ τῆς τῶν κακῶς ἀπαλλαγῆς, καὶ διὰ τῆς τῶν ἀγαθῶν ἐργασίας, τελειωθέντες ἐπιτύχωμεν τῶν αἰωνίων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ παναγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

SUPPLEMENTUM

ET

VARIETAS LECTIONIS

AD CAT. IN EVANG. S. LUCÆ

E CODD. BODL. B. ET L.

Ἑρμηνεία Διαφόρων εἰς τὸ κατὰ Λουκᾶν Ἅγιον Εὐαγγέλιον.

α΄. Ὅτι οἱ μὲν ἄλλοι Εὐαγγελισταὶ ἐξ αὐτῶν ἄρχονται τῶν πραγμάτων· ὁ δὲ Ἅγιος Λουκᾶς καὶ προοιμίοις κέχρηται.

β΄. Περὶ Ζαχαρίου τοῦ πατρὸς τοῦ προδρόμου.

γ΄. Περὶ τοῦ εὐαγγελισμοῦ.

δ΄. Περὶ τοῦ ἀσπασμοῦ τῆς Ἐλισάβετ.

ε΄. Περὶ τῆς ἀπογραφῆς.

ς΄. Περὶ τῶν ἀγραυλούντων ποιμένων.

ζ΄. Περὶ Συμεών.

η΄. Περὶ Ἄννης τῆς προφητίδος, καὶ περὶ τοῦ δωδεκαετῆ εἶναι τὸν Χριστόν.

θ΄. Περὶ τοῦ γινομένου ῥήματος πρὸς Ἰωάννην.

ι΄. Περὶ τῆς γενεαλογίας τοῦ Χριστοῦ.

ια΄. Περὶ τοῦ ἀναγνῶναι τὸν Χριστὸν εἰς τὴν συναγωγήν.

ιβ΄. Περὶ τῆς ἄγρας τῶν ἰχθύων.

ιγ΄. Διατί εἴρηται ἐν σαββάτῳ δευτεροπρώτῳ.

ιδ΄. Περὶ τοῦ διανυκτερεῦσαι τὸν Χριστὸν ἐν τῇ προσευχῇ.

ιε΄. Περὶ τοῦ ταλανισμοῦ τῶν πλουτώντων καὶ τρυφώντων.

ις΄. Περὶ τοῦ υἱοῦ τῆς χήρας.

ιζ΄. Περὶ τῆς ἀλειψάσης τὸν Χριστὸν μύρῳ.

ιη΄. Περὶ τοῦ εἰπεῖν πρὸς τὸν Ἰωάννην, ἐπιστάτα, εἴδομέν τινα ἐπὶ τῷ ὀνόματί σου ἐκβάλλοντα δαιμόνια.

ιθ΄. Περὶ τοῦ εἰπόντος ἀκολουθήσω σοι, Κύριε, καὶ περὶ τῶν ο΄.

κ'. Περὶ τῶν αὐτῶν ο' ὅτι ὑπέστρεψαν μετὰ χαρᾶς· καὶ περὶ τῶν ἑξῆς, ὅτι εἶπεν ὁ Χριστὸς, ἐθεώρουν τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα.

κα'. Περὶ τοῦ νομικοῦ ἀλαζονείας καὶ περὶ τοῦ ἐμπεσόντος εἰς τοὺς λῄστας.

κβ'. Περὶ Μάρθας καὶ Μαρίας.

κγ'. Περὶ τοῦ φίλου ἐν τῷ μεσονυκτίῳ αἰτοῦντος ἄρτους.

κδ'. Περὶ τῆς ἐκ τοῦ ὄχλου ἐπαράσης φωνήν.

κε'. Περὶ τοῦ Φαρισαίου τοῦ καλεσάντος τὸν Ἰησοῦν.

κϛ'. Περὶ τοῦ Ζαχαρίου οὗ εἶπεν ὁ Κύριος ὅτι μεταξὺ τοῦ θυσιαστηρίου καὶ τοῦ ναοῦ ἐσφάγη.

κζ'. Περὶ τοῦ θέλοντος μερίσασθαι τὴν οὐσίαν.

κη'. Περὶ οὗ εὐφόρησεν ἡ χώρα πλουσίου.

κθ'. Τίνας καλεῖ μικρὸν ποίμνιον.

λ'. Περὶ ποίων ὀσφύων λέγει, ἔστωσαν αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι.

λα'. Περὶ τοῦ δούλου τοῦ μὴ γνόντος τὸ θέλημα τοῦ Κυρίου αὐτοῦ.

λβ'. Περὶ τῶν Γαλιλαίων καὶ τῶν ἐν τῷ Σιλωάμ.

λγ'. Περὶ τῆς ἀκάρπου συκῆς.

λδ'. Περὶ τῆς ἐχούσης πνεῦμα ἀσθενείας.

λε'. Περὶ τῶν εἰπόντων Ἰησοῦ περὶ Ἡρώδην.

λϛ'. Περὶ τοῦ ὑδρωπικοῦ, καὶ περὶ πρωτοκλισίας.

λζ'. Περὶ τοῦ μᾶλλον καλεῖν πτωχοὺς καὶ τυφλοὺς καὶ χωλούς.

λη'. Περὶ τοῦ εἰπόντος μακάριος ὃς φάγεται ἄριστον ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ. καὶ περὶ τῶν καλουμένων ἐν τῷ δείπνῳ.

λθ'. Περὶ τοῦ εἰπεῖν τὸν Χριστὸν εἴτις ἔρχεται πρός με καὶ οὐ μισεῖ τὸν πατέρα ἑαυτοῦ.

μ'. Παραβολὴ περὶ οἰκοδομῆς πύργου.

μα'. Περὶ δραχμῆς.

μβ'. Περὶ τοῦ ἀποδημήσαντος εἰς χώραν μακράν ....

deest fol. Cod.

P. 6, l. 16. ἀνεμνημόνευσε B.

Ἰστέον ὅτι τοὺς μὲν ἄλλους Εὐαγγελιστὰς ἐξ αὐτῶν ἀρχομένους ἐστὶν ἰδεῖν τῶν πραγμάτων· τὸν δὲ μακάριον Λουκᾶν καὶ προοιμίοις ἐπιβάλλοντα καὶ συγγνώμην ἑαυτῷ πραγματευόμενον, ὅτι δὴ (Cod. δεῖ) μέλλοι μεγάλα ἐκτίθεσθαι· καὶ γάρ φησιν

" ἐπειδή περ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν." τὸ ἐπεχείρησαν.

21. ἀντὶ τοῦ ὅτι.

7, 1. τοῦ Θεοῦ Ἐκκλ. cum Edd.

7, 3. γέγονεν καὶ τελείᾳ καταλήψει παρακ. τοῖς ἔργοις. πραγμάτων δέ φησιν, ἐπειδὴ οὐ κατὰ φαντασίαν κατὰ τοὺς αἱρετικῶν παῖδας ἐθαυματούργησεν ὁ Κύριος Ἰησοῦς τὴν ἔνσαρκον αὐτοῦ παρουσίαν, ἀλλὰ τυγχάνων ἀληθείᾳ ἀληθῶς ἐνήργησε τὰ πράγματα. " οἱ ἀπαρχῆς" δὲ εἶπεν, ἵνα τὸ ἀξιόπιστον τῆς συγγραφῆς ἑαυτῷ πραγματεύσηται. οὐδὲ γὰρ παρέλαβόν φησιν ἀπὸ τῶν ἐν μέσῳ παρηκολουθηκότων, οὐδὲ ἐδιδάχθην ἀπὸ τῶν κληθέντων μετὰ τὰ πράγματα· ἀλλ' ἐκ τῶν ἀπαρχῆς αὐτοπτῶν καὶ ὑπηρετῶν γενομένων τοῦ λόγου. παράγει δὲ τοὺς μάρτυρας πρὸς βεβαίωσιν τῆς οἰκείας εὐαγγελικῆς ἱστορίας· αὐτόπτας δὲ καὶ ὑπηρέτας καλεῖ τοῦ λόγου τοὺς ἁγίους Ἀποστόλους. δυνατὸν δὲ ἐκλαβεῖν τοὺς ὑπηρέτας τοῦ λόγου, εἴ τε τὸν διδασκαλικὸν λόγον ὃν παρεδίδου ὁ Σωτὴρ, εἴτε καὶ αὐτὸν τὸν Θεὸν Λόγον. διὰ δὲ τοῦ " παρέδοσαν" τὸ ἄφθονον ἐκείνων κηρύττει, ὅτι δωρεὰν λαβόντες, δωρεὰν ἔδωκαν καὶ ἡμῖν.

Τὸ δὲ " ἔδοξε κἀμοὶ παρηκολουθηκότι ἄνωθεν" δηλοῖ ὡσανεὶ ὅτι λέγει, ὅτι τάχα ἂν καὶ κινδυνεύσαιμι, εἰ παρηκολουθηκὼς πᾶσιν ἀκριβῶς ἔμελλον σιωπῇ παραδιδόναι τηλικαῦτα πράγματα· γράφω δὲ οὐ ψιλὴν ἀκοήν φησιν παραλαβὼν, ἀλλὰ ἀκριβῶς παρηκολουθηκὼς ἄνωθεν πᾶσιν. ἐπαινεῖ δὲ τὸν μακάριον Λουκᾶν καὶ ὁ Ἀπόστολος λέγων, " οὗ ὁ ἔπαινος ἐν τῷ Εὐαγγελίῳ."

Θεόφιλον δὲ ὀνομάζει πρὸς ὅντινα προφωνεῖ τὸ παρὸν Εὐαγγέλιον, ἄνδρα πεπιστευκότα, θεόφιλον φερωνύμως καλούμενον· ἵνα γινώσκῃ, περὶ ὧν κατηχήθη λόγων τὴν ἀσφάλειαν· ἐπειδὴ γὰρ ἀκοῇ παρέλαβεν ταῦτα, ἀσφαλέστερον αὐτὸν καὶ διὰ γραμμάτων ἐντυγχάνοντα ἐν τῇ πίστει διατηρεῖ.

Μνημονεύει δὲ τῶν ἡμερῶν Ἡρώδου, ἵνα μὴ διαφύγῃ τὸν καιρὸν τῶν πραγμάτων ἡ ἱστορία· βασιλέα δὲ τῆς Ἰουδαίας καλεῖ, ἐπειδὴ τὰ παρὰ Ἰουδαίοις γενόμενα γραφῇ παρεδίδου.

Ὀνομάζει δὲ τὸν πατέρα Ἰωάννου τοῦ προδρόμου, ἵνα τὴν εὐαγγελικὴν ἱστορίαν ἀρξάμενος ἀπ' αὐτοῦ, οὕτως εἰς τὸν Κύριον ἡμῶν

Ἰησοῦν παραγένηται, διὰ τοῦτο γὰρ καὶ εἶπεν ἄνωθεν ἵνα μηδὲν παραλείπῃ τῶν ἑξῆς γεγενημένων· ὅθεν καὶ πρώτην ἱστορίαν τὰ κατὰ τὸν Ἰωάννην ποιεῖται, ἵνα τὸν πρόδρομον παραστήσας σαφηνίσῃ τὸν κηρυττόμενον.

[εἰσελθὼν εἰς τὸν ναὸν τοῦ Κυρίου.]

Ἀττικὸν τὸ σχῆμα κατὰ τὴν λέξιν· γίνεται δὲ κατὰ ἀντίπτωσιν· αὐτοὶ γὰρ τὴν μετοχὴν ἐπὶ τῶν τοιούτων συντάξεων ἀντὶ τῆς ὀφειλομένης αἰτιατικῆς ἐπενεχθῆναι ὀρθὴν ἐπιφέρουσιν, ὡς ἐπὶ τούτου, "λέγεται τὸν Ἀλέξανδρον Μακεδόνα τρῶσαι τοὺς Πέρσας "ἐλθὼν εἰς χωρίον τῆς Περσίδος·" ἀντὶ γὰρ τοῦ ἐλθόντα εἶπεν ἐλθών· καὶ Ὅμηρος·

φημὶ γὰρ οὖν κατανεῦσαι ὑπερμενέα Κρονίωνα
ἀστράπτων ἐπιδέξια.

πολὺ τούτῳ καὶ Φιλόστρατος ἐν τῷ εἰς Ἀπολλώνιον καταχρῆται τὸν Τυανέα Cod. L.

7, 26. *δίκαιον.*

8, 1. *βουλομ. δὲ γνωρίσαι.* 10. *τὸ τῶν* om. *τὸ* Cod. B.

8, 18. *ἠκούσθη γάρ.*

8, 24. *ἐμφαίνων δὲ τὸ μέγεθος τ. Ἰω. ψυχῆς φησὶν, "ἔσται "γὰρ μέγας ἐνώπιον Κυρίου."* Cæt. om. B.

9, 7. *Θεὸν αὐτῶν.* 11. *ἔσται πρ.* 16. *ἐν δυνάμει δέ.*

ν
9, 17. *παρ' αὐτῶ.*

10, 16. *νευμάτων.* 17. *διέμενεν κ.*

11, 10. *καὶ πατριᾶς* om. B.

12, 30. *ὄψῃ.*

13, 4. *οὐχ ἁπλῶς.* In marg. Τοῦ ἁγίου Ἀθανασίου.

13, 15. *Ναασσών.*

13, 16. *τ. Ἰ. φυλὴ, ἐξ ἧς νῦν ἡ παναγία παρθένος τῇ ἱερατικῇ τοῦ Λευῒ φυλῇ, ἐξ ἧς ὑπ.* 29. *ὡς εἶπεν.*

14, 7. *κοιλίας σου θήσομαι.* 9. *παν. παρθένου* M.

14, 23. ΠΗΛΟΥΣΙΩΤΟΥ ἘΠΙΣΤΟΛΗ͂Σ ΤΞΓʹ. 26. *ἠγαλλίασεν.*

[ἐποίησεν κράτος.]

Ἄλλος. οὐ διὰ Μωϋσέως ὡς πάλαι ἐπὶ τοὺς Αἰγυπτίους, οὐδὲ διὰ Ἰησοῦ τοῦ Ναυῆ, ὡς τότε Ἱεριχούντεα τείχη κατασείων, οὐδὲ

δι' ἀγγέλου, ὡς ἡνίκα τὰς ρπε´ χιλιάδας κατεστρώννυε τῶν πολεμίων· οὐδὲ δι' ἀγγέλου τινός· ἀλλὰ διὰ τίνος; δι' αὐτοῦ τοῦ οἰκείου βραχίονος ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, καὶ κατετροπώσατο οὐκ Αἰγυπτίους ἢ Ἀσσυρίους, ἢ τόδε ἢ τόδε τὸ πολέμιον, ἀλλὰ πάντα λογισμὸν ὑπερήφανον, τουτέστι τὸν μὴ ὑποκύπτοντα καὶ πειθαρχοῦντα τῇ παρουσίᾳ αὐτοῦ, κἂν Ἕλλην ᾖ, κἂν βάρβαρος, κἂν Ἰουδαῖος κἂν Πέρσης, κἂν Ἀσσύριος, κἂν ὅστις ᾖ· ἀπείθης γὰρ διαμένων σκορπισθήσεται καὶ ἐκβληθήσεται· οἱ δὲ αὐτὸν φοβηθέντες φόβον λατρείας καὶ ἀγαπήσεως καὶ ὑποτάξαντες αὐτῶν ταῖς διδασκαλίαις τὰ φρονήματα, πάντες ἐλέους καὶ ἀγαλλιάσεως πλησθήσονται. Cod. L.

"Διεσκόρπισεν ὑπερηφάνους·" τίνας τούτους; τὰς τῆς καρδίας αὐτῶν διανοίας· ἢ οὕτως· "διεσκόρπισεν ὑπερηφάνους διανοίας·" τίνος; τῆς καρδίας αὐτῶν, τουτέστιν ἃς οἰκόθεν καὶ ἀπὸ καρδίας ἔσχον ὑπερηφάνους διανοίας, εἰς τὸ μὴ πιστεῦσαι αὐτῷ, καὶ φοβηθῆναι αὐτὸν, ταύτας διεσκόρπισεν, καὶ διεσκέδασεν, καὶ σαθρὰς ἀπήλεγξεν, δείξας παρθένον ἐν γαστρὶ ἔχουσαν, καὶ διὰ τοῦ ἀσπασμοῦ αὐτῆς, Πνεύματος Ἁγίου τοὺς ἀσπασμοὺς πληρουμένους καὶ προφητικοῦ χαρίσματος ἀξιουμένους· καὶ πρόγε τούτων καὶ Ἀγγέλους δείξας ἀνθρώποις ὑπηρετοῦντας, καὶ στείρωσιν λυομένην· ταῦτα γὰρ πάντα καὶ ἄλλα διὰ τὸν τῆς παρθένου τόκον ἐπιδειχθέντα, διεσκόρπισεν ὡς ἀληθῶς καὶ ἐλίκμησεν τὰς ὑπερηφάνους τῶν μὴ πιστευσάντων διανοίας, οὐδὲ σκιὰν αὐτοῖς ὑπολιπὼν ἀπολογίας. ἀπὸ γὰρ οἰκείας καρδίας, καίτοι τοσαῦτα ἔχοντες τὰ δυσωποῦντα αὐτοὺς ἐφυσιώθησαν καὶ ἐματαιώθησαν· μήτε τὴν τῆς ἀπογραφῆς αὐτῶν παράβασιν, εἰς τὸ μὴ πιστεῦσαι αἰτιᾶσθαι ἔχοντες· εἴγε πλήρης αὕτη τῶν περὶ τῆς παρθένου καὶ τῆς συλλήψεως αὐτῆς καὶ τοῦ τεχθησομένου προφήτειαν· μηδὲ τὴν τοῦ πονηροῦ ἀπάτην καὶ ἐπιβουλήν· αὕτη γὰρ Χριστοῦ τεχθέντος ἠσθένει, ἀλλ' οἰκείας πωρώσεως καὶ τῆς ὑπερηφάνου διανοίας τῶν ἰδίων καρδιῶν παραστήσαντες τὸν καρπὸν ὀλέθριον τὴν ἀπιστίαν. Codd. B. et L. quorum prior hæc Photio assignat.

15, 20. κρατ. αὐτοῦ χ.

16, 1. ἐν τῷ εἰπεῖν ἔμεινεν. 6. συνέρχεσθαι.

16, 12. χρὴ δὲ παρατηρ. ἐν ὁλ. τῇ παλ. κ. καινῇ γραφῇ ἐάν που.

16, 15. γεννωμ. καθὼς καὶ ἐνταῦθά φησιν ὁ Εὐαγγελιστὴς, "τῇ δὲ Ἐλισάβετ ἐπλήσθη," κ. τ. ε.

17, 1. μέγα τι λογιζ. 2. παιδίου. 14. προαγόρευσιν.

18, 1. δικαιοσύνῃ, ὅπερ γίνεται διὰ τῆς ἐκπληρώσεως πασῶν τῶν ἁγίων αὐτοῦ ἐντολῶν, οὐ πρὸς ὀλίγον μόνον καιρὸν ἀλλὰ π.

18, 7. γένεσιν. 21. ἡ Χριστοῦ γν.

18, 32. τὸ δὲ εἰς ὁδ. εἰρ. δ. ἵνα φ. om. B. et Ed.

19, 11. ἐν ὅλῃ.

19, 16. μὴ om. B. mox ἐκ σοῦ μοι. Duo seq. Scholl. om. sed illud quod inc. διατί εἶπεν ὁ Εὐαγγ. assignat Isidoro Pelus. Ἐπιστ. μή. 20, 1. τόπον. 20. ἀποστάντων.

21, 3. ἀγγελικὴν στρατείαν.

21, 14. καρδίᾳ, τουτέστιν τοῦτο ἐκείνῳ συγκρίνουσα, ἐκεῖνο τούτῳ· εὕρισκεν δὲ συγκρίνουσα τὰ ῥήματα.

22, 21. πληρ. ὑπάρχων om. ὑπὸ Χρ. 33. τεκῇ.

23, 2. om. καί. 15. τὸ γὰρ νῦν ἀπολύεις.

24, 8. Τοῦ Ἁγίου Βασιλείου. ἄλλως τὸ "εἰς πτῶσιν καὶ "ἀνάστασιν·" τῶν μὲν ἀπιστησάντων τῇ θείᾳ αὐτοῦ οἰκονομίᾳ καὶ ἐνανθρωπήσει εἰς πτῶσιν, τῶν προσδεξαμένων τὴν αὐτοῦ πίστιν, εἰς ἀνάστασιν ἐκ τοῦ τῆς ἁμαρτίας πτώματος.

24, 13. σῶμα, οἱ δὲ ἀσώματον αὐτοῦ τὴν ἐπιδημίαν γεγενῆσθαι διοριζόμενοι· καὶ οἱ μὲν παθητὸν ἐσχηκέναι τὸ σῶμα, οἱ δὲ φαντ. Add. hoc Sch. in marg. Cod. B. τὸ δὲ "σημεῖον ἀν-"τιλεγόμενον" περὶ τοῦ σταυροῦ λέγει· τοῖς μὲν γὰρ ἀπολλυμένοις μυρία ἐστὶν, τοῖς δὲ σωζομένοις ἡμῖν δύναμις Θεοῦ ἐστιν, κατὰ τὸν θεῖον Ἀπόστολον.

Τὸ δὲ "εἰς σημεῖον ἀντιλεγόμενον" κεῖται ὡς ἂν εἴποι κεῖται εἰς τὸ σταῦρον ὑπομεῖναι.

24, 18. πειρ. τὸν κριτικὸν τῶν ἐνθυμ. 22. προφ. οὖν ὁ Σ.

24, 24. τῶν φον. om. B.

24, 31. ἐπακολουθήσει. Cod. duorum Scholl. ord. qui Ἄλλως signantur invertit.

25, 5. καὶ σκ. 6. ἐπεμβαίνων.

26, 1. οὐκ ἄσαρκον ἀλ. σεσαρκωμένον εἰς τὸν Θ. Λόγον.

26, 3. διὰ τ. περὶ τ. κ. σαρκ. χρ. ν. ταῦτα σωμ. γ. ἠυξ. κ. ἐκρ. om. B.

26, 4. συνηδομένων om. Edd. 8. ἐπηρώτα.

26, 34. ἆρα δὲ μὴ ὅτι.

27, 4. ὡς πεπλαν. 5. μηδέπω δέ. 6. ἀποστῇ.

27, 12. ἐστὶν ὁ τοῦ ναοῦ δ. 18. ὑποτάσσωνται.

27, 23. ὑπὲρ ἄνθρωπον. 26. ὡς παρὰ πολλοῖς.

27, 28. συμπροσάγων τῷ χρόνῳ. 29. τὴν ἐκλαμ.

28, 3. ἐξ Ἰούδα. 4. Ῥωμ. μὲν ὁ Πιλᾶτος. Ἀσκαλωνίτου.

28, 6. οἱ ἐξ Ἰούδα. 14. τ. ἐρήμου μ. ἤπερ. 15. ἐκ περισσοῦ.

28, 17. Χριστοῦ βαπτ. 18. εἰ καὶ αὐτὸ μέν. 19. ἀτελές.

28, 21. εἰς μετάνοιαν. 23. οὐ λόγος. 24. προέλαβεν γάρ.

28, 28. αὐτὰς ὁδ. 30. ἀντιθ. τινος ἀμφιβ. ἀποκρ.

28, 32. ἀν. ἄντις. 33. δύσβατος.

29, 1. κατορθῶσαι. 4. πρὸς ἐξίσωσιν. 13. κατηύνασεν.

29, 31. ποιήσωμεν.

30, 33. βαπτίσματος αὐτοῦ.

31, 9. ὡς τελεία οὖσα. 11. ἡ πν. ἀναγέννησις.

31, 13. ἐλάμβανεν. 15. διαφωνία τις εἶναι δοκεῖ περὶ τ.

31, 17. Ματθᾶν· τὸν δὲ Λουκᾶν ἀπὸ τοῦ Νάθαν, καὶ φθάνειν εἰς τὸν Ματθᾶν καὶ Ἡλὶ καὶ Ἰωσήφ· καὶ ἀναμφιβόλως ἐκ. αὐτ. ἕτερον καὶ ἕτερον καταλέγειν γένος. 21. κατανοήσωμεν.

31, 23. ὁ Ματθάν. 25. Ἐσθά. 28. ὁ Ἰακώβ.

31, 29. Ἐσθᾶς. ἀγαγομένου δὲ τοῦ Ἡλὶ γυναῖκα.

31, 31. παιδοποιήσων.

32, 2. Ἡλί· ὁ Ματθαῖος οὖν τὸν κατὰ νόμον λέγων πατέρα τοῦ Ἰωσὴφ τὸν Ἡλὶ, εἶπεν καὶ τὸ γένος ὅθεν ὁ Ἡλὶ κατάγεται· προσηκόντος δὲ ὁ μέν.

32, 5. τῶν πατέρων εἰς τὸν Δαβὶδ καὶ εἰς τὸν Ἰοῦδαν τὸ γένος ἄνεισιν. ἐπειδὴ γὰρ Ἰουδαῖοι μὲν τὸν κατὰ νόμον πατέρα ἐπίστανται, ὡς πειθόμενοι τῷ νόμῳ τὸν κατὰ φύσιν γινώσκουσιν εἶναι πατέρα, ἔδειξαν οἱ θεσπέσιοι Εὐαγγελισταὶ ὅτι ἐξ ἀμφοτ. τ. πατ.

32, 8. περιῄρηται.

Cod. L. Τὴν γενεαλογίαν ταύτην ὁ θεσπέσιος Λουκᾶς οὐκ ἀπὸ

τῆς πεπαρρησιασμένης βασιλείας εἴληφε φατρίας, ἀλλ᾽ ἀπὸ τῆς ἰδιωτικῆς, λανθάνειν μὲν δοκούσης, πάλιν[a] καὶ αὐτὴ ἐν τῷ ἱερῷ γαζοφυλακίῳ τοῖς Ἰσραηλίταισιν ἀποκειμένη. καὶ διατὶ μὴ καὶ οὗτος συμφωνίᾳ Ματθαίῳ ἐχρήσατο κατ᾽ αὐτὴν, μετὰ βραχὺ εἰρήσεται· ἐξέκλινεν ἀπὸ τοῦ Δαβὶδ τὸ βασιλικὸν γένος εἰς τὴν γενεαλογίαν τοῦ Χριστοῦ καταλέγειν, διὰ τὸ μὴ πάνυ θεοσεβεῖς εἶναι τοὺς βασιλεῖς, ὡς δῆλον ἀπ᾽ αὐτοῦ Σολομῶντος· πλὴν γὰρ τοῦ Ἰωσίου οὐδεὶς τῶν βασιλέων κατὰ τὸ ἀκριβέστατον θεοσεβής· παρ᾽ ὅσον καὶ τῶν εὐσεβεῖν νομιζομένων, οὐδεὶς τὰ ὑψηλὰ πλὴν τοῦ βασιλέως καθεῖλεν Ἰωσίου.

35, 3. οὐδὲν γὰρ ἠγν. 29. τὴν τοιαύτην χάριν.

35, 30. ἀλλ᾽ ὑπάρχων φύσει.

36, 21. ἐμφανῆ δὲ λοιπὸν ε. καταστ. τοῖς ἐξ αἱμ.

36, 22. κ. ὅτι κέχρισται. 31. κέχρισθαι.

37, 14. καὶ τοῦ σμικρ. 20. ἀστιασμοῦ χ. 25. πῶς ἀεὶ.

39, 6. προφήτου.

39, 9. λέγει Κύριος ἀλλ᾽ ὡς τοῦ νόμου Κύριος τ. ὑ. ν.

39, 14. ὅτι κενῆς δ. αὐτ. ἐρ. ἀποτελεῖ.

39, 20. Συνεχώρησεν δὲ αὐτῷ ὁ Κύριος ῥίψαι τ. ἀνθρ. ἐν ᾧ ἦν, ἵνα δῆλον γένηται πᾶσιν ὅτι τὸ δαιμόνιον ἦν τὸ λαλῆσαν, καὶ μὴ ὡς ἐκ τῆς καρδίας τοῦ ἀνθρώπου νομίζωσιν οἱ ἀκούοντες εἶναι τὰ ῥήματα. καὶ γὰρ ὡς νήφων ἐλάλει, καὶ ὡς καθεστηκὼς ἐφθέγγετο. ἐγένετο δὲ θάμβος ἐπὶ πάντας, καὶ συνελάλουν πρὸς ἀλλήλους λέγοντες· τίς ὁ λόγος οὗτος κ. τ. ἑ. ἐκπληττόμενοι αὐτοῦ τὴν μετ᾽ ἐξουσίας γινομένην τῶν θεοσημείων ἐνέργειαν· οὐ γὰρ εὐχὴν ἀνατείνων ταύτας ἐπλήρου, ἀλλ᾽ αὐτὸς ὢν ὁ Λόγος τοῦ Θεοῦ καὶ Πατρὸς, ὁ ζῶν τε καὶ ἐνεργὴς καὶ δι᾽ οὗ τὰ πάντα, καὶ ἐν ᾧ τὰ πάντα, κελεύων τοὺς ἀκαθάρτους ἀπήλαυνεν δαίμονας καὶ τὰς νόσους ἐφυγάδευεν.

40, 15. Περὶ τῆς πενθερᾶς Πέτρου· καὶ περὶ τῶν ἰαθέντων. 17. ὅτι ὑπῆρχον.

40, 18. προεγράφη εἰς τὸ κατὰ Ματθαῖον.

40, 20. ὅτι διὰ τῶν ἁλ. ἐπιτ. ἁλ. τ. μαθ. καὶ ἁλιεῖς.

40, 25. αὐτοῖς om.

[a] An πάλαι.

42, 15. χρὴ δὲ καὶ τοῦτο σκοπῆσαι, ὅτι μὴ ἰσχύσαντες ἀν. τὸ δίκτυον.

42, 17. om. διὰ, dein post ἐπιτ. add. κατένευσαν δὲ ἀπὸ τοῦ φόβου καὶ τῆς ἐκπλήξεως μὴ τολμῶντες λαλῆσαι ὥστε φ. συλ. α. κ. διασ. τ. ἀγ. ὥσπερ μυστικῶς σημαίνει ὅτι πολλοὶ τοῖς τ. ἀγ. Απ. συνηγωνίσαντο κ. συναγωνίζονται πόνοις.

42, 22. ἀληθ. δογμάτων. 23. ἔτι καὶ νῦν τὸ δίκτυον.

42, 24. τοὺς ἐν β. θαλ. ὄντας. 25. κυμ. τοῖς κοσμ.

42, 26. περὶ τ. παρ. 27. ΠΡΟΕΓΡ. ΕΙΣ ΤῸ Κ. ΜΑΤΘ.

Ad. p. 42. c. v. ver. 12.

καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν μιᾷ τῶν πόλεων.

47, 26. τὰ ἀκόλουθα προεγράφη. εἰς τὸ κατὰ Ματθαῖον ἕως οὗ οὐκ ἔξεστιν φαγεῖν εἰ μὴ μόνους τοὺς ἱερεῖς, ὁμοίως καὶ περὶ τοῦ ξηρὰν ἔχοντος χεῖρα.

49, 11. ἀληθινοὺς ἢ. ἀποφ. προσκυνητάς. 18. ἀποπηδῶντας.

49, 19. κ. ἀποφοιτῶντας mox ἀποτρέχοντας.

49, 23. οὐχ ἁπλῶς προσηύχετο.

49, 24. Π. τ. ΤΩ͂Ν ᾿ΑΠ. ΔΙΑΤΑΓΗ͂Σ.

49, 28. προαποφ. π. ἀγ. ὁ δεσπότης Θεὸς τὴν δι᾽ αὐτοῦ πτωχ.

50, 10. περιπεσεῖσθαι.

56, 16. ἐξουσίαν ἔχων.

56, 25. ἀφῇ. δυνάμενος δὲ καὶ λόγῳ μόνῳ τοῦτο ποιῆσαι· διὰ τοῦτο ἅπτεται καὶ τῆς σοροῦ, τουτέστι τῆς κλίνης.

56, 27. ἰσχ. μονογενοῦς Υἱοῦ καὶ Λόγου τοῦ Θεοῦ ἡμῶν.

56, 28. αὐτοῦ ἡ σάρξ. 31. καὶ ἐλάλει.

57, 16. τ. μαθ. αὐτοῦ. 17. προσκ. οὖν δύο τινὰς τῶν μαθητῶν.

60, 21. ἀλλ᾽ ἑτέρα τις. ἐκεῖναι μὲν γὰρ πρὸς αὐτὸ τὸ πάθος τοῦτο ἐποίησαν· αὕτη δὲ περὶ τὰ μέσα που τοῦ εὐαγγελίου ἢ καὶ πρὸ τούτου, καθὼς φιλοπονῶν τις ἐπαγνώσεται.

63, 3. γινώσκε. 7. ἐξένισεν ὁ λόγος. 13. ἁμάρτανε.

63, 19. κ. πόλιν κ. κώμην. 22. αὐτοῦ δημ.

63, 28. παρέχουσαι. 30. ἵνα κτήσωνται.

63, 31. Τ. ΣΠΌΡΟΥ ΠΡΟΕΓΡ. ΕΙΣ ΤῸ ΚΑΤᾺ ΜΑΤΘ. ΚΑῚ ἈΚΟΛΟΎΘΩΣ.

64, 9. ΚΕΦ. ΡΒʹ. ΕΙΣ ΤᾺ Μ. ΕΙΣ Τ. ἍΓ. ΛΟΥΚΑ͂Ν.

80, 8. διδάσκαλε ἴδομεν.

80, 11. μαθεῖν εἰ καὶ ἔτ. 20. κἀκεῖ ἀπερχ.

80, 21. ἐστήρισε τὸ προσ. αὐτ. τοῦ πορεύεσθαι εἰς Ἱερουσαλήμ. 22. ἐκπ. δὲ πρὸ προσ. 30. ἀποδιώκωσιν.

80, 32. ἀλλὰ τοῖς ἐμοῖς.

81, 9. πρὸς Ἡλίαν ἀφ. 17. προσανακοινοῦσθαι.

81, 19. σκοπόν. 20. χεῖρα αὐτοῦ κ. βλέπων.

81, 30. ἐπιβ. μὲν γάρ.

82, 3. ἐθέλοντας τῷ Θ. οὐχ ἁπλῶς δὲ ἀνέδειξεν ὁ Κύριος καὶ ἑτέρους ἑβδομήκοντα, καὶ ἀπέστειλεν αὐτοὺς ἀνὰ δύο δύο πρὸ προσώπου αὐτοῦ εἰς πᾶσαν πόλιν καὶ τόπον οὗ αὐτὸς ἔμελλεν ἔρχεσθαι. ἀλλ' ἐπειδὴ κ. τ. λ. ut in Sch. quod Cyrillo trib. Nost. p. 82, 24.

82, 29. ἕως μὴ μετ.

84, 29. τ. θεοσημείας.

85, 21. λαβόντες. 23. κτήσωνται. 28. κάτω πίπτει.

85, 32. ΤΟΥΤΩΝ.

86, 28. ΠΗΛΟΥΣΙΩΤΟΥ ἘΠΙΣΤΟΛΗΣ ͵αλνέ. Ὁ νομικὸς κ.τ.λ.

86, 29. τὸν δίκαιον τ. ὑψ.

87, 5. λέγω ὅτι οὐδ. mox διενήνοχας.

87, 8. δεδ. γάρ· σὺ σπούδασον ἢ τῇ οὐσ.

87, 17. Εἰπὼν ὁ δεσπότης Χριστὸς ὅτι ἄνθρωπος τις, κ. τ. λ.

88, 1. ὁ νόμος ἐστ. εἰσηγ. 18. παρ' οἷς κ. κατ.

88, 19. τροπῆς. 31. ἀκούσωμεν. 32. ἀκούομεν.

88, 35. μείζονος.

89, 4. πάνδοκος. 27. πέπλεκται mox τ. πλ. ἠγαπηκότι.

89, 32. παρακαθεσθεῖσα.

90, 3. περιττοῖς βρ. 6. θεωρία. 8. σκοπήσωμεν.

90, 9. εἰσαγομένας. 13. τ. καν. λαβέτω.

90, 28. τὰς προσευχάς. 34. πάντως.

91, 2. ἐμμείνωμεν.

91, 4. ἐπιτάττει· καὶ διὰ τοῦ κρούειν τὴν ὄχλησιν.

91, 10. μεσονυκτίου. 12. προστρεχόντων. 13. ὁ Θ. ἐστιν.

91, 27. ἀνακληθήσονται. 28. μεθ' ὑπομονῆς.

100, 16. καταλιπὼν αἰτεῖν. 20. τ. αὐτ. μεγαλοπρεπείας.

100, 23. εἴκοντας δὲ. 29. μόνοις.

101, 10. ὑπέδειξεν. 11. τ. πάθους. 12. ὁ τοῖς οὕτω π.

101, 23. διὸ καὶ τὸ ἐπ. 24. ὃ φοβ.

102, 14. τὸ δὲ μὴ φόβου. 15. ὀνομ. τοὺς ἁγίους.

102, 26. καὶ τὰ ἐπὶ γῆς.

103, 2. ὑποδηλοῦσιν. 11. ἀώρῳ. 15. ἐργασαμένους.

103, 18. πνευματικάς καὶ ἀμφιλαφῆ.

103, 29. Εἰς τὰ μικρὰ et quæ seq. om. B.

106, 8. ἐξαγγέλλον. 10. μήτε κατὰ φιλ.

106, 12. χαλεπωτάτας αἰκίας ὑπέμειναν. παρὰ τὰς διατεταγμένας ἐν τ. Μ. νόμῳ θυσίας ἀφερ.

106, 24. κιν. τῷ λαῷ.

107, 2. κατέχωσιν. 6. τοῖς οἰκήτορσι· παρέμεινε.

107, 8. καταστρέψας ἐθανατ.

107, 10. τ. Ἱερ. φύλλα μόνον μικρὰ ποιοῦσαν καὶ ἀνθηρὰ τῷ φαίνεσθαι, καρπὸν δὲ μὴ παρέχουσαν· τρίτον δὲ λέγει ἐληλυθέναι δ. Μ.

107, 14. ἐκκαθαρίσαι.

107, 16. ἄκαρπον "ἄφες αὐτήν" φησιν "καὶ τοῦτο τὸ ἔτος."

107, 20. τ. τῶν δικ. σου. 29. ὡς ὁ θεολ. om. ὡς.

107, 32. ἡ συγκεκωφυῖα.

108, 1. παρεωραμένη. 4. γεμούσης. 6. λόγου.

108, 9. ἀνοσιώτατα· κακοηθείᾳ. 14. προφάσει.

108, 15. κακολογοῦντες. 32. Περὶ σινάπεως κ. τ. λ.

110, 9. ὠφελεῖσθαι ὑπ' αὐτ. 10. ὑπὲρ νόμων.

110, 11. εἶπεν. 20. δυστρ. τὸ θηρίον τοῦτο.

110, 29. καὶ πότε ὑπέργε τοῦ σ.

111, 1. περινοστήσει.

111, 5. Ἱερουσ. πολλοῖς ἁγίων αἵμασι ποιεῖται ἔνοχον τὴν Ἱερουσαλὴμ καὶ ὅτι τ.

111, 16. παρ' αὐτοῖς ὅτι μάλιστα τῶν διαπρεπόντων οὐκ ἀπηξίωσεν δ. τὸ δυστρ. αὐτῶν ἀπελθεῖν.

111, 18. συν. γίνεται. 23. σαββάτου.

111, 24. ἐκκλίνει. 27. ὑδρωπικός.

112, 5. ἅπερ δὲ ἔλεγεν. 9. κόσμιον αὐτῶν. 15. φιλοδοξίας.

113, 10. ὁ Κύριος πράττοντες πρὸς τοὺς ἀσθενεῖς καὶ ἐνδεεῖς καὶ λελ. φιλανθρωπευόμενοι.

113, 12. οἷς ὁ Θεὸς ἐπὶ τῆς μελλούσης ζωῆς τὸν μισθὸν ἀνταποδοθῆναι διεμαρτύρατο· οὐχ ἵνα δὲ τὴν π. τ. ἰδ. τιμὴν ταῦτα Χριστὸς ὁ Θεὸς ἡμῶν προσέταξεν, ἀλλ' ὅπως.

113, 15. ἀνταποδώσεων. 10. παρὰ Χρ.

113, 26. νοηθείη ἂν Θεὸς κ. Πατ. 32. ἐπέφανεν.

114, 6. κέκληκεν ὁ Χριστὸς κ. Θ.

114, 14. φιλοκερδίας ἡττώμενοι. 15. ὡς ἔπος.

114, 35. χαρισμ. μέγιστον δώρημα. πῶς οὖν.

115, 3. συντονωτέρας. 4. ἀνάγκης σχεδόν.

115, 13. κ. τὰ τοιαῦτα τοῖς γον. ὑπ. 22. ὑποδηλ.

115, 29. περᾶναι σκ.

117, 10. ὁ θεολόγος οὕτως. 12. ἀποκαθαίρων.

118, 3. ἀπεδ. ποῦ, οὐκ ἀπὸ τόπου εἰς τόπον, ἀλλὰ τῇ διανοίᾳ ἀπέστη ἀπὸ Θεοῦ, καὶ ἀπ. ὁ Θ. 17. ἐγκαλινδούμενος.

119, 2. ἐλεήσει με μεταν. 19. ῥυπ. γὰρ ἔχω.

119, 22. μήτε τῆς σῆς αὐλ. 24. τ. μυστ. σοῦ.

120, 13. δι' ὅν. 14. ζητεῖν ἢ om. B. 24. δύνασθαι ταύτην.

120, 26. ἐγκλ. οὔτε ἐκεῖνον διαβ. θέλοντες.

120, 30. μηδ. παραδέξασθαι.

120, 35. τ. τῶν υἱῶν δυάδος. σημαίνεσθαι.

121, 8. ἐπεγ. τὴν γινομένην τ. ἀσωτ. 19. καταθρήσωμεν.

121, 21. τὰ π. μέτρα.

122, 3. περισπασμῶν.

122, 7. ὁ ἀνθρώπινος νοῦς. τοῖς γεωδ. πράγμασι.

122, 9. διὰ τοῦτο γοῦν. ὑπέδειξεν ὁ Σωτήρ. 17. αὐτοῖς.

122, 18. τρυφαῖς.

123, 5. ἔξωθεν γὰρ προσγίνεται καὶ ἐπισυμβαίνει τισίν· ὅτι δέ ἐστι τῶν ἀμηχάνων ἕνα καὶ τὸν αὐτὸν μ. 14. μὴ ὄντας.

123, 17. π. τ. Θεοῦ· ταῦτα τοίνυν καὶ ἡμεῖς ἀκούοντες πᾶσαν ὑψηλοφροσύνην καὶ κενοδοξίαν, τύφον τὲ καὶ ὑπερηφανίαν καὶ ἀνθρωποπαρεσκίαν, ὡς μισητὰ καὶ βδελλυκτὰ παρὰ Θεῷ ὑπάρχοντα συμπάσῃ κακίᾳ καὶ φιλαργυρίᾳ προθύμως τε καὶ ὁλοψύχως ἐγκλίνοντες, τὴν ταπεινοφροσύνην καὶ τὴν εἰς τοὺς δεομένους εἰλι-

κρινῆ συμπάθειαν χάριτι Θεοῦ κτησώμεθα· καὶ γὰρ οὐ δι' ἐκείνους μόνους τὰ ἐν τοῖς ἁγίοις Εὐαγγελίοις ἐγράφησαν ἀλλὰ καὶ διὰ τοὺς κατὰ γενεὰν καὶ γενεὰν ἀνθρώπους. Περὶ ὧν εἶπεν ὁ Κύριος. κ. τ. λ.

124, 9. λόγος. 10. νοσοῦντα πτωχ. 11. ὡς εἰ παράδειγμα.

124, 12. λεγομ. δήλωσιν. 13. τισιν ἤδη ἀντ. 16. ἐπὶ γῆς.

124, 18. ἀφύκτῳ. 22. ἀκαταλήκτοις. 26. παρὰ τὸν πυλ.

124, 31. ἀποξαίνοντες. 32. ἵνα κ. ἐν τ.

125, 1. ἀπεδυσπέτησεν. 7. κατωρυγμένη. 8. τάφον περιφ.

125, 10. πρὸς τὸν ᾅδ.

125, 24. ᾐσχύνετο κ. ἠρυθρία, ἐκ τ. κατ. αὐτ. πρ. om. B. ἐνόμιζεν γὰρ αὐτ. μν. αὐτῷ π.

125, 30. ἀλλ' ὅτι ὁ πλούσιος.

126, 2. οὐδὲ ἐγκ. om. B. 12. ὥσπερ οὖν.

126, 18. ποιησ. ἔλεος. 33. ἵσταται πραγμ.

126, 34. φυγεῖν τ. κολ.

127, 6. οὗτοι ἀκ. αὐτῶν κατ. 24. λαλῶν om. B.

128, 1. ἐκείνῳ. 2. ἀσφ. τὸν δεσπότην Χριστόν.

128, 10. καταφ. γάρ. 11. καὶ ὀφείλειν αὐτοῖς τὸν Θεόν.

128, 21. ὁ δεσπ. Θεός· καὶ φιλανθρ. om. B.

128, 28. Πάλιν τ. ἑ. δόξ. 29. καθιστῶν.

128, 31. καθὼς ἀπόδειξις ἔσται σαφ. ἡ τ. λεπρ.

128, 33. ἐλιπάρουν ἀπαλλ. τ. κακοῦ. (p. 129, 2.) ὁ δὲ φιλάνθρωπος ἐλέησας αὐτοὺς ταύτης ἀπήλλαξεν· ὧν οἱ μὲν ἔννεα ὑπῆρχον Ἰουδαῖοι, ὁ δὲ εἷς Σαμαρείτης· τυχόντες τοίνυν τῆς ἰάσεως ἐν τῷ ὑπάγειν αὐτοὺς, καθὼς ἐκελεύσθησαν εἰς τὸ δεῖξαι ἑαυτοὺς τοῖς ἱερεῦσι· οἱ μὲν ἐννέα εἰς ἀχ. 12. αὐτῷ ὡς Θεῷ· ὁ εἷς δὲ μόνος ὁ ἀλλογένης τὴν εὐχαριστίαν προσέφερεν· ἑτοιμότεροι γὰρ εἰς πίστιν οὗτοι παρὰ τοὺς ἀχαρίστους Ἰουδαίους· ὅθεν ὁ δεσπότης Χριστός φησιν, "οὐχ οἱ δέκα ἐκαθαρίσθησαν," καὶ τὰ ἑξῆς. Ὅπερ εἶπεν ὁ Κύριος Ἰησοῦς ὅτι ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ὑμῶν ἐστιν, τοῦτο σημαίνει, ὅτι ἐν ταῖς ἡμετέραις προαιρέσεσι κεῖται τὸ λαβ.

130, 3. αἱρετά πώς εἰσιν.

132, 1. νυκτὸς καὶ ἡμέρας. 17. πν. πλάνοις.

133, 3. ὁμολογῶν. 7. δεσπότου Χριστοῦ.

133, 13. Ἐπιστολὴ om. B. 14. προσέκρουσεν.

133, 22. οὐ δέοντας κακηγορήσαντας τῆς αἰτίας παλινδρομούσης.

136, 18. μαρτυρήσει. 31. τοῦ νοσεῖν.

137, 11. συκομωραίαν.

139, 6. νουθετοῦντες. 11. ἐντρυφήσουσι.

140, 8. παραδοθήσονται. Περὶ τοῦ πώλου· ἕως οὗ κεκράξονται προεγράφη εἰς τὸ κατὰ Ματθαῖον· τίνες δέ εἰσιν οἱ λίθοι; οἱ τοῖς λίθοις προσκυνοῦντες, τὰ ἔθνη τὰ πεπλανημένα.

142, 11. ὁ φιλανθρ. Κύριος. 13. τοιοῦτον.

142, 25. καὶ ἡ ὑπακοὴ ἡ εἰς Χριστόν.

142, 33. Περὶ τῶν ἐκβληθέντων ἐκ τοῦ ἱεροῦ προεγράφη εἰς τὸ κατὰ Ματθαῖον, ἕως οὗτοι λήψονται περισσότερον κρίμα μετὰ τὸ ἀκοῦσαι αὐτοὺς τὴν τοῦ ἀμπελῶνος παραβολήν· διὰ τοῦτο εἶπον μὴ γένοιτο, ἐπειδὴ συνιέντες τῶν αἰνιγμάτων τὸ βάθος ἀποσείονται τὸ παθεῖν δεδοικότες τὸ ἐσόμενον. πῶς δὲ κατήσθιον οἱ γραμματεῖς τὰς οἰκίας τῶν χηρῶν; οὐ διδάσκοντες νηστείαν ἀλλ' ὑποδεικνύοντες γαστριμαργίαν. οὐ προϊστάμενοι χηρῶν ἀλλὰ τὰ αὐτῶν ἀναλίσκοντες. λήψονται δέ φησι περισσότερον κρίμα ὅτι διδασκαλικὸν ἔχοντες σχῆμα προαγωγοὶ τυγχάνουσιν εἰς κακίαν.

150, 1. προσαγάγοι.

151, 33. κ. ἐκεῖ ζήτει om. B.

152, 24. βαρηθῶσιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ καὶ μέθῃ ἐξορίζει μὲν τὴν σύνεσιν. κ. τ. λ.

153, 6. ἐπὶ τούτου.

155, 14. ὑπὲρ τ. κοσμ. 16. ἀπιστίαν αὐτῶν.

155, 19. ὁ διακονῶν.

156, 23. ἀπεινής.

156, 30. φησιν οὐχ ὡς ἐδεσμ. πάλιν ἐν χρείᾳ ὄντων ἡμῶν.

156, 32. βουλόμενος. 33. αὐτοῖς κ. ὁμόσιτοι.

157, 30. κτήσηται. 33. ἀρνησ. με. 34. τῆς θείας ἐστι.

158, 1. γὰρ om. B. 3. διὰ τοῦτο παρὰ Χριστοῦ.

158, 20. παρ' ἑαυτῶν. 24. περιπεσεῖν.

158, 26. ἐκείνης τὸν τον.

159, 3. οὔτε πάλιν κ. τ. λ. om. B. 9. ἐπεὶ δὲ ἄν.

159, 27. αὐτῷ. 28. ἔλεγε προσκυνῶν.

Παραδίδοται ὁ Κύριος Ἰησοῦς ἐτῶν τὸ κατὰ σάρκα λβ', Φαμενὼθ κη'· τῆς σελήνης οὔσης κατ' ἐκεῖνο κειροῦ τρισκαιδεκαταίας· ἐν ᾗ ἀληθινὸν Πάσχα τελειοῦται τοῦ ἀμώμου ἀμνοῦ καὶ ἀσπίλου Χριστοῦ παραδοθέντος εἰς σφαγὴν ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας καὶ ζωῆς. Cod. L.

164, 18. θείας. 20. τὸ σεμνόν. 26. διεπράξατο.

165, 7. Ῥωμαίοις Ἰουδαίων. 9. καὶ ὁ Σαούλ.

165, 11. Σ. τινὰ Κυρ.

166, 18. Χρ. ὁ Θεὸς ἡμῶν. 24. προεμήνυσεν.

166, 33. στρατόπεδα. 34. τῶν τεθαυμασμένων.

167, 27. ὡς Πατέρα.

167, 32. ἀνέτρεχεν. Ceterum B. transponit duos primos paragr. huj. Cap.

167, 33. ἡ τοῦ δεσπ.

168, 5. πιστεύσαντα εἰς τὸν παράδεισον ἀπεκαθέστησεν. καὶ τότε κατῆλθεν εἰς τὸν ᾅδην.

Πρὸς δὲ τοὺς λέγοντας, πῶς ὁ λῃστὴς εἰσῆλθεν εἰς τὸν παράδεισον, τοῦ Ἀποστόλου εἰπόντος ὅτι οὐκ ἐκομίσαντο οἱ ἅγιοι τὰς ἐπαγγελίας; ὁ Χρυσόστομός φησιν· τί γὰρ εἰ καὶ εἰσῆλθεν εἰς τὸν παράδεισον ὁ λῃστής; μὴ γὰρ ταῦτά ἐστι τὰ ἀγαθὰ ἅπερ ἡμῖν ὁ Θεὸς ἐπαγγέλλεται· οὐκ ἀκούεις τοῦ Παύλου λέγοντος, ὅτι τὰ ἀγαθὰ ἐκεῖνα τοιαῦτα εἰσὶν "ἃ ὀφθαλμὸς οὐκ ἶδεν, καὶ οὖς "οὐκ ἤκουσεν, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη;" τὸν δὲ παράδεισον καὶ ὀφθαλμὸς ἶδεν τοῦ Ἀδὰμ καὶ οὖς ἤκουσε καὶ καρδία ἀνθρώπου παρεδέξατο. πῶς οὖν ἀπέλαβε τὰ ἀγαθὰ ὁ λῃστής; οὐ γὰρ εἰς παράδεισον ἐπαγγέλλεται ὁ Θεὸς ἀγαγεῖν ἡμᾶς, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανὸν, οὐδὲ βασιλείαν παραδείσου ἀλλὰ βασιλείαν οὐρανῶν ἐκήρυξεν[b].

[b] Hactenus Cod. B. qui in fine mancus est; cetera e Cod. L. enotavimus.

171, 3. τὰ γεν. σημεῖα. 6. τῆς κατὰ τὸ δ.

171, 8. ἡγ. αὐτῶν ἀνοσιότητα. 13. τ. δ. Χριστοῦ.

171, 21. ἐκάλει.

171, 23. ἐκεῖνοι τὴν διὰ τῶν γυναικῶν καὶ τὴν διὰ τ. Π. Cod. L.

Μετὰ Κλεόπα ὁ Ναθαναὴλ ἦν· ὁ δὲ Κλεόπας ἀνεψιὸς ἦν τοῦ Σωτῆρος, δεύτερος ἐπίσκοπος Ἱεροσολύμων· οὕτως Ἐπιφάνιος ὁ Κύπρου ἐν τοῖς Παναρίοις ἐμνημόνευσεν.

172, 17. Σίμωνι· κἀκεῖνοι μὲν ἔλεγον τοῖς δυσὶν, ὅτι "ὄντως "ἠγέρθη ὁ Κύριος καὶ ὤφθη Σίμωνι."

172, 26. καὶ σύνηθες ἀπεφθέγξατο. 30. οὐκ ἠγνόει.

173, 9. τὴν ἀφθαρσίαν. 14. διὰ τοῦ. 21. διανύξας.

173, 24. αὐτοὺς. 32. σύνεδρος ᾖ.

174, 10. Ἐτελειώθη ἡ ἑρμηνεία τοῦ κατὰ Λουκᾶν Ἁγίου Εὐαγγελίου ἑρμηνευθεῖσα παρὰ τοῦ Ἁγίου Τίτου Ἐπισκόπου Βόστρων καὶ ἑτέρων Πατέρων.

Τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον ἐξεδόθη μετὰ χρόνους ιέ τῆς τοῦ Χριστοῦ ἀναλήψεως.

SUPPLEMENTUM

ET

VARIETAS LECTIONIS

AD CAT. IN EVANG. S. JOANNIS

E COD. BODL. B.

ΤΟΥ͂ ΧΡΥΣΟΣΤΌΜΟΥ ΕἸΣ ΤῸ ΚΑΤᾺ ἸΩΆΝΝΗΝ ἍΓΙΟΝ ΕΥ̓ΑΓΓΈΛΙΟΝ.

α΄. Διατί ὁ Εὐαγγελιστὴς οὗτος παραδραμὼν τὴν σύλληψιν τοῦ Κυρίου καὶ τὸν τόκον καὶ τὴν ἀναστροφὴν, εὐθέως περὶ τῆς ἀϊδίου γεννήσεως αὐτοῦ διηγεῖται.

β΄. Διατί ὁ Εὐαγγελιστὴς οὗτος πολλάκις τὴν τοῦ προδρόμου περιφέρει μαρτυρίαν.

γ΄. Ἀντὶ ποίας χάριτος ποίαν χάριν ἐλάβομεν.

δ΄. Διατί τοὺς ἐξ Ἱεροσολύμων ἱερεῖς καὶ Λευΐτας πρὸς Ἰωάννην ἀπέστειλαν.

ε΄. Ὅτι ὁ μὲν Ματθαῖος τὰ πρὸ τοῦ βαπτίσματος τοῦ Χριστοῦ περὶ τοῦ προδρόμου διηγεῖται· ὁ δὲ Ἰωάννης τὰ μετὰ τὸ βάπτισμα καὶ τὴν κάθοδον τὴν ἀπὸ τοῦ ὄρους.

ϛ΄. Διατί τὸ κἀγὼ οὐκ ᾔδειν αὐτὸν εἶπεν ὁ βαπτίστης, καὶ διατί ἐνέβλεψεν τῷ Ἰησοῦ περιπατοῦντι· καὶ περὶ Πέτρου καὶ Ἀνδρέου.

ζ΄. Περὶ τοῦ Φιλίππου καὶ τοῦ Ναθαναήλ.

η΄. Περὶ τοῦ ἐν Κανᾶ γάμου.

θ΄. Περὶ τῶν ἐκβληθέντων ἐκ τοῦ ἱεροῦ.

ι΄. Περὶ τοῦ Νικοδήμου.

ια΄. Περὶ τῶν μαθητῶν τοῦ Χριστοῦ βαπτιζόντων καὶ Ἰωάννης ἐβάπτιζεν.

ιβ΄. Τί σημαίνει ἡ γενομένη ζήτησις ἐκ τῶν μαθητῶν Ἰωάννου πρός τινα Ἰουδαῖον περὶ καθαρισμοῦ.

ιγʹ. Πόθεν οἱ Σαμαρεῖται συνέστησαν.
ιδʹ. Περὶ τῆς Σαμαρείτιδος.
ιεʹ. Περὶ τοῦ βασιλικοῦ.
ιϛʹ. Περὶ τοῦ ὄντος λʹ καὶ ηʹ ἔτη ἐν τῇ ἀσθενείᾳ.
ιζʹ. Περὶ ...... ασεως καὶ κρίσεως.
ιηʹ. Περὶ τῶν εʹ ἄρτων καὶ βʹ ἰχθύων.
ιθʹ. Περὶ τοῦ ἐν θαλάσσῃ περιπάτου.
κʹ. Περὶ τῶν ἀποσχισάντων ἑαυτοὺς μαθητῶν.
καʹ. Περὶ τοῦ εἰπεῖν μεσούσης τῆς ἑορτῆς διὰ τὴν τετάρτην ἡμέραν λέγει τῆς ἑορτῆς τῆς σκηνοπηγίας, ἥτις μετὰ τὸν Αὔγουστον μῆνα γίνεται, ἐν ᾗ ἑπτὰ ἡμέρας ἑώρταζον· ὁμοίως δὲ καὶ ἐσχάτην ἡμέραν μεγάλην εἰπὼν, περὶ τῆς ἑβδόμης ἡμέρας τῆς αὐτῆς εἶπεν ἑορτῆς.
κβʹ. Περὶ τοῦ ἐκ γεννητῆς τυφλοῦ.
κγʹ. Περὶ τῶν ἐγκαινίων ὧν μνημονεύει ὁ Εὐαγγελιστὴς λέγων, καὶ ἐγένοντο τὰ ἐγκαίνια ἐν Ἱεροσολύμοις. ποῖα ἦν ταῦτα.
κδʹ. Περὶ Λαζάρου.
κεʹ. Περὶ τῆς ἀλειψάσης τὸν Κύριον μύρῳ.
κϛʹ. Περὶ ὧν εἶπεν Ἰούδας.
κζʹ. Περὶ τοῦ ὄνου [c].
κηʹ. Περὶ τῶν προσελθόντων Ἑλλήνων.
κθʹ. Περὶ τοῦ νιπτῆρος.
λʹ. Διατί εἶπεν νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου.
λαʹ. Περὶ τοῦ παρακλήτου. τοῦ ἁγίου Ἡσυχίου περὶ τῆς τρίτης ὥρας καὶ τῆς ἕκτης.
λβʹ. Περὶ τῆς αἰτήσεως τοῦ σώματος τοῦ Κυρίου.
λγʹ. Περὶ τῆς ἀναστάσεως.
λδʹ. Περὶ τοῦ Θωμᾶ.
λεʹ. Περὶ τῆς θαλάσσης Τιβερίαδος.

178, 22. om. Ἐρώτησις et mox Ἀπόκρισις.

178, 9. Διατί εἶπεν ἐν ἀρχῇ ἦν ὁ Λόγος; ἐπειδὴ οἶδεν τοὺς ἀνθρώπους κ. τ. λ.

178, 22. καὶ πρὸ πάντων μαλ. τ.

178, 23. Θεὸν, τὸν Πατέρα δὲ ἀφεὶς περὶ τοῦ Υἱοῦ διαλέγεται διότι ἐκεῖνος κ. τ. λ.

[c] οἴνου Cod.

178, 26. τὸ δὲ "ἦν" οὐδὲν ἕτερόν ἐστιν ἀλλ' ἢ τοῦ εἶναι ἀεὶ δηλωτικὸν, καὶ ἀπείρως εἶναι. Λόγον δὲ αὐτὸν ἐκάλεσεν, ἵνα μὴ παθητὴν αὐτοῦ τὴν γέννησιν ὑπολάβωμεν· ἔτι δὲ καὶ διὰ τὸ ἀπαγγεῖλαι ἡμῖν τὰ τοῦ Πατρός.

178, 9. Τί δήποτε Θεὸν καὶ Θεὸν εἰπὼν, καὶ γὰρ Θεὸς ἦν φησιν ὁ Λόγος· οὐκ ἐμφαίνει τί μέσον ἡμῖν, κ. τ. λ.

178, 11. εἶπεν γάρ. 17. ἀνάγκη πάλιν. 18. ἐκπῆδον.

178, 19. ἡλιακῆς φύσεως. 22. οὕτως οὖν καί.

178, 26. οὐδὲν γὰρ ἡμῖν. 27. ἐνὶ βρ. ρ. 31. ἐπιθήσομεν.

181, 2. μήτις ἀπ. 8. φωτίζον. 18. αὐτὸν οὐ κατ.

182, 4. οὐ δέεται. 7. τὴν αὐτοῦ.

182, 9. ἐπειδὴ ὡς τὰ πολλὰ παρ' ἡμῖν μείζων ὁ μ.

182, 16. ἡ σκότησις ἐκείνοις.

184, 23. μόνον.

185, 3. Τὸ δὲ εἰς τὰ ἴδια hæc Chrysostomi sunt.

185, 5. περὶ πάντων ἀνθρώπ. 7. οἱ δὲ οὐκ ἐδέξαντο.

185, 12. καταβάσει. 19. τὸ δὲ ὅσοι Chrys. sunt.

185, 23. ἠξιῶντο.

186, 31. τῆς ἀφάτου. 34. γεγόνασιν. 35. μεταπεσούσης.

187, 15. οἱ κατ' ἐκεῖνο καιροῦ.

188, 10. τῇ τ. νηπίων Ἰουδ. ἀσθενείᾳ συγκ. 12. λέγων.

188, 16. εὐπαράδεκτος ἡ μαρτυρία γ. 21. πρ. με ὄντα.

188, 25. τ. καλῶν. 27. ὑπερβλύζων· ὑπερβλύσαι.

188, 28. τῆς παλαιᾶς. 29. τότε om. B. 30. πολυπληθεῖν.

189, 13. γ. ἡ ὄψις. 14. τ. φύσιν om. B. 27. ὑποπτεύσῃς.

189, 35. διδ. ἔχειν.

190, 6. ἣν εἰπεῖν. 10. μ. τῆς τούτου πρ. 19. αὐτοὺς πάλιν.

190, 21. ἑστηκέναι αὐτῶν.

191, 3. Ἱεροσολ. ἐστίν. 4. πρινὴ δεθῆναι. 7. γενόμενα.

191, 30. ἀποκ. θείας. 31. εἰπὼν ἀλλ' ἵνα.

192, 5. συγγενίς σου. 16. ἐκεῖ. 28. τ. πωρ. om. B.

193, 6. διδάσκαλον. 7. παρ' αὐτοῦ. 16. δυσμάς.

193, 19. ὥραν om. B.

193, 21. κλῖναι ἐνταῦθα δὲ ἔρχεσθε καὶ ὄψεσθε·" τὸ οὐκ ἔχει που τὴν κεφαλὴν κλῖναι τ. μ. ἴδ.

194, 19. Ἀνδρέου et infra. 32. τῆς ψυχῆς. 33. ὅτι περ.

195, 9. ὑποπνεύσῃ. 19. μετωνομάσω.

195, 21. ταπεινώτερον φθέγγεσθαι. 28. πόθεν.

195, 29. τοῦτο μόνον.

196, 5. ἐκκρίτους. 16. ἀληθής. 25. σαφές.

197, 2. καὶ πρὸ τ. διδ. om. B.

197, 5. σημείων καὶ πρὸ τῆς διδασκαλίας. 12. ἀπὸ τῆς γῆς.

197, 22. μέγα. 28. πόθεν om. B. 29. αὐτοῦ καὶ εἰπεῖν αὐτᾷ.

198, 1. μαθητάς. 2. ἐκείνοις. 14. ὁμοῦ πάντα π.

198, 17. εἰ γὰρ ἄν. 25. ᾔδει γὰρ ὅτι. 31. κρήνας.

198, 32. τὰς ὑδρείας. 35. ἐξ οὐκ ὄντων.

199. Διὰ δὲ τοῦ μὴ εἰπεῖν hæc sunt Chrys.

199, 8. εἴη τὸ ποτόν. 21. λοιπῶν σημ.

199, 24. παραδηλῶν. 35. τούτων.

200, 1. ἤρξατο, καὶ πρὸ τοῦ βαπτίσματος οὐδὲν ἐθαυματούργησεν. 5. γεγενημένῳ. 13. ἀποκαταστήσας. 29. ἐκβαλών.

201, 8. τῷ νόμῳ. 13. ἐξέχεεν. 18. αὐτῶν.

201, 20. τὸ τοσ. λαβεῖν ζῆλον.

201, 22. ὅθεν οἱ μὲν εὐγνώμονες εὐθέως ἐμνήσθησαν ὅτι ἐστὶν γεγραμμένον ὅτι ὁ ζῆλος· ἐκεῖνοι δὲ τῆς προφητείας οὐκ ἐμνήσθησαν ἀλλὰ σημ. ἐπεζήτουν· τὸ δὲ λύσατε τὸν ναὸν τοῦτον κ. τ. ἑ. διὰ τοῦτο εἶπεν, ἵνα δείξῃ ὅτι προγινώσκει τὰ μετὰ τ. εσ. l. 31.

202, 15. τελείως τῇ πλάνῃ πρ. οὐ τῶν γν. 27. κηδείας.

202, 31. ἐλήλυθας.

203, 8. κἂν εἴτις οὖν. 9. οὐ del. cum B.

203, 13. καταγ. φθέγγεται. 17. τ. θορυβ. τοῦτον.

203, 18. ἦτε βασιλεία. βασιλείας ἠκούσθη.

203, 19. π. Ἰουδ. ποτέ. ἀλλὰ τέως περὶ τῆς γεννήσεως διαλέγεται. διὸ καί. 33. ἀσωμάτου.

204, 11. νόμοις. 27. τ. ἀκρ. γνῶσιν. 34. πιστεύσητε.

205, 2. ὑψηλότερα. 3. ἐντ. λέγοι.

205, 4. τελεῖσθαι ἢ πρὸς σύγκρισιν τῆς ἑαυτοῦ γεννήσεως τῆς φρικωδεστάτης ὀνομάζων, οὕτως αὐτὸ καλεῖ, εἰ γὰρ καὶ αὕτη ἐπουράνιός ἐστιν ἡ γέννησις, ἀλλὰ πρὸς ἐκείνην παραβαλλομένη —ἣν ἀληθῆ καὶ ἐκ τῆς τοῦ Πατρὸς οὐσίας οὖσαν, ἐπίγειός ἐστιν.

205, 6. τίνος ἕνεκεν εἶπεν οὐδεὶς κ. τ. ἑ. 8. ἐλήλυθας.

205, 9. νόμιζέ με. 17. τ. ἀκροωμένους. 23. ἐσταυρωμένον.

207, 2. Ἀγγ. οὐκ Ἀρχάγγελον. 4. τὸ δὲ ἀπὸ τ. π.

208, 6. ὁ δὲ μὴ πιστ. hæc Chrys. dat Cod. B.

208, 15. τὸ σκ. ἢ τὸ φῶς. τίς γὰρ ἂν ἐλεήσειεν τ. μὴ βουλ.

208, 17. Seq. Sch. non habet B. ergo non esse Chrys. vid. 31. λέγων.

209, 1. πρὸς τὸ φῶς.

209, 3. τὸ φ. ἐλθὸν πρ. αὐτοὺς, ὅτι οὐκ αὐτοὶ τοῦτο ἐζήτησαν, ἵνα εὕρωσιν αὐτὸ, ἀλλ' αὐτὸ τὸ φῶς ἦλθεν πρὸς αὐτοὺς, καὶ οὐδὲ οὕτ. προσεδρ.

209, 9. Ἴσως ἐρεῖ τις hoc Sch. caret B. 25. ἀνῄει.

209, 31. ἐνταῦθα περὶ τοῦ Χριστοῦ.

210, 2. ὅτι καὶ ἐνταῦθα. 6. σωτηρίῳ διδ.

210, 8. καὶ τί δήποτε τῶν μαθ. 9. ἀλλὰ μεμένηκεν.

210, 11. εἰς τὸ δεσμ. εἰσαγωγῆς. 13. δηλοῦντος ἦν.

210, 15. ἀγάγῃ. 18. πολ. μαλ. φιλονεικοτέρους ἂν ἐπ.

210, 20. οἶμαι δὲ καὶ δ. τ. 21. αὐτῷ γεν.

210, 22. τ. περὶ ἀμφ. 26. ἀμφοτέροις.

210, 30. ἐμφαίνει om. 32. παρ' αὐτοῖς.

211, 4. τούτῳ δὲ μ. 5. παρακν. τὸν βαπτ.

211, 6. ἀλλὰ καὶ τῷ τὰ αὐτῶν παρ. παντ. γ. φησιν.

211, 8. ἑτέρῳ.

211, 11. Τὸ δὲ ἐὰν μὴ hæc om. B. usq. ad τὰ θεῖα.

211, 23. χαίρω.

211, 27. χρὴ, καὶ ἀκούειν ἐκείνῳ παραδόντα τὴν νύμφην.

212, 20. αὐτὸς ἑαυτῷ. 21. τὸν δὲ ἐκ τ. γ.

212, 24. τὰ ἑαυτοῦ εὐτ. κ. ταπ. κ. μικρ. τ. ἐλογίζετο.

Διὰ τοῦ εἰπεῖν ἃ ἤκουσεν καὶ ἑώρακεν ταῦτα μαρτυρεῖ, δείκνυσιν αὐτὸν πάντα ἀληθῆ λέγοντα, καὶ ὅτι οὐδὲν τῶν παρ' αὐτοῦ ψευδές· καὶ ὅτι κἀγὼ δέομαι ἀκοῦσαι τῶν παρ' ἐκείνου, ἄνωθεν γὰρ ἔρχεται, τὰ ἐκεῖθεν ἀπαγγέλλων ἃ μόνος αὐτὸς οἶδεν σαφῶς.

Ὅτι δὲ εἶπεν τὴν μαρτυρίαν αὐτοῦ οὐδεὶς λαμβάνει· ἀντὶ τοῦ ὀλίγοι φησι, καὶ γὰρ καὶ μαθητὰς εἶχεν καὶ ἄλλοι προσεῖχον τοῖς λεγομένοις· ἅμα δὲ καὶ τῶν ἰδίων καθάπτεται μαθητῶν, ὡς οὐ

σφόδρα μελλόντων αὐτῷ πιστεύειν "ὁ γὰρ λαβὼν αὐτοῦ τὴν "μαρτυρίαν," φησὶν, "ἐσφράγισεν ὅτι ὁ Θεὸς ἀληθής ἐστιν·" ὥστε ὁ μὴ τούτῳ πιστεύων φησὶν οὐκ αὐτῷ μόνον ἀλλὰ καὶ τῷ Πατρὶ ἀπιστεῖ, καὶ ψεῦδος καταγινώσκει τοῦ πέμψαντος αὐτόν. τὸ δὲ "ἐσφράγισεν" ἐνταῦθα ἔδειξεν ἔστιν· ὃν γὰρ ἀπέστειλεν ὁ Θεὸς, τὰ ῥήματα τοῦ Θεοῦ λαλεῖ, διὰ τοῦτο οὖν ὀφείλει πιστεύεσθαι.

213, 24. *πνεῦμα ἐνταῦθα.* 35. *διαλεγόμενος.*

214, 18. *οὐκ εἶπε δέ.* Hæc Chrys. esse docet Cod. B.

214, 21. *ὅτι διηνεκής ἐστι κόλασις.* 22. *αὐτοὺς τ. ῥημ.*

214, 32. *ὡς πάρεργον. τ. Σαμαρείας ὁδ.*

215, 1. *Ἰουδαίοις.* 2. *αὐτὸν ἀπ.*

215, 5. *Ἄξιον δὲ εἰπεῖν καὶ πόθεν οἱ Σαμαρεῖται συνέστησαν* hæc Chrysost. sunt.

215, 12. *τῷ ηλά. καὶ ἀνελὼν αὐτὸν, Ὡσηὲ τὴν βασιλείαν ἔδωκεν· ἐπὶ τοῦτον ἐλθὼν ὁ Σαλμανάσαρ εἷλεν πόλεις ἑτέρας καὶ φόρον ἐπ᾽ ὑπ.*

215, 14. *ἦξεν.* 17. *τούτους μεν.* 24. *ἀπηγγέλει.*

215, 25. *παραδώσαντα.* 27. *ἔσεβον.* 33. *ἄλλων* om.

215, 35. *ἐπεγράφ.*

216, 2. *μετὰ παντ.* 26. *μανθάνομεν.* 30. *εἶναι* om. B.

216, 35. *τὸν κόπον.*

217, 15. *ὑπακούσεσθαι.* 19. *ἄλλο μέν.* et mox *ἄλλο δέ.*

217, 25. *ἐδέξατο.* 31. *διψήσει.*

218, 3. *αὐτό.* 10. *ἔρχωμαι.* mox *τούτου.* 18. *τὸν νῦν κρ.*

218, 26. *αὐτοῦ.* 34. *προστάτην ἀπηντ.*

219, 5. *προσεκύνουν; ὅτι τοπικὸν* [d] *καὶ μερικὸν Θεὸν ἐνόμιζον εἶναι· οὕτω γοῦν καὶ Πέρσαις πέμψαντες ἀπήγγειλαν ὅτι ὁ. τ. τ.*

219, 7. *ἐπέμενον· δαίμονας.* 10. *εἰ καὶ μὴ π.*

219, 11. *ἑαυτόν.* 28. *Τὸ δὲ ἔρχεται* hinc Chrys. est Sch.

220, 2. *ἀληθ. τύπος.* 19. *πρὸς αὐτόν.*

220, 21. *τὸν Μωϋσέα δεξαμένοις μόνον.* 23. *πρ. τ. Υἱὸν εἴρ.*

[d] Est lacunæ indicium in Cod. B.

220, 24. οὔτ. ἐστιν. 27. προφήτην ὑμῖν.

221, 2. οὐ διὰ τὸ μ. 4. ἐξ εδ. γνώμης κ. ἁπλ. διαν.

221, 16. προσιόντες. 17. παρακαλοῦσιν.

221, 27. post συγκ. quæ seq. usq. ad αἰσχύνην om. B.

221, 33. ἐκ τ. οἰκείας ἀποφ.

222, 15. ἔτι τετραμ.

223, 3. χώρας μὲν καὶ θερισμόν. Hæc Chrysostom. sunt. τὸ πλῆθος τῶν ψυχῶν τ. ἐτ.

223, 7. ἑτοιμότητα. 12. ἀλλ' οὐκ αὐτοὶ ἐθέρισαν.

223, 30. ὁ πν. θερισμὸς hæc desunt Cod. B. neque sunt Chrys.

224, 14. Chrys. Schol. non habet Cod. B.

225, 10. γενέσθαι τὸ κρ. 12. παρὰ τ. ἰδίοις.

225, 2. ὧδε ἑαυτὸν καλεῖ non habet B. 30. αὐτὸν om. B.

226, 8. βουλόμενον τὸν Χριστόν. 11. εἰσήει. 13. παρέσει.

226, 21. ἔτι δὲ καί. 23. τὴν ἀτελῆ π. κ. τὴν πολ. ἐπίδειξιν.

226, 35. Quæ seq. post διέκυψεν om. B.

227, 15. προσέθηκεν ἀλλὰ δεικνύς.

227, 16. οὐδέπω πρ. τ. ὕψος τῶν Σαμαρ. ἔφθασαν.

227, 22. ἑορτὴν ἐνταῦθα τὴν πεντηκοστήν φησι.

227, 24, τ. δὲ διὰ τὸ πλῆθος, μάλιστα γ. ἐν τ. ἡμέραις τ.

227, 26. συνέτρεχον.

228. Τὸ δὲ ἐπὶ τῇ προβατικῇ κολυμβήθρᾳ θαῦμα τελούμενον οὐχ ἁπλῶς ἐγίνετο, ἀλλὰ τύπος ἦν τοῦ μέλλοντος δίδοσθαι βαπτίσματος· καθάπερ ἐν εἰκόνι προδιαγράφων τὴν πολλὴν δύναμιν αὐτοῦ καὶ μεγίστην δωρεὰν, ὡς ἁμαρτίας καθαῖρον καὶ ἀπὸ νεκρῶν ζῶντας ἐργαζόμενον. εἰ γὰρ Ἄγγελος καταβαίνων καὶ ταράσσων τὸ ὕδωρ ἰαματικὴν αὐτὸ (sic) δύναμιν ἐνετίθει, πολλῷ μᾶλλον ὁ τῶν Ἀγγέλων δεσπότης π. τ. νοσ.

228, 15. καὶ ὥσπερ οὐχ ἁπλῶς ἰᾶτο τότε τῶν ὑδ. ἡ φύσις.

228, 16. ἀλλ' ἡ τ. Ἀγγ. ἐνέργεια. 17. ἐφ' ἡμῶν.

228, 19. καὶ τότε μὲν ἡ ἀσθ.

228, 21. Post προσελθεῖν cætt. om. B.

229, 29. χρησιμεύειν. 31. οὐ om. B.

230, 6. αὐτόν. 16. χρὴ δὲ θαυμάσαι. Hæc Chrys. sunt.

230, 23. Post προστάσσοντι cætt. om. B.

230, 33. Post ἐξένευσε om. quæ seq. B. usq. ad μάρτυς.

231, 1. Post σπινθῆρα reliqua om. B. 5. τί δε μ.

231, 14. δώσωμεν. 22. Pauli cit. om. B.

231, 26. δι' ἁμαρτήματα. 29. οἴει με. mox ἢ om.

231, 33. γεγενῆσθαι.

232, 31. Quod seq. Schol. non habet Cod. B.

233, 28. τὴν παραλλ.

234, 24. καὶ περὶ τῶν ἑτέρων λαμβάνοντας.

235, 1. οὐ τοῦτον. 8. διαπιστεῖν. 19. τὰς εὐθ.

235, 29. προστήσεσθαι. 35. καὶ τ. ἐκ τ. β. προσέθηκεν.

236, 5. δι' ἀμφοτ. usque ad ἄνθρωπον non hab. B.

236, 13. διελέχθη. 23. περὶ om. B. 26. εὑρήσωμεν.

236, 30. δεξώμεθα.

237, 3. ἐπάγεσθαι. 7. Τρεῖς παράγων μαρτ.

237, 23. οὐδὲ θαυμ.

237, 30. εἶχον, ἀλλὰ πρόσκαιρος ἦν ἐκείνη καὶ ἀβέβαιος ἡ σπουδή.

238, 11. περὶ Θεόν. 27. τῆς πίστεως. 31. ἐν αὐτοῖς.

239, 5. τῶν αὐτοῦ. 8. ἡ φύσις ἡ ἐμή.

239, 13. Ὁρᾷς hoc Sch. om. B. 28. ὑπακούσατε.

240, 5. Hoc Sch. caret B. 24. φιλοσόφου.

242, 5. ἀγορασ. ἀρτ. om. B.

242, 11. ποιεῖν. ὡς μηδὲν δὲ ὑψηλὸν ἐννοήσαντος τοῦ Φιλίππου καὶ εἴποντος, "ὅτι τριακοσίων δηναρίων," καὶ τὰ ἑξῆς. Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου ὑψηλότερον μὲν τοῦ Φ. ἐνενόησεν, εἰπὼν ὅτι ἐστὶν ὧδε παιδάριον καὶ τὰ ἑξῆς, οὐ μὴν οὐδὲ οὕτως.

242, 13. ἔφθασεν τῷ ἐπαγάγειν, "ἀλλὰ ταῦτα τί ἐστιν εἰς "τοσούτους;" ἐπεὶ οὖν ἀπέγνωσαν ἀμφότεροι οἱ μαθηταί, τότε θαυματουργεῖ· πρὸ (Cod. πρὸς) δὲ τοῦ φανῆναι τοὺς ἄρτους, προσέταξεν ἀναπεσεῖν τοὺς ὄχλους, ὅπως καὶ τὴν διάνοιαν τῶν μαθητῶν ἀναστήσῃ, καὶ τὸ θαῦμα ὑψηλότερον ἀποδείξῃ· ὡς γὰρ ἑτοίμου καὶ παρεσκευασμένης οὔσης τῆς τραπέζης, τοῦτο γενέσθαι παρεκελεύσατο, ὅτι δὲ ἐκ τῆς ἐρωτήσεως ἐκέρδαναν οἱ μαθηταί,

δῆλον ἐκ τοῦ εὐθέως ὑπακοῦσαι καὶ μετὰ πίστεως ποιῆσαι τὸν ὄχλον ἀναπεσεῖν, ὡς δυναμένου τοῦ διδασκάλου τοῦτον διάθρεψαι. Τινὸς ἕνεκεν τὸν μὲν παραλυτικὸν μέλλων ὀρθοῦν οὐκ ηὔχετο, οὐδὲ τὸν νεκρὸν ἐγείρων, οὐδὲ τὴν θάλατταν χαλινῶν, ἐνταῦθα δὲ ἐπὶ τῶν ἄρτων τοῦτο ποιεῖ; θέλων ἡμᾶς παιδεῦσαι, ὅτι τοὺς τροφῆς ἀρχομένους, εὐχαριστεῖν δεῖ τῷ Θεῷ. συνεχώρησεν δὲ περισσεῦσαι τοσαῦτα κλάσματα, οὐ δι' ἐπέδειξιν, ἄπαγε, ἀλλ' ὥστε μὴ φαντασίαν νομισθῆναι τὸ πρᾶγμα. οὐκ ἔδωκεν δὲ τ. ὀχλ. 22.

244, 1. καὶ οὐδαμοῦ οὕτως θαυμάσαντες ὡμόλογησαν.

244, 3. ἔλεγον.

244, 15. ἐνδεικν. ἤρχοντο δὲ οἱ μαθηταὶ εἰς Καπερναοὺμ, τὸ μὲν σαφὲς οὐκ εἰδότες, ἐκεῖ δὲ προσδοκῶντες εὑρήσειν αὐτὸν, οὐδὲ γὰρ ἐπιπολὺ ἠνείχοντο μὴ ζητεῖν τ. διδ.

244, 18. τοσ. αὐτ. κατ. ἔρως· καὶ γὰρ οὐχ ἁπλῶς ὁ Εὐ.

244, 21. τὸν πόθον αὐτ. αἰνιττόμενος.

245, 8. γυμνότερον. Ἀκριβολογεῖται δὲ ὁ Εὐαγ. λέγων.

245, 25. ὅτι εἰ ἄλλο πλ. 26. εὑρέθη τε τὸ π.

245, 30. ποτὲ ὧδε παραγέγονας—εὔθραστος.

245, 34. ἀπόλαυσιν.

246, 5. γαστρόδουλοι. 7. βρ. τ. ἀπ. κ. τ. ἐξ. ὃ δὲ λέγει τοῦτό ἐστι. μηδεὶς ἔστω λόγ. mox τρυφῆς ὥστε διὰ ταύτην.

246, 14. κατακοπ. 18. αἰνιττομένου ὥστε δεῖν ἀργεῖν.

246, 27. θορυβάζῃ. 31. ποιεῖσθαι.

246, 32. ἐργαζ. μηδὲν εἰς τὴν αὔριον θησαυρίζειν· ἔξεστιν ἐργαζ. μηδ. μερ.

248, 7. ἐζητ. εἰπών.

249, 5. Ἀντὶ μ. M. usque ad ἀλλ' ἐγὼ om. B.

249, 7. ἐπὶ τοῦ μ. 8. αὐτὸ ἀλήθ. quæ seq. in Sch. om. B.

249, 30. σωμ. αὐτοῦ.

250. τὰ μελλ. καὶ τὰ ἀπορ. τ. καρδ. 18. τι ἐστ. ὅ φησ.

250, 28. οὐκοῦν hoc Sch. usque ad δεικνὺς v. 31. caret B. neque est Chrys. 33. παρασκευάσαι.

251, 6. Συνεχῶς hæc Chrys. sunt. 9. γένωνται.

251, 21. εἰπόντων δὲ αὐτῶν οὐχ οὕτ. et hæc Chrys. sunt.

252, 20. τὰ αὐτοῦ.

253, 5. κεχωρισμένης. τρανότερον δὲ αὐτό. l. 7.

253, 30. παρεξετάθη. 34. Hoc Sch. Chrys. dat Cod. B.

254, 15. Εἰπόντες δὲ πῶς. Hæc Chrys. sunt.

254, 32. Ἀμέτοχοι ἐσ. his caret Cod. B. usque ad φυσιν l. 32.

255, 8. τῷ δὲ εἰπεῖν B. qui hæc Chrys. dat.

255, 18. τὸ δὲ κἀγὼ ζῶ et hæc sunt Chrys.

256, 17. Hæc etiam habet Cod. B.

257, 13. πρόσχοι. 31. παρ' ἐκείνων.

258, 7. πιστεύσωμεν. 18. ἀνδρ. νομίζοντες αὐτῷ φαρ.

258, 19. τῷ δὲ δεικ. 22. ἀπωθουμένου.

258, 24. βουλομένου. 33. ἐνέμειναν.

259, 3. κολακεύειν. 25. ἠδύνατο.

260, 11. δημηγορίαν.

261, 10. ζηλοῦντας.

261, 25. πέμπει δὲ τ. αδ. hæc Chrys. sunt.

262, 25. πλανᾷ τ. ὄχλον· ἐκείνην μὲν οὖν ὡς νομίζω τὴν δόξαν τῶν πολλῶν εἶναι· ταύτην δὲ τῶν ἀρχόντων καὶ τῶν ἱερέων· τὸ γὰρ λέγειν πλανᾷ τὸν ὄχλον τ. δηλ.

262, 35. κερδᾶναί τι. ἐπιβαλ. καὶ συλλαβέσθαι.

263, 1. καὶ τί μεν ἐδ. 4. οἱ Ἰουδ. λέγοντες.

263, 7. ἐδεχ. τὰ λεγόμενα. 23. κατ' αὐτὰς λαλῶ.

263, 27. ἐν συνηθείᾳ. 31. ζητῶ.

264, 2. τοῦ δὲ ὑψηλὰ φθ. 11. πραΐα.

264, 14. ζητ. ἀποκτ. αὐτὸς δὲ ἀφεὶς ἐλέγξαι τοῦτο ὥστε μὴ ἀναισχυντοτέρους ποιῆσαι πάλιν τ. ἀπολ. ἀπτ. τ. ἀπὸ τοῦ σαβ. ἀπὸ τοῦ νόμου συλλογιζόμενος αὐτοὺς καὶ λέγων, "ἓν ἔργον "ἐποίησα καὶ πάντες θαυμάζετε." τουτέστιν ταράττεσθε, θορυβεῖσθε.

265, 34. δι' οὐδὲν ἕτερον ἔλεγον, ἀλλ' ἢ ὅτι ἐκ τῆς γῆς ἐστιν δεῖξαι θέλοντες καὶ ὅτι τοῦ τέκτονος υἱός· διὰ τοῦτο αὐτὸς ἀνῆγεν αὐτοὺς εἰς τὸν οὐρανὸν λέγων, καὶ ἐμὲ οἴδατε καὶ οἴδατε πόθεν εἰμί.

266, 8. εἰ μὴ καὶ τοῦτο καλύπτετε sed hoc ex rasura. nam erat ἐκκαλ.

267, 5. παρασπείρει. 25. πεπεισμένων ἦν τοῦτον εἶναι.

267, 26. ἢ ὅτι. 34. φθ. λέγων.

268, 4. ὃ δὲ λέγει τοιοῦτον ἐστι. 8. οὐ παύσομαι.

268, 17. ἐναπομ.

268, 30. παρεγένετο, ἀλλ' οὐδὲ ἐν τῇ δευτέρᾳ, οὐδὲ ἐν τῇ τρίτῃ, ὥστε μὴ εἰς λήθην ἀπελθεῖν τὰ λεγόμενα μελλόντων αὐτῶν τρυφᾶν· ἐν δὲ τῇ ἐσχάτῃ ὅτε ἀνεχ.

269, 23. ἱδρυνθῇ. 25. τὸ ἀνεκλειπές.

270, 2. ὁμολογεῖται. 27. διὸ καὶ τινές. 30. ἐπείχοντο.

272, 5. οἰκείωντο. 15. δέον γὰρ ἦν δεῖξ.

272, 17. εἰδότι. ἐρώτησον καὶ ἴδε.

273, 11. ἀν. αὐτῶν.

273, 32. Quæ Chrys. dat B. ὑμεῖς δέ φησιν οὐκ οἴδατε πόθεν ἔρχομαι ἢ ποῦ ὑπάγω· ἐθελοκ.

274, 16. οὐδὲ ἐγώ εἰμι ὡς.

275, 7. ἐπειδὴ εἰδότες. 26. ἔργον γέγονεν.

275, 31. κατασείων τε.

276, 8. καὶ σαρκικάς. 9. καὶ γὰρ πόρρω.

277, 18. καὶ ἐν τούτῳ δὲ. Hæc Chrys. attribuit B.

277, 25. ὅπερ δέ φ. et hæc Chrys. sunt.

277, 29. καὶ τῆς ἁλώσεως τῆς ὑμετέρας. 30. λαλῶ οὐδέν.

278, 4. ἀρεστόν. 17. πληκτικωτέροις.

279, 14. πάντων.

280, 21. τῷ δὲ εἰπεῖν.

281, 18. ἐκκόψαι βουλ. ὅτι πε. ἐλογιζ. 19. ὡς παρὰ τ. Θ.

283, 4. καταπαῦσαι. 12. ὅτι οὐ προσῆκεν.

283, 13. τῇ πρ. ἐκεῖνον ταῦτα ἐφθεγξάμην, καὶ δι' ἐκεῖνον ταῦτα ἀκούω, καὶ δι' ἐκεῖνον ἀτιμάζετέ με.

283, 14. δι' ὃν τ. ἤκουεν.

283, 18. τὸ δὲ hoc Sch. Chrys. dat Cod. B. Ammonio itaque quod seq. tribui debet.

287, 9. τῶν αἰτιῶν. 23. ὅπερ ἐπὶ τῶν οὐδὲ κ.

288, 10. Hoc Schol. Chrys. assignat B. 30. εἰ ὅλως.

290, 2. τ. νόμου νομίζοντας. 10. ἔλεγον.

290, 18. καὶ ἀπορία. 30. τιθέασι. 31. μὴ ὅτι τὸ σαβ. παρέλυσεν.

291, 16. μ. πάσης παρρησίας. 26. καταψεύσασθαι.

292, 12. διὸ καὶ ἔφων. 31. πλῆττον αὐτ.

293, 17. ὁ Θεὸς om. B. mox add. ὅθεν ἐκ τούτου δῆλον ὅτι οὐδὲ ἐξ ἀρχῆς ἀμφιβάλλων ἔλεγεν.

294, 10. αὐτῷ om. B. 12. sec. αὐτὸν om.

295, 31. λέγει ἀναβλέψεις.

297, 4. τριγχόν. 12. αὐτῶν. 15. ἀπεναντίως ἐκ.

298, 4. καὶ γάρ φησιν. 15. ὅθεν δῆλον ὅτι τούτων.

298, 24. τί δέ.

299, 1. ὀρυόμενος. 4. τοῦ πρ. om. τοῦ. 31. μέλλοι.

300, 9. λαβεῖν αὐτήν. Quæ seq. a l. 24. usq. ad p. 302, 20. om. B. 24. ἦγον.

303, 8. πιστ. ῥημ. πιστεύσετε. 27. ἐποίησεν εἰς αὐτούς.

303, 30. διωρθώσατο.

306, 4. καὶ τῆς μαρτ. ἐκείνου. 9. μηδ. πεποιηκότι.

307, 19. αὐτῷ om. B.

307, 23. ὅτι ἀκούσασαι ὅτι οὐκ ἔστιν πρὸς θάνατον καὶ ἰδοῦσαι αὐτὸν ἀποθανόντα, οὐκ ἐσκανδ.

307, 25. ἐπήγαγεν λέγων.

308, 2. αὐτοῦ om. B. 22. τὸν κεκοιμ. om. B. 28. συνίδον.

309, 2. καὶ θορυβ. om. B. 13. καὶ ταύτην τ. τετ.

309, 29. οὐδ' ὅτι οἰκείᾳ δυνάμει καὶ αὐθεντίᾳ τὰ θαύματα ἐποίει, ἀλλ' ὡς π. ἐν.

310, 8. συνειδοῦσα. 12. τὸ καταλῦσαι. 14. πρὸς αὐτάς.

310, 23. ἔμελλον.

311, 4. τῷ πάθει. 6. διατί εἶπεν ὁ πάντα εἰδώς.

311, 14. μὴ ἀπέθανεν. 16. ἐκεῖνο om. B. καθυφείσαν.

311, 28. περιεβάλλετο.

313, 30. ὑποπτεύσουσιν. 32. οὐ προσδ. τοῦτο.

319, 28. καὶ τοῦτο διεφ. 34. προετίθεσαν.

320, 2. ἐβόησε.

321, 20. μετὰ ἡμέρας πολλάς. 32. τοῦτο ἐφθέγξαντο.

322, 4. οὐκ om. B.

324, 9. ὑγιαῖνον. 27. τὴν ὄνον κ. τὸν πῶλ. 29. τὴν ὄνον.

324, 31. ἀρχή· τοῦ χαῖρε.

325, 2. τ. ὀλέθροις. 4. ἐπισυρόμενος. 13. ὅτι οὐκ ἂν τοσ.

325, 17. κατήχουν—ἀνόνητα. 19. τ. κτῆσιν.

326, 31. τὸν Ἀνδρ.

326, 33. ἀπέλθητε." διὰ τοῦτο μετὰ τοῦ συμμαθητοῦ κοινωσάμενος ἀναφέρει τ. διδ.

327, 7. λοιπὸν ἐπὶ τὸ παθ. ἐλθεῖν. 8. θορυβῶνται.

327, 13. ἐν ἐμοί.

328, 20. ἐσομ. καὶ καταπεσουμένους. 23. ἔσται κερδ.

328, 24. τὸ φορτικὸν κ. ἐπ. 26. ἔργων ἀκολούθησιν.

328, 30. παριστῶν. παιδὸς διακόνους.

329, 2. ἀγωνιῶν αὐτ.

329, 4. τὸ γὰρ τεταράχθαι κ. ἀπαλλαγὴν αἰτ.

329, 8. ταραττόμενος οὐ λέγω. 12. σου τὸν υἱόν.

329, 26. δεομένου.

330, 12. λέγων. 20. τὸ φ. ἐν ὑμῖν.

330, 23. καὶ τὸν πρὸ τ. στ. χρόνον αἰνιττόμενος καὶ τὴν παροῦσαν ζωὴν ἅπασαν· πολλοὶ γὰρ καὶ πρὸ τοῦ σταυροῦ καὶ μετὰ τὸν σταυρὸν ἐπίστευσαν.

331, 31. οὐδὲ γὰρ ἐπειδὴ εἶπεν Ἡσαΐας, οὐκ ἐπίστευον, ἀλλ' ἐπειδὴ οὐκ ἔμελλον πιστ. διὰ τοῦτο εἶπεν Ἡσ. διότι ἐτύφλωσεν αὐτῶν τοὺς ὀφθαλμοὺς κ. τ. ἑ.

332, 5. περὶ om. B. 26. ταῦτα δ. φ. hæc Chrysost. sunt.

332, 28. ὁ γὰρ Ἰω. 30. τὴν ὄψιν ἐκείνην· τὸν καπνόν.

333, 11. ἔκραξεν.

333, 32. διὰ τὸ τ. πλ. καὶ τὸν νοητὸν λύειν σκ.

334, 1. τῆς ἀπωλείας τ. καταφρ. 5. ἦλθ. ἵνα κρίνῃς.

334, 7. ὃν ἐλάλησα, ἐκεῖνος κρ. αὐτὸν, ἐν τάξει γὰρ στήσεται κατηγόρου ἐλέγχων αὐτόν· ποῖον δὲ ἐλάλησας.

334, 18. φθ. ἀλλ' ὥσπερ τοὺς ἐντολὴν λαμβάνοντας ἀδύνατον ἄλλως τι εἰπεῖν ἢ ὅσα οἱ πέμψαντες βούλονται ἕως ἂν ἐντολὴν πληρῶσιν, οὕτως οὐδὲ ἐμὲ ἄλλό τι πρᾶξαι.

335, 27. μεγαλοφώνως. 28. τ. θαν. αὐτοῦ. 29. τὸν σφόδρα.

336, 2. ἦσαν ἐκεῖνοι. 4. ἔνιψεν αὐτός. 12. τὸ δὲ ἀπὸ τ. Θ.

336, 18. κατακλιθῆναι.

337, 30. ἔτρεμε, τὸ μὴ διασχισθῆναι αὐτοῦ, τ. φ.

337, 32. ἐν τῇ συγχ. σφ. λέγων.

338, 13. Ἐκ τοῦ καθ' ἡμᾶς δὲ πρ. λαβὼν τὸ παράδειγμα sic B. qui hæc igitur Chrys. esse nos docet.

338, 18. λέγω δή. 21. προσενεχθ.

339, 5. πάθοιέν τις. 16. τὸ δολ. καὶ ὑπ. om. B.

340, 30. δύο τρ. αὐτούς. 31. τῷ παρ' ἑαυτοῦ.

340, 33. τ. παρ' ἑτέρων.

341, 9. ἀπερ. om. B.

341, 17. προτρεπ. πολιτείαν ἀρίστην μετιέναι· δι' ἧς γινόμενος διορατικώτατος, ὥσπερ αὐτὸς παρὰ τοὺς λοιποὺς ὑπῆρχεν μαθητὰς, πλησίον ἔσται Θεοῦ, αὐτὸν ὁρῶν ἀεὶ ὡς καθαρὸς τῇ καρδίᾳ γενόμενος· προσεθ.

341, 27. κατηφής. 29. κ. ἕως μ. ἦν τοῦ χοροῦ.

341, 32. εἶπεν αὐτ. ὁ Χριστός. ὅτι ὃ π. 34. ἀδιορθώτως.

342, 6. γὰρ ἂν αὐτόν.

343, 11. Ἐπειδὴ δὲ hæc Chrys. dat Cod. B.

343, 16. διερράγησαν. 18. μακρός. 21. αὐτὸν ἀνεκ.

343, 29. προεῖπεν.

344, 1. εἰκὸς ἦν ταῦτα ἀκούοντας. 24. ἐπαγγ.

344, 25. πρὶν ἀλεκτῶρα φωνῆσαι. 26. ἀωρία γάρ.

345, 13. δεῖ τὰ δ. 17. τ. ἐλπ. λέγων.

345, 19. ὁ χορὸς ἐκεῖνος δέξεται. ἀφθονία γάρ. 20. ὑπὲρ τ.

345, 20. τοσαύτην. 31. δεήσεσθε. 32. παρ' ἐμοί.

346, 8. ἐγνώκατε. 10. κ. τὴν τ. Π. 14. ἦν δυν.

346, 18. προσκορῆς. 21. ἐγκόπτων.

346, 25. τὰς ὑποστάσεις. 28. αὐτὸν ἴδες.

348, 31. οἶδεν γὰρ καί. 7. οὐ διὰ τοῦτο.

349, 23. ἐκλαβόμεθα. 25. τὸ ἔχειν μόνον.

350, 17. Ὑπὸ δειλίας δὲ πολλῆς ὁ Ἀπόστολος Ἰούδας κρατ. sunt hæc Chrys.

350, 26. τούτων μ. πιστ. τῶν λόγων. 35. π. με Πατρός.

351, 25. διδασκαλία ὑμ.

351, 33. πάλιν τὸ ἀφίημι ἀναχωροῦντος ἦν.

352, 17. ὑπ. ὧν θανάτου.

354, 6. καθαῖρον. 7. τὴν παρὰ τοῦ Θεοῦ β.

355, 21. Hoc breve Sch. Chrys. dat Cod. B.

355, 22. ἀντὶ τοῦ χ. ὅτι ἐν ἐμ.

355, 26. Πατρὸς, ἀλλ' ὅμως πάσχω καὶ ἀναιροῦμαι, καὶ οὐ ποιοῦμαι τοῦτο τεκμήριον τοῦ μὴ ἀγαπᾶσθαί με παρὰ τοῦ Πατρὸς, οὐδὲ ὑμ.

356, 11. ἀναχώρησις ἀλλὰ ἀγάπης, ἐπήγαγεν λέγων, μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ, τοσοῦτον γὰρ φιλῶ.

356, 13. φίλων. 21. οὐ τὸ τυχόν. 27. εὐηργέτησα.

356, 28. ἐλάττων. 31. ὑμῖν ἐπεδρ.

357, 24. Καὶ ἐπείδη τὸ διώκεσθαι. Hæc Chrys. dat Cod. B.

357, 25. πολλῶν καὶ ὀνειδίζεσθαι. 28. ἀπέδειξεν.

357, 34. ἀγάπης καὶ om. B.

358, 1. ἐξεφέρετε. 2. βουλ. δὲ αὐτοὺς ἐπιπλ. ζηλ. γεν.

358, 6. τῶν ἐμ. παθ. 10. ἐργάσονται. 14. προεφασ.

358, 15. καὶ ταύτην τ. ἀπολ.

358, 21. ὅμοια· καὶ ἐπειδὴ τὸ πρᾶγμα ἔκπληττον ἦν, εἶπεν καὶ τὴν αἰτίαν, τουτέστιν τὴν πονηρίαν αὐτῶν.

358, 22. προαναφ. περὶ αὐτῶν καὶ λέγοντα. quæ seq. autem om. B. usq. ad Ἵνα μὴ θορ.

358, 34. Post ἀκριβῶς plura deinceps e Photio Scholia exhibet B. sed omnia quæ noster Cod. habet, omittit usq. ad p. 361, 24. περὶ ἁμαρτίας μὲν, unde videtur lacunam inesse Cod. B.

363, 19. ἀλλοτρ. λαλεῖ. 28. ὑπαλλ. 30. ἐμπεσεῖν.

364, 4. ἅπερ ἂν εἶπον ὑμῖν. 9. ἁμαρτάνειν ἐκ. πειθ.

364, 10. λέγει ὅτι. 13. κ. τ. ἐμ. συγκρ. om. B.

364, 19. ἐπανήξει. 20. ἔσται ὁ χ.

365, 1. ἡ ὠδίν.

365, 29. δηλοῖ ὅτι πᾶσαν εἴσονται τ. γν. quæ seq. om. B.

366, 11. Πάλιν δὲ δ. θ. hæc Chrys. sunt. 15. εἰπόντας.

366, 16. μηδὲ παρακλ. 19. ἠτήσατε.

366, 30. Περὶ ποίας ὥρ. hæc Chrys. dat Cod. B.

366, 33. συνῆν αὐτοῖς κ. διελ.

367, 3. προστῆναι ὑμῶν. 21. παραδέξασθε. 25. τῶν ἐχθρῶν.

369, 8. Μετὰ τὴν παρ. hæc Chrys. sunt, teste Cod. B. qui autem multa anteced. om.

369, 16. λέγει εὐχὴν καὶ δεικν. 18. παιδεύσων.

369, 20. ἀλλ' ἑκὼν om. B. 28. μετὰ τὸ σαρκωθῆναι.

369, 30. συνεσταλμένα.

371, 6. δόξαν κ. om. B. 7. Post παρά σοι cæt. om. B.

372, 7. δοξάσωσιν.

372, 24. αἰῶνος; Εἰπὼν "ἵνα ἔχωσι τὴν χαρὰν τὴν ἐμὴν πεπληρωμένην, ἐδήλωσεν σαφῶς ὅτι θέλων αὐτοὺς ἀπὸ τῆς πολλῆς ἀνακτήσασθαι θλίψεως, τὰ προειρημένα ἐλάλησεν, διὸ καὶ πρὸς τὴν ἐκείνων συγκαταβαίνων διάνοιαν· παραμυθεῖσθαι γὰρ αὐτοὺς ἀλλ' οὐ διδάσκειν νῦν τὴν τῆς θεολογίας ἀκρίβειαν ἐβούλετο· ἀνθρωπινώτερον, καὶ ὡς ἐκεῖνοι ἠδύναντο παραμυθεῖσθαι, διαλέγεται· "τήρησον αὐτοὺς" λέγων καὶ "ἐν τῷ ὀνόματί σου·" καὶ "ὅτε ἤμην ἐν τῷ κόσμῳ ἐτήρουν αὐτοὺς" καὶ τὰ ὅμοια· χαρὰν δὲ τὴν ἐμὴν φησὶν, οἷον τὴν πνευματικὴν, τὴν στηρίζουσαν ψυχὰς, ἀλλ' οὐχὶ τοιαύτην οἵαν ὁ κόσμος ἔχει, διὰ τρυφῆς καὶ ἡδονῶν καὶ σωματικῶν εὐπαθείας συνισταμένην. Hæc habet B. sed forsan Photii sunt, ut multa alia Scholia quæ interjicit iste Cod. sed nomine ejus in marg. adscripto sic, φῶ. Huic autem Scholio non adscribitur.

372, 30. ὁ προδ. om. B.

373, 4. ὅθεν δεικταῖον. 20. τὸ δὲ ἁγίασον.

373, 23. πάντως γὰρ. 29. ἀπέστειλα.

374, 2. σοι ἀνατίθ. 13. οὐκ ἀκριβοῦς ἐξισώσεως.

374, 18. μάχωνται. 19. νομ. δέ με μη.

374, 33. παραγεν. ἀλλ' αὐτὸν καὶ τὸν Πατέρα παραγεν.

375, 1. δυναμένην. 3. συγκροτητικόν. 5. ἐγχωρεῖ.

375, 10. μοι λέγων. 12. ἐγέννησέν ἐστιν.

375, 16. τούτους ἄπ. σε εἰδέναι. 29. ἐπηγ. λέγων.

375, 30. αὐτοῖς. ἐὰν γὰρ μάθωσίν, φησιν, ὅτι οὐκ ἀπέσχισμαι ἐγὼ ἀπὸ σοῦ, ἀλλ' εἰμὶ γνήσιος υἱός σου καὶ σφοδρα ἠγαπημένος

καὶ συνημμένως πάντως τὴν πίστιν τὴν εἰς ἐμὲ καὶ τὴν ἀγάπην τηρήσουσιν ἀκριβῆ. ἀγαπώντων δὲ αὐτῶν ὡς χρὴ, κἀγὼ μενῶ ἐν αὐτοῖς.

375, 31. μέσων νυκτῶν.

376, 7. μανθάνωμεν. 13. μεμελετηκότες.

377, 13. πῶς δὲ ὁ κελ.

378, 15. ὥρμησε.

379, 13. καὶ ἄλλος τις μαθητής. 24. ἀνακηρύττη.

379, 30. καὶ ἐπηκολούθει. 35. ταῦτα δὲ λεγ.

380, 20. ποῦ εἶεν.

381, 1. ἐπὶ τούτῳ.

382, 6. διδ. τὴν κηδεμονίαν. 7. ὅτι καὶ κατεχ.

382, 19. ἐξηλέγχετο. 22. Ῥωμαίους.

382, 27. καὶ φόνῳ μὲν ἀδίκῳ. 30. τὴν ἑορτὴν πᾶσαν λέγ.

382, 33. τ. βασκανίας αὐτ. ὁρῶν γὰρ αὐτ. δεδ. om. B.

383, 3. οὐ λέγουσι τὴν κακοποιΐαν, ἀλλ' ὅτι "εἰ μὴ ἦν οὗτος "κακοῦργος, οὐκ ἂν σοι παρεδώκαμεν αὐτόν." οὕτως παντ.

383, 6. εἶπον δὲ ἐκεῖνοι. 7. οὐκ ἐξῆν.

383, 10. ἢ τοῦτό φησιν, ὅτι οὐχ. 24. ἀκού. μον. ὅθεν καὶ εὐθ.

383, 31. χαρίσασθε. 33. λέγων.

386, 23. περιθεῖναι. 25. αὐτοῦ τῇ κεφ.

387, 27. τὸ συγκεχωρημένον.

388, 8. οἴκησιν. 9. εἰ περιΐδοι τ.

389, 33. ἔφρασεν.

390, 2. ὥρας ταύτης. 5. μετὰ ταῦτα.

390, 8. ἐμπαίζ. αὐτῷ. ἔτι δὲ καὶ ὅτι ὁ Π. 15. περὶ αὐτοῦ.

390, 21. αὐτῷ τῷ ἔργῳ. 29. Τοῦ αὐτοῦ.

390, 32. ἐπὶ τὸ σταυρ. ἐπὶ τῶν ὤμων.

391, 2. αὐτὰ ἡμᾶς τ. Εὐαγγ. διδάξῃ τὰ ῥημ.

391, 4. ἐχομένοις τῆς ἐπὶ τὸν Γολγοθᾶν. 8. ἑαυτοῦ.

391, 13. καὶ γὰρ καὶ τὸ ξυλ. 25. τὸν δὲ τίτλον.

391, 33. μιγ. Ἰουδαίους.

392, 2. τ. Ἰουδαίων, ἀλλ' ὅτι ἐκεῖνος εἶπεν. 4. παρετράπη.

392, 10. μέσος κεῖσθαι. 17. διὰ τούτου.

392, 21. τὰ ἱμάτια, δηλῶν ὁ Ἰωάννης ὅτι οὐχὶ τοιοῦτος ἦν

ὁ χιτωνίσκος φησὶν, ὅτι ἐκ τῶν ἄνωθεν ὑφαντὸς ἦν· τοῦτο δὲ ἐμοὶ δοκεῖ λέγειν αἰνιττόμενος τὸ εὐτελὲς τοῦ ἱματίου, καὶ ὅτι καθ.

394, 2. ὑποτίνων ἐλπίδας. 9. τὸ δὲ εἰδὼς ὁ Ἰησ.

394, 23. οὐδὲ γὰρ ἐπειδὴ ἐξέπνευσεν ἔκλινεν τὴν κεφαλὴν, ὅπερ ἐφ' ἡμῶν γίνεται, ἀλλ' ἐπειδὴ ἔκλινεν τὴν κεφ. ἐξεπν.

395, 1. αἱ τοιαῦται πρ.

396, 10. τινὰ λόγον. 14. ὁ τύπος παρέδραμεν.

396, 18. ἡ λέγουσα.

397, 10. π. ἀνθρ. ψιλοῦ. 13. πολλ. τ. φιλοστ.

397, 14. κατάδικον. 16. ἐννάτη γ. ὥρα.

397, 18. καθαιρούντων. 22. τεθῆναι.

398, 29. π. ἀναστάσεως. 30. γεγενῆσθαι. 32. οὐκ οἴδαμεν.

399, 4. τούτου ἐφρ. 4. ὥστε ἆραι. 5. κ. θεῖναι εἰς ε. τοπ.

399, 6. ἔλαβον ἂν. 33. κατώπτευσεν.

400, 3. καὶ γὰρ ἡ φύσις εὐέμπτωτος καὶ περιπ. 4.

400, 8. ὃ γὰρ οὐκ ἴδον οἱ μαθηταὶ, τοῦτο ἴδεν αὕτη πρώτη. δ. ἀγγ.

400, 10. οὐκ ἦν ὑψηλή. 11. τῶν σουδαρίων.

400, 15. τ. ζητεῖς om. B. 20. τεθείκασιν αὐτ.

In marg. Cod. B. hoc inest Sch. Οἱ γὰρ μαθηταὶ ὡς ὑψηλότεροι τῆς γυναικὸς τὴν διάνοιαν πάντες εὐθέως ἐκ τῶν σουδαρίων παρεδέξαντο τὴν ἀνάστασιν. καὶ τοῦτο ἐστὶν ὃ εἶπεν ὁ Εὐαγγελιστὴς ὅτι εἶδεν καὶ ἐπίστευσεν· καὶ οὐχ ὃ λέγουσί τινες ὅτι διὰ τὸ κλαπῆναι αὐτὸν ἐπίστευσαν. καὶ γὰρ καὶ ὁ Χρυσόστομος τοῦτο δείκνυται ἀνατρέπων ἐν τῷ εἰπεῖν αὐτὸν ὡς προγέγραπται, ὅτι πιστεύσαντες ἀπῆλθον πρὸς ἑαυτοὺς ἐκπληττόμενοι· οὐχὶ πῶς ἐκλάπη δῆλον ὅτι, ἀλλ' ὅτι ἀνέστη. ὡς γὰρ μὴ γινώσκοντες τὴν γραφὴν τὴν λέγουσαν περὶ τῆς ἀναστάσεως αὐτοῦ ἀπῆλθον καὶ ἴδον. ἐπεὶ εἰ ἐγίνωσκον, καὶ πρὸ τοῦ ἀπελθεῖν καὶ ἰδεῖν ἐπίστευσαν ἄν.

400, 21. ποῖα γὰρ αὕτη ἀκολουθία πρὸς ἐκείνους διαλεγομένην κ. μηδεπ. μ. ἀκούσασαν.

400, 28. στραφῆναι ποιῆσαι.

401, 2. οὐδὲν οὐδέπω. 7. εἰποῦσαν αὐτὴν—ἐθήκατε.

401, 10. Post ποιῆσαι om. quæ seq. B. usq. ad l. 15. ὅτι ἐστράφη.

401, 19. *καὶ κομπ. ἔχον.* 21. *καὶ ἐπείγομαι.*

401, 22. *κ. μηκ. μετ. ἀνθ. στρεφ.* om. B.

401, 24. *φησὶ γὰρ "πορεύου καὶ εἰπὲ τοῖς ἀδελφοῖς μου ὅτι "ἀναβαίνω" καὶ τὰ ἑξῆς.*

401, 26. *τί οὖν ἐστὶν ἀναστῆσαι.*

401, 29. *τὸ ἀναβῆναι. πρὸς γὰρ τὴν οὐδ.*

401, 30. *ἑτέρως* et quæ seq. om. B. usque ad *καὶ ἡμῶν* l. 32.

401, 34. *πατὴρ γὰρ αὐτοῦ μέν ἐστι φ.*

402, 3. *ἱκανὰ ἦν.* 28. *ἐπίσταται δὲ μετὰ πολλοῦ τ. Θαυμ.*

402, 33. *ἐπεδείξατο.* 35. *ἐνήγαγε—κατεστόρεσεν.*

403, 8. *ἐνῆγεν.* 10. *ἀντίπαλον διδοὺς τοῦ πολέμου.*

403, 13. *τὴν ἀράν.*

404, 24. *παράκλησις.* 25. *καὶ ταῦτα εἰπὼν ἐνεφ.*

404, 28. *ἔδωκεν, ἀλλ' ἐπιτηδείους αὐτοὺς πρὸς τὴν ὑποδοχὴν διὰ τοῦ ἐμφυσήματος κατεσκεύασεν· οὐκ ἂν δέ τις ἁμάρτοι καὶ τότε εἰληφέναι αὐτοὺς λέγων ἐξ. τ.*

405, 2. *εἰκὸς ἦν.* 4. *τῶν συμμαθητῶν.* 5. *ἀπιστῶν.*

405, 10. *πιστεύσειν.* 12. *ὁρωμ. ᾖ.* 26. *καὶ ἀνεβ.*

405, 30. *μετ' ἐκείνους.* 34. *κεκλεισμένων. πάσης* om.

406, 3. *συνεπίομεν.* 6. *ἀλλ' ἤ.* 8. *ἐπεδείκνυτο.*

406, 28. *προκύπτειν τ. οἰκ. καὶ παντ. περιϊέναι.*

407, 1. *μετήεσαν.* 3. *καὶ εἰς διάλ.*

407, 8. *τὰ ἰδιωμ. τῶν οἰκείων ἐπιδείκνυνται τρόπων οἱ μαθ. Πετρ. κ. Ἰωάνν.*

407, 13. *διαζώσασθαι.* 18. *δεικνὺς ὅτι καὶ ἡνίκα ἐξ ὕλ. ὑποκ.*

407, 22. *ἀλλοιω. ὁρῶντες.* 24. *διὰ λόγου.* 25. *ἐκαθέζ.*

409, 9. *γινομένης.* 11. *ἔκκριτος.* 14. *ἐξαληλειμμένης.*

409, 18. *εἰς δὲ τὸ τρίτον συνεταράχθη δεδοικὼς τὰ πρότερα ἐπ' αὐτὸν καταφεύγει πάλιν καί φησιν Κύριε.*

409, 20. *αὐθαδιζόμενος.*

409, 23. *δεικνὺς ὅσου τιμ.* in marg. Cod. B. *Ἐπιστολὴ Πηλουσιώτου ργ'.*

411, 15. *ἀνακλήσεως.* 32. Om. *μή.*

412, 6. *αὐτὸν μαρτ.* 7. *ὁ μαρτ. π. τούτ. καὶ γράψας.*

412, 9. *ἐπὶ τούτῳ.* 29. *εἰ δὲ μὴ πιστ.*

412, 30. *ἔξεστιν αὐτοῖς ἀπὸ τοῦ ἑξῆς εἰρ. πιστ.*

412, 32. *τοσ. εἰπών.*

413, 4. *τ. ποιήσαντος.* 6. *ἀπειργάζετο.*

413, 7. *προσέχωμεν.* in marg. Τοῦ Πηλουσιώτου Ἐπιστολῆς σνθ'. Κεφ. ϛ'.

413, 9. *δυνησόμεθα.* 10. *κακῶν.*

In fine, Ἐπληρώθη τοῦ Χρυσοστόμου ἡ εἰς τὸ κατὰ Ἰωάννην αγιον Εὐαγγέλιον ἑρμηνεία.

AUCTORES

E QUIBUS CONTEXTA EST CATENA IN EVANGELIUM S. LUCÆ.

OBITER CITANTUR

AUCTORES

E QUIBUS CONTEXTA EST CATENA IN EVANGELIUM S. JOANNIS.

OBITER CITANTUR

CORRIGENDA.

Pag.	Lin.	
24,	18.	εὐθυμήσεων leg. ἐνθυμ.
140,	7.	παρρουσίᾳ l. παρουσίᾳ
183,	16.	ἀναμφισβήτου l. ἀναμφισβητήτου
189,	10.	θρόνον l. θρόνου
196,	8.	ἀκριβῆς l. ἀκριβὴς
199,	32.	Εὐαγγελισὴν l. Εὐαγγελιστὴς
215,	10.	κρόνου l. χρόνου
285,	14.	Ἀβραὰν l. Ἀβραὰμ
406,	27.	Τιρεριάδος l. Τιβεριάδος



